cùm ille plantas florere iubet, florerent? cùm germinare, germinarēt? cùm proferre fructum, proferrēt? cùm maturescere, maturescerēt? cùm rursus decidere flores & defluere folia, & ipsas in sese quasi cōuolutas, quiescere ac refocillari, quiescerent ac refocillarentur? Vnde porrò ad incrementa Lunæ, & Solis accessum & recessū, tanta diuersitas & in contrarium mutatio terrenarū rerum cerneretur? Cùm ergò folia & corpora nostra sic vniuersitate deuincta, tantaq́; societate copulata sint: quanto magis animi nostri? An cùm animi nostri ita sint deuincti Deo, vt particulæ sint eius, & ab eo quasi auulsæ: non omnē eorum motum, vt proprium & cohærentem, animaduertit? Cùm tu de gubernatione diuina, & rebus tam diuinis quàm humanis simul omnibus cogitationē suscipere, eadémq. opera ab infinitis rebus simul & sensu & cogitatione moueri; quibusdam assentiri, quadam abnuere, de nonnullis amplius pronuntiandum censere possis: tu tot formas tam multarum et variarum rerū tuo in animo custodias, quibus impellentibus, in eas cogitationes incidis, quæ primus imaginibus consentiant: tu artes alias atq. alias, & infinitarum rerum memoriā conserues: Deus verò omnia intueri, omnibus rebus adesse, & ab omnibus aliquā sumere partem non potest? Sol tantam vniuersi partem illustrare potest, exiguam illam relinquens luminis expertem, quam vmbra terra occupat: qui autē Solem ipsum & fecit & circumducit, paruam suorum operum partem, si cum vniuerso conferatur: is verò non potest animaduertere omnia?

Περὶ θεοῦ δυνάμεως καὶ ἐνεργείας.

κεφ. ϛ'.

De Deorum potestate & effectione.

CAP. VI.

Ἰαμβλ. ἐκ τῆς πρὸς Μακεδόνιον ἐπιστολῆς.

Οἱ θεοὶ τὴν εἱμαρμένην συνέχοντες διὰ παντὸς ἐπανορθοῦνται· ἡ δ' ἐπανόρθωσις αὐτῶν ποτὲ μὲν ἐλάττωσιν κακῶν, ποτὲ δὲ παραμυθίαν, ἐνίοτε δὲ καὶ ἀναίρεσιν ἀπεργάζονται. ἀφ' οὗ δὴ διακοσμεῖται ἡ εἱμαρμένη τοῖς ἀγαθοῖς, διακοσμουμένη δὲ οὐχ ὑποφαίνεται πᾶσαν πρὸς τὴν ἄτακτον φύσιν τῆς γενέσεως· οὐκ οὖν ἔτι μᾶλλον σώζεται ἡ πεπερασμένη διὰ τῆς τοιαύτης ἐπανορθώσεως, καὶ τὸ παρατρέπον αὐτῶν μένει, κατὰ τὴν ἄτρεπτον τῶν θεῶν ἀγαθότητα συνεχόμενον, διότι οὐκ ἐᾶται ὑπορρεῖν εἰς τὴν ἄτακτον πλημμέλειαν. τούτων δὴ οὕτως ἐχόντων, τό τε ἀγαθοειδὲς τῆς προνοίας, τό τε αὐτεξούσιον τῆς ψυχῆς καὶ πάντα τὰ κάλλιστα διασώζεται, τῇ βουλῇ τῶν θεῶν συνυπάρχοντα.

Ἀριστοτέλ. ἐκ τῆς πρὸς Ἀλέξανδρον ἐπιστολῆς.

Καθόλου δὲ ὅπερ ἐν νηῒ μὲν κυβερνήτης, ἐν ἅρματι δὲ ἡνίοχος, ἐν χορῷ δὲ κορυφαῖος, ἐν πόλει δὲ νόμος, ἐν στρατοπέδῳ δὲ ἡγεμὼν, τοῦτο θεὸς ἐν κόσμῳ· πλὴν καθ' ὅσον τοῖς μὲν καματηρὸν τὸ ἄρχειν, πολυκίνητόν δὲ καὶ πολυμέριμνον· τῷ δὲ ἄλυπον ἄπονόν τε πάσης κεχωρισμένον σωματικῆς ἀσθενείας. ἐν ἀκινήτῳ ἱδρυμένος δυνάμει, πάντα κινεῖ καὶ περιάγει, ὅπου βούλεται, καὶ ὅπως, ἐν διαφόροις ἰδέαις, καὶ φύσεσιν. ὥσπερ ἀμέλει καὶ ὁ τῆς πόλεως νόμος ἀκίνητος ὢν ἐν ταῖς τῶν χρωμένων ψυχαῖς πάντα οἰκονομεῖται.

Ὅλως δὲ τὸ σῶμα τοῖς θνητοῖς δέδωκεν ὁ θεὸς

Iamblichi epist. ad Parmenid.

DEI fatum continentes omni pacto corrigunt. quæ quidem illorum correctio vel malorum imminutionem, vel remediū, vel etiā interitum producit. Atq. ita quamuis bonis fatum exornetur, tamē id præ confusa rerum ortus natura non apparet. Quocirca magis etiam per hanc correctionem fatum cōseruatur, eiúsq. manet varietas immutabili deorū bonitate conseruata, ne in confusum errorem defluat. Quæ cùm ita se habeant, & prouidentiæ bonitas, & animi libertas, & optima quaq. deorum gratia conseruantur.

Aristot. epistola ad Alexandrum: Alcyonio interpr.

Ad summum, quod in naui gubernator, in curru auriga, in choro præcentor, in ciuitate lex, in exercitu imperator; hoc idem in mundo est Deus: nisi quòd illis ipsis principatus laboriosus, perturbatus, & anxius est; Deo autē expers omnis mæstitiæ, laboris, nullamq́; corpori adferens imbecillitatem. Nā cùm in re immobili collocetur, omnia quò vult mouet, arbitratuq́; suo in diuersis rerū generibus & naturis versat, vt in ciuitate lex; quæ quidem cùm in animis hominum, qui eam seruant, sit immobilis, omnem remp. temperat & moderatur.

Atq. omninò mortalibus animalibus corpus per-

pœna et ineuitabili necessitate dedit Deus. siquidē natura inops & egenū est, quicquid ortū habuit.

At Deus quidē est, vt initio sermonis dixi, rerum principium. diuinus autem est mundus, & quæ in eo voluuntur omnia. Ac similiter dæmon quidem est animus, quoniam totum animal ipse monet: dæmonium autem corpus, eiusq; partes omnes. Quocirca sic hæc diuidere liceat, in Deū, diuinum, dæmonem, ac dæmonium.

Arriani lib. 1.c.11.

De diis sunt qui dicunt, non esse numen: alij esse quidem, sed ignauū & negligens, nulliq; prouidere: tertij, qui & esse & prouidere, sed magnis & cœlestibus, terrenorum autē nulli. quarti, etiā terrestribus et cœlestibus: sed in commune duntaxat, non autē vnicuiq. priuatim. quinti, quorū fuere & Vlysses et Socrates, qui asserant, se clam Deo ne moueri quidem posse. Itaq. ante omnia necessarium est, probè meditata habere hæc singula, rectène dicantur. Nam si dij non sunt: finis esse quî potest, sequi Deum? sin eùm sint, nullius rei curam gerunt: etiam sic quo pacto rectum erit? Quòd si & sunt, & curant, neq. tamen quicquā hominibus atq. adeò mihi impertiunt: quo pacto iam vel sic rectum erit? His igitur omnibus vir bonus consideratis, suum animum gubernatori vniuersitatis submittit: quemadmodū boni ciues legi ciuitatis.

Iustitiam à Deo constitutā esse ad hominū facta inspicienda, & peccata punienda. CAP. VII.

Hesiodi lib. 1.

HOC etenim statuit decretum Iuppiter ipse,
Pisces atq. feras, & aues per inane volantes,
Mordere inter se, quia ius nescire videntur:

Lib. 2.

Ritè deûm curam gerito, qui morte vacabunt.

Eurip. Menalippe.

Delicta subsilire cælo creditis
Alata, deinde & illa membranis Ioui
Aliquem exorare, illiúsq; conspectus Iouem
Humana iudicare? ne totum quidem
Cælum Ioui delicta scribenti omnium
Suffecerit, nec ipse rem considerans
Tribuere pœnam singulis. sed adest propè
Iustitia, si videre vultis, cominus.
Hæc, mulier, inimicis Dei mortalibus
Tribuere soliti. non enim prauos amant.

Eurip. Phryxo.

Quòd si quis in vito putat mortalium
Scelere peracto perpetes fallere deos,
Malè arbitratur, & arguetur criminis,
Iustitia cùm primùm repererit otium,
Pœnas malorum perpetratorum luit.
Acer deorum est ad videnda omnia oculus,
Quod nec videmus, nec itē opinamur homines.
Quicumq. primum ritè fecerit gradum,
Ne se putet vicisse, donec lineæ
Finem tetigerit, atq. vitam absoluerit.
Iustitia quamuis non volubilem tenet

ζώοις, δι' ἀΐδιαν ἀνάγκαν καὶ ἄφυκτον. φύσει γὰρ ἄπορον καὶ πτωχὸν πᾶν τὸ γενέσεως κεκοινωνηκός.

Θεὸς μὲν οὖν ἐστι, καθάπερ ἐν ἀρχᾷ τῶ λόγω εἶπον, αὐτὸς ἀρχὰ καὶ πρᾶτον· θεῖος δὲ ὁ κόσμος, καὶ τὰ ἐν αὐτῷ δινούμενα πάντα· ὡς ὁμοίως δὲ καὶ δαίμων ἐστὶν ἁ ψυχά· αὐτὰ γὰρ ἄρχει, καὶ κινεῖ τὸ διόλω ζῷον· δαιμόνιον δὲ τὸ σῶμα, καὶ τὰ τούτω δὲ πάντα, δι' ὧν οὕτω διαιρεῖν, θεὸν, καὶ θεῖον, καὶ δαίμονα, καὶ δαιμόνιον.

Περὶ θεῶν οἱ μέν τινές εἰσιν οἱ λέγοντες, μηδὲ εἶναι τὸ θεῖον· οἱ δὲ εἶναι μὲν, ἀργὸν δὲ καὶ ἀμελὲς, καὶ μὴ προνοεῖν μηδενός· τρίτοι δὲ οἱ καὶ εἶναι καὶ προνοεῖν, ἀλλὰ τῶν μεγάλων καὶ οὐρανίων, τῶν δὲ ἐπὶ γῆς μηδενός. τέταρτοι οἱ καὶ τῶν ἐπὶ γῆς, καὶ τῶν ἀνθρωπίνων, εἰς κοινὸν δὲ μόνον, καὶ οὐχὶ καὶ κατ' ἰδίαν ἑκάστου· πέμπτοι δὲ, ὧν ἦν καὶ Ὀδυσσεὺς, καὶ Σωκράτης, οἱ λέγοντες, ὅτι οὐδέ σε λήθω κινύμενος. εἴπερ οὖν ὑγιῶς λέγεται τέλος εἶναι τὸ ἕπεσθαι θεῷ, ἀναγκαῖον περὶ ἑκάστου τούτων ἐπίσκεψθαι. εἰ γὰρ μὴ εἰσὶ θεοὶ, πῶς ἐστὶ τέλος ἕπεσθαι θεοῖς; εἰ δὲ εἰσὶ μὲν, μηδενὸς δὲ ἐπιμελούμενοι, καὶ οὕτως πῶς ὑγιὲς ἔσται; ἀλλὰ δὴ καὶ ὄντων, καὶ ἐπιμελουμένων, εἰ μηδεμία διάδοσις εἰς ἀνθρώπους ἐστὶν ἐξ αὐτῶν, καὶ νὴ Δία γε καὶ εἰς ἐμὲ, πῶς ἔτι καὶ οὕτως ὑγιές ἐστι; πάντα οὖν ταῦτα ὁ καλὸς καὶ ἀγαθὸς ἐπεσκεμμένος, τὴν αὑτοῦ γνώμην ὑποτέταχε τῷ διοικοῦντι τὰ πάντα, καθάπερ οἱ ἀγαθοὶ πολῖται τῷ νόμῳ τῆς πόλεως.

Περὶ δίκης παρὰ θεῶν τεταγμένης ἐποπτεύειν τὰ ἐπὶ γῆς γινόμενα ὑπὸ τῶν ἀνθρώπων, τιμωρὸν οὖσαν τῶν ἁμαρτανόντων. κεφ. ζ'.

Τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε Κρονίων,
ἰχθύσι μὲν καὶ θηρσὶ, καὶ οἰωνοῖς πετεηνοῖς,
ἔσθειν ἀλλήλους· ἐπεὶ οὐ δίκη ἐστὶν ἐν αὐτοῖς.
Εὖ δ' ὄπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι.

Δοκεῖτε πηδᾶν τἀδικήματ' εἰς θεοὺς
πτεροῖσι, κἄπειτ' ἐν Διὸς δέλτου πτυχαῖς
γράφειν τιν' αὐτὰ, Ζῆνα δ' εἰσορῶντά νιν,
θνητοῖς δικάζειν· οὐδ' ὁ πᾶς ἂν οὐρανὸς
Διὸς γράφοντος τὰς βροτῶν ἁμαρτίας
ἐξαρκέσειεν, οὐδ' ἐκεῖνος ἂν σκοπῶν,
πέμπειν ἑκάστῳ ζημίαν· ἀλλ' ἡ δίκη
ἐνταῦθά πού 'στιν ἐγγὺς, εἰ βούλεσθ' ὁρᾶν,
ταύτας μὲν ἀνθρώποισιν ὦ γύναι θεοὶ
τοῖσι διδοῦσιν, ὡς ἂν ἐχθαίρωσ', ἐπεὶ
οὔ σφιν πονηρόν ἐστιν.

Ὅστις δὲ θνητῶν οἴεται τοὐφ' ἡμέραν
κακόν τι πράσσων τοὺς θεοὺς λεληθέναι,
δοκεῖ πονηρὰ κ' ἀδίκων ἁλίσκεται,
ὅτ' ἂν σχολὴν ἄγουσα τυγχάνῃ δίκη,
τιμωρίαν ἔτισεν ὧν ἦρξεν κακῶν.
ὀξὺς θεῶν ὀφθαλμὸς εἰς τὰ πάντ' ἰδεῖν,
ἐγὼ ἔοικεν ἐστὶν οὐχ ὁρώμενος
τοῖς ζῶσιν ἡμῖν, οὐδὲ προσδοκώμενος
ὥστε τῆς ἐπιεικείας.
μή μοι τὸ πρῶτον βῆμ' ἂν δράμῃ καλῶς,
νικᾶν δοκείτω τὴν δίκην πρὶν ἂν τέλος
γραμμῆς ἵκηται, καὶ τέλος κάμψῃ βίου.
ὁ τῆς δίκης ὀφθαλμὸς ὡς δι' ἡσύχου

λεύσσων

λεύσσων προσώπου παιδ' ὅμως ἀεὶ βλέπει.
Τὰ γὰρ περισσὰ κἀνόητα σώματα
πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις
ἔφασχ' ὁ μάντις, ὅστις ἀνθρώπου φύσιν
βλαστὼν ἔπειτα μὴ κατ' ἄνθρωπον φρονῇ.
Οὔτοι προσελθοῦσ' ἡ δίκη σε μή ποτε,
παίσει πρὸς ἧπαρ, οὐδὲ τῶν ἄλλων βροτῶν
τὸν ἄδικον, ἀλλὰ σιγῇ καὶ βραδεῖ ποδὶ
στείχουσ' ἁμάρψει τοὺς κακοὺς ἀεὶ βροτῶν.
Ὅστις δὲ θνητῶν μέμφεται τὰ θεῖ', ὅτι
οὐκ εὐθύς, ἀλλὰ τῷ χρόνῳ μετέρχεται
τοὺς μὴ δικαίους, προφάσεως εἰσακουσάτω·
εἰ μὲν γὰρ παραυτίκ' ἦσαν αἱ τιμωρίαι,
πολλοὶ διὰ φόβον, κοὐ δι' εὐσέβειαν τρόποις,
θεοὺς ἂν ηὔξατο. νῦν δὲ τῆς τιμωρίας
ἄπωθεν οὔσης, τῇ φύσει χρῶνται βροτοί.
ὅταν δὲ φωραθῶσιν, ὀφθέντες κακοί,
τίνουσι ποινὰς ὑστέροισιν ἐν χρόνοις.
Τὴν τοι δίκην λέγουσι παῖδ' εἶναι Διός,
ἐγγύς τε ναίειν τῆς βροτῶν τιμωρίας.
Δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται.
Δίκα τοι δίκα χρόνιος· ἀλλ' ὅμως ὑποπεσοῦσ'
ἔλαθεν ὅταν ἔχῃ τιν' ἀσεβῆ βροτῶν.
τό τοι κακὸν ποδώκες ἔρχεται βροτοῖς.
ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι.
Τὴν δίκην λέγουσι παῖδ' εἶναι χρόνου·
δείκνυσι δ' ἡμῶν ὅστις ἐστὶ κακός.
Ὦ Ζεῦ πάτερ, Ζεὺς μὲν οὐρανοῦ κράτος,
σὺ δ' ἔργ' ἐπ' ἀνθρώπων ὁρᾷς,
λεωργὰ κἀθέμιστα· σοὶ δὲ θηρίων,
ὕβρις τε καὶ δίκη μέλει.
Τὰ γὰρ οὐκ ὀρθῶς πρασσόμεν', ὀρθῶς
τοῖς πράσσουσι κακὸν ἦλθε.
καὶ ταῦτα μὲν τοιαῦθ' ὅταν δέ τις θεῶν
βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.
Τὸ χρύσεον δὲ τᾶς δίκας
δέδορκεν ὄμμα, τὸν δ' ἄδικον ἀμείβεται.
Καὶ μοίρας καὶ κῆρας ἐγείνατο νηλεοποίνους,
αἵ τ' ἀνδρῶν τε θεῶν τε παραιβασίας ἐφέπουσαι
οὐδέποτε λήγουσι θεαὶ δεινοῖο χόλοιο,
πρὶν ἀποδώωσι κακὴν ὄπιν ὅστις ἁμάρτῃ.
εἰ δεινὰ ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ.
δίκας δ' ἐξέλαμψεν ὅσιον φάος.
Οὐ γάρ ἐστιν ἀδικοῦντα, καὶ ἐπιορκοῦντα, καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι.
ὑπόκειται διὰ τὰς τῆς γενέσεως ἐνεργείας, τῇ δὲ δίκῃ διὰ τὰς ἐν τῷ βίῳ ἁμαρτίας.
Ἔτι προσδιαληπτέον καὶ ταῦτα περὶ τῶν θεῶν, ὡς εἰσὶν ἄτρεπτοι, καὶ ἀραρότες τοῖς κρίμασιν, ὥστε τῶν δοξάντων μηδέποτε ἀπ' ἀρχῆς ἐξίστασθαι. μία γάρ τις οὖσα τῶν ἀρετῶν καὶ ἡ ἀμεταπτωσία καὶ βεβαιότης οὐκ εἰκὸς οὐχ ἥκιστα καὶ θεοῖς εἶναι παρέχουσαν τὸ ἱδρυμένον καὶ ἔμπεδον τῶν ἅπαξ αὐτοῖς δοξάντων. ἐξ οὗ δῆλον, ὡς οὐδὲ τὰς κολάσεις, ἃς ἔκρινέν ποτε ἐπιθεῖναι τὸ δαιμόνιον, πιθανὸν παριέναι. καὶ γὰρ ἂν λογίσασθαι ῥᾴδιον, ὡς εἰ μετέβαλλον οἱ θεοὶ τὰς αὑτῶν κρίσεις, καὶ ὃν ἔγνωσαν κολάσαι παρίεσαν ἀκόλαστον, οὔτε καλῶς καὶ δικαίως διοικοῖεν ἂν τὸν κόσμον, οὔτε ἀπολογισμὸν εἰκότα φέρειν ἂν δύναιντο μετανοίας, καὶ τὰ τοιαῦτα ἔοικεν

Faciem, tamen semper nihil non conspicit.
Etenim superuacua & molesta corpora (Sophoclis Aiace.)
Grauibus deûm vi recidere infortuniis
Vates ferebat, si quis humana vice
Prognatus, haud humana sapiat ceterùm.
Aggressa nullo Iustitia te tempore (Euripidis.)
Iecur lacesset, vel alium mortalium
Nefarium, tacitè sed ac tardo pede
Vadens, malignos semper insequitur viros.
Quisquis deos mortalis increpat, quia (Theodectis)
Nunquam statim, verùm diu pòst puniunt
Nefariorum scelera, causam intelligat.
Si namq. confestim subiret vltio,
Multi metu, non moribus ducti piis,
Colerent deos. at vltione nunc procul
Sita, sequuntur quisq. naturam suam.
Sed cùm scelesti deprehensi patuerint,
Dant postero pœnas abundè tempore.
Iustitia fertur ipsius filia Iouis, (Euripidis.)
Et propter vltionem agere mortalium.
Qui perpetrauit, cogitur etenim pati. (Æschyli.)
Iustitia certè iustitia sera quidem, tamē subsidens latet, cùm est impium nacta virum. (Euripidis Antiopa.)
Velox quidem mortalibus venit malum.
Nam semper ex voto Iouis tali cadunt.
Iustitia fertur filia esse Temporis, (Eurip. Antiope.)
Quicunq. nostrûm nam sit ostendens malus.
Saturnie pater, tu quidem cæli tenes (Æschyli.)
Imperia, tu verò vides mortalium
Facta improba atq. iniusta. namq. moribus
Viuunt ferarum, quæ colunt iniuriam.
Nam quæ haud rectè facimus, rectè (Eurip. Archelao.)
Facientibus adsunt pœnæ.
Atq. hæc habent sic. ceterùm si quis deûm (Sophoclis Electra.)
Noceat, fugare nec potens ipse valeat.
Iustitia aureis
Cernit oculis, & improbum punit virum.
Et Parcas & fata immitia protulit orbi, (Hesiodi Theogon.)
Quæ noxas insectantur hominumq. deûmq.
Nec priùs ingentem ponunt iram atq. furorem,
Præmia retulerint omni quàm praua nocenti.
Si perpetrasti mala, pati debes mala.
Iustitiæ autem sacrum effulsit lumen.
Nemo per iniuriam, periurium, & mendaciū firmam sibi potest comparare potentiam. (Demosthenis Olynth. secunda.)
• propter ortus rerum effectiones est obnoxia, iustitiæ autem propter vitæ delicta.
Hoc quoq. inter cetera existimandum de diis est, immutabiles eos esse, ac iudiciis insistentes, ita vt sententiam nunquam mutent. Cùm enim de virtutibus vna sit firmitas & constantia, eam inter deos maximè cerni sit verisimile, quæ sententias ipsorum immutabiles reddit. Ex quo patet, ne pœnas quidem, quas alicui numen statuit infligere, posse deuitari. Etenim si mutarent sua dij consilia, quemq. punire statuerant, impunitum dimitterent, nec rectè atque iustè mundum gubernarent, nec pœnitentiæ defensionem possent probabilem nancisci. Hæc enim videtur temerè (Hierocles de vsu deorū.)

&

& inconsideratè dicere poetica,

Homeri.

Atq. illos extis homines, votisq. superbis,
Liboq. & nidore simul placare precantes,
Tentant, cùm rectò quis vitæ tramite cessit.
& illud: . Nam dij mutantur & ipsi:

Iliad. ι.

ac si quid horum simile protulit.

Ibidem.

Ne illud quidē omittendum est, quamuis malorum non sint auctores dij, tamen ea quibusdam conciliare, et fortuna corporisq. incommodis meritos afficere, non vlla malignitate ductos, aut quòd cum ærumnis homines conflictari æquum censeant, sed vindictæ causa. Nam quemadmodū pestilentia, siccitates, eluuiones, terra motus, ac similia ferè quidē de natura causis existunt, nonnunquam etiam à diis emittuntur, cùm delicta multorum publicè puniri tempus postulat: ita singulis etiam dij interdum fortunæ corporisve cōciliāt incommoda, quibus ipsi quidem puniantur, admoneantur autem reliqui.

Plat. de leg. quarto.

Deus, ò viri, sicut antiquus quoq. sermo testatur, principium, finem, et media rerū omniū continens, rectà peragit secundū naturā circuiens.

Omnium impiorum rectè censeatur esse pessimus.

Porphyrij de Styge.

Qui sub Antonini imperio Pardesanem Emisis in Syriam delatū conuenère, narrarunt se inde potum hausisse.

De necessitate, qua cuncta necessariò secūdum deorum voluntatem fiunt.

CAP. VIII.

Moschionis Telepho.

O sola diis & imperans mortalibus,
Homuncionum Parca inexorabilis,
Necessitatis quæ impetum ceruicibus
Nostris reponis seruitutis & iugum.
Necessitati non procul abest inopia.
Necessitati reliqua cedunt omnia.
Cum necessitate ne dij quidem pugnant.
Necessitas est bellicosissima dea.
Haud vlla plus necessitate lex valet.

Eurip. Alcestide.

Ego & per Musas altè vagatus, & plurimis perlectis scriptis, nihil necessitate potius inueni, nec vllum eius remedium.

Philemo. Mercatore.

Nam forte virum domat vsq. necesse,
Quod nec cælestes formidat, qui per olympum
Extra difficiles ærumnas tecta locarunt.

Sophoclis Thyeste.

Necessitati nec resistit Marspiter.

Euripides.

Necessitatis est ineffabile iugum.

Thales interrogatus, quid esset fortissimum, Necessitas, respondit. nam domat omnia. Necessitas est firmum iudiciū, & immutabilis prouidētiæ potestas. Pythagoras necessitatem dixit mundo circumdatam esse. Parmenides ac Democritus omnia necessitate fieri dixerunt, eamq. et fatū esse, & iustitiam, & prouidentiam mundi effectricem.

Leucippus.

Similiter Leucippus, cuius hæc sunt libro de Mente verba: Nihil frustrà fit, sed ratione ac necessitate omnia. Plato nunc materiam, nunc opificem ad materiam habitū definit; et alia proui-

αὐτοσχεδίως καὶ μετ' οὐδενὸς λέγει ἡ ποιητική,

Καὶ θυσίῃσι καὶ εὐχωλῇς ἀγανῇσι,
λοιβῇ τε, κνίσῃ τε παρατρωπῶσ' ἄνθρωποι
λισσόμενοι, ὅτε κέν τις ὑπερβαίῃ, καὶ ἁμάρτῃ.

καὶ τὸ, Στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί. καὶ ὅλως τι πᾶν ἐστι τούτοις εἴρηται παραπλησίως.

Ἀλλ' οὐ μὴν οὐδ' ἐκεῖνο παρετέον, ὡς οὐ καὶ μὴ κακῶν αἴτιοι τυγχάνουσιν οἱ θεοὶ, τῶν γε τοιούτων ἔνια προσάπτουσί ποτε, καὶ περιβάλλουσιν ἀξίους σωματικαῖς τε ἐλαττώσεσι, καὶ τῶν ἐκτὸς οὐ κακοηθείᾳ χρώμενοι· κἀξεπίτηδες δυσχρηστίαις ἀνθρώπων οἰόμενοι δεῖν, ἀλλ' ἐν τρόπῳ κολάσεως. καθάπερ γὰρ λοιμοὶ καὶ αὐχμοὶ, ἔτι δὲ ἐπομβρίαι καὶ σεισμοὶ, καὶ πᾶν τὸ τοιόνδε τὰ μὲν, πολλὰ γίγνεται δι' αἰτίας ἑτέρας τινὰς φυσικωτέρας, ἔσθ' ὅτε καὶ ὑπὸ θεῶν, ἐπειδὰν καιρὸς ᾖ δημοσίᾳ καὶ κοινῇ τὰ πολλῶν ἁμαρτήματα κολασθῆναι, τὸν αὐτὸν τρόπον καὶ πρὸς ἕνα χρῶνται ποτὲ θεοὶ σωματικοῖς ἐλαττώμασι καὶ τοῖς ἐκτὸς, αὐτοῦ μέντοι κόλασιν ὅπως ὀφλῇ δίκας.

Ὁ μὲν δὴ θεὸς, ὥσπερ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν, καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων, εὐθείᾳ περαίνει κατὰ φύσιν περιπορευόμενος.

Πάντων ἂν τῶν ἀσεβῶν κακεργάτης δικαιότατα, κάκιστός τε καὶ ἀσεβέστατος εἴη.

Ἰδοὺ οἱ ἐπὶ τῆς βασιλείας τῆς ἀντωνίνου τῶν ἐξ ἐμισηνῶν εἰς τὴν συρίαν ἀφικομένων βαρδησάνῃ τὸ ἐκ τῆς μεσοποταμίας εἰς λίθον ἀφικόμενοι ἐξηγήσαντο, κἀκ τούτου ποτὸν ἀφύσασθαι.

Περὶ ἀνάγκης, καθ' ἣν ἀπαραιτήτως τὰ κατὰ τὴν τῶν θεῶν γίνεται βούλησιν. κεφ. η.

Ὦ καὶ θεῶν κρατοῦσα καὶ θνητῶν μόνη,
μοῖρα λιταῖς ἄτρωτε δυστλήτων βροτῶν,
πᾶν τὸ λῆμ' ἀνάγκης σύγγονον ἣ κατ' αὐχένων
*ἡμερῶν ἐρείδεις, τό τε λατρείας ζυγόν·
χρεία δὲ ἀνάγκης οὐκ ἀπῴκισται πολύ.
πρὸς τὴν ἀνάγκην πάντα τἄλλ' ἐστ' ἀσθενῆ.
ἀνάγκῃ δ' οὐδὲ θεοὶ μάχονται.
ὁσία δ' ἀνάγκη πολεμικωτάτη θεός.
οὐδεὶς ἀνάγκης μεῖζον ἰσχύει νόμος.

ἡμῶν lego.

Ἐγὼ καὶ διὰ μούσας καὶ μετάρσιος ᾖξα, καὶ πλείστων ἁψάμενος λόγων, κρεῖσσον οὐδὲν ἀνάγκας εὗρον, οὐδέ τι φάρμακον.

Ἰσχυρὰ γὰρ ἐπικρατεῖ ἀνδρὸς ἀνάγκη,
ἧς οὐδ' ἀθανάτους ὑποδείδιεν, οἵ τ' ἐν ὀλύμπῳ
ἔκτοθεν χαλεπῶν ἀχέων οἴκους ἐκάμοντο.

Πρὸς τὴν ἀνάγκην οὐδ' ἄρης ἀνθίσταται.

Τὸ τῆς ἀνάγκης οὐ λέγειν, ὅσον ζυγόν.

Θάλης ἐρωτηθεὶς τί ἰσχυρότατον, εἶπεν, ἀνάγκη· *τί γὰρ πάντων. ἀνάγκη ἐστὶ κρίσις βεβαία καὶ ἀμετάτρεπτος δύναμις προνοίας. Πυθαγόρας ἀνάγκην ἔφη περικεῖσθαι τῷ κόσμῳ. Παρμενίδου, καὶ Δημοκρίτου· οὕτω πάντα κατ' ἀνάγκην. τὴν δ' αὐτὴν εἶναι εἱμαρμένην, καὶ δίκην, καὶ πρόνοιαν, καὶ κοσμοποιόν. Λευκίππου· πάντα κατ' ἀνάγκην· τὴν δ' αὐτὴν ὑπάρχειν εἱμαρμένην. λέγει γὰρ ἐν τῷ περὶ νοῦ· οὐδὲν χρῆμα μάτην γίγνεται· ἀλλὰ πάντα ἐκ λόγου τε, καὶ ὑπ' ἀνάγκης. Πλάτων ὅτι μὲν τὴν ὕλην, ὅτι δὲ τὴν τοῦ ποιοῦντος πρὸς τὴν ὕλην σχέσιν. καὶ τὰ μὲν

κρατεῖ lego pro τί.

εἰς

εἰς πρόνοιαν ἀνάγκην αἰτίαν χρησικὴν τῆς ἀρχῆς καὶ τῆς στοιχείων. λέγει γοῦν ἐν τῷ τιμαίῳ. μεμιγμένη γὰρ οὖν ἡ τοῦδε τοῦ κόσμου γένεσις, ἐκ ἐξ ἀνάγκης τε καὶ νοῦ συστάσεως ἐγεννήθη, οὐδὲ ἀνάγκης ἄρχοντος.

Ἐμπεδοκλῆς αἰτίαν χρησικὴν τὴν ἀρχὴν καὶ τὴν στοιχείων.

Ἑρμ. πρὸς τ. υἱόν.

Ὀρθῶς μοι πάντα εἶπας ὦ πάτερ. ἀλλ' ἔτι μοι ἀνάμνησον, τίνα ἐστὶ τὰ κατὰ πρόνοιαν, καὶ τίνα κατ' ἀνάγκην, ὁμοίως καὶ καθ' εἱμαρμένην. ἔφην εἶναι ἐν ἡμῖν ὦ τάτ, τρία εἴδη ἀσωμάτων, καὶ τὸ μέν τι ἐστὶ νοητὸν, τοῦτο μὲν οὖν ἀχρώματον, ἀσχημάτιστον, ἀσώματον ἐξ αὐτῆς τῆς πρώτης καὶ νοητῆς οὐσίας. εἰσὶ δὲ καὶ ἐν ἡμῖν τούτῳ, ἐναντίαι σχηματότητες, ὃ ὑποδέχεται τὸ γονοῦ κινούμενον ὑπὸ τῆς νοητῆς οὐσίας, καὶ ὑποδεχθὲν, εὐθέως μεταβάλλεται εἰς ἕτερον εἶδος κινήσεως. ὅπερ δὲ εἴδωλόν ἐστι τοῦ νοήματος τοῦ δημιουργοῦ. τρίτον δ' ἐστὶν εἶδος ἀσωμάτων ὃ περὶ τὰ σώματά ἐστι συμβεβηκὸς, τόπος, χρόνος, κίνησις, σχῆμα, ἐπιφάνεια, μέγεθος, εἶδος. καὶ τούτων εἰσὶ διάφορα δύο. ἃ μὲν γάρ ἐστιν αὐτῶν ἰδίως ποιά, ἃ δὲ τοῦ σώματος. τὰ μὲν ἰδίως ποιά, τὸ σχῆμα, ἡ χρόα, τὸ εἶδος, ὁ τόπος, ὁ χρόνος, ἡ κίνησις. τὰ δὲ τοῦ σώματος ἴδιά ἐστι τὸ ἐσχηματισμένον σχῆμα, καὶ τὸ κεχωρισμένον χρῶμα. ἔστι δὲ καὶ ἡ μεμορφωμένη μορφὴ, καὶ ἡ ἐπιφάνεια, καὶ τὸ μέγεθος, ταῦτά ἐστι τούτων ἀμέτοχα. ἡ μὲν οὖν νοητὴ οὐσία πρὸς τῷ θεῷ γενομένη, ἑαυτῆς ἐξουσίαν ἔχει, καὶ τὸ σώζειν ἕτερον, αὐτὴν σώζουσαν, ἐπειδὴ αὐτὴ ἡ οὖσα ὑπὸ ἀνάγκην οὐκ ἔστιν. ὑπολειφθεῖσα δὲ ὑπὸ τοῦ θεοῦ, αἱρεῖται τὴν σωματικὴν φύσιν, καὶ ἡ αἵρεσις αὐτῆς κατὰ πρόνοιαν, ὅπερ δὲ τοῦ κόσμου γίνεται, τὸ δὲ ἄλογον πᾶν κινεῖται πρός τινα λόγον. καὶ ὁ μὲν λόγος, κατὰ πρόνοιαν, τὸ δὲ ἄλογον κατὰ τὴν ἀνάγκην. τὰ δὲ περὶ τὰ σώματα συμβεβηκότα καθ' εἱμαρμένην καὶ αὕτη ἐστὶν ὁ λόγος τῶν κατὰ πρόνοιαν, καὶ ἀνάγκην, καὶ καθ' εἱμαρμένην.

dentiæ, alia necessitati tribuit. Sic enim ait in Timæo: Mundi enim huius generatio ex necessitatis mentisq́; coitu mixta est.

Empedocles causam principiis & elementis vtendi peritam dixit.

Mercurij ad filium.

Rectè cuncta, pater, dixisti. iam hoc insuper doce, quæ ad prouidentiam, quæ ad necessitatem, quæ ad fatum pertineant. Tria dixi in nobis esse, Tati, incorporeorum genera. Horum primum est, quod intellectu percipitur, & colore, figura, corporeq́; caret, de prima intellectus natura profectũ. Sunt autem in nobis quoq. his respondentes quædam figuræ, illius capaces. siquidem quod ab intellectus natura motum à nobis suscipitur, statim in aliud motus genus conuertitur: id quod simulacrum est intellectus opificis. Tertium incorporei genus est, quod corporibus adiunctum est, vt tempus, locus, motus, figura, superficies, magnitudo, forma. Atque horum sunt species duæ. siquidem quædam propriè sunt qualia, quædam corporis. Et in illis quidem recensentur figura, color, forma, tempus, locus, motus: in his autem figura figurata, color coloratus, forma formata, superficies, & magnitudo. quæ non sunt horum capacia. Atque intellectus quidẽ natura, cum diuinitate coniuncta, sibi ipsi potest imperare, aliumq́; seruare, quoniam necessitati non est obnoxia. Diuinitate autem relicta, corpoream naturam suscipit, eiusq́; electio ad prouidentiam pertinet. Muta denique omnia ad rationem quandam mouētur. Ac ratio quidem ad prouidentiam refertur, muta autẽ ad necessitatem, corporum autem adiuncta ad fatũ. Atq. hæc est eorum, quæ ad prouidentiam, necessitatem, ac fatum pertineant, explicatio.

Περὶ εἱμαρμένης, καὶ τῆς τῶν γινομένων εὐταξίας. κεφ. θ'.

Ὁμήρ. Ἰλιάδ.

Μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλὸν, ἐπὴν τὰ πρῶτα γένηται.

Εὐριπ. Ἀνδρομέδ.

Τὸ δαιμόνιον οὐχ ὁρᾷς ὅπη μοίρᾳ διεξέρχεται, στρέφει δ' ἄλλως ἄλλως εἰς ἁμέραν.

Βακχυλίδ.

Θνητοῖς οὐκ αὐθαίρετοι οὔτ' ὄλβος οὔτ' ἄκαμπτος ἄρης, οὔτε πάμφθερσις στάσις. ἀλλ' ἐπιχρίμπτει νέφος ἄλλοτ' ἐπ' ἄλλαν γαῖαν ἁ πάνδωρος αἶσα.

ἄλλο, Pharnesij codex. μενάνδρου.

Ἅπαντι δαίμων, ἀνδρὶ συμπαρίσταται,
εὐθὺς γενομένῳ, μυσταγωγὸς τοῦ βίου.

Ἡσιόδ. θεογον.

Καὶ μοίρας, καὶ κῆρας ἐγείνατο νηλεοποίνους,
κλωθώ τε λάχεσίν τε καὶ ἄτροπον, αἵτε βροτοῖσι
γεινομένοισι διδοῦσιν ἔχειν ἀγαθόν τε κακόν τε.

Εὐριπ. Ἡρακλείδ.

Οὔ τινά φημι θεῶν ἄτερ οὔτ' ὄλβιον, οὔτε βαρύποτμον ἄνδρα γενέσθαι. μόρσιμα δ' οὔτε φυγεῖν θέμις, οὔτε σοφία τις ἀπώσεται. ἀλλὰ μάταν πρόθυμος ἀεὶ πόνον ἕξει.

ἐκ τοῦ Βίωνος Ὑακίνθου.

Ἀμφασία τὸν Φοῖβον ἕλε τόσον ἄλγος ἔχοντα·
δίζετο φάρμακα πάντα, σοφὰν δ' ἐπεμαίετο τέχναν·
χρῖεν δ' ἀμβροσίᾳ καὶ νέκταρι χρῖεν ἅπασαν
ὠτειλάν, μοίραισι δ' ἀναλθέα φάρμακα πάντα.
μόνη γὰρ ἐν θεοῖσιν οὐ δαμάζεται

De fato, ac rerum recto ordine.

CAP. IX.

Hom. Iliad.

AT fata haud vllum dico vitasse virorum,
Prauum siue bonum, cùm primùm est editus orbi.

Eurip. Andromeda.

Non vides quò Parca tendat, aliter alios quotidie immutans.

Bacchylidis.

In hominum potestate non est nec felicitas, nec Mars intractabilis, nec perniciosa seditio: sed nubem nunc his nunc illis immittit omnia donans fatum.

Menandri.

Cuiuis genius adiungitur mortalium
Statim creato, qui illius vitam regat.

Hesiodi Theogon.

Et Parcas, & fata immitia protulit orbi,
Clothóq́; et Lachesin, atq. Atropō ordine, quæ tres
Prognatis pariter bonaq́; et mala cernere donāt.

Eurip. Heraclidis.

Neminem aio diis inuitis vel felicem vel infelicem existere. fatum autem nec vitare fas est, nec vlla repellet prudentia: sed frustrà, qui conabitur, semper laborabit.

Bionis in Hyacinth.

Inuasit Phœbum stupor ingens tanta dolentē:
Pharmaca quærebat, doctamq́; admouerat artē:
Vnxit & ambrosia totum ille & nectare vulnus
Vnxit. sed Parcis sunt irrita pharmaca cuncta.
Nam sola nec domatur à cælestibus.

Parca,

Parca, nec hominibus, ipsa sed pares sibi.
O Parca venatrix boni simul & mali.

Eurip. Peleo.

Audite Parcæ, quæ secus Iouis thronum proximè sedetis.

Sophoclis Phædra.

Magna certaque variorum consiliorum decreta radiis texit adamantinis Parca.

Clotho ac Lachesis, pulcræ Noctis filiæ, precantes exaudite, cælestes inferæque deæ tremendæ: mittite nobis probam legum constitutionē, eiusque sorores iustitiam & pacem; & vrbem hanc à cladibus conseruate.

Viuisne, nec tellure periisti situs.
Fortuna namq. vacua fato nil valet.

Mercurij de fato.

Septem multiuagæ per olympi culmina stellæ
Voluuntur, eumque his totum delabitur æuum:
Noctem Luna regens, Saturnus, Phœbus amicus,
Dux thalami Cytherea, ferus Mars, conditor Hermes,
Iuppiter & princeps, naturæ qui dedit ortum.
Iidem sunt homines sortiti, queis simul insunt
Luna, Venus, Mars, Sol, Saturnus, Iuppiter, Hermes;
Aethereo quoniam de flumine traximus iram,
Sermonē, lacrymas, risum, ortū, somnū, et orexim.
Saturnus lacryma est, sermo Hermes, Iuppiter ortus,
Et somnus Luna, iraque Mars, Cythereaque orexis,
Et Phœbus risus. namq. illi cuncta decenter
Et mens mortalis ridet, mundusque perennis.

• non differre à fato, id quod necessitate factum esset partiū compositione cohærēs. Heraclitus naturam fati definiuit rationem per naturam Vniuersi pertinentem. hæc autē æthereum est corpus, ortus rerum semen, certaque periodi mensura. omnia autem fato fieri, quæ sit eadem necessitas. ait enim, Nam fatum prorsus existit. Plato rationem æternam dixit fati naturam, & perpetuam Vniuersi naturæ legem. Posidonius à Ioue tertiū fecit. siquidem primum esse Iouem, alteram naturam, tertium fatū. Zeno Stoicus libro de Natura, vim materiæ secundū eadem motricem dixit, nō multum à prouidentia naturaque distantem. Panætius Stoicus Deum asseruit fatū. Chrysippus vim spiritalem definiuit, ordine Vniuersum gubernantē. Et hoc quidē altero de Mundo scripsit: altero autē de • & libro de Fato, atq. alibi sparsim variis modis definit, nunc mundi rationem vocans, nunc mundi prouidētia gubernati rationem, nunc eam rationem, qua & præterita fuerint, & sint præsentia, & cōtingere debeant futura. Rationis autē loco veritatem, causam, naturam, necessitatem, aliasque voces vsurpat, tanquam eidem rei pro aliis atq. aliis propositis tributas. Parcas autem vocari propter ipsarum distributionem, Clotho, Lachesin, atq. Atropon: Lachesin quidem, quòd sua singulis tanquam sorte oblata tribuat; Atropon autem, quoniam sit immutabilis ab omni tempore singulorum distributio; Clotho verò, quòd fatorū

μοῖρ' οὐδ' ἐν ἀνθρώποισιν, ἀλλ' αὐτῇ κρατεῖ.
ὦ μοῖρα κεδνῶν καὶ κακῶν κυνηγέτι.

Κλῦτε μοῖραι Διὸς αἵ τε παρὰ θρόνον ἀγχοτάται θεῶν ἑζόμεναι.

Περιώσια ποικίλα τε μήδεα παντοδαπᾶν βουλᾶν ἀδαμαντίναις ὑφαίνετε κερκίσιν αἶσαι.

Κλωθὼ Λάχεσίς τ' εὐώλενοι κοῦραι νυκτὸς εὐχομένων ἐπακούσατε οὐράνιαι, χθόνιαί τε δαίμονες, ὦ πανδείματοι· πέμπετ' ἄμμι ῥοδόκολπον εὐνομίαν, λιπαροθρόνους τ' ἀδελφὰς Δίκαν, καὶ στεφανηφόρον εἰρήναν· πόλιν τε τάνδε βαρυφρόνων λελάθοιτε συντυχιᾶν.

Ἔζησ' ἄρα, οὐδὲ γῆς ἔνερθ' ἔχου θανών·
οὐ γὰρ παρὰ μοίρας ἡ τύχη βιάζεται.

Ἑπτὰ πολυπλανέες κατ' ὀλύμπιον ἀστέρες οὐδὸν εἰλεῦνται μετὰ τοῖσιν, ἀεὶ δ' ἐπινέσεται αἰὼν·
νυκτιφανὴς μήνη, ἥλιος ἡδύς,
στυγνὸς ἔρως παφίη, θρασὺς ἄρης, εὔπτερος ἑρμῆς,
καὶ ζεὺς ἀρχηγέτης, ὅθεν φύσις ἐβλάστησεν.
οἱ δ' αὐτοὶ μερόπων ἔλαχον γένος, ἔστι δ' ἐν ἡμῖν
μήνη, ζεύς, ἄρης, παφίη, κρόνος, ἥλιος, ἑρμῆς·
τοὔνεκ' ἀπ' αἰθερίου μεμερίσμεθα πνεύματος ἕλκειν,
δάκρυ, γέλωτα, χολήν, γένεσιν, λόγον, ὕπνον, ὄρεξιν.
δάκρυ μέν ἐστι κρόνος, ζεὺς ἡ γένεσις, λόγος ἑρμῆς,
θυμὸς ἄρης, μήνη δ' ἄρ' ὕπνος, κυθέρεια δ' ὄρεξις,
ἠέλιος τε γέλως· τούτῳ γὰρ ἅπαντα δικαίως
καὶ θνητὴ διάνοια γελᾷ, καὶ κόσμος ἀπείρων.

μὴ διαφέρειν τῆς εἱμαρμένης τὸ κατηναγκασμένον, κατ' ἐπιπλοκὴν τῶν μερῶν συνηρτημένην. Ἡράκλειτος οὐσίαν εἱμαρμένης ἀπεφαίνετο λόγον τὸν διὰ οὐσίας τοῦ παντὸς διήκοντα· αὕτη δ' ἐστὶ τὸ αἰθέριον σῶμα, σπέρμα τῆς τοῦ παντὸς γενέσεως, καὶ περιόδου μέτρον τεταγμένης. πάντα δὲ καθ' εἱμαρμένην, τὴν δὲ αὐτὴν ὑπάρχειν ἀνάγκην· γράφει γοῦν, ἔστι γὰρ εἱμαρμένη πάντως. Πλάτων λόγον ἀΐδιον τὴν οὐσίαν τῆς εἱμαρμένης, καὶ νόμον ἀΐδιον τῆς τοῦ παντὸς φύσεως. Ποσειδώνιος τρίτην ἀπὸ διός. πρῶτον μὲν γὰρ εἶναι τὸν δία, δεύτερον δὲ τὴν φύσιν, τρίτην δὲ τὴν εἱμαρμένην. Ζήνων ὁ στωικὸς ἐν τῷ περὶ φύσεως, δύναμιν κινητικὴν τῆς ὕλης κατὰ ταὐτὰ καὶ ὡσαύτως· ἣν τινα μὴ διαφέρειν πρόνοιαν καὶ φύσιν καλεῖν. Παναίτιος ὁ στωικὸς θεὸν ἀπεφαίνετο τὴν εἱμαρμένην. Χρύσιππος δύναμιν πνευματικὴν τὴν οὐσίαν τῆς εἱμαρμένης, τάξει τοῦ παντὸς διοικητικήν. τοῦτο μὲν οὖν, ἐν τῷ δευτέρῳ περὶ κόσμου, ἐν δὲ τῷ δευτέρῳ περὶ • καὶ ἐν τοῖς περὶ τῆς εἱμαρμένης, καὶ ἐν ἄλλοις σποράδην πολυτρόπως ἀποφαίνεται, λέγων· εἱμαρμένη ἐστὶν, ὁ τοῦ κόσμου λόγος, ἢ λόγος τῶν ἐν τῷ κόσμῳ προνοίᾳ διοικουμένων· ἢ λόγος καθ' ὃν τὰ μὲν γεγονότα γέγονε, τὰ δὲ γινόμενα γίνεται, τὰ δὲ γενησόμενα γενήσεται. μεταλαμβάνει δ' ἀντὶ τοῦ λόγου, τὴν ἀλήθειαν, τὴν αἰτίαν, τὴν φύσιν, τὴν ἀνάγκην· προστιθεὶς καὶ ἑτέρας ὀνομασίας, ὡς ἐπὶ τῆς αὐτῆς οὐσίας τασσομένας καθ' ἑτέρας, καὶ ἑτέρας ἐπιβολάς. μοίρας δὲ καλεῖσθαι ἀπὸ τοῦ κατὰ αὐτὰς διαμερισμοῦ, κλωθὼ, καὶ λάχεσιν, καὶ ἄτροπον· λάχεσιν μὲν, ὅτι οἷον κλήρῳ λελόγχασιν ἕκαστα κατὰ τὸ δίκαιον ἀπονέμεται. ἄτροπον δὲ, ὅτι μετάθετος καὶ ἀμετάβλητός ἐστιν ὁ καθ' ἕκαστα διορισμὸς ἐξ ἀϊδίου χρόνου· κλωθὼ δὲ, ὅτι ἡ κατὰ τὴν εἱμαρμένην διανέμησις, καὶ τὰ γινόμενα τοῖς κλωθομένοις παραπλη-

ρεπληκτίως διεξάγεται κατὰ τὴν τιμολογικὴν ἐξήγησιν τῶν ὀνομάτων ἅμα καὶ τῶν πραγμάτων συμπαρισταμένων ἀκριβῶς περὶ τῆς ὅλης οἰκουμένης.

ratio filis contortis non malè respondeat, rebus pariter ac nominibus secundum etymologicā interpretationem concurrentibus. *ἐτυμολογικὴν lego pro τιμολογικὴν.*

Ἑρμοῦ ἐκ τῶν πρὸς Ἄμμωνα.

Καὶ ἡ μὲν διακρατοῦσα τὸν ὅλον κόσμον, πρόνοιά ἐστιν· ἡ δὲ συνέχουσα καὶ περιέχουσα ἀνάγκη ἐστίν, εἱμαρμένη δὲ ἄγει καὶ περιάγει πάντα καταναγκάζουσα. φύσις γάρ ἐστιν αὐτῆς τὸ ἀναγκάζειν αἰτία γενέσεως καὶ φθορᾶς βίου. ὁ μὲν οὖν κόσμος, πρῶτος ἔχει τὴν πρόνοιαν· πρῶτος γὰρ αὐτῆς τυγχάνει· ἡ δὲ πρόνοια ἐξήπλωται οὐρανῷ· διότι καὶ θεοὶ περὶ αὐτὸν στρέφονται, καὶ κινοῦνται ἀκάματον καὶ ἄπαυστον κίνησιν ἔχοντες, εἱμαρμένη δὲ διό τι καὶ ἀνάγκη. καὶ ἡ μὲν πρόνοια, προνοεῖ, εἱμαρμένη δὲ αἰτία ἐστὶ τῆς τῶν ἀστέρων διαθέσεως. οὗτος νόμος ἄφυκτος, καθ' ὃν πάντα τέτακται.

Ac prouidentia quidem uniuersum gubernat mundum, continet autem necessitas, fatum verò circumagit, cogens omnia (siquidem hæc est ipsius natura) ortus rerum atque interitus causa. Mundus igitur prouidentiam primus habet. eademq́ per cælum diffusa, dij circum illud perpetuo motu voluūtur. fatum autem necessitatem sequitur. Ac prouidentia quidem prouidet, fatum verò situs astrorum causam continet. quæ quidem lex est omnium ordinis perpetua. *Mercurij ad Ammonē.*

ἐκ τῆς Ἰαμβλίχου πρὸς Μακεδόνιον ἐπιστολῆς.

Πάντα μὲν ὄντα τῷ ἑνί ἐστιν ὄντα, καὶ γὰρ αὐτὸ τὸ πρῶτον ὂν ἀπὸ τοῦ ἑνὸς ἐξ ἀρχῆς παράγεται, πολὺ δὲ διαφερόντως τὰ ὅλα αἴτια τῷ ἑνί, τὸ δύναμιν ποιεῖν παραδέχεται, καὶ κατὰ μίαν συμπλοκὴν συνέχεται, καὶ συναθροίζεται, τῇ τῶν πολλῶν ἀρχῇ προϋπάρχοντι. κατὰ δὴ τοῦτον τὸν λόγον, καὶ τῶν περὶ τὴν φύσιν αἰτιῶν πολυειδῶν ὄντων καὶ πολυμερίστων, ἠρτημένων τε ἀπὸ πλειόνων ἀρχῶν, ἀπὸ μιᾶς ὅλης αἰτίας τὸ πλῆθος ἐκκρέμαται, κατὰ μίαν δὲ σύνδεσιν πάντα πρὸς ἄλληλα συμπλέκεται· καὶ εἰς ἓν ἀνήκει τὸ περιεκτικώτατον τῆς αἰτίας κράτος ὁ σύνδεσμος τῶν πλειόνων αἰτιῶν· οὗτος τοίνυν εἱργμὸς συμπεφορημένος ἐστὶν ἀπὸ τοῦ πλήθους, οὐδ' ἐπισυνισταμένην ἀπὸ τῆς συμπλοκῆς ποιεῖται τὴν ἕνωσιν, οὐδὲ διαπεφόρηται ἐν τοῖς καθ' ἕκαστα· κατὰ δὲ τὴν προηγουμένην αὐτῶν τῆς αἰτίας μίαν συμπλοκὴν ἐπιτελεῖ πάντα, καὶ συνδεῖ ἐν ἑαυτῷ, καὶ πρὸς αὐτὸν μονοδῶς ἀνάγει. μίαν οὖν τάξιν πάσας τάξεις ὁμοῦ περιλαβοῦσαν ἐν αὐτῇ τὴν εἱμαρμένην ἀφοριστέον.

Quæcunque sunt, per unum sunt; siquidem quod primum est, ab uno proficiscitur. multo verò magis integra causa per unū vim efficiendi nanciscuntur, eodemq́ euentu vel componuntur vel dissoluuntur. Eodem sanè pacto cùm naturales causæ variorum sint generum, atq́ pluribus principiis dependeant; & ab una causa integra tota dependet multitudo, & una copula inter se cuncta colligantur, adq́ summam causam plures aliæ referuntur. Hoc igitur unum est vinculum de multitudine collectum, quod nec coniunctionem per copulam efficiat, nec per singula diffluat, sed secundum præcedentem causarum copulam cuncta perficiat, in se colligat, ad se referat. Quocirca ordinem unum omnes in se ordines complectentē fatum definire liceat. *Iamblic. epist. ad Macedonium.*

ἐκ τῆς Ἰαμβλίχου πρὸς Σώπατρον ἐπιστολῆς.

Τῆς δ' εἱμαρμένης ἡ οὐσία σύμπασά ἐστιν ἐν τῇ φύσει· φύσιν δὲ λέγω τὴν ἀχώριστον αἰτίαν τοῦ κόσμου, καὶ ἀχωρίστως περιέχουσαν τὰς ὅλας αἰτίας τῆς γενέσεως, ὅσας χωριστῶς αἱ κρείττονες οὐσίαι καὶ διακοσμήσεις συνειλήφασιν ἐν ἑαυταῖς. ζωή τε οὖν σωματοειδής, καὶ λόγος γενεσιουργός, τά τε ἔνυλα εἴδη, καὶ αὐτὴ ἡ ὕλη, ἥ τε συντιθεμένη γένεσις ἀπὸ τούτων, κίνησίς τε ἡ τὰ πάντα μεταβάλλουσα, καὶ φύσις ἡ τεταγμένως διοικοῦσα τὰ γιγνόμενα, ἀρχαί τε αἱ τῆς φύσεως, καὶ τέλη, καὶ ποιήσεις, καὶ αἱ τούτων συνδέσεις, πρὸς ἄλληλα ἀπ' ἀρχῆς τε ἄχρι τοῦ τέλους διέξοδοι, συμπληροῦσι τὴν εἱμαρμένην.

Fati autem tota vis in natura consistit. naturam dico coniunctā cum mundo causam, rerumq́ ortus causas coniunctim continentē, quas naturæ præstantiores separatim possidēt. Quocirca vita corporea, ratio ortus efficiēs, species materiæ, ipsa materia, ortus ab his productus, motus omnia immutans, natura cuncta disponēs, principia finesq́ naturæ, & horum inter se copula, atq́ principio ad finem transitus fatum complent. *Iamblic. epist. ad Sopatrum.*

[illegible]

Τὸ γὰρ εἱμαρμένον, ἄτρεπτον καὶ ἀπαράβατον· ᾧ κ' ὥσπερ μόνον ὀφρύσι νεύσῃ, καρτερὰ τοῦτο κέκλωστ' ἀνάγκα· καὶ πεπερασμένη διὰ τοῦτο, τὴν εἱμαρμένην καὶ Ἀδράστειαν καλοῦσιν, ὅτι πέρας τῆς αἰτίας ἀναγκαστικὸν ἐπιτίθησιν ἀνέκφευκτος οὖσα καὶ ἀναπόδραστος.

Fatum enim est immutabile, quodq́ dumtaxat innuerit, id omninò necessarium est. Quocirca etiam fatum Adrasteam vocant, quòd finem causis necessarium ineuitabilis ipsa imponat. *Plut. An futurorū scientia sit utilis.*

Ἑρμοῦ ἐκ τῶν πρὸς Ἄμμωνα.

Πάντα δὲ γίνεται φύσει καὶ εἱμαρμένῃ, καὶ οὐκ ἔστι τόπος ἔρημος προνοίας. πρόνοια δέ ἐστιν αὐτοτελὴς λόγος τοῦ ἐπουρανίου θεοῦ. δύο δὲ τούτου αὐτοφυεῖς δυνάμεις, ἀνάγκη καὶ εἱμαρμένη. ἡ δὲ εἱμαρμένη, ὑπηρετεῖ τῇ προνοίᾳ, καὶ ἀνάγκῃ· τῇ δὲ εἱμαρμένῃ, ὑπηρετοῦσιν οἱ ἀστέρες. οὔτε γὰρ εἱμαρμένην φυγεῖν τις δύναται, οὔτε φυλάξαι ἑαυτὸν ἀπὸ τῆς τούτων δεινότητος. ὅπλον γὰρ εἱμαρμένης οἱ ἀστέρες. κατὰ γὰρ ταύτην πάντα ἀποτελοῦσι τῇ φύσει καὶ τοῖς ἀνθρώποις.

Omnia porrò natura fatoq́ fiunt, nec locus est quisquam prouidentiæ expers. Est autem prouidentia perfecta cælestis Dei ratio. suntq́ huius duæ cognatæ facultates, necessitas & fatum. At prouidentiæ quidē fatū & necessitas inseruiunt, fato autem stellæ. Etenim nec fatum vitare quis potest, nec illorum vim declinare. siquidem arma sunt fati stellæ. nā huius arbitrio cuncta tum naturæ tum hominibus perficiunt. *Mercurij ad Ammonem.*

Πλάτ. δέκ. πολ.

Ἐπειδὴ δ' οὖν πάσας τὰς ψυχὰς τοὺς βίους ᾑρῆσθαι,

Cùm vitas, omnes animæ gradatim, ut sors *Plat. de rep. 10.*

ἀλλ' ἔστι καὶ ταὐτόματον ἐνίοτε χρήσιμον.

φιλήμονος ἀπανθισμάτων Νῦν δ' οἶδ' ἀκριβῶς τὴν τύχην, ὡς οὐ μία,
οὐδ' ἔστι πρώτη, ἀλλὰ μετὰ τῶν σωμάτων
ἡμῶν ὅταν γίγνωνται εὐθὺς καὶ ἡ τύχη
προσεγένεθ' ἡμῖν συγγενὴς τῷ σώματι.
τύχην λέγω που τύχη οὐκ ἔστιν ἕτερον παρ' ἑτέρου λαβεῖν τύχην·
τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.

αἰσχύλ. Τύχα μερόπων ἀρχὰ καὶ τέρμα, καὶ σοφίας καὶ τίμαν βροτέοις ἐπέθηκας ἔργοις· καὶ τὸ καλὸν πλέον ἢ κακὸν ἐκ σέθεν. ἅ τε χάρις λάμπει περὶ σὰν πτέρυγα χρύσεαν· καὶ τό τι ἀπλάσαιο δοθὲν, μακαριστότατον τελέθει. σὺ δ' ἀμαχανίας πόρον εἶδες ἐν ἄλγεσι καὶ λαμπρὸν φάος ἄγαγες ἐν σκότῳ προφερέστατον θεῶν.

μενάνδ. Ταὐτόματον ἡμῶν ἀφανὲς ὂν συλλαμβάνει,
αὐτόματα γὰρ τὰ πράγματα ἐπὶ τὸ συμφέρον
ῥεῖ. καὶ καθευδήσῃ, πάλιν τοὐναντίον·
ἅπαντα νικᾷ καὶ μεταστρέφει τύχη,
οὐδεὶς δὲ νικᾷ, μὴ θελούσης τῆς τύχης·
πάντων τύραννος ἡ τύχη ἐστὶ τῶν θεῶν·
τὰ δ' ἄλλα ὀνόματα ταῦτα προσκεῖται μάτην·
μόνη διοικεῖν ἅπαντα βούλεται.

Ἀριστοτέλης, διαφέρειν τὸ αὐτόματον, τὸ μὲν γὰρ ἀπὸ τύχης καὶ τοῦ αὐτομάτου εἶναι ἐν τοῖς πρακτικοῖς πάντως· τὸ δ' αὐτόματον, οὐκ ἀπὸ τύχης, ἐν γὰρ τοῖς ἔξω πράξεως, καὶ τὴν μὲν τύχην, τοῦ λογικοῦ, τὸ δ' αὐτόματον, ἐκ τοῦ λογικοῦ ἀναλόγων, καὶ ἀψύχων, καὶ τὴν μὲν τύχην προαιρέτως συμβαίνειν, τὸ δ' αὐτόματον ἀπροαιρέτως, καὶ τὴν μὲν τινος ὑπάρχοντος γίγνεσθαι· τὸ δὲ ἀλόγως, μηδενὸς ἔξω βουλευθέντος.

Πλάτων τὴν τύχην ἀπεφαίνετο αἰτίαν ἐν ἀπροαιρέτοις, κατὰ συμβεβηκὸς καὶ παρακολούθημα καὶ σύμπτωμα, καὶ προαιρέσεως κατὰ τὴν πρὸς τὸ τέλος προθέσιν ἐναλλακτικὴν χρείαν.

Ἀριστοτέλης αἰτίαν κατὰ συμβεβηκὸς ἐν τοῖς καθ' ὁρμὴν ἕνεκα τινὸς γιγνομένοις, ἄστατον καὶ ἄδηλον· καὶ ὑποθέσεις μὲν δύο ταῖς ἀρχαῖς ἐνυπάρχειν, τάξιν τε καὶ ἀταξίαν· αἰτίας δὲ τέτταρας ἐν τοῖς ὅλοις, καθ' ἃς ἅπαντα συνίσταται, νοῦν, φύσιν, ἀνάγκην, τύχην· καὶ τούτων πλὴν ἑκάστην, τὴν μὲν ἐν τοῖς ἀνθρωπίνοις πράγμασι, τὴν δὲ ἐν ἄλλοις· γίγνεσθαι γὰρ τὰ μὲν πάντως, τὰ δὲ κατὰ τὸ πλεῖστον, τὰ δ' ἄλλοτε ἄλλως· τὴν δ' εἱμαρμένην, οὐκ αἰτίαν μὲν, τρόπον δέ τινα αἰτίας συμβεβηκότα πρὸς τοῖς τῆς ἀνάγκης τεταγμένοις.

πλάτ. τῶν νόμων δ. Ὡς οὐδείς ποτε ἀνθρώπων οὐδὲν νομοθετεῖ· τύχαι δὲ καὶ συμφοραὶ παντοῖαι πίπτουσαι, ἢ πῶς οὕτως· οὐκ οὖν καὶ τοῖς ἄλλοις ὡσαύτως κατὰ τὸν αὐτὸν ἔχοιεν λόγον.
τάχα

Θεόφραστος προσαριθμεῖ ταῖς αἰτίαις τὴν κατὰ προαίρεσιν· φέρεται δὲ πρὸς εἰς τὸ εἱμαρμένην εἶναι τὴν ἑκάστου φύσιν· ἐν ᾗ τόπον τεττάρων αἰτιῶν ποικίλων, προαιρέσεως, τύχης καὶ ἀνάγκης.

Ἐπίκουρος κατ' ἀνάγκην, κατὰ προαίρεσιν, κατὰ τύχην. περὶ δὲ τύχης τὰ δ' ἔφασκον. εἶναι μέν τι καὶ δαιμόνιον μέρος αὐτῆς, γίνεσθαι δ' ἐπιπνοίαν τινὰ παρὰ τοῦ δαιμονίου τῶν ἀνθρώπων ἐνίοις ἐπὶ τὸ βέλτιον, ἢ ἐπὶ τὸ χεῖρον· καὶ εἶναι φανερῶς κατὰ ταὐτὸ τοῦτο, τοὺς μὲν εὐτυχεῖς, τοὺς δὲ ἀτυχεῖς καταφανέστατον δὲ εἶναι τοῦτο, τοὺς μὲν ἀπροβουλεύτως καὶ εἰκῆ τι πράττοντας, πολλάκις κατατυχεῖν· τοὺς δὲ προβουλευσαμένους, καὶ προνου-

Sed casus etiam sæpè non parùm iuuat.

Philemon. *Nunc nosco fortunam probè, vt non vna sit,*
Nec prima: nostro sed simul cum corpore
Fortuna nobis protinus connascitur.
Nullus alij donare fortunam potest.
Fortuna cui fauet, sapere quoq. creditur.

Æschyl. *Fortuna, principium ac finis mortalium, decus humanis imponens factis. plusq́ ex te boni est, quàm mali. circaq́ tuam aureã fulges alam Gratia. quodq́ tua conceditur trutina, beatissimũ existit. Tu & inopiæ exitum præbes in laboribus, & lucem splendidam in tenebras infers.*

Menand. *Casus iuuat nos, quem videre non licet.*
Nam sæpe sponte res ad vsum confluunt:
Sin dormias, contrà recedunt ocius.
Fortuna vincit atq. mutat omnia.
Nemo, nisi fortuna, vincet, fauerit.
Fortuna cunctorum tyrannus est deûm:
At reliqua frustrà nuncupantur nomina.
Hæc namq. sola gaudet omnia regere.

Aristoteles casum à fortuna distinguit quòd hæc in actione cernatur, ille sine actione: quodq́ hæc ad ratione prædita, ille ad muta & inanima referatur: quodq́ hæc cum consilio coniuncta sit, ille non item: quódq. hæc aliquid habeat propositum, ille prorsus nihil.

Plato fortunam definiuit eorum, quæ consilio carent, causam ex euentu, quæ illa casu consequatur: ac mutabilem consilij secundum scopum habitum.

Aristoteles causam ex euentu in iis, quæ per appetitionem aliqua de causa fierent, dixit, instabilẽ quidem & incertum. & hypotheses quidem duas principiis inesse, ordinem & confusionem; causas autem singulis, quibus constent, quatuor, mentem, naturam, necessitatem, fortunam. harũ tamen singulas nunc in rebus humanis, nunc in aliis cerni. alia siquidẽ omnino, alia plerumq., alia alias aliter fieri. Fatum deniq. causam non esse, sed causæ modum quendam cum necessitatis decretis coniunctum.

Plat. de leg. 4. *Nullum vnquam hominum aliquid lege sancire, sed fortunas casúsq. varios incidentes, &c. An quo modo dicendum? Ita prorsus. Nónne & in aliis eadem ratio?*

Theophrastus causis annumerat eam, quæ consilio constat: existimátq. fatum esse cuiusq. naturam, quæ diuersarum quatuor causarum sit locus, consilij, fortunæ, & necessitatis.

Epicurus necessitatem, consilium, & fortunã statuit. De fortuna porrò dixit, partem quidem eius aliquam esse diuinam, afflari autem à Deo quosdam vel boni vel mali causa, eáq. de causa felices alios, alios infelices esse. etenim quosdam temerè aliquid ac sine consilio agentes finem optatũ sæpè consequi: alios rursum consilio & prudentia

utentes, frustrà tamen laborare. Aliud quoq. fortunæ genus posuit, quæ apti alij, alij contrà inepti essent; quorum illis, quicquid aggrederētur, rectè eueniret, his lōgè secus, perturbato videlicet ipsorum intellectu, ne recto vnquam cursu feratur. hanc denique infelicitatem cognatam esse, non externam.

Euryti de Fortuna.

Existimo autem, quicquid fortuna sit, non tanquā causa aliqua subiacente fieri, sed veluti causis aliis tum felicitatis tum infelicitatis adiunctum, cùm neque natura sit, neque ars vel prudentia, sed his præter rationem eueniens. Etenim cùm duæ in hoc Vniuerso cernantur inter se cōtrariæ naturæ, quarum altera ordinem & rationem habet, altera non habet: patet hinc, quæcunque fortuna aut casu fiunt, hac posteriore rebus incidente contingere. Omnes denique res secundum melius vel deterius distinguuntur, aliæ vt benignam & regiam, aliæ vt malignam & tyrannicam nactæ naturam.

μένως ὀρθῶς τι πράττειν, ἀποτυγχάνειν. ἔστι δὲ καὶ ἕτερον τύχης εἶδος, καθ' ὃ οἱ μὲν εὐφυεῖς, καὶ εὔστοχοι, οἱ δὲ ἀφυεῖς καὶ ἐναντίαν ἔχοντες φύσιν βλάπτοντ'· ὧν οἱ μὲν εὐθύβολοι εἰσὶν ἐφ' ὅ τι ἂν ἐπιβάλλωνται), οἱ δὲ ἀποπίπτουσιν τοῦ σκοποῦ, μηδέποτε τῆς διανοίας αὐτῶν εὐστόχως φερομένης, ἀλλὰ καὶ ταρασσομένης. ταύτην δὲ τὴν ἀτυχίαν σύμφυτον εἶναι καὶ οὐκ ἐπίσακτον.

Δοκεῖ δέ μοι, τάχα καὶ τὸ ἀπὸ τᾶς τύχας γιγνόμενον πᾶν, οὐχ ὡς ὑπό τινος αἰτίας ἀφωρισμένας, καὶ ὡς ὑποκειμένας γίγνεσθαι, ἀλλ' ὡς ἐπισυμβαῖνον καὶ ἐπισυνισάμενον ἑτέραις τισὶν αἰτίαις ἀτυχὰ, ὧν ἡ τῶν ἀπὸ τυχίας γιγνομένων, οὔθ' ὡς φύσιν ὄν τινα ὑπὸ φύσεως τι γιγνόμενον, οὔτε ὡς τέχνα, καὶ φρόνασίς τις ἀνθρώπινα καὶ θεία, ἀλλὰ ἐπὶ τὸ συμβαῖνον παραλόγως καὶ ἀπροαισθήτως τούτοις. ἐπεὶ γὰρ δύο φύσιες ἐν τῷ ὅλῳ τῷδε καὶ τῷ παντὶ ἐνυπάρχοντι ἐναντίαι ἀλλάλαις, καὶ τούτων ἃ μὲν ἔντι ῥητὰ καὶ τεταγμένα καὶ λόγον ἔχοντα παντᾷ πάντα, ἃ δ' ἄρρητος, καὶ ἄτακτος, καὶ ἄλογος, καὶ οὐδεμίαν σύνταξιν ἔχουσα, αὐτὰ αὐτόθεν φανερὸν, ὅτι τὸ μὲν ἀπὸ τύχας καὶ τῶ αὐτομάτω γιγνόμενον γίγνεται ἐμπιπτούσας τᾶς ἀλόγω καὶ ἀτάκτω φύσιος ἐς τὰ πράγματα· πάντα δὲ τὰ σύστοιχα ταῖς καθόλω φύσεσι ἀεὶ κατὰ τὸ βέλτιον καὶ τὸ χεῖρον ἀντιδιαιρέονται τὰ πράγματα· τὰ μὲν ὡς ἀγαθοποιῶ τινὸς φύσιος καὶ βασιλικᾶς ἐπικρατεύσασα, τὰ δ' ὡς κακοποιῶ καὶ τυραννικᾶς.

Temerarium esse fortunæ motum.

Menandri Citharista.

Quàm varia res fortuna, quàm fallax simul!
Multas habet fortuna vicissitudines.
Fortuna res est cæca, paritèrq. misera.

Menandri

Quid metuat vllus, quem benignè fouerit
Fortuna? namq. incerta prouidentia est.
Fortuna nil rationis auxilio gerit.

Euripidis Helena.

Considera nunc, quàm varia sit res Deus,
Et cognitu difficilis. at variat bene,
Et huc & illuc perferens. laborat hic,
Alter laborem haud sentiens perit malè,
Firmum nihil fortuna cui concesserit.

Menandri.

Fortuna prorsus mente percipere vetat,
Quidnam sit auo in hoc hominibus vtile.
Ad iudicandum legibus non vtitur.
Nec dicere, haud perpetiar hoc, viuo licet.

Eurip. Hippolyt.

Pro rebus etiam gerimus animos plurimi.
Fortunam idem dico efficere mortalium,
Et quem vocamus more communi ætherem.
Aestate namq. splendidum hic lucet iubar,
Hiemémq. densa nube composita fouet,
Florémq. nunc vitámq. dat, nunc eripit.
Hoc semen humanum modo gaudet aliud
Splendore fausto, rursus aliud angitur:
Aliiq. viuunt in malis, alij in bonis
Discessibus moriuntur haud incommodis.

Epicurus causam instabilem personis, temporibus, ac modis dixit: Anaxagoras & Stoici causam humanæ rationi ignotam. alia namq. necessitate, alia fato, alia consilio, alia fortuitò, alia casu euenire. Fortuna nonnunquam rei ordinis expertis est vocabulum.

Diotogenis Pythagorei de Sanctitate.

Cùm enim quatuor causæ omnia perficiant, adq. finem perducant, natura, lex, fortuna, et ars: eorum quidem, quæ per consuetudinem ad con-

Ὅτι ἀλόγιστος ἡ φορὰ τῆς τύχης.

Ὡς ποικίλον πρᾶγμ' ἐστὶ, καὶ πλάνον τύχη.
τὸ τῆς τύχης τοι μεταβολὰς πολλὰς ἔχει.
τυφλόν γε καὶ δύστηνον ἐστὶν ἡ τύχη.
Τί δ' ἂν φοβεῖτ' ἄνθρωπος ᾧ τὰ τῆς τύχης
κρατεῖ; πρόνοια δ' ἐστὶν οὐδενὸς σαφής.
οὐδὲν κατὰ λόγον γίγνεθ' ὧν ποιεῖ τύχη.
σκέψαι γὰρ ὁ θεὸς ὡς ἔχει τι ποικίλον,
καὶ δυστέκμαρτον, ὡς δ' ὅπως ἀναστρέφει,
ἐκεῖσε κἀκεῖσε ἀναφέρων. ὁ μὲν πονεῖ, *
ὁ δ' οὐ πονήσας αὖθις ὄλλυται κακῶς,
βέβαιον οὐδὲν τῆς ἀεὶ τύχης ἔχων.
Οὕτως ἀσυλλόγιστον τύχη ποιεῖ,
τὸ συμφέρον τί ποτ' ἐστὶν ἀνθρώπου βίῳ·
οὐ χρῆται νόμοις καθ' οὓς κρίνει πράγματα,
οὐδ' ἔστιν εἰπεῖν ζῶντα, τοῦτ' οὐ πείσομαι.
Πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα,
ἐς ταυτὸν ἥκειν φημὶ τὰς βροτῶν τύχας·
τὸν δ' ὃν καλοῦσιν αἰθέρα, ᾧ τάδ' ἐστὶ δὴ
θέρει, *
θάλλειν τε καὶ μὴ ζῶντα, καὶ φθίνειν ποιεῖ,
οὕτω δὴ θνητῶν σπερμάτων μὲν εὐτυχεῖ
λαμπρᾷ γαλήνῃ· τῶν δὲ συννέφει πάλιν·
ζῶσίν τε σὺν κακοῖσιν, οἱ δ' ὄλβου μέτα
φθίνουσ' αἰτίοις προσφόροις μετ' ἀλλαγαῖς.

Ἐπίκουρος ἄστατον αἰτίαν, προσώποις, χρόνοις, τρόποις· * ἄδηλον αἰτίαν ἀνθρωπίνῳ λογισμῷ. ἃ μὲν γὰρ εἶναι κατ' ἀνάγκην, ἃ δὲ καθ' εἱμαρμένην, ἃ δὲ κατὰ προαίρεσιν, ἃ δὲ κατὰ ψυχὴν· ἃ δὲ κατὰ τὸ αὐτόματον. τύχη ἀτάκτου ἐνίως ἐστὶ προσηγορία.

Ἐπεὶ γὰρ τέτταρες αἰτίαι τὰ σύμπαντα πράττοντι, καὶ ἐπὶ τέλος ἐπιτίθεντι, φύσις καὶ νόμος, καὶ τύχα, καὶ τέχνα· καὶ τῶν μὲν ἐξ ἔθεος ποτὶ ξυμφωνίαν πολιτικὰν φερόν-

Hinc ... addit Farnesij codex.

* ἀναξαγόρας ... addit Plut.

φερόντων νόμος ἐπιστάτης καὶ δημιουργός· τῶν δὲ διὰ φροντασίας ἀνθρωπίνας τελειωθέντων, τέχνα λέγει τὸ μᾶτορ καὶ ἀγεμὼν ἦμεν· τῶν δὲ εἰκᾶ τε καὶ ὡς ἔτυχεν ἀπὸ τῶ αὐτομάτω ὁμοίως ποτιπιπτόντων τοῖς χρηστοῖς τε καὶ πονηροῖς, τύχαν τὰν τοιούτων αἰτίαν φασεῦμεν, ταῦτα δὲ οὔτ᾽ ἐν μέτρῳ, οὔτ᾽ ἐν ὅρῳ τεταγμένως καὶ πεφρουρημένως, ἕκαστα ποιεῖν· γεννηθεῖσα δὲ ἡ ἐξ αὐτῶν τῶν γένος ἄμφω κινεῖται.

Περὶ χρόνου οὐσίας ἢ μερῶν, καὶ πόθεν εἴκε πος.
κεφ. ια.

σοφοκλ. Πάντα ἐκκαλύπτων ὁ χρόνος εἰς φῶς ἄγει.
ξενοφάν. Οὔτοι ἀπ᾽ ἀρχῆς πάντα θεοὶ θνητοῖς παρέδειξαν,
ἀλλὰ χρόνῳ ζητοῦντες, ἐφευρίσκουσιν ἄμεινον.
φιλημον. Ὦ Πάμφιλ᾽, ὁ χρόνος οὐ μόνον τὰ σώματα
αὔξει βαδίζων, ἀλλὰ καὶ τὰ πράγματα.
Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις, ὅ,τι
οὐκ ἐν χρόνῳ ζητοῦσιν ἐξευρίσκεται.
ἀντιφάν. Μάλιστα δ᾽ ἐκπλήττει τὸν συνειδότα
ὁ χρόνος ὃν ἀεὶ λανθάνειν ἀμηχανεῖ.
θεοδέκτ. Ἀλλ᾽ ὦ τάλας Θυέστα, καρτέρει λανθάνων, ὀργῆς χαλινὸν, παρακαλοῦμαι δέ σοι, τεθηγμένον· ἐν ἄλλοις μυρίοις χρόνοις τὰ πάντ᾽ ἀμαυροῖ καὶ ὑποχείρια λαμβάνει.
ἀγάθων. Οὔποτ᾽ ἠξίωσα χρῆσθαι τοῖς τρόποις.
μενάνδρ. Πᾶν τ᾽ οὖργον ὀρθῶς ἐκμαθεῖν χρόνου μέτα.
ὦ δέσποτ᾽ ἄναξ ἔστι τοῖς σοφοῖς βροτῶν,
χρόνῳ σκοπεῖσθαι τῆς ἀληθείας πέρι.
κριτίας. Ὁ χρόνος ἁπάσης ἐστὶν ὀργῆς φάρμακον
μετὰ τὴν σκιὰν τάχιστα γηράσκει χρόνος.
νικοστράτ. Πάλιν χρόνῳ τὰ ἀρχαῖα καινὰ γίγνεται.
οὐκ ἔστι δυσάρεστον οὐδὲν χρόνου.
οὐδέποτ᾽ ἀρέσκει ταῦτα τούτῳ τῷ θεῷ.
σοφὸν λέγουσι τὸν χρόνον πεφυκέναι.
Οὐκ ἔστιν μείζων βάσανος χρόνου *οὐδὲν ἔργου
ὃς καὶ ὑπὸ στέρνοις ἀνδρὸς ἔδειξε νόον.
ἀγάθων. Ὤφελον ὡς ἀφανὴς οὕτω φανερώτατος εἴη
Καιρὸς, ὃς αὐξάνεται πλεῖστον ἀπ᾽ εὐλαβίης.
Πρὸς ταῦτα κρύπτε μηδὲν· ὡς ἅπανθ᾽ ὁρῶν,
καὶ πάντ᾽ ἀκούων πάντ᾽ ἀναπτύσσει χρόνος.
σοφοκλ. Χρόνος αὖ χαρεὶς ἅμα κρατεῖ τὸ μῆκος συμμερὰ βίου
πολλ᾽ ἂν διερευνᾷ σοφὰ μαιομένοις.
εὐριπίδ. Οὐκ ἔστι πράττοντας τι μοχθηρὸν λαθεῖν.
ὀξὺ βλέπει γὰρ ὁ χρόνος, ὃς τὰ πάνθ᾽ ὁρᾷ.
ὁ χρόνος ἅπαντα τοῖσιν ὕστερον φράσει.
ἄλλοι lego. *ἄλλος ἐστὶν λάλος, οὐκ ἐρωτῶσι λέγει.
σοφοκλ. οἰδίπ. Χρόνος δίκαιον ἄνδρα δείκνυσι μόνος.
κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ.
σιμωνίδ. ἐπιγραμμ. Οὔτοι χρόνος ὀξεῖς ὀδόντας,
καὶ πάντα ψύχει καὶ τὰ* βιότατα.
βιαιότατα, lego pro βιότατα.
σοφοκλ. Ἅπανθ᾽ ὁ μακρὸς κἀναρίθμητος χρόνος
φύει τ᾽ ἄδηλα καὶ φανέντα κρύπτεται·
οὐκ ἔστ᾽ ἄελπτον οὐδὲν, ἀλλ᾽ ἁλίσκεται
χ᾽ ὁ δεινὸς ὅρκος καὶ περισκελεῖς φρένες.
εὐριπίδ. ἱππολ. Πάνθ᾽ ὁ χρόνος ὁ μέγας μαραίνει.
χρόνος διέρπων πάντ᾽ ἀληθεύειν φιλεῖ.
χρόνος τὰ κρυπτὰ πάντα εἰς φάος ἄγει.
Ἀλλὰ ταῦτα μὲν χρόνος
δείξει· μόνος γάρ ἐστιν ἀνθρώπων κριτής.
χρόνος δίκαιον ἄνδρα μηνύει ποτέ.

centum politicum pertinent, lex princeps est; quæ autem humana perficiuntur prudentia, sub arte collocantur; quæ denique temerè atque casu similiter probis atque improbis eueniunt, horum causa dicitur fortuna, quæ sine vlla mensura, vllóque ordine singula faciat. Quæ autē hinc procreatur, vtroq. pertinet.

De temporis natura atq. partibus.

CAP. XI.

OMNIA retecta tempus in lucem refert. *Sophoclis*

Non dij principio mortalibus ostendêre
Omnia, sed melius quærentes tempore longo
Inuenêre. *Xenophanis*

Non sola tempus corpora auget, Pamphile, *Phil. mon.*
Motu perenni permeans, sed res quoque.

Nam continetur rebus humanis nihil, *Chæremon.*
Quod non requirentes reperiant tempore.

De conscijs me terret vnum maximè *Antiphan.*
Tempus, quod æternum latere non queo.

Tu verò, miser Thyesta, cohibe latenter, obsecro te, acutum iræ frenum. tempus inter alia obscurat & subigit omnia. *Theodectis.*

Nunquam putaui commodum mores sequi.* *Agathonis.*

Rectè omne factum temporis cognosce ope. *Menandri.*
Mortalium prudentibus licitum est, here,
Ope veritatem temporis cognoscere.

Est omnis ira tempus aptum pharmacum. *Critiæ.*
Post tempus vmbram fit senex celerrimè.

Antiqua rursum temporè existunt noua. *Nicostrati.*
Pars nulla displicere temporis potest.
Nullo placent eadem Deo isti tempore.
Sapientia tempus putatur particeps.

Tempore nō index potior quis rebus adhæret,
Intima quod mentis reddit aperta viri. *Agathonis.*

Dij facerent, sicut cæcum, sic esset apertum
Tempus, quòd cura maxime crescit idem.

Nil proinde cela. namq. cernens omnia,
Omniaq. tempus audiens, omnia aperit.

Tempus autem vnà cum vita lōgitudine multa suppeditat inquirentibus consilia. *Sophoclis*

Scelere peracto non latere quis potest. *Euripidis.*
Cernit enim acutum tempus, omnia intuent.
Cuncta indicabit tempus olim posteris.
Est hoc loquax. effatur haud rogantibus.

Iustum volubile indicat tempus virum: *Sophoclis Oedipo.*
Malum vel vna luce cognoscas licet.

——— Omnia mordax *Simonidis Epigramm.*
Consumit tempus, sint violenta licet.

At cuncta longum tempus & numero carēs *Sophoclis Aiace.*
Obscura profert, claraq. abscondit iterum:
Nec spe caret quicquam, sed & deprenditur
Solenne iusiurandum, & obstinata mens.

Omnia magnum tabefacit tempus. *Euripidis, Hippolyto.*
Labentia ferunt veritatem tempora.
Intecta cuncta tempus in lucem refert.

——— Sed hæc tempus quidem
Ostendet, vnus arbiter mortalium.
Tempus viros quandoq. iustos indicat.

Chæremon. *Fiuntq́ cuncta & indicantur tempore.*
Lentè ambulando cuncta tempus permeat.

Menandri. *In rebus humanis nihil fide caret,*
Nec pòst carebit. multa variant tempore
Insitata, mira, mores & hominum.
Emollit efficitq. tempus omnia.
Et quotquot artes extitère, has, ô Laches,
Cunctas magistris absq. tempus extulit.
Nil non domabit tempus amplum, Nicopho.
Illud rotunda nempe facie cernitur,
Interius at sua continens obambulat,
Ac nos peragrans cardines terræ parit.
Ast nominatur annus: itq́ rotundus est,
Fine atq. principio caret, corpusq́ agens,
Non desinet cursum diurnum absoluere.

Cleoboli Ænigmat. *Est vnus pater: vt gnati bis sex, ita cuique*
Gnatæ sex decies, diuersa quæq. figura.
Albæ sunt partim visu, partim quoq. nigræ.
Et cùm sint immortales, cuncta moriuntur.

Moschionis *Primùm explicato congruis sermonibus*
Initia vitæ publica mortalium.
Namque fuit olim tempus hoc, cùm belluis
Homines diætam ducerent haud dissonam,
Et rupium specus, & astris inuia
Antra incolentes: nondum enim conspicua erat
Nec tecta desuper domus, nec lapideis
Munita in vrbem turribus vel vrbs, vel arx:
Nec etiam aratri dissilibat vomere
Almi genitrix gleba fructus nigricans,
Nec efficax ferrum Lyæo debita
Vitis virentes excolebat ordines.
Sed nulla quicquam terra sterilis proderat,
Epulæq́ carnis mutuis de cædibus
Famem fugabant, debilisq́ lex erat.
At vis eundem & ius tuebantur thronum,
Pascebat atq. fortiorem infirmior.
Sed quando tempus, cuncta generans atq. alens,
Vitam refinxit pristinam mortalium,
Curámve ducens callidi Promethei,
Necessitatémve, aut frequentibus vsibus
Ipsam docentem ritè naturam citans;
Tunc & repertus mitis alimenti frutex
Cereris modesta est, & repertus Bacchicus
Dulcissimus fons, terraq́ inculta anteà
Iam tum iugum trahente arabatur boue.
Ipsiq́ turres extulère, & vndique
Struxère contectas domos, & asperam
Blanda diæta ritè vitam verterunt.
Atq. inde lex iussit carentes lumine
Tegere sepulcris, pulueremq́ inducere,
Nec insepulta proiicere cadauera,
Fœdam prioris edacitatis memoriam.

Bionis, interprete Gambara. *Vérne tibi, vel hiems, aut æstas, an autumnus*
O Myrson cordi est? tu dic mihi, quid magis optas?
An priùs æstatem? cùm debita sacra coloni
Legifera faciunt Cereri, frugumq́ suorum
Prospectant cumulos, atq. horrea plena laborum.
An placet autumnus? cùm proles rustica curas
Solari non glande famem, non tollere largo

χρόνῳ τὰ πάντα γίγνεται καὶ κρίνεται.
χωλῇ βαδίζων ὁ χρόνος ἀφικνεῖται τάν. [illegible]

Οὐκ ἔστ' ἄπιστον οὐδὲν ἐν θνητῷ βίῳ,
οὐδ' ἂν γένοιτο. πολλὰ ποικίλλει χρόνος, [illegible]
παράδοξα καὶ θαυμαστὰ καὶ ζώντων τρόποι.
οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις, ὅ,τι
οὐκ ἐν χρόνῳ ζητοῦσιν ἐξευρίσκεται·
χρόνος μαλάσσει πάντα κἀξεργάζεται.
ὅσαι τέχναι γεγόνασι, ταύτας ὦ Λάχης
πάσας ἐδίδαξεν ὁ χρόνος οὐχ ὁ διδάσκαλος.
ὁ πολὺς χρόνος πάντα ἐξελέγχει, Νικοφῶν.
ἐκεῖνος ἐστὶν τὴν ὄψιν στρογγύλος. ὦ πονηρὲ,
ἐντὸς δ' ἔχων περιέρχεται κύκλῳ τὰ περὶ ἐν αὐτῷ,
ἡμᾶς δὲ τίκτει περιέχων τὴν γῆν ἅπαξ πᾶσαν.
ὀνομάζεται δ' ἐνιαυτὸς, ὢν δὲ περιφερὴς τελευτὴν
οὐδεμίαν, οὐδ' ἀρχὴν, κυκλῶν δ' ἀεὶ τὸ σῶμα,
οὐ παύσεται δ' ἡμέρας ὁσημέραι τροχάζων.

Εἷς ὁ πατὴρ, παῖδες δὲ δυώδεκα· τῶν δ' ἑκάστῳ
°κάρα ἑξήκοντα διανδιχῆ εἶδος ἔχουσαι,
αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ' αὖτε μέλαιναι,
ἀθάναται δέ τ' ἐοῦσαι ἀποφθινύθουσιν ἅπασαι. [illegible]

Πρῶτον δ' ἄνειμι καὶ διαπτύξω λόγῳ,
ἀρχὴν βροτείου καὶ κατάστασιν βίου.
ἦν γάρ ποτ' αἰὼν κεῖνος ἦν, ὁπηνίκα
θηρσὶ διαίτας εἶχον ἐμφερεῖς βροτοί,
ὀρειγενῆ σπήλαια καὶ δυσηλίους
φάραγγας ἐνναίοντες· οὐδέπω γὰρ ἦν
οὔτε στεγήρης οἶκος, οὔτε °λαΐνοις
εὐρεῖα πύργοις ὠχυρωμένη πόλις· [illegible]
οὐ μὴν ἀρότροις ἀγκύλοις ἐτέμνετο
μέλαινα καρποῦ βῶλος ὀμπνίου τροφός·
οὐδ' ἐργάτης σίδηρος εὐγώπιδος
θάλλοντας οἰνηρ ὀρχάτους μδμίει. [illegible] Turnebi codex.
ἀλλ' ἦν ἀκύμων κωφεύουσα ῥέουσα γῆ·
βορᾷ δὲ σαρκοβρῶτες ἀλληλοκτόνους
παρεῖχον αὐτοῖς δαῖτας, ὁ δ' ὁ μὲν νόμος
ταπεινὸς, ἡ βία δὲ σύνθρονος °τηδία. [illegible]
ὁ δ' ἀσθενὴς ἦν τῶν ἀμεινόνων βορά.
ἐπεὶ δ' ὁ τίκτων πάντα καὶ τρέφων χρόνος,
τὸν θνητὸν ἀλλοίωσεν ἔμπαλιν βίον·
εἴτ' οὖν μέριμναν τὴν Προμηθέως σπάσας,
εἴτ' οὖν ἀνάγκην, εἴτε τῇ μακρᾷ τριβῇ,
αὐτὴν παρασχὼν τὴν φύσιν διδάσκαλον·
τότ' εὑρέθη μὲν καρπὸς ἡμέρου τροφῆς
Δημήτερος ἁγνῆς· εὑρέθη δὲ Βακχίου
γλυκεῖα πηγή· γαῖα δ' ἡ πρὶν ἄσπορος,
ἤδη ζυγουλκοῖς βουσὶν ἠροτρεύετο.
αὔτη δ' ἐπυργώσαντο καὶ περισκεπεῖς
ἔτευξαν οἴκους· καὶ τὸν ἠγριωμένον
εἰς ἥμερον διαίτας ἤγαγον βίον,
κἀκ τοῦ δὲ τοὺς θανόντας, ὥρισεν νόμος,
τύμβοις καλύπτειν, κἀπιμοιρᾶσθαι κόνιν,
νεκροὺς ἀθάπτους μηδ' ἐν ὀφθαλμοῖς ἐᾶν,
τῆς πρόσθε θοίνης μνημόνευμα δυσσεβές.

Εἴαρος ὦ Μύρσων, ἢ χείματος, ἢ φθινοπώρω, ἐκ τοῦ Εἴαρος Βίωνος.
ἢ θέρεος τί τοι ἁδύ; τί δὲ πλέον εὔχεαι ἐλθεῖν,
ἢ θέρος ἁνίκα πάντα τελείεται, ὅσσα μογεῦμες,
ἢ γλυκερὸν φθινόπωρον, ὅτ' ἀνδράσι λιμὸς ἐλαφρὸς,
ἢ καὶ χεῖμα δύσεργον· ἐπεὶ καὶ χείματι πολλοὶ

θαλπό-

θαλπόμενοι θάλποντας ἀεργείῃσι καὶ ὄκνῳ,
ἤ τοι καλὸν ἔαρ πλέον εὔαδεν;·
αἱρεῖ); λαλέειν γὰρ ἐπέτραπεν ἀσχολὰν ἡμῖν,
κρίνεν οὐκ ἐπέοικε θεήϊα ἔργα βροτοῖσι·
πάντα γὰρ ἱερὰ ταῦτα καὶ ἁδέα· σεῦ δ᾽ ἕνεκεν.
ἐξερέω Κλεόδαμε τὸ μοι περιγαρέστερον ἄλλων,
οὐκ ἐθέλω θέρος ἦμεν, ἐπεὶ τόκα μ᾽ ἅλιος ὀπτῇ·
οὐκ ἐθέλω φθινόπωρον, ἐπεὶ νόσον ὥρια τίκτει.
οὖλον χεῖμα φέρειν νιφετὸν κρυμὼς τε φοβεῦμαι·
εἶαρ ἐμοὶ τριπόθατον, ὅλῳ λυκάβαντι παρείη,
ἁνίκα μήτε κρύος, μήτ᾽ ἅλιος ἄμμε βαρύνει,
εἴαρι πάντα κύει, πάντ᾽ εἴαρος ἁδέα βλαστεῖ.
χὰ νὺξ ἀνθρώποισιν ἴσα καὶ ὁμοίιος ἀώς.

αἱρεῖ, vel εὔαδεν, addit Fumelij codex.

Fonte sitim: nam tunc variis exuberat arbos
Fructibus, atq. nouo redolet vindemia Baccho.
Ignauam cupis ánne hiemem? claususq́ paternis
Sedibus ob gelidi penetralia frigora cæli
Ante focum partoq́ frui, & conuiuia læta
Ducere, & hibernos agere alta per ocia soles.
Anne iuuant te nunc hæc florea tempora veris?
Da mihi, quoq́ ferat te nunc tua certa cupido.
Cùm sint, vt referunt vates, hæc quattuor anni
Tempora ab æterni manibus distincta parentis,
Numinibusq́ dicata suis, & cognita sacris:
Iudicium non ferre licet mortalibus vllum.
Sed dicam Cleodeme tibi, quæ gratior anni
Pars mihi sit, vel cara magis. Mihi displicet æstas,
Qua me si breuis hora tenet sub sole, coquit me
Sol subitò, atq. æstu vires & membra fatigat.
Est pater autumnus non gratus: namq. recentes
Diuersa effundunt morborum semina fructus.
Horresco glacialem hiemem, & resonantia cæli
Murmura, perflantesq́ Notos, pluuiasq́, niuesq́,
Non possum Cleodeme pati. Sed purpureum ver
Terq́ quaterq́ mihi carum est; vtinamq́ rubenti
Floreret vere æternùm Sicania tellus:
Quando non æstus grauis est, sceleratáq́ brumæ
Tempora, præcipuéq. nocens autumnus: at æther
Purior, & volucrum resonant auiaria cantu,
Et passim vestit se versicoloribus arbos
Floribus, & viridante coma, fecundáq tellus
Effundit varios è iacto semine fetus,
Et læti carpunt siluis noua pabula tauri,
Aequalísq. dies somno est, vmbraq́ virentes
Inuitant dulcem captare in valle soporem.

Θαλῆς ἐρωτηθεὶς τί σοφώτατον, χρόνος· ἀνευρίσκει γὰρ τὰ πάντα. Περίανδρος ἐρωτηθεὶς τί πάντων αἴτιον, ἔφη, χρόνος. Θαλῆς ἔφησεν, ὅτι σαφέστατος ἔλεγχος πραγμάτων ἁπάντων ἐστὶν ὁ χρόνος ὅτι τὴν ἀλήθειαν ἐμφανίζει· Εὐρυφῶν ὁ ἰατρὸς ἐρωτηθεὶς τὸν διδάσκαλον παρ᾽ οὗ ἐπαιδεύθη, παρὰ τῷ χρόνῳ, ἔφη. Πυθαγόρας τὴν σφαῖραν τοῦ περιέχοντος· Ἐρατοσθένης τὴν τοῦ ἡλίου πορείας· οἱ στωϊκοὶ χρόνου οὐσίαν αὐτὴν τὴν κίνησιν, οἱ πλείους ἀγένητον τὸν χρόνον· Ξενοκράτης μέτρον τῶν γενητῶν καὶ κίνησιν ἀΐδιον· μέτρον βραδύτητος ἢ τάχους εἶπε Χρύσιππος. Ἑστιαῖος ὁ Περίνθιος φυσικὴν φορὰν ἄστρων πρὸς ἄλληλα· Στράτων τὸ ἐν κινήσει καὶ ἠρεμίᾳ ποσόν· Ἐπίκουρος σύμπτωμα, τοῦτο δ᾽ ἐστὶ παρακολούθημα κινήσεων· Ἀντιφάνης καὶ Κριτόλαος, νόημα ἢ μέτρον τὸν χρόνον οὐχ ὑπόστασιν· τὸν δὲ χρόνον ἀριθμὸν εἶναι κινήσεως κατὰ τὸ πρότερον, οὔτ᾽ ἀρχὴν ἔχοντα οὔτε τελευτὴν ἀλλ᾽ ἀεὶ ὄντα, καὶ ἀεὶ γιγνόμενον, εἶναι δὲ συνεχῆ καὶ διαιρετὸν λαμβάνεσθαι παρ᾽ αὐτοῦ τὸ μὲν πρότερον, τὸ δ᾽ ὕστερον· ὅρον δ᾽ ὑπάρχειν ἑκατέρου τὸ νῦν· τοῦτο γὰρ νοεῖσθαι τοῦ μὲν προτέρου πέρας, τοῦ δὲ μέλλοντος ἀρχήν· οἱ ἀριστοτελικοὶ τὸν χρόνον ἀριθμὸν κατὰ τὰ νῦν ἀφοριζομένων κινήσεων· τὸ δὲ νῦν εἶναι, μονάδα στάσεως ἐν κινήσει, κίνησιν δ᾽ οὐκ εἶναι τὸν χρόνον, οὐ μὴν κινήσεως, λέγεσθαι γὰρ κίνησιν βραδείας καὶ ταχείας, οὐκ ἔτι δὲ χρόνον, ἀλλὰ πολὺν καὶ ὀλί-

Thales interrogatus, quid esset sapiētissimum, Tempus, respōdit, nam inuenit omnia. Periander interrogatus, quæ esset omniū causa, idem respondit. Thales aiebat certissimum rerum omniū examen esse tempus, quòd veritatem patefaceret. Euryphon medicus interrogatus, quo esset vsus præceptore, Tempore dixit. Pythagoras tempus definiuit ambientis sphæram: Eratosthenes iter Solis: Stoici motum ipsum (pleriq. nunquam natū dixerunt:) Xenocrates rerum orientium mensurā, motúmq. perpetuum: Chrysippus mensuram tarditatis vel celeritatis: Hestiæus Perinthius motū inter se stellarum: Strato quantitatem eorū quæ motum vel quietem haberēt: Epicurus motuum consequens: Antiphanes et Critolaus cogitatione vel mensura, non re ipsa constare; mensuramque motus esse secundū id quod sit prius, nec principium nec finem habens, verùm semper oriens, & continuum, tamen vt aliud sit eius prius, aliud posterius, quorum vtriusq. sit præsens terminus: siquidem hoc intelligi prioris quidem finem, posterioris autem initium: Aristotelici motuū numerum præsenti definitorum. præsens autem esse monadem in motu positam. motum verò non esse tempus, nec disiuncti motus, cùm celer vel tardus dicatur motus, tempus non item, sed multum &

paucum.

paucum. deinde numero quidem magis et minus distingui, tempore autem mai rem ac minorem motum. disiuncti quoque motus non esse, cùm sit motus numerus continuus secundum id quod prius & posterius est. Zeno definiuit motus interuallum, idémque & mensuram celeritatis ac tarditatis dixit, secundum quod & fiant & sint omnia.

Mercurij ad Tatium.

Similiter de tēporibus tribus dicemus. Etenim nec per se sunt aut coniunguntur, & per se sunt ac coniunguntur. Si enim absque præterito præsens ponas, id absque eo subsistere non poterit. Nā ex præterito præsens oritur, ex præsenti futurū. Quod si altiùs lubeat rem indagare, sic ratiocinemur, præteritum quidem discedere, vt nō sit amplius, futurum autem non existere, quòd nondum adsit. imò ne præsens quidem, quamdiu maneat, adesse. Quod enim ne puncto quidem temporis subsistit, quomodo præ'ens hoc dicatur? Ac rursum præteritum cum præsenti cōiunctim, cumq́; futuro præsens oritur, quandoquidem inter se cohærent: atque hoc pacto vnum idémque tempus & coniunctum & disiunctum cernitur.

Apollodorus physicus ita tempus definit, Tempus est mundi motus interuallum. ita autem est infinitum, vt numerus omnis infinitus dicitur. aliud enim præteritum est, aliud præsens, aliud futurum. Quemadmodum autem annum præsentem ampliori comprehēsione dicimus, sic tempus omne præsens dicitur, nulla eius parte propriè subsistente.

Posidonius alia prorsus infinita dixit esse, vt omne tempus; alia parte quadam, vt præteritum ac futurum. siquidem præsenti vtrumque finiatur. Tempus autem definiuit motus interuallū, vel celeritatis ac tarditatis mensuram. esse autē eius aliud præteritum, aliud futurum, cùm habetur ipsius temporis ratio. præsens autem partim præterito, partim futuro secundum discrimen ipsum constare. discrimen autem hoc puncti instar esse. Quod autem nunc dicitur, ac similia, laxiùs esse, non strictiùs accipienda. illud quidem etiam minimo tempori sub sensum cadenti tribui, secundum futuri ac præteriti discrimen subsistenti.

Chrysippus tempus dixit motus interuallum, & mundi motum consequēs interuallum; secundum quod moueantur ac sint omnia, nisi potius duplex ponatur tempus, quemadmodum terra, marisque & inanis appellationem tum ipsa integra, tum eorum partes sortiantur. Quemadmodum autem inane omne sit in omnem partem infinitum, sic etiam tempus omne vtrinque infinitum esse. nam & præteritum & futurum fine carere. Illud autem affirmat planissimè, nullum integrum præsens esse tempus. Cùm enim in infinitum secentur continua, tempus quoque sectionem eandem recipere. itaque nullum propriè tempus præsens dici, verùm ita crassiore modo voca-

γον. ἔτι τὸ μὲν πλεῖον καὶ τοὔλαττον ἀριθμῷ κρίνεσθαι, χρόνος δὲ τὴν πλείω καὶ ἐλάττω κίνησιν. οὐκ ἄρα κίνησις ὁ χρόνος, οὐ μὴν κινήσεως κεχωρισμένος· ἀριθμὸν γὰρ εἶναι κινήσεως συνεχῆ, κατὰ τὸ πρότερον καὶ ὕστερον. Ζήνων ἔφησε χρόνον εἶναι κινήσεως διάστημα, τοῦτο δὲ καὶ μέτρον καὶ κριτήριον τάχους τε καὶ βραδύτητος ὅπως ἔχει. κατὰ τοῦτον δὲ γίνεσθαι τὰ γινόμενα καὶ περαινόμενα πάντα καὶ τὰ ὄντα εἶναι.

Ἑρμοῦ ἐκ τῶν πρὸς Τάτ.

Ὡς καὶ περὶ τῶν τριῶν χρόνων εὑρεῖν· οὔτε γὰρ καθ' ἑαυτούς εἰσιν, οὔτε συνήνωνται· καὶ πάλιν συνήνωνται, καὶ καθ' ἑαυτούς εἰσιν. ἐὰν χωρὶς εἶναι τοῦ παρεληλυθότος ὑπολάβῃς τὸν ἐνεστῶτα, ἀδύνατόν ἐστι συστῆναι, εἰ μὴ καὶ παρεληλυθὼς γένηται· ἐκ γὰρ τοῦ ἀποιχομένου τὸ συνεστὸς γίνεται, καὶ ἐκ τοῦ ἐνεστῶτος τὸ μέλλον ἔρχεται. εἰ δὲ δεῖ καὶ ἐπὶ πλεῖον βασανίσαι οὕτω λογισώμεθα, τὸν μὲν παρεληλυθότα χρόνον οἴχεσθαι, εἰς τὸ μηκέτι εἶναι τοῦτον, τὸν δὲ μέλλοντα μὴ ὑπάρχειν, ἐν τῷ μηδέπω παρεῖναι, ἀλλὰ μὴν δὲ τὸν ἐνεστῶτα συμπαρεῖναι ἐν τῷ μένειν. ὃς γὰρ οὐχ ἕστηκε ῥοπὴν ἔχων, οὐδὲ κέντρου μονὴν χρόνου, πῶς ἐνεστὼς εἶναι λέγεται; ὁ μηδὲ ἑστάναι δυνάμενος καὶ πάλιν ὁ παρεληλυθώς. συνάπτων τῷ ἐνεστῶτι καὶ ὁ ἐνεστὼς τῷ μέλλοντι γίνεται. οὐ γὰρ χωρὶς αὐτῶν, εἰσὶ τῇ ταυτότητι, καὶ τῇ ἑνότητι καὶ συνεχείᾳ οὕτω καὶ συνεχὴς, καὶ διεστὼς γίνεται, εἷς ὢν καὶ ὁ αὐτὸς χρόνος. Ἀπολλόδωρος ἐν τῇ φυσικῇ τέχνῃ, οὕτως ὁρίζεται τὸν χρόνον· χρόνος δέ ἐστι τὸ τοῦ κόσμου κινήσεως διάστημα· οὕτως δ' ἐστὶν ἄπειρος, ὡς ὁ πᾶς ἀριθμὸς ἄπειρος λέγεται εἶναι· τὸ μὲν γάρ ἐστιν αὐτοῦ παρεληλυθός, τὸ δὲ ἐνεστηκός, τὸ δὲ μέλλον. ἐνεστάναι δὲ τὸν πάντα χρόνον, ὡς τὸν ἐνιαυτὸν ἐνεστηκέναι λέγομεν κατὰ μείζονα περιγραφὴν, καὶ ὑπάρχειν ὁ πᾶς χρόνος λέγεται, οὐδενὸς αὐτοῦ τῶν μερῶν ὑπάρχοντος ἀπαρτιζόντως.

Ποσειδώνιος, τὰ μὲν εἶναι κατὰ πᾶν ἄπειρα, ὡς ὁ σύμπας χρόνος· τὰ δὲ κατά τι, ὡς ὁ παρεληλυθὼς χρόνος, καὶ ὁ μέλλων· κατὰ γὰρ τὸ παρὸν μόνον ἑκατέρους πεπεράσθαι. τὸν δὲ χρόνον οὕτως ὁρίζεται, διάστημα κινήσεως, ἢ μέτρον τάχους τε καὶ βραδύτητος· καὶ πῶς ἔχει τὸ ἐπινοούμενον, κατὰ τό ποτε τοῦ χρόνου· τὸν μὲν εἶναι παρεληλυθότα, τὸν δὲ μέλλοντα· τὸν δὲ παρόντα ὃς ἐκ τινος μέρους τοῦ παρεληλυθότος, καὶ τοῦ μέλλοντος, περὶ τὸν διορισμὸν αὐτὸν συνέστηκε, τὸν διορισμὸν, σημειώδη εἶναι. τὸ δὲ νῦν καὶ τὰ ὅμοια ἐν πλάτει χρόνου, καὶ οὐχὶ κατ' ἀπαρτισμὸν νοεῖσθαι. λέγεσθαι δὲ τὸ νῦν καὶ κατὰ τὸν ἐλάχιστον πρὸς αἴσθησιν χρόνον περὶ τὸν διορισμὸν τοῦ μέλλοντος, καὶ παρεληλυθότος συνιστάμενον.

Ὁ δὲ Χρύσιππος χρόνον εἶναι κινήσεως διάστημα, καθ' ὅ ποτε λέγεται μέτρον τάχους τε καὶ βραδύτητος, ἢ τὸ παρακολουθοῦν διάστημα, τῇ τοῦ κόσμου κινήσει, καὶ κατὰ μὲν τὸν χρόνον κινεῖσθαί τε ἕκαστα καὶ εἶναι, εἰ μὴ ἄρα διττὸς λέγεται ὁ χρόνος, καθάπερ ἥ τε γῆ καὶ ἡ θάλασσα καὶ τὸ κενὸν, τά τε ὅλα καὶ τὰ μέρη τὰ αὐτῶν· ὥσπερ δὲ τὸ κενὸν πᾶν ἄπειρον εἶναι πάντῃ, καὶ τὸν χρόνον πάντα ἄπειρον εἶναι ἐφ' ἑκάτερα, καὶ γὰρ τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα, ἄπειρον εἶναι. ἐμφανέστατα δὲ τοῦτο λέγει, ὅτι οὐκ εἷς ὅλος ἐνίσταται χρόνος· ἐπεὶ γὰρ εἰς ἄπειρον ἡ τομὴ τῶν συνεχόντων ἐστὶ κατὰ τὴν διαίρεσιν ταύτην καὶ πᾶς χρόνος εἰς ἄπειρον ἔχει τὴν τομήν· ὥστε μηθένα κατ' ἀπαρτισμὸν ἐνεστάναι χρόνον, ἀλλὰ κατὰ πλάτος λέγεσθαι.

λέγεσθαι. μόνον δὲ ὑπάρχειν φησὶ τὸ ἐνεστῶτα, τὸ δὲ παρῳχημένον, καὶ τὸ μέλλοντα ὑφεστάναι μὲν, ὑπάρχειν δὲ οὐδαμῶς εἰσὶν ὡς καὶ κατηγορήματα ὑπάρχειν λέγεται μόνα τὰ συμβεβηκότα, οἷον τὸ περιπατεῖν ὑπάρχει μοι, ὅτε περιπατῶ· ὅτε δὲ κατακέκλιμαι ἢ κάθημαι, οὐχ ὑπάρχει. ἔαρ δὲ ἔτους ὥραν κεκραμένην ἐκ χειμῶνος ἀπολήγοντος καὶ θέρους ἐρχομένου· ἢ τὴν μετὰ χειμῶνα ὥραν πρὸς θέρους. θέρος δὲ ὥραν ἔτους τὴν μάλιστ' ἀφ' ἡλίου διακεκαυμένην· μετόπωρον δὲ ὥραν ἔτους τὴν μετὰ θέρος μὲν, πρὸ χειμῶνος δὲ κεκραμένην· χειμῶνα δὲ ὥραν ἔτους τὴν μάλιστα κατεψυγμένην, ἢ τὴν περὶ γῆν ἀέρα κατεψυγμένην. γίγνεσθαι δὲ ἰσημερίας δύο καθ' ἕκαστον ἐνιαυτὸν, καὶ τροπὰς δύο· ἰσημερίας μὲν, ὅταν ἡ νὺξ ἡμέρᾳ ἴσαι ὦσι. τούτων δὲ τὴν μὲν ἔαρι γίγνεσθαι, τὴν δὲ μετοπώρῳ. τὰς δὲ τροπὰς, τὰς μὲν θέρους, τὰς δὲ χειμῶνος.

Ἐμπεδοκλῆς καὶ οἱ Στωικοὶ, χειμῶνα δὲ γίγνεσθαι τοῦ ἀέρος ἐπικρατοῦντος τῇ πυκνώσει εἰς τὸ ἀνώτερον βιαζομένου· θερείαν δὲ τοῦ πυρὸς, ὅταν εἰς τὸ κατώτερον βιάζηται.

Ἐνιαυτός ἐστι, κρόνου μὲν, ἐνιαυτῶν περίοδος τριάκοντα, διὸς δώδεκα, ἄρεος δυοῖν, ἡλίου δώδεκα μῆνες· οἱ δ' αὐτοὶ, ἑρμοῦ καὶ ἀφροδίτης, ἰσόδρομοι γάρ· σελήνης ἡμέραι λ'. οὗτος γὰρ ὁ τέλειος μὴν ἀπὸ φάσεως εἰς σύνοδον.

Γίγνεσθαι δὲ τὸν λεγόμενον μέγαν ἐνιαυτὸν, ὅταν ἐπὶ τοὺς αὐτοὺς ἀφ' ὧν ἤρξατο τῆς κινήσεως ἀφίκωνται τόπους. τὸν δὲ μέγαν ἐνιαυτὸν, οἱ μὲν ἐν τῇ ὀκταετηρίδι τίθενται· οἱ δὲ, ἐν τῇ ἐννεακαιδεκαετηρίδι· οἱ δ' ἐν τοῖς τετραπλασίοις ἔτεσιν, οἱ δ' ἐν τοῖς ἑξήκοντα· ἐν οἷς Οἰνοπίδης καὶ Πυθαγόρας· οἱ δὲ ἐν τῇ λεγομένῃ κεφαλῇ τοῦ κρόνου, αὕτη δέ ἐστι τῶν ἑπτὰ πλανήτων ἐπὶ ταύτας ἡ μία τῆς ἐξ ἀρκτικῆς φορᾶς ἐπάνοδος. Ἡράκλειτος ἐκ μυρίων ὀκτακισχιλίων ἐνιαυτῶν ἡλιακῶν. Διογένης ὁ Στωικὸς ἐκ πέντε καὶ ἑξήκοντα καὶ τριακοσίων ἐνιαυτῶν τοσούτων, ὅσος ἦν ὁ καθ' Ἡράκλειτον ἐνιαυτός.

[illegible]

Χρόνος ἐστὶν ὕστατον καὶ πρῶτον πάντων, καὶ ἔχει ἐν ἑαυτῷ πάντα, καὶ ἔστιν εἷς ἀεὶ, καὶ οὐκ ἔστιν ὁ παροιχόμενος ἐκ τοῦ ἐόντος αὐτῷ ἐναντίαν ὁδὸν παρεωνιατ. τὸ γὰρ αὔριον, ἢ ἐν μὲν τῷ ἔργῳ, χθὲς ἐστὶ, τὸ δ' ἐχθὲς αὔριον.

[illegible]

Πολλοὶ εἰσὶν οἱ προστεθῆναι τὸν ἰανουάριον καὶ φεβρουάριον ὑπὸ νουμᾶ τοὺς μῆνας λέγουσιν, ἐξ ἀρχῆς δὲ χρῆσθαι ῥωμαίους δέκα μόνοις εἰς τὸν ἐνιαυτὸν, ὡς ἔνιοι τῶν βαρβάρων τρισὶ, καὶ τῶν ἑλλήνων ἀρκάδες μὲν τέτρασιν, ἓξ δὲ ἀκαρνᾶνες, αἰγύπτιοι δὲ μηνιαῖος ἐνιαυτὸς, εἶτα τετράμηνος ὥς φασι· διὸ καὶ οἱ ταύτην χώραν οἰκοῦντες ἀρχαιότατοι δοκοῦσιν εἶναι, καὶ πλῆθος ἀμήχανον ἐτῶν ἐπὶ τὰς γενεαλογίας καταφέρουσιν, ἅτε δὴ τοὺς μῆνας εἰς ἐτῶν ἀριθμὸν τιθέμενοι.

[illegible]

Πλάτων αἰῶνος εἰκόνα κινητὴν, ἢ διάστημα τῆς τοῦ κόσμου κινήσεως, νοητὸν δὲ κατ' ἐπίνοιαν.

[illegible] ponit Plut.

• περιόδων τὰ πρὸς ἄλληλα συμπερανθέντα τάχη σχῇ κεφαλὴν τῷ τοῦ αὐτοῦ καὶ ὁμοίως ὄντος ἀναμετρηθέντα κύκλῳ.

Περὶ ἀφροδίτης καὶ ἔρωτος.

κεφ. ιβ'.

Τὴν ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός;
ἀλλ' οὐδ' ἂν εἴποις, οὐδὲ μετρήσειας ἂν,
ὅση πέφυκε καὶ ἐφ' ὅσον διέρχεται.

ri. Ac solum ait præsens subsistere, reliquis duobus instantibus quidem, non autem subsistentibus, nisi id more euentorum intelligatur; quemadmodum alicui ambulanti tribuitur ambulatio, iacenti vel sedenti non item. Ver porrò dixit anni tempus ex hieme desinente & æstate instante mistum; vel tempus hiemem sequens, æstatem præcedens. Aestatem verò anni tempus à Sole maximè adustum. Autumnum autem anni tempus æstatem sequens, hiemem præcedens. Hiemem denique anni tempus maximè frigidum; vel ambientem aerem rigidum. Existere autem quotannis æquinoctia duo, totidemque solstitia: æquinoctia quidem, cùm dies ac noctes sint pares, vere scilicet atque autumno; solstitia autem alia æstate, alia hieme.

Empedocles ac Stoici hiemem quidem fieri aiunt, aere propter densitatem sursum nitente; æstatem autem igne deorsum compulso.

Saturni annus est annorum vulgarium triginta, Iouis duodecim, Martis duorum, Solis duodecim mensium (vt & Mercurij ac Veneris) Lunæ dierum triginta, qui quidem perfectum constituunt mensem.

Magnus porrò annus vertitur, cùm ad eundem locum stellæ, vnde moueri cœperant, redierint. quod tempus alij octo circumscribunt annis, alij decem & nouem, alij quater tot annis, alij sexaginta, vt Oenopides & Pythagoras; alij regressu ad Saturni caput, quod vocant, ab motu boreali. Heraclitus annorum decem & octo millibus, Diogenes Stoicus trecentis sexaginta quinque annis.

Scythini de Natura.

Tempus est vltimum ac primum omnium, cunctaque in se complectitur, ac semper existit, præterito non subsistente. nam vt crastinum tempus re ipsa est hesternum, ita hesternum crastinum.

Plut. Numa. Xylandro interp.

Multi Ianuarium ac Februarium additis reliquis à Numa dicunt: Romanos enim initio decem tantùm mensibus annum composuisse, vt quidam barbari tribus, Arcades quatuor, Acarnanes sex, Aegyptij vnico, ac deinde quatuor, vt traditur. Vnde fit, vt hi, quanquàm terram nouissimam incolant, vetustissimi tamen putentur esse, ingentem annorum multitudinem in recensione generis afferentes; quippe qui menses in annorum numero ponant.

Plato mobilem æternitatis imaginem definiuit, ac mundi motus interuallum; idque cogitatione natum.

Plat. Tim. Interp. Cic.

*Absoluto perfectóque numero temporis, absolutus perfectúsque annus tunc completur denique, cùm se octo ambitus confectis suis cursibus ad idem caput retulerunt, cúmque eos permensus est idem *& semper sui similis orbis.*

De Venere & Amore.

CAP. XII.

Euripides.

CONSIDERA'S *ne quanta sit Venus dea?*
Atqui nec vnquam dixeris, nec senseris,
Et quanta sit, latéque quàm se porrigat.

Hæc teq. meq. nutrit, omnes & homines.
Signumq. non sermone tantùm noscito,
Sed re tibi vires Veneris ostendero.
Amat quidem imbrem terra, cùm siccum solum
Squalore sentum guttulas desiderat.
Amat queq. excelsum imbribus cælum graue,
Agitante Venere, in gremia terræ labier.
Cùmq. hæc in vnum ritè mista sunt duo,
Pariúntq. nobis, nutriúntq. omnia simul.

Eurip. Oedipode.

Qui viuit ac floret genus mortalium,
Amoris haud vna est voluptas vnius.
Etenim alij mala appetunt, alij bona.
Sed temperantiæ decus spectans amor
Laudandus est, vt & mihi, mortalibus.

Bionis, interprete Gambara.

Pieridas vocet acer Amor: chorus omnis Amorem
Sublimem portent humeris: mihi dulcia semper
Carmina concedant cupienti & læta Camenæ.
Nã mihi res nec grata magis, nec dulcior vlla est.

Eurip. Dict.

Nam fuit amicus, meq. quondã trahat Amor,
Fugiens ineptias & Amathuntis deam.
Non est profectò alius amor mortalibus
Animiq. iusti temperantisq. & probi.
Legem decebat hanc dari mortalibus,
Probos amare, temperantes qui forent,
Venerémq. filiam Iouis contemnere.

Hesiod. Theogon.

Primum nempe chaos rerum fuit, ——
Et quod diis forma præcellens numen Amoris.

Parmenid.

Cunctorũ primum diuorum finxit Amorem.

Non necessitas solùm ac decretum bonos esse iubet, sed qui maximas res gerit Amor, virtutem quoque perfectam reddit.

Plat. Phæd.

Quare hoc ipsum ne formidemus, neve vlla nos ratio absterreat, ostendens prudentem & sanum potius, quàm concitatum amicum esse diligendum. At ille insuper ostendat si potest, ac victoriam reportet, non pro vtilitate amantis, & amati amorem à diis esse concessum. Nobis verò nunc ostendendum est contrà, pro felicitate maxima huiusmodi furorem à diis hominibus esse datum. Demonstratio autem erit cõtentiosis quidem incredibilis, sapientibus vero contrà.

Cæterùm quod quærebam id ipsum est. Furorem quendam Amorem vocauimus, an non? Certè. Furoris autem duas species ponimus. alteram ab humanis morbis, alteram ex alienatione diuina, qua extra consuetam vitæ constitutionẽ quis rapitur. Omnino. Diuinæ autem partes quatuor, vt etiam dij præsunt quatuor. Et vaticinij quidem inspirationem Apollini, mysteria Dionysio, poeticam Musis, amatorium furorem Veneri & Amori omnium optimum tribuimus.

Paulo ante.

Tendit igitur huc totus sermo, qui est circa quartum furorem, quo quando quis visa hac pulcritudine aliqua veræ illius reminiscens, alas recipit, receptísq. euolare nititur. cùm verò id facere nequeat, tanquam auis superna suspiciens, & inferiora contemnens, crimen reportat, quasi furore correptus. Hæc itaq. diuina alienatio omniũ

αὕτη τρέφει σε κἀμὲ καὶ πάντας βροτούς·
τεκμήριον δὲ μὴ λόγῳ μόνον μάθῃς,
ἔργῳ δὲ δείξω τὸ σθένος τὸ τῆς θεοῦ.
ἐρᾷ μὲν ὄμβρου γαῖα, ὅτ' ἂν ξηρὸν πέδον
ἄκαρπον αὐχμῷ νοτίδος ἐνδεῶς ἔχει.
ἐρᾷ δ' ὁ σεμνὸς οὐρανὸς πληρούμενος
ὄμβρου πεσεῖν εἰς γαῖαν ἀφροδίτης ὕπο.
ὅταν δὲ συμμιχθῆτον ἐς ταυτὸν δύο,
τίκτουσιν ἡμῖν πάντα, καὶ ἐκτρέφουσ' ἅμα.

Ὅθεν βρότειον ζῇ τι καὶ θάλλει γένος,
ἑνὸς ἔρωτος ὄντες οὐ μιᾶς ἡδονῆς.
οἱ μὲν τῶν κακῶν ἐρῶσιν, οἱ δὲ τῶν καλῶν·
*οὐδ' εἰς τὸ σῶφρον ἐπ' ἀρετὴν τ' ἄγων ἔρως,
ζηλωτὸς ἀνθρώποισιν, ὧν εἴην ἐγώ.

ὁ δὲ lego pro οὐδ'

Μοῖσαι ἔρως καλέοι, μοῖσαι τε ἔρωτα φέροιεν.
μολπὰν ταὶ μοῖσαι μοι ἀεὶ ποθέοντι διδοῖεν
τὰν γλυκερὰν μολπάν, τᾶς φάρμακον ἅδιον οὐδέν.

Φίλος γὰρ ἦν μοι, καί μ' ἔρως ἕλοι ποτέ,
οὐκ εἰς τὸ μωρὸν, οὐδέ μ' εἰς κύπριν τρέπων,
ἀλλ' οὐκ ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως
ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς·
καὶ χρῆν δὲ τοῖς βροτοῖσι τόνδ' εἶναι νόμον,
τῶν εὐσεβούντων, οἵτινές γε σώφρονες,
ἐρᾶν· κύπριν δὲ τὴν διὸς χαίρειν ἐᾶν.

Ἤτοι μὲν πρώτιστα χάος γένετ' αὐτὰρ ἔπειτα,
ἠδ' ἔρος ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι.

Πρώτιστα μὲν ἔρωτα θεῶν μητίσατο πάντων.

Οὐχ ἡ ἀνάγκη μόνον, καὶ τὸ δόγμα ἀγαθοὺς εἶναι ἐξορμᾷ· ἀλλὰ καὶ ὅπερ ἐξεργάζεται τὰ μέγιστα τῶν ἀνθρωπίνων ἔρως, οὗτος καὶ τὴν ἀρετὴν τελεσίδρομον εἶναι ποιεῖ.

Ὥστε τοῦτ' αὐτὸ μὲν μὴ φοβώμεθα, μηδέ τις ἡμᾶς λόγος θορυβείτω δεδιττόμενος, ὡς πρὸ τοῦ κεκινημένου τὸν σώφρονα δεῖ προαιρεῖσθαι φίλον· ἀλλὰ τόδε πρὸς ἐκείνῳ δείξας φερέσθω τὰ νικητήρια, ὡς οὐκ ἐπ' ὠφελείᾳ ἔρως τῷ ἐρωμένῳ ἐκ θεῶν ἐκπέμπεται). ἡμῖν δὲ ἀποδεικτέον αὖ τοὐναντίον ὡς ἐπ' εὐτυχίᾳ παρὰ θεῶν ἡ τοιαύτη μανία δίδοται. ἡ δὲ δὴ ἀπόδειξις ἔσται δεινοῖς μὲν ἄπιστος, σοφοῖς δὲ πιστή.

Ὃ μέντοι ἐζητοῦμεν ἔστιν αὐτὸ τοῦτο· μανίαν γάρ τινα ἐφήσαμεν εἶναι τὸν ἔρωτα. ἦ γάρ; ναί. μανίας δὲ εἴδη δύο, τὴν μὲν ὑπὸ νοσημάτων ἀνθρωπίνων, τὴν δὲ ὑπὸ θείας ἐξαλλαγῆς τῶν εἰωθότων νομίμων γιγνομένην. πάνυ γε. τῆς δὲ θείας τεττάρων θεῶν τέτταρα μέρη διελόμενοι μαντικὴν μὲν ἐπίπνοιαν ἀπόλλωνος θέντες, διονύσου δὲ καὶ τελεστικήν, μουσῶν δὲ αὖ, ποιητικήν· τετάρτην δὲ ἀφροδίτης καὶ ἔρωτος, ἐρωτικὴν μανίαν ἐφήσαμεν ἀρίστην εἶναι.

ἐν ταὐτῷ.

Ἔστι δὴ οὖν δεῦρο ὁ πᾶς ἥκων λόγος, περὶ τῆς τετάρτης μανίας, ἣν ὅταν τὸ τῇδε τις ὁρῶν κάλλος τοῦ ἀληθοῦς ἀναμιμνησκόμενος πτερῶταί τε καὶ ἀναπτερούμενος προθυμούμενος ἀναπτέσθαι. ἀδυνατῶν δὲ ὄρνιθος δίκην βλέπων ἄνω, τῶν κάτω δὲ ἀμελῶν, αἰτίαν ἔχει ὡς μανικῶς διακείμενος· ὡς ἄρα αὐτὴ πασῶν τῶν ἐνθουσιάσεων ἀρίστη τε καὶ ἐξ ἀ-

ρίστων

εἶναι τῷ τε ἔχοντι καὶ τῷ κοινωνοῦντι αὐτῆς γίγνεται, καὶ ὅτι ταύτης μετέχων τῆς μανίας, ὁ ἐρῶν τῶν καλῶν ἐραστὴς γίγνεται.

Τοῦτο δὲ τὸ πάθος, ὦ παῖ καλέ, πρὸς ὃν δή μοι ὁ λόγος, ἄνθρωποι μὲν, ἔρωτα ὀνομάζουσι· θεοὶ δὲ ὃ καλοῦσιν, ἀκούσας, εἰκότως διὰ νεότητα γελάσῃ. λέγουσι δὲ οἶμαί τινες Ὁμηριδῶν ἐκ τῶν ἀποθέτων ἐπῶν, δύο ἔπη εἰς τὸν ἔρωτα, ὧν τὸ ἕτερον πάνυ ὑβριστικὸν καὶ οὐ σφόδρα τι ἔμμετρον· ὑμνοῦσι δὲ ὧδε,

Τὸν δ' ἤτοι θνητοὶ μὲν ἔρωτα καλοῦσι ποτηνόν·
ἀθάνατοι δὲ πτέρωτα, διὰ πτεροφύτορ' ἀνάγκην.

Ἔφη Φαῖδρον ἀρξάμενον, ἔνθεν δὲ πόθεν λέγειν, ὅτι μέγας θεὸς εἴη ὁ ἔρως, καὶ θαυμαστὸς ἐν ἀνθρώποις τε καὶ θεοῖς, πολλαχῆ μὲν καὶ ἄλλη, οὐχ ἥκιστα δὲ κατὰ τὴν γένεσιν. τὸ γὰρ ἐν τοῖς πρεσβύτατον εἶναι τῶν θεῶν τίμιον εἶδος· τεκμήριον δὲ τούτου, γοναὶ δὲ ἔρωτος οὔτ' εἰσὶν οὔτε λέγονται ὑπ' οὐδενὸς, οὔτε ἰδιώτου, οὔτε ποιητοῦ. ἀλλὰ Ἡσίοδος πρῶτον μὲν χάος φησὶ γενέσθαι, μετὰ τὸ χάος δύο τούτω γενέσθαι, γῆν τε καὶ ἔρωτα. Ἡσιόδῳ δὲ καὶ Ἀκουσίλεως ξύμφησιν, ἐν τοῖς πρεσβυτάτοις εἶναι, πρεσβύτατός τε ὢν μεγίστων ἀγαθῶν ἡμῖν αἴτιός ἐστι.

ἐν συμπ. Πάντες γὰρ ἴσμεν ὅτι οὐκ ἔστιν ἄνευ ἔρωτος Ἀφροδίτη. μιᾶς μὲν οὔσης, εἷς ἂν ἦν ἔρως. ἐπεὶ δὲ δύο ἐστὸν, δύο ἀνάγκη καὶ ἔρωτας εἶναι. πῶς δὲ οὐ δύο τὼ θεά; ἡ μέν γέ που πρεσβυτέρα, καὶ ἀμήτωρ οὐρανοῦ θυγάτηρ, ἣν δὴ καὶ οὐρανίαν ἐπονομάζομεν· ἡ δὲ νεωτέρα Διὸς καὶ Διώνης, ἣν δὴ πάνδημον καλοῦμεν· ἀναγκαῖον δὴ καὶ ἔρωτα, τὸν μὲν τῇ ἑτέρᾳ ξυνεργὸν, πάνδημον ὀρθῶς καλεῖσθαι, τὸν δὲ οὐράνιον.

ἐν συμπ. Οὕτω πᾶν πάντως γε καλὸν ἕνεκα ἀρετῆς χαρίζεσθαι. οὗτός ἐστιν, ὁ τῆς οὐρανίας θεοῦ ἔρως καὶ οὐράνιος, καὶ πολλοῦ ἄξιος καὶ πόλει καὶ ἰδιώταις, πολλὴν ἐπιμέλειαν ἀναγκάζων ποιεῖσθαι πρὸς ἀρετὴν τόν τε ἐρῶντα αὐτὸν αὑτοῦ, καὶ τὸν ἐρώμενον. οἱ δ' ἕτεροι πάντες τῆς ἑτέρας τῆς πανδήμου.

ἐν συμπ. Τὸ μὲν γὰρ διπλοῦν εἶναι τὸν ἔρωτα δοκεῖ μοι καλῶς διελέσθαι. ὅτι δὲ οὐ μόνον ἐστὶν ἐπὶ ταῖς ψυχαῖς τῶν ἀνθρώπων πρὸς τοὺς καλοὺς, ἀλλὰ καὶ πρὸς ἄλλα πολλὰ, καὶ ἐν τοῖς ἄλλοις τοῖς τε σώμασι τῶν πάντων ζώων καὶ τοῖς ἐν τῇ γῇ φυομένοις, καὶ ὡς ἔπος εἰπεῖν ἐν πᾶσι τοῖς οὖσι καθεωρακέναι, μοι δοκεῖ ἐκ τῆς ἰατρικῆς τῆς ἡμετέρας τέχνης. ὡς μέγας καὶ θαυμαστὸς καὶ ἐπὶ πᾶν ὁ θεὸς τείνει, καὶ κατά τ' ἀνθρώπινα, καὶ κατὰ τὰ θεῖα πράγματα· ἄρξομαι δὲ ἀπὸ τῆς ἰατρικῆς, λέγων, ἵνα πρεσβεύωμεν τὴν τέχνην. ἡ γὰρ φύσις τῶν σωμάτων, τὸν διπλοῦν ἔρωτα τοῦτον ἔχει· τὸ γὰρ ὑγιὲς τοῦ σώματος, καὶ τὸ νοσοῦν ὁμολογουμένως, ὡς ἕτερόν τε καὶ ἀνόμοιόν ἐστι. τὸ δὲ ἀνόμοιον, ἀνομοίων ἐπιθυμεῖ καὶ ἐρᾷ. ἄλλος

alienationum optima, atq. ex optimis fit, & habenti & participanti: & qui hoc tenetur furore, cùm amet pulcra, amator vocatur.

Hunc vtiq. affectum, ingenue adolescens, ad quem meus est sermo, homines amorē appellant. Quo autem modo dij nominant, si audieris, merito propter iuuentutem ridebis. Tradunt Homerici quidā, vt arbitror, ex reconditis carminibus, in amorem carmina duo, quorum alterum valde petulans, neq. satis concinnum. Sic autem aiunt: Hunc quidē mortales amorem vocāt volatilem: Immortales autem alatum, propter volandi necessitatem.

Dixerunt Phædrum hunc in modū exorsum fuisse. Magnus deus est amor, & apud deos hominesq; mirandus, cùm propter alia multa, tum maximè propter eius originem. Cùm enim ex antiquissimorum deorum numero sit, honore dignus apparet. Id autē ex eo cōstat, quòd parentes Amoris à nullo vel poeta, vel alio quouis traduntur. Sed Hesiodus principio Chaos extitisse asserit, post Chaos videlicet asserens duo hæc extitisse, Terram atq. Amorē. Acusileus quoq. cum Hesiodo sentire videtur. Atq. ita passim Amorē ex antiquissimis esse conceditur. Cùm verò talis sit, maximorum bonorum nobis est causa. — Plat. Symp.

Neminem profectò latet, absq. amore Venerem nunquam esse. Quare si vna esset Venus, vnus & amor. Quoniam verò duæ sunt Veneres, geminū quoque amorem esse necesse est. Geminam autem deam hanc esse quis neget? Nónne vna quidem antiquior est & sine matre Venus, cælo nata, quā cælestem Venerē nuncupamus? altera verò iunior è Ioue & Dione progenita, quā vulgarem communemq; vocamus? Necessarium itaq. amorem Veneris illius comitem, cælestem vocari, huius verò vulgarem.

Hac itaq. ratione virtutis auiditate gratificari, atq. seruire semper honestum. Hic autem est ipsius cælestis deæ amor, cælestis & ipse: qui tam priuatim, quàm publicè preciosus est, & amantē pariter atque amatum virtutis curam studiumq; suscipere cogit. Cæteri verò amores, Veneris vulgaris sunt comites.

Distinctionem quidē illam, qua in duo distributus est Amor, approbo. Verùm nostra hac medicina arte comperisse mihi videor, non solùm animis hominū erga pulcros Amorem inesse, verùm etiam ad alia multa, atq. in aliis tum corporibus animaliū, tum his quæ ex terra nascuntur: ac deniq. in omnibus, vt ita dixerim, quæ in rerū natura consistunt, magnum quoq. atq. mirabilem hunc deum per omnia tam humana, quàm diuina latissimè se porrigere. A medicinæ peritia primò exemplum capiam, vt artē meam venerer. Corporum sanè natura Amorem hunc geminum cōtinet. Quod enim in corporibus nostris bene valet, & quod malè, aliud atque dissimile esse constat. Quod verò dissimile est, dissimile cupit & amat.

amat. Alius ergo qui in sano corpore Amor, alius qui in ægroto.

Quinetiã anni temporum constitutio vtrisq. his plena est. Nam quoties illa, quæ modò dicebã, calida & frigida, sicca & humida, congruũ inter se sortiuntur amorẽ, et harmoniam, temperiemq. oportunam suscipiunt, salubrem & fertilẽ annũ hominibus, animantibus omnibus, atq. plantis offerunt, neque quicquã lædunt. Contrà verò cùm petulans & contumeliosus amor in anni temporibus præualet, iniuria multa corrumpit. Pestes siquidem ex his oriri consueuerũt, aliiq. morbi permulti, & varii brutis ac plantis innasci. Quoniam pruina, glacies, grando, segetumq. rubigines, & putredines ex immoderato & excedente qualitatum amore proueniunt: horumq. & cœli motus, & anni temporum scientia, Astronomia vocata est. Præterea sacrificia omnia, & illa quibus vaticinium præest, communiones videlicet deorum hominumq. inuicẽ, circa nihil aliud versantur, quàm amoris curationem atq. custodiam. Omnis enim impietas tunc accidit, quando quis modesto amori haud indulget, nec illum honorans in omnibus veneratur, sed circa amorẽ alterum peruagatur, nec officio congruè erga parentes viuos & defunctos, & erga deos vtitur. Hos amores discernere atq. curare vaticinii propositũ est. Est insuper vaticinium amicitiæ inter deos & homines opifex, ex eo quod intelligit qui potissimùm ex humanis amoribus fas aut nefas attingit. Atq. ita multam & amplam, imò verò omnẽ vim summatim quidem amnis cõtinet amor: sed qui circa bona cum temperantia & iustitia, tam ergo nos quàm erga deos versatur, vim summam habet, omnemq. nobis beatitudinem exhibet. Nam & nos inuicem communi vita conciliat, & diis humana natura præstantioribus amicos efficit.

Beatos autem nonne illos vocas, qui bona pulcraq. possident? Illos dumtaxat. Atqui amorem in superioribus admisisti propter pulcrorum bonorumq. inopiam, hæc ipsa quorum indigus est, appetere. Admisi equidem. Quonam igitur modo deus est, inquit, qui pulcrorum bonorumq. est expers? Nullo pacto, vt videtur, inquam. Vidésne quòd et ipse amorem deum esse non putas? Quid ergo, inquam: num mortalis est amor? Minimè. Quid igitur? Superiorũ instar, mortalis immortalisve medium. Quid inquam est, ô Diotima? Magnus, ô Socrates, dæmon. Etenim omnis natura dæmonũ inter mortales deósve est media. Quam vim habet? Interpretatur, inquit, & traiicit humana ad deos, diuina ad homines; horum quidem preces, & sacrificia, illorum præcepta, institutiones, & ordinem. In vtroq. medio cõstituta totum complet, vt vniuersum secum ipso tali vinculo connectatur. Per hunc vaticinium omne procedit sacerdotumq. diligentia circa sacrificia expiationesq. & incantationes, et diuinationem omnem, atq. magicam. Deus quidẽ homini non miscetur,

μὲν οὖν ὁ ἐπὶ τῷ ὑγιεινῷ ἔρως, ἄλλος δὲ ὁ ἐπὶ τῷ νοσώδει.

Ἐπεὶ καὶ ἡ τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ σύστασις, μεστή ἐστιν ἀμφοτέρων τούτων· καὶ ἐπειδὰν μὲν πρὸς ἄλληλα τοῦ κοσμίου τύχῃ ἔρωτος ἃ νῦν δὴ ἔλεγον, τά τε θερμὰ καὶ ψυχρὰ, καὶ τὰ ξηρὰ, καὶ ὑγρὰ, καὶ ἁρμονίαν, καὶ κρᾶσιν λάβῃ σώφρονα, ἥκει φέροντα εὐετηρίαν τέ καὶ ὑγείαν ἀνθρώποις καὶ τοῖς ἄλλοις ζώοις τε καὶ φυτοῖς, καὶ οὐδὲν ἠδίκησεν. ὅταν δὲ ὁ μετὰ τῆς ὕβρεως ἔρως ἐγκρατέστερος, καὶ περὶ τὰς τοῦ ἐνιαυτοῦ ὥρας γένηται, διαφθείρεται πολλὰ καὶ ἀδικεῖ. οἵ τε γὰρ λοιμοὶ φιλοῦσι γίγνεσθαι ἐκ τῶν τοιούτων, καὶ ἄλλα ἀνόμοια, καὶ πολλὰ νοσήματα, καὶ τοῖς θηρίοις καὶ τοῖς φυτοῖς· καὶ γὰρ πάχναι καὶ χάλαζαι καὶ ἐρυσῖβαι ἐκ πλεονεξίας καὶ ἀκοσμίας περὶ ἄλληλα τῶν τοιούτων γίγνονται ἐρωτικῶν, ὧν ἐπιστήμη περὶ ἄστρων τε φορὰς, καὶ ἐνιαυτῶν ὥρας, ἀστρονομία καλεῖται. ἔτι τοίνυν καὶ αἱ θυσίαι πᾶσαι, καὶ οἷς μαντικὴ ἐπιστατεῖ τέχνη, ταῦτα δ' ἐστὶν ἡ περὶ θεοὺς καὶ ἀνθρώπους πρὸς ἀλλήλους κοινωνία, οὐ περὶ ἄλλο τί ἐστιν, ἢ περὶ ἔρωτος φυλακήν τε καὶ ἴασιν. πᾶσα γὰρ ἀσέβεια φιλεῖ γίγνεσθαι, ἐὰν μή τις τῷ κοσμίῳ ἔρωτι χαρίζηται, μηδὲ τιμᾷ τε αὐτὸν καὶ πρεσβεύῃ ἐν παντὶ ἔργῳ, ἀλλὰ τὸν ἕτερον, καὶ περὶ γονέας καὶ ζῶντας καὶ τετελευτηκότας, καὶ περὶ θεούς· ἃ δὴ προστέτακται τῇ μαντικῇ ἐπισκοπεῖν τοὺς ἐρῶντας, καὶ ἰατρεύειν· καὶ ἔστιν αὖ ἡ μαντικὴ φιλίας θεῶν, καὶ ἀνθρώπων δημιουργὸς, τῷ ἐπίστασθαι τὰ κατ' ἀνθρώπους ἐρωτικὰ, ὅσα τείνει πρὸς θέμιν καὶ εὐσέβειαν. οὕτω πολλὴν καὶ μεγάλην, μᾶλλον δὲ πᾶσαν δύναμιν ἔχει ξυλλήβδην μὲν ὁ πᾶς ἔρως. ὁ δὲ περὶ τ' ἀγαθὰ μετὰ σωφροσύνης καὶ δικαιοσύνης ἀποτελούμενος καὶ παρ' ἡμῖν καὶ παρὰ θεοῖς, οὗτος τὴν μεγίστην δύναμιν ἔχει, καὶ πᾶσαν ἡμῖν εὐδαιμονίαν παρασκευάζει, καὶ ἀλλήλοις δυναμένοις ὁμιλεῖν, καὶ φίλους εἶναι, καὶ τοῖς κρείττοσιν ἡμῶν θεοῖς.

Εὐδαίμονας λέγεις οὐ τοὺς τἀγαθὰ καὶ καλὰ κεκτημένους; πάνυ γε. ἀλλὰ μὴν ἔρωτά γε ὡμολόγηκας δι' ἔνδειαν τῶν καλῶν καὶ τῶν ἀγαθῶν, ἐπιθυμεῖν αὐτῶν τούτων ὧν ἐνδεής ἐστιν. ὡμολόγηκα γάρ. πῶς ἂν οὖν ὁ θεὸς εἴη ὅ γε τῶν καλῶν, καὶ ἀγαθῶν ἄμοιρος; οὐδαμῶς, ὡς ἔοικεν. ὁρᾷς οὖν ἔφη ὅτι καὶ σὺ ἔρωτα οὐ θεὸν νομίζεις; τί οὖν ἂν ἔφην ὁ ἔρως εἴη θνητός; ἥκιστά γε. ἀλλά τί μήν; ὥσπερ τὰ πρότερα ἔφην μεταξὺ θνητοῦ καὶ ἀθανάτου. τί οὖν ὦ Διοτίμα; δαίμων μέγας, ὦ Σώκρατες, καὶ γὰρ πᾶν δύναμιν ἔχων ἑρμηνεύειν καὶ διαπορθμεύειν θεοῖς τε τὰ παρ' ἀνθρώπων, καὶ ἀνθρώποις τὰ παρὰ θεῶν, τῶν μὲν τὰς δεήσεις καὶ θυσίας, τῶν δὲ τὰς ἐπιτάξεις τε καὶ ἀμοιβὰς τῶν θυσιῶν. ἐν μέσῳ δ' ὂν ἀμφοτέρων συμπληροῖ, ὥστε τὸ πᾶν αὐτὸ αὑτῷ συνδεδέσθαι. διὰ τούτου καὶ ἡ μαντικὴ πᾶσα χωρεῖ καὶ ἡ τῶν ἱερῶν τέχνη τῶν τε περὶ τὰς θυσίας καὶ τὰς τελετὰς, καὶ τὰς ἐπῳδὰς καὶ τὴν μαντείαν πᾶσαν, καὶ γοητείαν. θεὸς δὲ ἀνθρώπου καὶ μίγνυται· ἀλλὰ διὰ

τούτου

τούτῳ πᾶσά ἐστιν ἡ ὁμιλία καὶ ἡ διάλεκτος θεοῖς πρὸς ἀνθρώποις καὶ ἐγρηγορόσι καὶ καθεύδουσι. καὶ ὁ μὲν περὶ τὰ τοιαῦτα σοφὸς, δαιμόνιος ἀνήρ, ὁ δὲ ἄλλο τι σοφὸς, ἢ περὶ τέχνας ἢ περὶ χειρουργίας, βάναυσος. οὗτοι δὴ οἱ δαίμονες πολλοί τε καὶ παντοδαποί εἰσιν, εἷς δὲ τούτων καὶ ὁ ἔρως.

Περὶ ἀρχῶν, καὶ στοιχείων, καὶ τοῦ παντός.

κεφ. ιγ'.

Ἡσιόδ. Θεογ.

Ἤτοι μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα
γαῖ' εὐρύστερνος πάντων ἕδος ἀσφαλὲς αἰεὶ
ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,
τάρταρά τ' ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης.

Ὁμήρου.

Ὠκεανός θ' ὅσπερ γένεσις πάντεσσι τέτυκται.

Ὀρφέως.

Ἓν δέμας βασίλειον, ἐν ᾧ τάδε πάντα κυκλεῖται,
πῦρ, ὕδωρ, καὶ γαῖα, καὶ αἰθὴρ, νύξ τε καὶ ἡμέρα.
Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν.

Λίνου ἐκ τοῦ περὶ φύσεως κόσμου.

Ὡς κατ' ἔριν συνάπαντα κυβερνᾶται διὰ παντός,
ἐκ παντὸς δὲ τὰ πάντα, καὶ ἐκ πάντων τὸ πᾶν ἐστί.
πάντα δ' ἕν ἐστιν, ἕκαστον δὲ μέρος ἐστὶν ἅπαντα.
ἐκ γὰρ ἑνός ποτε ὄντος ὅλου τάδε πάντ' ἐγένοντο,
ἐκ πάντων δέ ποτ' αὖθις ἓν ἔσται καὶ χρόνῳ αἰών
ἀεὶ, ἓν ὂν καὶ πολλά· καὶ οὐκ ἔστι ταῦτα, καὶ οὔποτε πεῖρας
ἕξουσι,
ἀεὶ πείρατ' ἔχον πηχθὲν γένος ἔλαχε τούτων;
οὐδὲ γὰρ ἀθάνατος θάνατος περὶ πάντα καλύπτει,
θνητὸς ἐὰν καὶ πᾶν θνήσκει φθαρτὸν, τὸ δ' ὑπάρχον,
φαντασίαις θ' ἀλλοτρόποις καὶ σχήματι μορφῆς
ἀλλάξει τρόπον ἀποκρυπτόμενα ὄψιν ἁπάντων,
ἄφθαρτον ἰθείοντ' ἀεὶ καθ' ὅτι δὴ τέτυκται.

Ὁμήρου.

Ὅμηρος δὲ σημαίνει τὴν ἀνάλυσιν εἰς τὰ γεννικὰ στοιχεῖα τοῦ παντὸς, λέγων,
Ἀλλ' ὑμεῖς μὲν πάντες, ὕδωρ καὶ γαῖα γένοισθε.
ἐκ πυρὸς γὰρ τὰ πάντα τελευτᾷ.

Ὠκεανὸς πρῶτος καλλίρροος ἦρξε γάμοιο,
κασιγνήτην ὁμομήτορα Τηθὺν ὄπυιεν·
γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
οὐρανὸν ἀστερόενθ', ἵνα μιν περὶ πάντα καλύπτοι,
ὄφρ' εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί.

[illegible] ponitur supra.

οὐδὲ εἷς λέληθεν οὐδὲ ἓν ποιῶν,
οὐδ' ἂν ποιήσων οὐδὲ πεποιηκὼς πάλαι,
οὔτε θεὸς, οὔτ' ἄνθρωπος. οὗτος εἰμὶ ἐγὼ,
ἀὴρ ὃν ἄν τις ὀνομάσειε, καὶ Δία.
ἐγὼ δ', ὃ θεοῦ ἐστιν ἔργον, εἰμὶ πανταχοῦ,
ἐνταῦθ' ἐν Ἀθήναις, ἐν Πάτραις, ἐν Σικελίᾳ,
ἐν ταῖς πόλεσι πάσαισιν, ἐν ταῖς οἰκίαις
πάσαις, ἐν ὑμῖν πᾶσιν· οὐκ ἔστι τόπος,
οὗ μή 'στιν ἀήρ· ὁ δὲ παρὼν ἁπανταχοῦ,
πάντ' ἐξ ἀνάγκης οἶδε πανταχοῦ παρών.

Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε·
Ζεὺς ἀργὴς, Ἥρη τε φερέσβιος ἠδ' Ἀϊδωνεύς,
Νῆστις θ' ἣ δακρύοις τέγγει κρούνωμα βρότειον.
τῶν δὲ συνερχομένων ἐξέσχατον ἵστατο νεῖκος.

Δία μὲν λέγει τὴν ζέσιν τὸν αἰθέρα, Ἥραν δὲ φερέσβιον τὴν γῆν· ἀέρα δὲ τὸν Ἀϊδωνέα, ἐπειδὴ φῶς οἰκεῖον οὐκ ἔχει, ἀλλ' ὑπὸ ἡλίου καὶ σελήνης, καὶ ἀστέρων, καταλαμβάνεται. Νῆστιν δὲ καὶ κρούνωμα βρότειον, τὸ σπέρμα καὶ τὸ ὕδωρ. ἐκ τεσσάρων οὖν

sed per id medium commercium omne atq. colloquium inter deos hominesq; conficitur, et vigilantibus nobis, & dormientibus. Quicunque harum rerum peritus est, felix vir, & sapiens nuncupatur: qui verò alias artes, & facultates quæ manibus explentur, callent, mercenarij nominantur. Enimuerò hi dæmones multi atq. varij sunt. Ex his vnus est amor.

De principiis, & elementis, atq. Vniuerso.

CAP. XIII.

Hesiodi Theogon.

PRIMVM *nempe chaos rerũ fuit, inde creata est*
Cunctorum sedes lato cum pectore terra
Diuorum, iuga qui calcant sublimis Olympi:
Tartaraq; immensa terræ tenebrosa cauernis.

Homeri.

Oceanumq; ortum cunctis qui donat habere.

Orphei.

Atq. vnũ est, in quo voluuntur singula, corpus,
Ignis, aqua, & tellus, atq. æther, noxq; diesq;.

Iliad. ξ.

Oceanumq; deũm patrem, & Tethyn genitricẽ.

Lini de natura mundi.

Omnia per totum contentio sola gubernat,
Omniaq; ex omni sunt, atq. ex omnibus omne,
Omniaq; vnum sunt, & pars est omnia quæuis.
Nam quondã ex vno toto hæc sunt omnia nata,
Cunctaq; erunt vnum rursus labentibus annis,
Vnum & multa simul: nec finem sentiet vllum,
Finem semper habens. cui genti contigit istud?
Nam sic mors immortalis tegit omnia circum.
Quicquid & interitũ sentit, moritur: quod & extat,
*Et visis *transmutatis formaq; figura*
Mutabit faciem, cunctorum lumina fallens.
Nil immortale est, quod in hoc producitur orbe.

ἀναλλάξεται lego.

Homerus autem resolutionem totius in elementa prima significauit hoc versu,
At vos terra simul cuncti fietis & vnda.
*nam ex igne cuncta * desinunt.*

Orphei.

Oceanus primus connubia iungere cœpit,
Qui Tethyn quondam germanam fortis iniuit.
At Tellus primùm partu sibi protulit æquum
Cœlum stellatum, quod eam tegat vndiq. sursum,
Quod sedes sit firma deis cælestibus vsque.
Quem nullus aliquid perpetraturus latet,
Aut perpetrans, aut si quid olim fecerit,
Siue hic deus sit, siue mortalis, ego sum
Aer, vocare quem liceat etiam Iouem.
At ego, deorum quod opus est, vbique sum,
Heic nempe Athenis, & Patris, in Sicilia,
In vrbibus cunctis, simulq; in ædibus,
Vobis in omnibus, nec est quisquam locus,
Vbi non sit aer. ceterùm qui vbique adest,
Norit necesse est cuncta, cuncta tenens loca.

Empedoclis

Radices quatuor cunctorum, protinus audi:
Candens Iuppiter, auctor vitæ Iuno, Aedoneus,
Et ieiunium ab humano quod fonte rigatur.
His è congressis Contentio postuma prodit.

*Iouem quidem bullientem vocat ætherem, Iunonem autem vitæ auctorem terram, aerem verò Aidoneum, qui proprium lumen non habet, à sole, ac luna, stellisq; *collustratus; ieiunium deniq. & humanũ fontem, semen & aquam. Quatuor*

[illegible] lego.

αἰτίων lego pro αἰτίω.

*igitur elementis hoc vniuersum cōstat,*quorum natura de contrariis permista,siccitate videlicet, calore,humore ac frigore,totum hoc quadam proportione ac temperatione perficiat,sic vt ipsa quidem in partibus mutationes experiatur, totū autem interitum non pertimescat. sic enim ait,*

Interdum per amicitiam cuncta hæc copulantur,
Interdum per dissidium secreta feruntur.

Homerus autem partiū totius amicitiam & contentionem his Iunonis verbis indicauit,

Visere fert animus fecunda ad limina terræ,
Oceanumq́ deûm patrem, et Tethyn genitricem:
Quos equidē inuisam, atq. illorū iurgia soluam.

Thales Milesius rerum principium posuit aquā. siquidem & ex aqua inquit oriri omnia, & in eandem resolui. Argumentū autem ex eo primū sumit, quòd omnium animalium principium, semen,natura sit humida. quocirca videri quoque reliquorū principia esse humida.deinde quod stirpes omnes humore alantur, eoq́ deficiente exarescāt. tertiò,quòd ipse quoq.tum solis tum aliarum stellarum ignis humidis alatur vaporibus, adeoq́ mundus ipse.

Anaximander Praxiadis F.Milesius infinitum statuit rerum principium.ex eo enim cuncta oriri,& in idem interire.quare mundos etiam nasci infinitos,& rursum interire. Quocirca ne quid rerum ortui desit,infinitum ponit.Sed cùm infiniti naturam non explicat,peccat. id porrò nihil est aliud, quàm materia. Sed materia nequit formam nancisci,si desit efficiens.

Xenophanes totum ex vno & æterno dixit constare,materiam in multitudine ponens.

Anaximenes Eurystrati F.Milesius aerem posuit rerum principium. ex eo enim cuncta oriri, & in eundem rursus interire. Sic anima,inquit, nostra, cùm sit aer,nos constituit: & mundū totum spiritus atq.aer complectitur.ponuntur autē pro eodem aer atq. spiritus. Sed ipse quoq.cùm ex aere puro atq. simplici constare putat animalia, peccat.Non enim potest vna materia rerū statui principium, sed etiam requiritur efficiens causa. Sic argentum ad vas aliquad efficiendum nō sufficit,nisi adsit efficiens,faber argentarius.

Anaxagoras Hegesibuli F.Clazomenius partes similes pro principiis habuit. Nam cùm simplex alimentum sumamus,panem & aquam,eoq́ nutriantur venæ, arteriæ,caro, nerui, ossa,reliquaq́ membra:consequitur alimento inesse omnia, quibus illa nutriantur. quocirca ratione membra in eo intelliguntur. Itaq.quòd similes alimenti sint partes iis quæ nutriuntur,similes has partes pro principiis habuit. & vt hanc materiam posuit,ita mentem omnia disponētem, causam efficientem.

Archelaus infinitū aerē dixit,eiusq́ tum densitatē tum raritatē,quarū illa sit ignis,hæc aqua. Atq.hi quidē inter se consecuti, Ionicam complēt philosophiam à principe Thalete, quem Ionum

στοιχείων, τὸ πᾶν δὲ τούτου φύσεως ἐξ ἐναντίων συνεστώσης, ξηρότητός τε, καὶ θερμότητος, καὶ ψυχρότητος, ὑπὸ τῆς πρὸς ἄλληλα ἀναλογίας καὶ κράσεως ἐναπεργαζομένης τὸ πᾶν, καὶ μεταβολὰς μὲν μερικὰς ὑπομενούσης, τοῦ δὲ παντὸς λύσιν μὴ ἐπιδεχομένης. λέγει γὰρ οὕτως,

Ἄλλοτε μὲν φιλότητι συνερχόμενα τάδε πάντα,
ἄλλοτε δ᾽ αὖ τε ἕκαστα φορεύμενα νείκεος ἔχθει.

Ὅμηρος δὲ τὴν φιλίαν καὶ τὸ νεῖκος τὴν τοῦ παντὸς μερῶν, ἐν τούτοις αἰνίττεται, ἐν οἷς φησὶν ἡ Ἥρα,

Εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης,
ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα τηθύν·
τοῖς εἶμ᾽ ὀψομένη, καὶ σφ᾽ ἄκριτα νείκεα λύσω.

Θαλῆς ὁ μιλήσιος ἀρχὴν τῶν ὄντων ἀπεφήνατο τὸ ὕδωρ· ἐξ ὕδατος γάρ φησι πάντα εἶναι, καὶ εἰς ὕδωρ πάντα ἀναλύεσθαι. στοχάζεται δ᾽ ἀεὶ ἐκ τούτου, ὅτι πάντων τῶν ζώων ἡ γονή, ἀρχὴ ἐστὶν ὑγρὰ οὖσα· οὕτως εἰκὸς καὶ πάντα ἐξ ὑγροῦ τὴν ἀρχὴν ἔχειν· δεύτερον πάντα φυτὰ ὑγρῷ τρέφεται, καὶ καρποφορεῖ, ἀμοιροῦντα δὲ ξηραίνεται. τρίτον καὶ αὐτὸ τὸ πῦρ τὸ τοῦ ἡλίου καὶ τῶν ἄστρων, ταῖς τῶν ὑδάτων ἀναθυμιάσεσι τρέφεται καὶ αὐτὸς ὁ κόσμος.

Ἀναξίμανδρος δὲ πραξιάδου μιλήσιος φησὶ τῶν ὄντων ἀρχὴν εἶναι τὸ ἄπειρον· ἐκ γὰρ τούτου πάντα γίγνεσθαι, καὶ εἰς τοῦτο πάντα φθείρεσθαι· διὸ καὶ γεννᾶσθαι ἀπείρους κόσμους, καὶ πάλιν φθείρεσθαι εἰς τὸ ἐξ οὗ γίγνεται. λέγει οὖν ὅτι ἀπέραντον ἐστὶν, ἵνα μηδὲν ἐλλείπῃ γένεσις ἡ ὑφισταμένη. ἁμαρτάνει δὲ μὴ λέγων, τί ἐστι τὸ ἄπειρον. τὸ δ᾽ ἄπειρον οὐδὲν ἄλλο ἢ ὕλη ἐστίν. οὐ δύναται δὲ ἡ ὕλη εἶναι ἐνέργεια, ἐὰν μὴ τὸ ποιοῦν ὑπόκειται.

Ξενοφάνης συνεστάναι τὸ πᾶν ἐκ τοῦ ἑνὸς, καὶ τοῦ ἀεννάου ἀέναον, τὴν ὕλην αἰνιττόμενος διὰ τοῦ πλήθους.

Ἀναξιμένης εὐρυστράτου μιλήσιος, ἀρχὴν τῶν ὄντων, ἀέρα ἀπεφήνατο· ἐκ γὰρ τούτου πάντα γίγνεσθαι, καὶ εἰς αὐτὸν πάλιν ἀναλύεσθαι, οἷον ἡ ψυχή, φησι, ἡ ἡμετέρα, ἀὴρ οὖσα, συγκρατεῖ ἡμᾶς· καὶ ὅλον τὸν κόσμον πνεῦμα καὶ ἀὴρ περιέχει. λέγεται δὲ συνωνύμως, ἀὴρ καὶ πνεῦμα· ἁμαρτάνει καὶ ἐξ ἁπλοῦ καὶ μονοειδοῦς ἀέρος καὶ πνεύματος δοκῶν συνεστάναι τὰ ζῶα· ἀδύνατον γὰρ ἀρχὴν μίαν, ἢ τὴν ὕλην τῶν ὄντων ὑποστῆσαι· ἀλλὰ καὶ τὸ ποιοῦν αἴτιον χρὴ ὑποτιθέναι· οἷον ἄργυρος οὐκ ἀρκεῖ πρὸς τὸ ἔκπωμα γενέσθαι, ἐὰν μὴ τὸ ποιοῦν ᾖ, τουτέστιν ὁ ἀργυροκόπος.

Εἶτ᾽ addit Plut.

Ἀναξαγόρας ἡγησιβούλου, ὁ κλαζομένιος, ἀρχὰς τῶν ὄντων, τὰς ὁμοιομερείας ἀπεφήνατο· τροφὴν γοῦν προσφερόμεθα μονοειδῆ ἄρτον καὶ ὕδωρ, καὶ ἐν ταύτης τρέφεται φλὲψ, ἀρτηρία, σὰρξ, νεῦρον, ὀστᾶ, καὶ τὰ λοιπὰ μόρια. τούτων οὖν γιγνομένων, ὁμολογητέον, ὅτι ἐν τῇ τροφῇ τῇ προσφερομένῃ πάντες ἐστὶ τὰ ὄντα, καὶ ἐκ τῶν ὄντων πάντα αὔξεται, ἐν τούτῳ οὖν ἐστὶ λόγῳ θεωρητὰ μόρια εἶναι ἐν τῇ τροφῇ τοῖς γεννωμένοις. ὁμοιομερείας αὐτὰ ἐκάλεσε, καὶ ἀρχὰς τῶν ὄντων, καὶ τὰς μὲν ὁμοιομερείας, ὕλην· τὸ δὲ ποιοῦν αἴτιον, νοῦν τὸν πάντα διαταξάμενον. ἀρχέλαος ἀέρα ἄπειρον, καὶ τὴν περὶ αὐτὸν πυκνότητα, καὶ μάνωσιν, τούτων δὲ, τὸ μὲν εἶναι πῦρ, τὸ δ᾽ ὕδωρ· οὗτοι μὲν οὖν ἐφεξῆς ἀλλήλοις τῶν διαδοχαῖς γενόμενοι, τὴν ἰωνικὴν ἐκπληροῦσι φιλοσοφίαν, οὕτω προσαγορευθεῖσαν, διότι μιλήσιος αὐτῆς κατῆρ-

[illegible] τὰ μὲν addit Plut.

ξεν

ξεν ἀνὴρ, ὁ Θάλης, ἀπὸ τῆς Ἰώνων μητροπόλεως.

Φιλόλαος ὁ Πυθαγόρειος τὸ πέρας, καὶ τὸ ἄπειρον· Στράτων, στοιχεῖα καὶ ψυχρόν.

Πυθαγόρας Μνησάρχου Σάμιος πρῶτος φιλοσοφίας τούτῳ τῷ ῥήματι προσαγορεύσας, ἀρχὰς τοὺς ἀριθμοὺς, καὶ τὰς συμμετρίας τὰς ἐν τούτοις, ἃς τινας ἁρμονίας καλεῖ· τὰ δὲ ἐξ ἀμφοτέρων σύνθετα στοιχεῖα, πάλιν δὲ τὴν μονάδα καὶ τὴν ἀόριστον δυάδα ἐν ταῖς ἀρχαῖς. σπεύδει δὲ αὐτῷ τῶν ἀρχῶν, ἡ μὲν ἐπὶ τὸ ποιητικὸν αἴτιον καὶ ἴδιον, ὅπερ ἐστὶν νοῦς ὁ θεός, ἡ δὲ ἐπὶ τὸ παθητικόν τε καὶ ἴδιον, ὅπερ ἐστὶν ὁ ὁρατὸς κόσμος. εἶναι δὲ τὴν φύσιν δεκάδα· πάντες ἀριθμοῦσιν, ἐφ' ἃ ἐλθόντες, πάλιν ἀναποδοῦσιν ἐπὶ τὴν μονάδα· καὶ τῶν δέκα πάλιν φασὶν ἡ δύναμίς ἐστιν ἐν τοῖς τέτταρσιν ἐν γὰρ τῆς τετράδος καὶ τῶν αὐτῆς μερῶν ἀναπληροῦνται· ἐὰν δὲ ὑπερβάλῃ τὴν τῆς τετράδος, καὶ τῶν δέκα, ὑπερεκπίπτουσι· διὸ καὶ ἐπιφθέγγοντο οἱ Πυθαγόρειοι ὡς μεγίστου ὄντος τῆς τετράδος,

Οὐ μὰ τὸν ἁμετέρᾳ °κεφαλᾷ παραδόντα τετρακτὺν
παγὰν ἀενάου φύσεως ῥιζώματ' ἔχουσαν.

Λέγω καὶ συχνοὺς μὲν Ἑλλήνων πέπεισμαι φάναι, Πυθαγόραν ἐξ ἀριθμοῦ πάντα φύεσθαι· αὐτὸς δὲ ὁ λόγος ἀπορήσας ἔρχεται, πῶς ἃ μηδὲ ἔστιν ἐπινοοῦσαι καὶ γεννᾶν· ἀλλὰ δὲ, οὐκ ἐξ ἀριθμοῦ, κατὰ δὲ ἀριθμὸν ἔλεγε πάντα γίγνεσθαι· ὅτι ἐν ἀριθμῷ τάξις πρώτη, ἧς μετουσίᾳ κἀν τοῖς ἀριθμητοῖς πρῶτόν τι καὶ δεύτερον, καὶ τ' ἄλλα ἑπομένως τέτακται.

Ἡράκλειτος, καὶ Ἵππασος, ἀρχὴν τῶν ἁπάντων τὸ πῦρ, πρῶτον μὲν γὰρ τὸ παχυμερέστερον εἰς αὐτὸ συστελλόμενον γίγνεται γῆ. ἔπειτα ἀναχαλωμένην τὴν ὑπὸ τοῦ πυρὸς φύσει, ὕδωρ ἀποτελεῖσθαι, ἀναθυμιώμενον δὲ, ἀέρα γίγνεσθαι, πάλιν δὲ τὸν κόσμον καὶ τὰ σώματα πάντα, ὑπὸ τοῦ πυρὸς ἀναλοῦσθαι ἐν τῇ ἐκπυρώσει. Μητρόδωρος Θεοκρίτου Χῖος, τὰ ἀδιαίρετα καὶ τὸ κενόν· Διογένης δὲ ὁ Ἀπολλωνιάτης ἀέρα ἄπειρον· Ζήνων Μνασαίου Κιτιεύς, ἀρχὰς τὸν θεὸν καὶ τὴν ὕλην, στοιχεῖα δὲ τέσσαρα· Λεύκιππος Μιλήσιος, ἀρχὰς καὶ στοιχεῖα, τὸ πλῆρες καὶ τὸ κενόν· Δημόκριτος, τὰ ναστὰ, καὶ κενά. Ἐπίκουρος ἀρχὰς εἶναι τῶν ὄντων σώματα λόγῳ θεωρητὰ, ἀμέτοχα κενοῦ, ἀγένητα, ἀδιάφθαρτα, τὰ οὔτε θραυσθῆναι δυνάμενα, οὔτε ἀλλοιωθῆναι. εἴρηται δὲ ἄτομος, οὐχ ὅτι ἐστὶν ἐλαχίστη, ἀλλ' ὅτι οὐ δύναται τμηθῆναι, ἀπαθὴς οὖσα, καὶ ἀμέτοχος κενοῦ.

Ἡ γὰρ μονὰς οὖσα πάντων ἀρχὴ καὶ ῥίζα ἐν πᾶσίν ἐστιν, ὡς ἂν ῥίζα, καὶ ἀρχή, ἄνευ δὲ ἀρχῆς οὐδέν· ἀρχὴ δὲ ἐξ οὐδενὸς, ἀλλ' ἐξ αὐτῆς, εἴ γε ἀρχή ἐστι τῶν ἑτέρων μονὰς, οὖσα οὖν ἀρχή, πάντα ἀριθμὸν ἐμπεριέχει ὑπὸ μηδενὸς ἐμπεριεχομένη, καὶ πάντα ἀριθμὸν γεννᾷ, ὑπὸ μηδενὸς γεννωμένη ἑτέρου ἀριθμοῦ· πᾶν δὲ τὸ γεννώμενον ἀτελὲς καὶ διαιρετὸν, καὶ αὐξητὸν, καὶ μειωτόν· τῷ δὲ τελείῳ, οὐδὲν τούτων γίγνεται. αὕτη οὖν ὦ Τάτ, κατὰ τὸ δυνατόν σοι ὑπογέγραπται τοῦ θεοῦ εἰκών.

Ἔκφαντος Συρακούσιος εἷς τῶν Πυθαγορείων πάντων τὰ ἀδιαίρετα σώματα. καὶ τὸ κενόν, τὰς γὰρ Πυθαγορικὰς μονάδας οὗτος πρῶτος ἀπεφήνατο σωματικάς.

metropolis Miletus tulit, sic denominatam.

Philolaus Pythagoreus finitum & infinitum: Strato elementa & frigidum.

Pythagoras Mnesarchi F. Samius, qui primus philosophiæ nomen dedit, numeros pro principiis habuit, eorumque harmonias, et ex vtrisque elementa composita. Nec non monadē & binarium numerum principia numerat. Tendit autem ei alterum quidem principium ad causam formæ efficientem, siue cæli numen; alterum verò ad materiæ patientiam, siue mundum aspectabilem. Naturam porrò denario numero tribuit. siquidem vsque ad decem numerādo progressi homines, ad monadem reuertuntur. Rursum denarij vim in quaternario dicit consistere, siquidē de illius componatur partibus, quibus superatis, etiam ipse superetur. Quapropter etiam, quasi iusiurandum esset per quaternarium sanctissimum, solebāt Pythagorei dicere,

Non per quadrifidum nostro qui vertice fontem
Indidit, æternæ naturæ semen habentem.

Equidem permultos Græcorum audio dicere, Pythagoram ex numeris oriri cuncta censuisse: ille vero non ex numeris, sed secundum numeros oriri cuncta dicebat. Vt enim numerus ordinem primus habet, ita quæ numerantur, huius ratione prima, secunda, ac deinceps dicuntur.

Heraclitus & Hippasus ignem principium ponunt. Nam quod huius crassius est, in se contractum, terram fieri; hunc deinde igne resolutum, fieri aquam; eamque in vaporem sublatam, aerem fieri. ac rursum mundum totum, omniaque corpora in exustione igne consumi.

Metrodorus Chius indiuidua & inane: Diogenes Apolloniates aerem immēsum: Zeno Mnasiæ F. Citticus deum, & materiam; elementa autem quatuor: Leucippus Milesius plenū et inane: Democritus solida & vacua.

Epicurus principia rerum statuit corpora ratione contemplanda, vacui & ortus atque interitus expertia, quæ nec imminutionem nec mutationem recipiunt. Vocatur autem atomus, non tam quòd sit minima, quàm quòd secari nequeat, cùm sit expers vacui.

Monas omnium principium, radix, atque origo. absque verò principio nihil. Initium autem est non principij, sed alterius. monas ergo principiū, omnemque numerum continet à nullo contento, omnemque gignit numerum nullo numero genita. Quicquid vtique genitum, imperfectum, diuiduum, crescens atq. decrescens. ei verò quod perfectum, horum nihil accidit. Id sanè quod augescit, virtute monadis augetur. euanescit autē imbecillitate propria, cùm vlterius monadem capere nequeat. Hæc tibi ô Tati pro viribus imago dei subscripta sit.

Ecphantus Syracusanus °quatuor corpora & inane. nam Pythagoricus monades primus corporeas hic fecit.

Plato Aristonis F. tria posuit principia, Deū, materiam, & formam; nempe à quo, ex quo, & ad quod. Ac Deus quidem mens est mundi, materia autem id quod ortum & interitū recipit, forma verò corporu expers in mente Dei natura.

Aristoteles Nicomachi F. principia quidem posuit formam, materiam, & priuationem, elemēta autem quatuor, ac quintū quoddam corpus æthereum, mutationis expers: elementa verò secundū potestates quidem calidum, frigidum, siccum, & humidum; secundum naturas autē eadē quatuor.

Diodorus cognomento Saturnus indiuidua & infinita corpora, atq. minima; numero quidē infinita, magnitudine autem finita.

Aristoteles quidem & Plato differre volunt ab elementis principia: Thales autem eadē vtraq; putauit, cùm plurimum inter se distent. Vt enim elementa sunt composita, ita principia nec composita nec effecta dicimus. Itaq. elementa quidem terram, aquam, aerem, ignem vocamus, principia autem, quæ de priore nullo oriuntur. nam alioqui principia non essent. At aqua terraq; quædā sunt priora, de quibus forma carens existit materia.

• sic enim ait in Timæo: Nam cùm constituisset Deus bonis omnibus explere mundum, mali nihil permiscere quod natura pateretur; quicquid erat quod in cernendi sensum caderet, id sibi assumsit, non tranquillū & quietum, sed immoderatè agitatum & fluctuans: idq; ex inordinato in ordinem adduxit. Iam de natura elementis ita Zenonem secutus magistrum sentit, cùm sint elementa quatuor, de his mundum totum esse constitutum, inq; eadem resolui. Præcipuum autem elementum sic vocari, quòd ex eo primo reliqua mutatione componantur, inq; illud vltimum resoluantur, ipsum autem in aliud nullum. quapropter etiam elementum dici, quod ita subsistat, vt & compositionem aliis tribuat, & eorum in se resolutionē recipiat. Atque hoc modo si sumatur ignis, elementum fore; priore non itē, quòd cum aliis componatur: ac primùm quidem ignis in aerem permutetur, deinde hic in aquam, tum hæc in terrā; ac rursum hæc resoluta primum aquam procreet, deinde hæc aerem, tum hic denique ignem. Ignem porrò dici quicquid est igneū, & aerem quicquid aereum, ac similiter reliqua. Cùm autem tribus modis elementum Chrysippo dicatur, primò quidē ignis dicitur, quòd ex eo reliqua mutatione componantur, inq; illum resoluantur: secundo autem elementa quatuor, ignis, aer, aqua, terra, quòd ex horum aliquo, vel aliquibus, vel etiam omnibus, reliqua constent; omnibus quidem, vt animalia; duobus autem, vt luna, de igne & aere composita; vno verò, vt sol, igne solo cōstans, quandoquidem sol purus est ignis. Tertiò denique quod ita subsi-

Πλάτων Ἀρίστωνος τρεῖς ἀρχάς, τὸν θεόν, τὴν ὕλην, τὴν ἰδέαν, ὑφ' οὗ, ἐξ οὗ, πρὸς ὅ. ὁ δὲ θεός, νοῦς ἐστι τοῦ κόσμου· ἡ δὲ ὕλη, τὸ ὑποκείμενον γενέσει καὶ φθορᾷ· ἰδέα δέ, οὐσία ἀσώματος, ἐν τοῖς νοήμασι καὶ ταῖς φαντασίαις τοῦ θεοῦ.

Ἀριστοτέλης Νικομάχου Σταγειρίτης, ἀρχὰς μέν, εἶδος, ὕλην, στέρησιν· στοιχεῖα δὲ τέσσαρα, πέμπτον δέ τι σῶμα τὸ αἰθέριον, ἀμετάβλητον· στοιχεῖα δὲ τῶν γενητῶν, κατὰ μὲν τὰς δυνάμεις θερμόν, ψυχρόν, ὑγρόν, ξηρόν· κατὰ δὲ τὰς οὐσίας, ἐν αἷς καὶ περὶ ἃς ὑπάρχουσιν αὗται, τὰ τέσσαρα.

Διόδωρος, ἐπίκλην Κρόνος, τὰ ἀμερῆ σώματα, ἄπειρα, τὰ δ' αὐτὰ λεγόμενα καὶ ἐλάχιστα· ἄπειρα μὲν κατ' ἀριθμόν, ὡρισμένα δὲ κατὰ τὸ μέγεθος.

Οἱ μὲν περὶ Ἀριστοτέλην καὶ Πλάτωνα διαφέρειν ἡγοῦνται ἀρχὴν καὶ στοιχεῖα· Θάλης δ' ὁ Μιλήσιος ταυτὸ νομίζει ἀρχὴν, καὶ στοιχεῖα ἐστὶ συνθετά, τὰς δὲ ἀρχάς φαμεν εἶναι, οὔτε συνθέτους, οὔτε ἀποτελέσματα, οἷον στοιχεῖα μὲν καλοῦμεν, γῆν, ὕδωρ, πῦρ, ἀέρα· ἀρχὰς δὲ λέγομεν, διὰ τὸ οὐδὲν ἔχειν πρότερον ἐξ οὗ γεννᾶται, ἐπεὶ οὐκ ἔσται ἀρχή, ἀλλ' ἐκεῖνο ἐξ οὗ γεννᾶται. τῆς δὲ γῆς καὶ τοῦ ὕδατος, ἐστί τινα πρότερα, ἐξ ὧν γέγονεν ὕλη ἄμορφος καὶ ἀειδής.

[Margin: πλεῖστον δὲ διαφέρειν ἡγοῦνται· τὰ μὲν γὰρ στοιχεῖα, addit Plut.]

λέγει γοῦν ἐν Τιμαίῳ· βουληθεὶς γὰρ ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φαῦλον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ πᾶν ὅσον ἦν ὁρατόν, παραλαβών, οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως, εἰς τάξιν αὐτὸ ἤγαγεν ἐκ τῆς ἀταξίας. περὶ δὲ τῶν ἐκ τῆς οὐσίας στοιχείων, τοιαῦτά τινα ἀποφαίνεται, τῷ τῆς αἱρέσεως ἡγεμόνι Ζήνωνι κατακολουθῶν, τέτταρα λέγων εἶναι στοιχεῖα, καὶ φυτά, καὶ τὸν ὅλον κόσμον, καὶ τὰ ἐν αὐτῷ περιεχόμενα, καὶ εἰς ταῦτα διαλύεσθαι· τὸ δὲ κατ' ἐξοχὴν στοιχεῖον λέγεσθαι, καὶ διὰ τὸ ἐξ αὐτοῦ πρώτου τὰ λοιπὰ συνίστασθαι κατὰ μεταβολήν, καὶ εἰς αὐτὸ ἔσχατον πάντα χεόμενα διαλύεσθαι, τοῦτο δὲ μὴ ἐπιδέχεσθαι τὴν εἰς ἄλλο χύσιν ἢ ἀνάλυσιν· συνίστασθαι δὲ ἐξ αὐτοῦ τὰ λοιπὰ καὶ χεόμενα εἰς τοῦτο ἔσχατον τελευτᾶν, παρ' ὃ καὶ στοιχεῖον λέγεσθαι, ὃ πρῶτον ἕστηκεν οὕτως, ὥστε σύστασιν διδόναι ἀπ' αὐτοῦ, καὶ ἀπὸ τῶν λοιπῶν χύσιν καὶ διάλυσιν δέχεσθαι εἰς αὐτό. κατὰ μὲν τὸν λόγον τοῦτον αὐτοτελῶς λεγομένου τοῦ πυρὸς στοιχείου, κατὰ δὲ τὸν πρότερον, οὐ μετ' ἄλλου γὰρ καὶ μετ' ἄλλων συστατικὸν εἶναι. πρώτης μὲν γιγνομένης τῆς ἐκ πυρὸς κατὰ σύστασιν, εἰς ἀέρα μεταβολῆς, δευτέρας δ' ἀπὸ τούτου, εἰς ὕδωρ, τρίτης δ' ἔτι μᾶλλον κατὰ τὸ ἀνάλογον συνισταμένου τοῦ ὕδατος, εἰς γῆν· πάλιν δ' ἀπὸ ταύτης διαλυομένης καὶ διαχεομένης πρώτη μὲν γίγνεται χύσις εἰς ὕδωρ, δεύτερον δὲ ἐξ ὕδατος εἰς ἀέρα, τρίτον δὲ καὶ ἔσχατον εἰς πῦρ. λέγεσθαι πυροειδὲς πᾶν, καὶ ἀέρα τὸ ἀεροειδές, καὶ ὁμοίως τὰ λοιπά. τριχῶς δὲ λεγομένου κατὰ Χρύσιππον τοῦ στοιχείου, καθ' ἕνα μὲν τρόπον τοῦ πυρὸς διὰ τὸ ἐξ αὐτοῦ τὰ λοιπὰ συνίστασθαι κατὰ μεταβολήν, καὶ εἰς αὐτὸ λαμβάνειν τὴν ἀνάλυσιν· καθ' ἕτερον δέ, καθ' ὃ λέγεται τὰ τέτταρα στοιχεῖα, πῦρ, ἀήρ, ὕδωρ, γῆ· ἐπεὶ διὰ τούτων τινός, ἢ τινῶν καὶ πάντων τὰ λοιπὰ συνέστηκε. διὰ μὲν τῶν τεττάρων, ὡς τὰ ζῷα, καὶ τὰ ἐπὶ γῆς πάντα συγκρίματα· διὰ δυοῖν δέ, ὡς ἡ σελήνη διὰ πυρὸς καὶ ἀέρος συνέστηκε· διὰ δὲ ἑνός, ὡς ὁ ἥλιος, διὰ πυρὸς γὰρ μόνου, ὁ γὰρ ἥλιος πῦρ ἐστιν εἰλικρινές. καὶ τὸ

τρίτον,

στον λόγον λέγεται) στοιχεῖον εἶναι, ὃ πρῶτον συνέστηκεν οὕτως, ὥστε γένεσιν διδόναι ἀπ' αὐτοῦ, ὁδῷ μέχρι τέλους, καὶ ἐξ ἐκείνου τὴν ἀνάλυσιν δέχεσθαι εἰς ἑαυτὸ, τῇ ὁμοίᾳ ὁδῷ. γεγονέναι δ' ἔφησε καὶ τοιαύτας ἀποδόσεις περὶ στοιχείου, ὡς ἔστι τότε δι' αὐτοῦ εὐκινητότατον, καὶ ἀρχὴ λόγος, καὶ ἀΐδιος δύναμις, φύσιν ἔχουσα τοιαύτην, ὥστε γῆν τε κινεῖν κάτω πρὸς γῆν τὴν στροφὴν καὶ ἀπὸ τῆς στροφῆς ἄνω πάντῃ κύκλῳ εἰς αὐτήν τε πάντα καταναλίσκουσα, καὶ τὸ αὐτῆς πάλιν ἀποκαθιστᾶσα τεταγμένως καὶ ὁδῷ.

flit, vt ortum à se cunctis ordine tribuat, & interitum in se eodem pacto recipiat. Has quoque definitiones ait elemento tribui, vt sit, quod per se facillimè moueatur, & initium, ac vis perpetua, quæ & terram deorsum ad elementum moueat, ac ab elemento sursum vndique, & in se omnia congerat, suaq; rursum ordine dispertiatur.

Περὶ ὕλης. κεφ. ιδ'.

Ὕλη ἐστὶ τὸ ὑποκείμενον πάσῃ γενέσει καὶ φθορᾷ, καὶ ταῖς ἄλλαις μεταβολαῖς.

Ἑρμοῦ ἐν τῷ πρὸς τάτ.

Καὶ γέγονεν ὦ τέκνον ἡ ὕλη γὰρ ἀγγεῖον γενέσεως ἐστὶ, γένεσις δὲ ἐνέργεια τρόπῃ τοῦ ἀγενήτου θεοῦ. τὸ σπέρμα οὖν τῆς γενέσεως λαμβάνουσα γέγονε, καὶ τρεπτὴ ἐγένετο, καὶ ἰδέας εἶχε μορφοποιουμένη, ἐφέστηκε γὰρ αὐτῇ τρεπομένῃ ἡ τεχνιτεύουσα τὰς τῆς τροπῆς ἰδέας. ἀγεννησία οὖν τῆς ὕλης, ἀμορφία ἦν, ἡ δὲ γένεσις τὸ ἐνεργεῖσθαι.

Οἱ ἀπὸ Θάλεω καὶ Πυθαγόρου, λέγω δὴ τοὺς μέχρι τῶν στωϊκῶν καταβεβηκότας σὺν Ἡρακλείτῳ, τρεπτὴν, καὶ ἀλλοιωτὴν, καὶ μεταβλητὴν, καὶ ῥευστὴν, ὅλην δι' ὅλης τὴν ὕλην ἀπεφήναντο· οἱ ἀπὸ Δημοκρίτου ἀπαθῆ τὰ πρῶτα, τὴν ἄτομον καὶ τὸ κενόν. Πλάτων τὴν ὕλην σωματοειδῆ, ἄμορφον, ἀνείδεον, ἀσχημάτιστον, ἄποιον, ὅσον ἐπὶ τῇ ἰδίᾳ φύσει, δεξαμένην δὲ τὰ εἴδη, καὶ οἷον τιθήνην καὶ ἐκμαγεῖον, καὶ μητέρα γίγνεσθαι· τὸ δὲ ἔξωθεν πατέρα, τὴν δὲ μεταξὺ τούτων φύσιν ἔκγονα.

Ἀριστοτέλης καὶ Πλάτων.

Ἐπειδὴ δ' ἡ μὲν φύσις, κατ' ἐπίνοιαν, ἀρχή τίς ἐστι κινήσεως, καὶ στάσεως, οὔτε δὴ καὶ κινουμένη ἡ ὕλη κατὰ τὸν ἴδιον λόγον, οὔτε κατὰ τὸ εἶδος. ἡ μὲν γὰρ ἀνείδεος, τὸ δὲ εἶδος ἀεὶ, καὶ ἡ μὲν οὐ σῶμα, σωματικὴ δὲ, τὸ δὲ καθάπαξ ἀσώματον· ἀσώματα δὲ τὴν ὕλην φασὶν, οὐχ ὅτι οὐ μόνον ἐστερῆσθαι δοκεῖ τῶν περὶ σῶμα διαστάσεων, ἀλλ' ὅτι καὶ πολλῶν ἄλλων ἀπολείπεται, κατὰ τὸν ἴδιον λόγον, ἃ τοῖς σώμασιν ὑπάρχει, σχηματισμοῦ, χρώματος, βαρύτητος, κουφότητος, ὅλως πάσης ποιότητος καὶ ποσότητος. εἰ γὰρ τούτων μετεῖχεν, τὸ ποιὸν ἦν καὶ ποσόν· οὐ μετειληφυῖα δὲ κατὰ τὸν λόγον, σῶμα μὲν οὐκ ἂν εἴη, σωματικὴ δὲ διὰ τὸ πάσαις, ὥσπερ καὶ ἐκμαγεῖον, ὑποκεῖσθαι ταῖς ποιότησιν· ὃν τρόπον γὰρ τὸ εἶδος τῆς ὕλης ἀφαιρεθὲν ἀσώματον εἶναι τυγχάνει, οὕτως καὶ τὴν ὕλην τοῦ εἴδους χωρισθέντος οὐ σῶμα. δεῖν γὰρ ἀμφοῖν τῆς συνόδου πρὸς τὴν τοῦ σώματος ὑπόστασιν.

Ζήνωνος.

Οὐσίαν δὲ εἶναι τὴν τῶν ὄντων πάντων πρώτην ὕλην, ταύτην δὲ πᾶσαν ἀΐδιον, καὶ οὔτε πλείω γιγνομένην, οὔτε ἐλάττω· τὰ δὲ μέρη ταύτης, οὐκ ἀεὶ ταὐτὰ διαμένειν, ἀλλὰ διαιρεῖσθαι καὶ συγχεῖσθαι· διὰ ταύτης δὲ διαθεῖν τὸν τοῦ παντὸς λόγον, ὃν ἔνιοι εἱμαρμένην καλοῦσιν, οἷόν περ καὶ ἐν τῇ γονῇ τὸ σπέρμα.

Χρυσίππου.

Τῶν κατὰ ποιότητα ὑφισταμένων πρώτην ὕλην, ταύτην δὲ ἀΐδιον, οὔτε αὔξησιν οὔτε μείωσιν ὑπομένουσαν, διαίρεσιν δὲ καὶ σύγχυσιν ἐπιδεχομένην κατὰ μέρη, ὥστε φθορὰς γίγνεσθαι ἐκ τῶν μερῶν, εἴς τινα οὐ κατὰ διαίρεσιν, ἀλλὰ κατὰ ἀναλογίαν τῇ συγχύσει τινῶν γιγνομένων ἔκ τινος. οἱ δὲ ὕδωρ λέγοντες, ἢ πῦρ, ἢ ἀέρα, καὶ γῆν τὴν ὕλην, οὐκ ἔτι ἄμορφον αὐτὴν λέγου-

De materia. CAP. XIIII.

MATERIA est quod ortui & interitui, mutationibusq; reliquis subiicitur.

Mercurij ad Tatium.

Materia autem ortus est receptaculum: ortus autem æterni Dei opus. Semen igitur ortus rerũ extitit, & formam non inuita suscepit: siquidem illi formarum artifex mutanda præfuit. Quocirca dũ forma careret, non extitit materia: cùm in opus est perducta, ortum accepit.

Thaletis & Pythagoræ sectatores, vsque ad Stoicos, vnà cum Heraclito, mutabilem ac fluentem totam materiam posuerunt: Democritus illæsa prima, atomum & inane: Aristoteles ac Plato corpoream, forma, figura, & qualitatis per se expertem, receptaculum tamen formarum, ac velut matrem fieri, vt efficiens patrem, ac mediã naturam prolem.

Cùm sit autem natura principium motus ac quietis, neque sua profectò natura, neque secundũ formam mouetur materia. Nam vt ille forma caret, it a hæc: & vt illa non corpus est, sed corporea; ita hæc prorsus incorporea. Negatur autẽ corpus esse materia, non tam quòd internallis corporis careat, quàm quòd aliis quoque multis ad corpus pertinentibus per se destituatur, vt figura, colore, grauitate, leuitate, & omni denique qualitate & quantitate. nã si hæc haberet, inter quanta & qualia referretur. Nunc his cùm per se careat, vt corpus non est, ita corporea dicitur, quòd omnibus qualitatibus tanquã speculum subiiciatur. Nam quemadmodum forma expers materia dicitur incorporea, sic & forma carens materia corpus esse negatur. siquidem vtrumque ad corporis constitutionem requiritur.

Zeno naturam dixit omnium, quæ sunt, primam materiam, quæ tota sit æterna, nec vel crescat, vel decrescat. partes quidem huius non easdem semper manere, verùm separari & cõmisceri: ac per hanc Vniuersi rationem, quam nonnulli Fatum vocant, tanquam semen discurrere.

Chrysippus Stoicus eorum, quæ qualitate constarent, primam dixit materiam, eamq; æternã, nec crescentem, nec decrescentem, sed separationẽ & mistionem in partibus recipientem, sic vt illa tum separata intereant, tum inter se proportione mista existant. Qui autem aquam, vel ignẽ, vel aerem, vel terram ponunt materiam, non iam for-

ma expertem eam, sed corpus dicũt; vt nec atomorum auctores.

Stoici corpus faciunt materiã. Posidonius aiebat Vniuersi naturam atque materiam qualitate quidem formaq́; carere, quatenus figuram certã vel qualitatem per se non habet, semper tamen in figura & qualitate aliqua cerni. naturam autem à materia secundum substantiam dumtaxat cogitatione secerni.

Plat. Parmenid.

Per omnia ergo quæ multa sunt, essentia distribuitur, nec ab aliquo eorũ quæ sunt, abest, seu minimum hoc sit, siue maximum. Atq. id dubitare absurdum est. Quomodo enim essentia ab aliquo eorum quæ sunt, abesse potest? nullo. Diuisa est igitur quoad fieri potest, in minima & maxima, atq. in omnia quæ quomodocunque sunt, maximeq́; omnium distributa, et infinitæ sunt essentiæ partes. Sic se res habet.

De idea. CAP. XV.

IDEA *corporis est natura, sui similium causa, naturalium substantiarum sub sensum cadentium exemplar, ipsa quidem per se subsistens, materias autem formis carẽtes sibi similes reddens, earúmq; figuræ, tanquam pater, causa.*

Pythagoras in numeris earúmque harmoniis ideas cum corporibus coniunctas ponebat.

Aristoteles nonnunquam duo ponit principia, materiam & speciem, quam etiam formã vocat, & perfectionem, & essentiam, et rationis naturam, & effectum. adeò multa tribuit ille speciei nomina. Ac forma quidẽ hoc differt à specie, quòd hæc per fundum penetrat, illa superficiẽ occupat; quódque hæc lactis, illa picturæ respondet albedini. Idem tamen vtroq. significatur, quatenus alterum speciem, formam alterum confert. Perfectionem autem vocauit materiam, vel quòd perfectè subsistat, vel quod, in quibuscunq. cernitur, perfecta reddat. Nam vt æs nondum est statua, sed esse potest; sic vbi formã suam acceperit, perfectio dicitur, quoniam ad finem peruenit. Essentiam quoque nuncupauit, quoniã singulis, vt esse possint, tribuat. Rationis porro naturam dixit, quòd à materiæ natura distet, quemadmodũ ab ære statua, ab argento Thericleum, à lapide quoduis figmentum. Quo enim hæc materiam, de qua conficiuntur superant, id rationis est natura. Effectũ denique appellauit, quòd nihil quicquam efficere, priusquam formam acceperit, valeat.

*Iam de ideis ita disserebat, vt rerum sub sensum cadentium generalia quædam exempla diceret ideas esse, de quibus scientiæ ac definitiones existerent. nam præter omnes homines quendam hominem intelligi, & præter *equos omnes equũ, & præter animalia similiter animal principio et fine carens. Quemadmodum autem vnius sigilli multa redderentur simulacra, multaq́; vnius viri fierent imagines, sic etiam idea cuiusque multas*

homines lego pro equos.

σιν, ἀλλὰ σῶμα· οὐδὲ οἱ τὰ μέρη καὶ τὰς ἀτόμους, ἄμορφον. — ἀμερῆ Plut.

Οἱ Στωικοὶ σῶμα τὴν ὕλην ἀποφαίνονται. ἔφησε δὲ ὁ Ποσειδώνιος, τὴν τῶν ὅλων οὐσίαν καὶ ὕλην, ἄποιον καὶ ἄμορφον εἶναι, καθ᾽ ὅσον οὐδὲν ἀποτεταγμένον, ἴδιον ἔχει σχῆμα οὐδὲ ποιότητα κατ᾽ αὐτήν· ἀεὶ δ᾽ ἔν τινι σχήματι καὶ ποιότητι εἶναι· διαφέρειν δὲ τὴν οὐσίαν τῆς ὕλης τὴν οὖσαν κατὰ τὴν ὑπόστασιν ἐπινοίᾳ μόνον.

Ἐπὶ πάντα ἄρα πολλὰ ὄντα, ἡ οὐσία νενέμηται, καὶ οὐδενὸς ἀποστατεῖ τῶν ὄντων, οὔτε τοῦ σμικροτάτου, οὔτε τοῦ μεγίστου· ἢ τοῦτο μὲν καὶ ἄλογον ἐρέσθαι. πῶς γὰρ ἂν ἡ οὐσία τῶν ὄντων του ἀποσταίη; οὐδαμῶς· κατακεκερμάτισται ἄρα ὡς οἷόν τε σμικρότατα καὶ μέγιστα, καὶ πανταχῶς ὄντα, καὶ μεμέρισται πάντων, μάλιστα δ᾽ ἔστι μέρη ἀπέραντα τῆς οὐσίας. ἔχει οὕτως. — Πλάτ. ἐν τῷ Παρμενίδῃ.

Περὶ ἰδέας. κεφ. ιε.

Ἰδέα ἐστὶν οὐσία σώματος, αἰτία τῶν οἷα ἐστὶν αὐτὴ καὶ παράδειγμα τῶν κατὰ φύσιν ἐχόντων αἰσθητῶν ὑποστάσεων, αὐτὴ μὲν ὑφεστῶσα καθ᾽ ἑαυτήν, ἐξεικονίζουσα δὲ τὰς ἀμόρφους ὕλας, καὶ αἰτία γινομένη τῆς τούτων διατάξεως, πατρὸς ἐπέχουσα τοῖς αἰσθητοῖς τάξιν.

Πυθαγόρας τὰ λεγόμενα εἴδη καὶ τὰς ἰδέας, ἐν τοῖς ἀριθμοῖς, καὶ ταῖς ἁρμονίαις αὐτῶν, καὶ τοῖς καλουμένοις γεωμετρικοῖς ἐτίθετο ἀχώριστα τῶν σωμάτων.

Ταύτας τε τὰς ἀρχὰς ποτὲ μὲν εἶναι φησὶν Ἀριστοτέλης δύο, τήν τε ὕλην, καὶ τὸ εἶδος, ὃ καὶ μορφὴν καλεῖ καὶ ἐντελέχειαν, καὶ τὸ τί ἦν εἶναι, καὶ οὐσίαν τὴν κατὰ τὸν λόγον καὶ ἐνέργειαν· οὕτως αὐτῷ πλεῖστόν τι καὶ πολυώνυμόν ἐστι τὸ εἶδος. τοσοῦτον μὲν οὖν διαφέρειν τὸ εἶδος τῆς μορφῆς, ὅτι τὸ μέν ἐστι διῆκον διὰ βάθους, ἡ δ᾽ ἐπιπολαίως· καὶ ἡ μέν, παραπλησίως λευκότητι κατὰ τὴν ζωγραφίαν· τὸ δὲ ἤδη περὶ τὴν τοῦ γάλακτος οὐσίαν, ταυτὸ δὲ εἶδος λέγεσθαι καθ᾽ ὅσον τὸ μὲν εἰδοποιεῖ· τὸ δὲ διαμορφοῖ, καὶ τὴν ὕλην ἐντελέχειαν αὐτὸ προσειπεῖν, ἤτοι διὰ τὸ ἐντελεχῶς ὑπάρχειν, ἢ ὅτι τῶν μετεχόντων αὐτοῦ ἕκαστον παρέχεται τέλειον· ὁ γὰρ χαλκὸς ἀνδριὰς οὐδέπω πλὴν ὅτι μὴ δυνάμει, διαπλασθεὶς δὲ καὶ τὴν προσφορὸν λαβὼν μορφὴν ἐντελέχεια λέγεται· τότε γὰρ ἀπείληφε τὸ τέλος· τὸ δὲ τί ἦν εἶναι προσηγόρευσε, παρὰ τὸ τῶν ὄντων ἐπιφέρειν ἑκάστῳ τὴν τοῦ εἶναι δύναμιν, οὐσίαν δὲ τὴν κατὰ τὸν λόγον, ὅτι διαλλάττει τῆς κατὰ τὴν ὕλην, ὡς ἀνδριὰς χαλκοῦ καὶ Θηρίκλειον ἀργυροῦ, καὶ τῶν ἀγαλμάτων ὅτι οὐ λίθου· τὸ γὰρ ὃ περιττεύει ταῦτα τῆς ὕλης, ἐξ ἧς δημιουργεῖται, τουτέστιν ἡ κατὰ τὸν λόγον οὐσία· ἐνέργειαν δὲ ἐκάλεσεν, ὅτι τῶν ὄντων οὐδὲν ἂν ἐνεργεῖν ἀδύνατο μὴ πρότερον εἰδοποιηθέν. *τὰ ἐννοήματα φασὶ μήτε τινὰ μήτε ποιά, ὡς ἂν εἰ δέ τινα καὶ ὡσανεὶ ποιὰ φαντάσματα τῆς ψυχῆς, ταῦτα δὲ ὑπὸ τῶν ἀρχαίων ἰδέας προσαγορεύεσθαι· τῶν γὰρ κατὰ τὰ ἐννοήματα ὑποπιπτόντων εἶναι τὰς ἰδέας. — Hæc paulo post iisdem verbis repetuntur.

Περὶ δὲ τῶν ἰδεῶν ὧδε διεξήρχετο, τῶν κατὰ φύσιν αἰσθητῶν κατὰ γένος ὡρισμένα τινὰ παραδείγματα φάμενος εἶναι τὰς ἰδέας ἀφ᾽ ὧν τὰς ἐπιστήμας γίνεσθαι καὶ τοὺς ὅρους· παρὰ πάντας γὰρ ἀνθρώπους, ἄνθρωπόν τινα νοεῖσθαι. καὶ παρὰ πάντας ἀνθρώπους, ἵππον καὶ κοινῶς παρὰ τὰ ζῷα, ζῷον ἀγένητον, καὶ ἄφθαρτον· ὃν τρόπον δὲ σφραγῖδος μιᾶς ἐκμαγεῖα γίνεσθαι πολλὰ καὶ συχνὰς εἰκόνας ἑνὸς ἀνδρός, οὕτως καὶ

μιᾶς

μιᾶς ἑκάστης ἰδέας αἰσθητῶν σωμάτων φύσεις παμπληθεῖς τῶν μὲν ἀνθρώπων, ἀνθρώπους ἅπαντας, καὶ κατὰ τὸν αὐτὸν λόγον ἐπὶ τῶν ἄλλων τῶν κατὰ φύσιν. εἶναι δὲ τὴν ἰδέαν, ἀΐδιον οὐσίαν αἰτίαν καὶ ἀρχήν, τοῦ ἕκαστον εἶναι τοιοῦτον, οἷα ἐστὶν αὐτή. καθάπερ οὖν τὰ κατὰ μέρος ὥσπερ ἀρχέτυπα τῶν αἰσθητῶν προηγεῖσθαι συμβέβηκε σωμάτων, οὕτως τὴν πάσας ἐν ἑαυτῇ περιέχουσαν, καλλίστην καὶ τελειοτάτην οὖσαν ὑπάρχειν. λέγει γοῦν καὶ ἐν τῷ Παρμενίδῃ· ἀλλ' ὦ Παρμενίδη, μάλιστα ἔμοιγε καταφαίνεται ὧδε ἔχειν, τὰ μὲν εἴδη ταῦτα ὥσπερ παραδείγματα ἑστάναι ἐν τῇ φύσει· τὰ δ' ἄλλα τούτοις ἐοικέναι καὶ εἶναι ὁμοιώματα, καὶ ἡ μέθεξις αὕτη τοῖς ἄλλοις γίγνεσθαι τῶν εἰδῶν οὐκ ἄλλη τις, ἢ εἰκασθῆναι αὐτοῖς.

Τὰ ἐννοήματά φησι, μήτε τινὰ εἶναι, μήτε ποιά, ὡσανεὶ δέ τινα καὶ ὡσανεὶ ποιὰ φαντάσματα ψυχῆς. ταῦτα δὲ ὑπὸ τῶν ἀρχαίων, ἰδέας προσαγορεύεσθαι. τῶν γὰρ κατὰ τὰ ἐννοήματα ὑποπιπτόντων εἶναι τὰς ἰδέας, οἷον ἀνθρώπων, ἵππων, κοινότερον εἰπεῖν πάντων τῶν ζώων καὶ τῶν ἄλλων, ὁπόσων λέγουσιν ἰδέας εἶναι· ταύτας δ' οἱ Στωϊκοὶ φιλόσοφοί φασιν ἀνυπάρκτους εἶναι, καὶ τῶν μὲν ἐννοημάτων μετέχειν ἡμᾶς, τῶν δὲ πτώσεων ἃς δὴ προσηγορίας καλοῦσι τυγχάνειν.

Περὶ αἰτίων. κεφ. ιϛ΄.

Αἴτιον ἐστί, δι' ὃ τὸ ἀποτέλεσμα, ἢ δι' ὃ συμβαίνει τί. ἀρκεῖ γὰρ ὑπογραφικῶς. τριχῶς τὸ αἴτιον, ὑφ' οὗ, ἐξ οὗ, πρὸς ὅ. κυριώτατον δ' ἡγεῖται τὸ ὑφ' οὗ, τοῦτο δή τὸ ποιοῦν. λέγει γοῦν ἐν Τιμαίῳ, πᾶν δὲ αὖ τὸ γιγνόμενον ὑπ' αἰτίου τινὸς ἐξ ἀνάγκης γίγνεται· παντὶ γὰρ ἀδύνατον χωρὶς αἰτίου γένεσιν ἔχειν. ὅταν οὖν δημιουργός, πρὸς τὸ κατὰ ταὐτὰ ἔχον βλέπων ἀεί, τοιούτῳ τινὶ χρώμενος παραδείγματι τὴν ἰδέαν καὶ τὴν δύναμιν ἀπεργάζηται, καλὸν ἐξ ἀνάγκης οὕτως ἀποτελεῖσθαι πᾶν· ὅ,τι δ' ἂν εἰς τὸ γεγονὸς γεννητῷ παραδείγματι προσχρώμενος, οὐ καλόν.

Πυθαγόρας, τὰ μὲν πρῶτα αἴτια, ἀσώματα· τὰ δὲ κατὰ μετοχήν, ἢ κατὰ συμβεβηκὸς τῆς σωματικῆς ὑποστάσεως.

Ἀριστοτέλης ἔφησε δηλοῦν ἕκαστον χρώμενον χρώματι τῆς ἑρμηνείας τοιούτοις, τό τε ἐξ οὗ λέγοντα τὴν ὕλην· καὶ τὸ ὑφ' οὗ, τὸ ποιοῦν· τὸ δὲ καθ' ὅ, τὸ εἶδος· τὸ δὲ δι' ὅ, τὸ τέλος.

Αἴτιον δ' ὁ Ζήνων φησὶν εἶναι, δι' ὅ· οὗ δὲ αἴτιον, συμβεβηκός. καὶ τὸ μὲν αἴτιον σῶμα· οὗ δὲ αἴτιον κατηγόρημα· ἀδύνατον δ' εἶναι τὸ μὲν αἴτιον παρεῖναι, οὗ δέ ἐστιν αἴτιον μὴ ὑπάρχειν. τὸ δὲ λεγόμενον τοιαύτην ἔχει δύναμιν, αἴτιόν ἐστι, δι' ὃ γίγνεται τὸ ζῆν, καὶ διὰ τῆς φρονήσεως γίγνεται τὸ σωφρονεῖν, ἀδύνατον γὰρ εἶναι σωφροσύνης περί τινα οὔσης μὴ σωφρονεῖν, ἢ ψυχῆς μὴ ζῆν, ἢ φρονήσεως μὴ φρονεῖν.

Χρύσιππος αἴτιον εἶναι λέγει δι' ὅ· καὶ τὸ μὲν αἴτιον ὄν, καὶ σῶμα· καὶ αἴτιον, ὅτι, οὗ δὲ αἴτιον, διά τι· αἰτίαν δ' εἶναι λόγον αἰτίου, ἢ λόγον τὸν περὶ τοῦ αἰτίου, ὡς αἰτίου.

Ποσειδώνιος δὲ οὕτως, αἴτιον δ' ἐστί τινος ἐκεῖνο, ἢ τὸ πρῶτον ποιοῦν. ἢ τὸ ἀρχηγὸν ποιήσεως, καὶ τὸ μὲν αἴτιον ὂν καὶ σῶμα, οὗ δ' αἴτιον οὔτε ὄν, οὔτε σῶμα, ἀλλὰ συμβεβηκὸς καὶ κατηγόρημα.

Θαλῆς καὶ οἱ ἐφεξῆς τὸ πρῶτον αἴτιον, ἀκίνητον ἀπεφήναντο. Στωϊκοὶ τὸ πρῶτον αἴτιον, ὥρισαν τὸ κινητόν.

πλάτων περ- ponit Plut.

corporum sub sensum cadētium naturas existere, vt humanæ homines omnes, ita aliarum res alias. Ideam autem esse naturam perpetuam, sui similium omnium causam. Nam quemadmodum rerum singularum quædam cernantur exemplaria, ita quæ cuncta in se complectatur, pulcerrimam ac perfectissimam videri. Itaq. sic ait in Parmenide, Quammaximè sic ista mihi se habere videntur, has quidem species tanquam exemplaria in natura consistere, cætera verò iis similia fieri, atq. esse simulacra, nec aliter ista speciebus participare, quàm quòd illis similia fiant.

Cogitationes ait neq. natura neq. qualitate aliqua præditas esse, sed videri dumtaxat, ac quadā animi esse tanquam simulacra. hæc autem ab antiquis ideas appellari. eorum enim, quæ cogitationibus subiiciuntur, ideas existere, vt hominum, equorum, animalium, ac reliquarum rerum omnium. quas quidem Stoici negant subsistere, sic vt cogitationibus quidem fruamur, casuum autē siue appellationum simus expertes.

De causis. CAP. XVI.

CAVSA est, propter quam effectus, vel propter quam aliquid euenit. sufficit enim rem designare. Plato triplicē ponit causam, à qua, ex qua, & ad quam. præcipuam tamen facit, à qua, siue efficientem. Ait igitur in Timæo, Omne autem quod gignitur, ex aliqua causa gigni necesse est. Nullius enim rei causa remota, reperiri origo potest. Quocirca si is, qui aliquod munus efficere molitur, eam speciem, quæ semper eadē est, intuebitur, atq. eam sibi proponet exemplar, præclarum opus efficiat necesse est. Sin autem illam quæ gignitur, nunquam illam quam expetet pulcritudinem consequetur.

Pythagoras primus quidē causas corporū expertes dixit, quæ autē ex communione vel euentu essent, corporeas.

Aristoteles vnamquamq. causam hoc dicendi genere indicare se dixit, vt ex qua, vocaret materiam; à qua, efficientem; secundū quam, formam; propter quam, finem.

Causam Zeno vocat, propter quam, effectum autem euentum· & causam quidem corpus, effectum autem categorema. nefas autē esse, vt causa posita desit effectus· id quod ita est intelligendum. Anima causa est, propter quam viuimus, ac prudentia, propter quam sapimus. Quocirca fieri nō posse, vt vel qui animam habeat, nō viuat, vel qui prudentiam, non sapiat.

Chrysippus causam dicit, propter quam: & causam quidem corpus & ὄν, effectum autem διότι.

Posidonius causam alicuius dixit, quæ vel primùm id efficeret, vel efficiendi auctor esset: & causam quidem corpus, effectum autem non corpus, sed euentum.

Thales ac reliqui primam causam immobilem dixerunt, Stoici mobilem.

Peripatetici causas alias sub sensu, alias sub intelligentia locarunt.

Ocellus. *Ocellus causam definiuit, propter quam aliquid fiat. Sic enim ait libro de Lege: Cōtinet enim corpora quidem vita, cuius causa est anima, mūdum autem harmonia, cuius est causa Deus, domos denique & ciuitates concordia, cuius est lex causa. Qua igitur de causa mundus quidem perpetua fruitur harmonia, nec vllam vnquam sentit intemperiem, ciuitates autem at domus breuis aui sunt. Qua genita & mortali constant materia, eadem de causa dissoluūtur. siquidem de mutabili & semper affecto composita sunt. nam rerum ortus materiam conseruat. Quod quidem semper mouetur, regit; quod autem semper afficitur, regitur: illius potestas prior est, huius posterior: illud diuinum ac rationis particeps, hoc mortale et rationis expers.*

De corporibus, eorumq́; sectione, & minimo. CAP. XVII.

CORPVS *est, quod tribus constat internallis, latitudine, altitudine, longitudine; siue moles resistens, quantum in se est.*

Plato nec graue nec leue quicquā natura esse dixit, donec in loco suo subsisteret: in alienum verò delatum nutare, itaq́ vel ad grauitatem vel ad leuitatem inclinare.

Aristoteles terram quidem grauissimam posuit, ignem autem leuissimum, aerem autem & aquam medio loco, eaq́ posse quidem in infinitum secari, tamen id nō fieri. corporum autem simplicium simplices esse qualitates. magnitudines porrò & qua magnitudinem haberēt, siue continua, in infinitum diuidi. Ac magnitudines quidē tres esse, longitudinem, latitudinem, altitudinem; magnitudinem autem habere hac sex, corpus, locum, superficiem, lineam, motum, tempus. Superficiem quidem esse corporis terminū, duobus circumscriptum interuallis: lineam autem superficiei terminum in vno interuallo. Corpus igitur est, quod tria habet interualla. Et quoniam hac loco quoq. tribuuntur, addendum est, quod resistat, nec aliud in eundem locum corpus recipiat. Corpus enim locum implere, vt & locum corpus recipere. Agere autem patiq́ corpora potestatibus incorporeis. nam in his etiam vtriusq. cerni discrimina. Ignem denique nullum in orbem moueri, sed athereum corpus dumtaxat.

Chrysippus & corpora aiebat in infinitum secari, & qua corporibus essent similia; neimpe superficiem, lineam, locum, inane, tempus. qua cùm in infinitum secentur, neq. corpus tamen ex infinitis constare corporibus, neq. superficiem, neque lineam, neque locum.

Stoici duo quidem de quatuor elementis leuia faciunt, ignem, et aerem: duo autē grauia, aquam & terram. leue siquidem esse, quod à medio suo recedat; graue, quod accedat. ac terrestre quidem lumen rectà, caleste autem in orbem ferri.

Οἱ περιπατητικοὶ τῶν αἰτίων εἶναι τὰ μὲν αἰσθητὰ, τὰ δὲ νοητά.

Ὄκελλος ἔφησεν εἶναι αἴτιον δι' ὃ γίγνεταί τι. λέγει γὰρ ἐν τῷ περὶ νόμου οὕτως, συνέχει γὰρ τὰ μὲν σκάνεα ζῶα, ταύτας δ' αἴτιον ψυχὰ, τὸ δὲ κόσμον ἁρμονία, ταύτας δὲ αἴτιος ὁ θεός· τὼς δ' οἴκως, καὶ τὰς πόλιας ὁμόνοια, ταύτας δ' αἴτιος, νόμος. τίς ὦν αἰτία καὶ φύσις τὸ μὲν κόσμον ἁρμόσθαι διὰ παντὸς, καὶ μηδέποτ' ἐς ἀκοσμίαν ἐκβαίνειν· τὰς δὲ πόλιας καὶ τὼς οἴκως, ὀλιγοχρονίως ἦμεν· ὧν γεννατὰ, καὶ θνατὰ τὰν φύσιν ἐξ ἧς συνέστακεν ὕλας τὰν αὐτὰν αἰτίαν ἔχει τᾶς διαλύσιος· συνέστη γὰρ ἐκ μεταβολίας καὶ ἀειπαθέος. ἡ γὰρ τῶν γινομένων ἀπογένεσις, σωτηρία τᾶς γεννάτορος ὕλας· τὸ δὲ ἀεικίνητον κυβερνεῖ, τὸ δ' ἀειπαθὲς κυβερνεῖται, καὶ τὸ μὲν πρᾶτον τᾷ δυνάμει, τὸ δὲ ὕστερον· καὶ τὸ μὲν θεῖον καὶ λόγον ἔχον καὶ ἔμφρον· τὸ δὲ γεννατὸν, καὶ ἄλογον, τὸ μεταβάλλον.

Περὶ σωμάτων, καὶ τῆς περὶ τούτων τομῆς, καὶ περὶ ἐλαχίστου. κεφ. ιζ'.

Σῶμά ἐστι, τὸ τριχῇ διαστατὸν, πλάτει, βάθει, μήκει, ἴσον ἀντίτυπον, ὅσον ἐφ' αὑτῷ. ἢ ὄγκος ἀντίτυπος Plut.

Πλάτων μήτε βαρὺ μήτε κοῦφον εἶναί τι φύσει ἐν τῷ οἰκείῳ τόπῳ ὑπάρχον· ἐν δὲ τῷ ἀλλοτρίῳ γινόμενον τότε νεῦσιν ἴσχειν· ἐκ δὲ τῆς νεύσεως, ῥοπὴν, ἤτοι πρὸς βαρύτητα, ἢ κουφότητα.

Ἀριστοτέλης βαρύτατον μὲν εἶναι τὴν γῆν, κουφότατον δὲ τὸ πῦρ, ἀέρα δὲ καὶ ὕδωρ, ἄλλοτ' ἄλλως, καὶ δυνάμει μὲν, εἰς ἄπειρον τέμνεσθαι, ἐντελεχείᾳ δὲ, μηδαμῶς. τῶν δὲ ἁπλῶν σωμάτων, εἶναι τὰς ποιότητας ἁπλᾶς· διαιρεῖσθαι δὲ εἰς ἄπειρον τὰ μεγέθη καὶ τὰ μέγεθος ἔχοντα· ταῦτα δὲ καὶ συνεχῆ καλεῖσθαι, μεγέθη δὲ εἶναι μῆκος, πλάτος, βάθος· τὰ δ' ἔχοντα μέγεθος ἓξ ὑπάρχειν, σῶμα, τόπον, ἐπιφάνειαν, γραμμὴν, κίνησιν, χρόνον. ἐπιφάνειαν δ' εἶναι σώματος πέρας δυσὶν ὁριζομένην διαστάσεσι· γραμμὴν δὲ τὸ τῆς ἐπιφανείας πέρας, κατὰ μίαν διάστασιν· σῶμα δὴ τοίνυν ἐστὶ τὰς τρεῖς ἔχον διαστάσεις· ἐπειδὴ καὶ περὶ τὸν τόπον εἰσὶν αὗται, προσθετέον τό τε μετ' ἀντερείσεως καὶ τὸ μὴ δεχόμενον ἕτερον εἰς τὸν αὐτὸν τόπον σῶμα· πληρωτικὸν γὰρ εἶναι τοῦ τόπου τὸ σῶμα, καθάπερ καὶ τὸν τόπον τοῦ σώματος δεκτικὸν, ποιεῖν δὲ καὶ πάσχειν τὰ σώματα τοῖς ἀσωμάτοις δυνάμεσι· καὶ γὰρ τὰς ἐν ταύταις διαφορὰς ἀποτελεῖσθαι, τάς τε τῶν δραστικῶν καὶ τὰς τῶν παθητικῶν φύσεις. μηδὲν δὲ πῦρ κυκλοτερῶς φύσει κινεῖσθαι, μόνον δὲ τὸ πέμπτον σῶμα.

Χρύσιππος ἔφασκε τὰ σώματα εἰς ἄπειρον τέμνεσθαι, καὶ τὰ τοῖς σώμασι προσεοικότα, οἷον ἐπιφάνειαν, γραμμὴν, τόπον, κενὸν, χρόνον· εἰς ἄπειρόν τε τούτων τεμνομένων οὔτε σῶμα ἐξ ἀπείρων σωμάτων συνέστηκεν, οὔτε ἐπιφάνεια, οὔτε γραμμὴ, οὔτε τόπος.

Οἱ στωικοὶ δύο μὲν ἐκ τῶν τεσσάρων στοιχείων, κοῦφα, πῦρ, καὶ ἀέρα· φύσει δὲ δύο βαρέα, ὕδωρ καὶ γῆν· κοῦφον γὰρ ὑπάρχει φύσει, ὃ ἀπὸ τοῦ ἰδίου μέσου, βαρὺ δὲ τὸ εἰς μέσον, καὶ τὸ μὲν περίγειον φῶς κατ' εὐθεῖαν· τὸ δ' αἰθέριον περιφερῶς κινεῖται. ἢ μέσον Plut.

Ἐπίκου-

Ἐπίκουρος, ἀπερίληπτα εἶναι τὰ σώματα, καὶ πρῶτα δὲ ἁπλᾶ· τὰ δὲ ἐξ ἐκείνων συγκρίματα, βάρος ἔχειν· κινεῖσθαι δὲ τὰ ἄτομα τότε μὲν κατὰ στάθμην, τότε δὲ κατὰ παρέγκλισιν· τὰ δὲ ἄνω κινούμενα, κατὰ πληγὴν καὶ ὑπὸ παλμοῦ.

Δημόκριτος τὰ πρῶτά φησι σώματα, ταῦτα δ' ἦν τὰ ναστὰ βάρος μὲν οὐκ ἔχειν, κινεῖσθαι δὲ κατ' ἀλληλοτυπίαν ἐν τῷ ἀπείρῳ, δυνατὸν εἶναι κοσμιαίαν ὑπάρχειν ἄτομον. ὁ δ' αὐτὸς ἔλεγε, περὶ τὰ μέρη ἵστασθαι τὴν τομήν.

Στράτων μὲν προσεῖναι τοῖς σώμασι φυσικὸν βάρος, τὰ δὲ κουφότερα τοῖς βαρυτέροις ἐπιπολάζειν, οἷον ἐκπυρηνιζόμενα.

Οἱ ἀπὸ Θαλέω καὶ Πυθαγόρου παθητὰ σώματα καὶ τμητὰ εἰς ἄπειρον καὶ πάντα συνεχῆ, γραμμὴν, ἐπιφάνειαν, στερεὸν σῶμα, τόπον, χρόνον.

Ἐμπεδοκλῆς πρὸ ἐλαχίστου ἔφη πρὸ τῶν τεσσάρων στοιχείων θραύσματα ἐλάχιστα, οἱονεὶ στοιχεῖα πρὸ τῶν στοιχείων ὁμοιομερῆ.

Ἡράκλειτος πρὸ τοῦ ἑνὸς δοκεῖ τισι ψήγματα καταλείπειν.

Ξενοκράτης καὶ Διόδωρος ἀμερῆ τὰ ἐλάχιστα ὡρίζοντο· Ἡρακλείδης θραύσματα. σῶμά ἐστι τὸ τριχῆ διαστατὸν, πλάτει, βάθει, μήκει. ταῦτα δὲ πλεοναχῶς λέγεσθαι. ὁτὲ μὲν γὰρ μῆκος εἶναι λέγεσθαι τὸ μέγιστον διάστημα τοῦ σώματος, ὁτὲ δὲ μόνον τὸ κάτωθεν ἄνω· καὶ πλάτος, ὁτὲ τὸ δεύτερον διάστημα, ὁτὲ τὸ ἐκ δεξιᾶς καὶ εὐωνύμου, καὶ βάθος, ὁτὲ μὲν εἰς ἑαυτὸ διάστημα, ὁτὲ δὲ τὸ πρόσω καὶ ὀπίσω, κατὰ μὲν τὸν πρότερον λόγον, οὔτε τῶν σφαιρῶν, οὔτε τῶν τετραγώνων, καὶ τῶν ὁμοίων οὐδὲν τῶν διαστημάτων τούτων ἐχόντων. κατὰ δὲ τὸν δεύτερον παντὸς σώματος τὰς τρεῖς ἔχοντος διαστάσεις, διὰ τὸ κατὰ πᾶσαν θέσιν ὑπὸ τὸν λόγον τοῦτο πίπτειν αὐτῷ.

Πάντοθεν ἐν κύκλου σφαίρας ἐναλίγκιον ὄγκῳ,
μεσσόθεν ἰσοπαλὲς πάντῃ· τὸ γὰρ οὔτε τι μεῖζον,
οὔτε τι βαιότερον πέλεν ἀχρεόν ἐστι τῇ ἢ τῇ.

Περὶ σχημάτων.
κεφ. ιη'.

Ὁμήρ. Τόσσον ἔνερθ' ἀΐδεω ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης.
ἀλλ' ὅγε πάντοθεν ἴσος καὶ πάμπαν ἀπείρων
σφαῖρος, κυκλοτερὴς, μονίης περιτεύθη χαίρων.

Σχῆμά ἐστιν ἐπιφάνεια καὶ περιγραφὴ, καὶ πέρας σώματος.

Πλάτων ἔφησε σφαιροειδῆ τὸν κόσμον ὑπάρχειν. λέγει γὰρ οὕτως ἐν τῷ Τιμαίῳ, σχῆμα δ' ἔδωκεν αὐτῷ τὸ πρέπον καὶ τὸ συγγενές, τῷ δὲ πάντα ζῷα ἐν αὐτῷ περιέχειν μέλλοντι ζώῳ πρέπον ἂν εἴη σχῆμα τὸ περιειληφὸς ἐν αὐτῷ πάνθ' ὁπόσα σχήματα. διὸ καὶ σφαιροειδὲς ἐκ μέσου πάντῃ πρὸς τὰς τελευτὰς, τόσον ἀπέχον, κυκλοτερὲς αὐτὸ ἐτορνεύσατο πάντων τελειότατον, ὁμοιότατόν τι αὐτὸ ἐν αὐτῷ

Epicurus comprehendi corpora negabat, ac prima quidem asserebat esse simplicia, de his autem composita grauitatem habere. moueri autem atomas vel rectis lineis, vel declinatione; quæq; sursum ferantur, pulsu.

Democritus prima quidem corpora, solida videlicet, grauitate carere existimat, maueri autem in infinito mutuis pulsibus: ac fieri posse, vt mundum perficiat atomus. circaq; partes aiebat idem sectionem consistere.

Strato corporibus naturalem quidem putabat inesse grauitatem, leuiora autē grauioribus tanquam expressa innatare.

Thaletis ac Pythagoræ discipuli iniuriæ obnoxia corpora dixerunt, inq; infinitum diuidi, & continua esse, lineam, superficiem, corpus, locum, tempus.

Empedocles autē elementa frusta ponebat minima, tanquam elementorum elementa, eaq; similium partium.

Heraclitus ante vnum ramenta quædam videtur relinquere.

Xenocrates ac Diodorus minima partibus carere dixerunt: Heraclides frusta. Corpus est, quod tribus constat interuallis, latitudine, altitudine, longitudine. hæc autem pluribus dici modis. Nam & longitudinem nonnunquam quidem dici maximum corporis interuallum, nonnunquam autē dumtaxat ab inferiori parte ad superiorem; et latitudinē nunc pro secundo interuallo sumi, nunc pro dextris & sinistris. et altitudinem aliquando rei interuallum in sese significare, interdum priora & posteriora: secundum priorem quidem rationem nec globis, nec quadratis, nec similibus vllum horum interuallorum habentibus, secundū posteriorem autē quouis corpore tribus interuallis prædito, quoniam hoc ipsi quouis situ conueniat,

Omni ex parte globo formis æquale rotundo, Parmenid.
A medio per cuncta æquū. namq; hoc neq. maius
Nec minus aut hac aut illac existere oportet.

De figuris. CAP. XIIX.

TANTVM *infra Ditem, quàm terra distat Olympus.* Homeri.
Vndiq. hic æqualis atq. infinitus vbique
*Est globus atq. orbis, vasto *sub pectore gaudens.* *ἀδὲ στέρνα lego.

Figura est superficies, & circumscriptio terminusq; corporis.

Plato mundum globosum posuit. sic enim ait in Timæo: Formam autem & maximè sibi cognatā & decoram dedit. A quo enim animante omnes reliquos contineri vellet animantes, hunc ea forma figurauit, qua vna omnes reliquæ formæ concluduntur. Et globosus est fabricatus, quod σφαιροειδὲς Græci vocant: cuius omnis extremitas paribus à medio radiis attingitur. idq; ita tornauit, vt nihil effici posset rotundius, nihil vt asperitatis haberet, nihil offensionis, nihil inclusum angulis, nihil anfractibus, nihil eminens, nihil lacunosum, omnésque partes simillimæ omnium, quoad

eius

eius præstabat indicio dissimilitudini similitudo.

Cùm enim cælum omne rotundũ sit, quæcunque à medio æquè distantia extrema facta sunt, similiter esse oportet extrema. Medium quoq. æqualibus lineis ab extremis vndiq. distans, è regione æquè omnia respicit. Quoniam igitur ita mundus dispositus est, si quis dictorum quicquam sursum esse dixerit vel deorsum, non iniuria errare videbitur. Medius enim locus in ipso, neque sursum, neque deorsum dici debet, sed medius. Quod rursus vndiq. circuit, neq. medium est, neque partem in se habet aliam ab alia differentem, quoad ipsum medium, & omnino quicquid sit è regione locatum. Et verò quod sui ipsius simillimũ est, contraria nomina iure nullus attribuet. Si quid enim solidum æquilibratumq. in vniuersi medio sit, ad nullam extremorum partem propter perfectam ipsorum similitudinem declinabit. At si quis circa illud obambulet, sæpe sibimet plantis stabit oppositis, eandemq. illius partem tum sursum, tum deorsum vocabit. Itaque vniuersum, quemadmodum paulo antè diximus, cùm sit rotundum, locum habere superiorem aut inferiorẽ, vir prudens minimè affirmabit.

Pythagorici mundũ globosum fecerunt iuxta quatuor elementorum figuram, igni supremo soli conica forma tributa: Anaxagoras atomos multis figuris præditas: Leucippij similes partes multis figuris præditas: Cleanthes Stoicus ignem conica figura: Zeno ignem rectà ferri: Stoici mundum globosum, vt & Leucippus ac Democritus.

Diogenes & Anaxagoras dicebant mundum, postquam constitisset, & animantia de terra produxisset, spontè quodam pacto versus meridiem se inclinasse, fortè vt quædam ipsius habitari non possent, quædam possent, pro frigore vel calore nimio, vel temperie.

Empedocles negabat in vniuersum definita esse elementorum loca, verùm inter se omnia locum mutare credebat. Cedente enim solis motui aere, Vrsas se inclinasse, et boreales quidem partes erectas, australes autem depressas fuisse, vnaq. mundum totum, cuius dextra quidem æstiuo Tropico, sinistra autem hiberno comprehendantur.

Pythagoras, Plato, & Aristoteles dextras quidem partes orienti soli, vnde motus initium propter ortus proficiscitur, tribuerunt, sinistras autẽ occidenti.

Nec altitudinem nec profundum aiunt mundum habere, quatenus altitudo quidẽ dicitur internallum sursum, profundum autem deorsum. nullum enim tale interuallum circa mundũ cerni, qui ad sui medium consistat, à quo in omnem partem idem sit interuallum.

Philolai Bacchis.

*Mundus vnus est. is autem vsq. ad medium cœpit existere, & à medio sursum, quemadmodum deorsum. quæq. supra medium sunt, infra mediũ sitis sunt opposita. nam inferiora sunt infimis *media, vt superiora supremis, ac reliqua simili-*

* μέσον lego pro μέγα.

σχημάτων νομίσας μυρίῳ κάλλιον ὅμοιον ἀνομοίου.

Τὸ γὰρ παντὸς οὐρανοῦ σφαιροειδοῦς ὄντος, ὅσα μὲν ἀφεστῶτα ἴσον τοῦ μέσου γέγονεν ἔσχατα προσπεφυκέναι, τὸ δὲ μέσον τὰ αὐτὰ μέτρα τῶν ἐσχάτων ἀφεστηκὸς ἐν τῷ κατ' ἀντικρὺ νομίζειν δεῖ πάντων εἶναι. τοῦ δὴ κόσμου ταύτῃ πεφυκότος τί τῶν εἰρημένων τις, ἢ κάτω τιθέμενος, ὃν οὐκ ἐν δίκῃ δόξει τὸ μηδὲν προσῆκον ὄνομα λέγειν. ὁ μὲν γὰρ μέσος ἐν αὐτῷ τόπος οὔτε κάτω πεφυκὼς οὔτε ἄνω λέγεσθαι δίκαιος, ἀλλ' αὐτὸ ἐν μέσῳ. ὁ δὲ πέριξ οὔτε δὴ μέσος, οὔτ' ἔχων διάφορον αὐτοῦ μέρος ἕτερον θατέρου μᾶλλον πρὸς τὸ μέσον, ἤ τι τῶν κατ' ἀντικρύ. τοῦ δὲ ὁμοίως πάντῃ πεφυκότος ποῖά τις ἐπιφέρων ὀνόματα αὐτῷ ἐναντία καὶ πῇ, καλῶς ἂν ἡγοῖτο λέγειν; εἰ γάρ τι καὶ στερεὸν εἴη κατὰ μέσον τοῦ παντὸς ἰσοπαλές, εἰς οὐδὲν ἄν ποτε τῶν ἐσχάτων ἐνεχθείη διὰ τὴν πάντῃ ὁμοιότητα αὐτῶν· ἀλλ' εἰ καὶ περὶ ταυτὸ πορεύοιτό τις ἐν κύκλῳ, πολλάκις ἂν ταῖς ἀντιτύποις αὐτὸν αὐτοῦ κάτω καὶ ἄνω προσείποι. τὸ μὲν γὰρ ὅλον καθάπερ εἴρηται, νῦν δὲ σφαιροειδὲς ὄν, τόπον τινὰ κάτω, τὸν δὲ ἄνω λέγειν ἔχειν, οὐκ ἔμφρονος.

ὁμοίως.

Οἱ ἀπὸ Πυθαγόρου τὸν κόσμον σφαιροειδῆ κατὰ σχῆμα τῶν τεττάρων στοιχείων, μόνον δὲ τὸ ἀνώτατον πῦρ κωνοειδές· Ἀναξαγόρας, τὰ ἄτομα, πολυσχήμονα· οἱ Λευκίππου τὰ ὁμοιομερῆ πολυσχήμονα· Κλεάνθης ὁ Στωϊκός, τὸ πῦρ ἀπεφήνατο κωνοειδές. Ζήνων ἔφασκε τὸ πῦρ κατ' εὐθεῖαν κινεῖσθαι. οἱ Στωϊκοὶ σφαιροειδῆ τὸν κόσμον ἀπεφήναντο. Λεύκιππος καὶ Δημόκριτος σφαιροειδῆ τὸν κόσμον.

Διογένης καὶ Ἀναξαγόρας ἔφησαν, μετὰ τὸ συστῆναι τὸν κόσμον, καὶ τὰ ζῷα ἐκ τῆς γῆς ἐξαγαγεῖν, ἐγκλιθῆναί πως τὸν κόσμον ἐκ τοῦ αὐτομάτου εἰς τὸ μεσημβρινὸν αὐτοῦ μέρος. ἴσως ἐκ προνοίας, ἵν' ἃ μὲν ἀοίκητα γένηται, ἃ δὲ οἰκητὰ μέρη τοῦ κόσμου, κατὰ ψύξιν, καὶ ἐκπύρωσιν καὶ εὐκρασίαν.

Ἐμπεδοκλῆς ἔλεγε μὴ διὰ παντὸς ἑστῶτας εἶναι, μηδ' ὡρισμένους τοὺς τόπους τῶν στοιχείων, ἀλλὰ πάντας τοὺς ἀλλήλων μεταλαμβάνειν. τοῦ δὲ ἀέρος εἴξαντος τῇ τοῦ ἡλίου ὁρμῇ ἐπικλιθῆναι τὰς ἄρκτους. καὶ τὰ μὲν βόρεια ὑψωθῆναι, τὰ δὲ νότια ταπεινωθῆναι, καθὸ καὶ τὸν ὅλον κόσμον· καὶ δεξιὰ μὲν αὐτοῦ, τὰ κατὰ τὸν θερινὸν τροπικόν, ἀριστερὰ δέ, τὰ κατὰ τὸν χειμερινόν.

Πυθαγόρας, Πλάτων, Ἀριστοτέλης δεξιὰ τοῦ κόσμου τὰ ἀνατολικὰ μέρη, ἀφ' ὧν ἡ ἀρχὴ τῆς κινήσεως, διὰ τὰς ἀνατολάς, ἀριστερὰ δὲ τὰ δυτικά. Ζήνων ἔφασκε, τὸ πῦρ κατ' εὐθεῖαν κινεῖσθαι.

Οὐδ' ὕψος δὲ φασί, οὔτε βάθος ἔχειν τὸν κόσμον, καθ' ὃν λόγον, ὕψος μὲν λέγεται τὸ κάτωθεν ἄνω διάστημα· βάθος δὲ τὸ ἄνωθεν κάτω. μηδὲν γὰρ εἶναι τῶν οὕτως διαστημάτων λεγομένων περὶ τὸν κόσμον τὸ ἑαυτοῦ μέσον αὐτὸν συνεστάναι, ἀφ' οὗ πρὸς ἅπαν ἐστί, καὶ πρὸς τὸ πανταχόθεν τοῦτο.

Ὁ κόσμος εἷς ἐστιν. ἤρξατο δὲ γίγνεσθαι ἄχρι τοῦ μέσου, καὶ ἀπὸ τοῦ μέσου ἐς τὸ ἄνω, διὰ τῶν αὐτῶν τοῖς κάτω ἐστὶ τὰ ἄνω τοῦ μέσου ὑπεναντίως κείμενα τοῖς κάτω, τοῖς γὰρ κάτω τὸ κατωτάτω μέγα ἐστίν, ὥσπερ τὸ ἀνωτάτω, καὶ τὰ ἄλλα ὡσαύτως. πρὸς γὰρ τὸ μέσον

καὶ ταυτά ἐστιν ἑκάτερα ὅσα μὴ μετεωρίζεται.

Περὶ χρωμάτων.

Κεφ. ιθʹ.

Χρῶμά ἐστι ποιότητα σώματος, ὁρατὴ προηγουμένως. οἱ Πυθαγόρειοι χροιὰν ἐκάλουν τὴν ἐπιφάνειαν τοῦ σώματος· τὰ δὲ γένη τῶν χρωμάτων, λευκόν τε καὶ μέλαν, ἐρυθρόν τε καὶ ὠχρόν· τὰς δὲ διαφορὰς τῶν χρωμάτων παρὰ τὰς μίξεις τῶν στοιχείων, τὰς δὲ τῶν ζώων παρὰ τὰς ποικιλίας τῶν τροφῶν καὶ τῶν ἀέρων. Ἐμπεδοκλῆς χρῶμα εἶναι ἀπεφαίνετο τὸ τοῖς πόροις τῆς ὄψεως ἐναρμόττον· τὰς δὲ διαφορὰς τῆς τροφῆς ποικιλίας· τέτταρα τοῖς στοιχείοις ἰσάριθμα, λευκόν, μέλαν, ἐρυθρόν, ὠχρόν. Πλάτων φλόγα ἀπὸ τῶν σωμάτων σύμμετρα μόρια ἔχουσαν πρὸς τὴν ὄψιν. Ἀρίσταρχος Σάμιος, μαθηματικός, ἀκουστὴς Στράτωνος, φῶς εἶναι τὸ χρῶμα τοῖς ὑποκειμένοις ἐπιπῖπτον. Ζήνων ὁ Στωϊκὸς τὰ χρώματα πρώτους εἶναι σχηματισμοὺς τῆς ὕλης. Δημόκριτος, φύσει μὲν μηδὲν εἶναι χρῶμα· τὰ μὲν γὰρ στοιχεῖα ἄποια, τά τε μεστὰ καὶ τὸ κενόν· τὰ δ' ἐξ αὐτῶν συγκρίματα κεχρῶσθαι διαταγῇ τε καὶ ῥυθμῷ καὶ προτροπῇ, ὧν ἡ μέν ἐστι τάξις, ἡ δὲ σχῆμα, ἡ δὲ θέσις· παρὰ ταῦτα γὰρ αἱ φαντασίαι· τούτων δὲ τῶν πρὸς τὴν φαντασίαν χρωμάτων τέτταρες αἱ διαφοραί, λευκοῦ, μέλανος, ἐρυθροῦ, ὠχροῦ. Ἐπίκουρος καὶ Ἀρίσταρχος, τὰ ἐν τῷ σκότῳ χρώματα χροιὰν οὐκ ἔχειν. Ἀριστοτέλης πέρας ἐν ὡρισμένῳ διαφανεῖ· διαφανὴς δὲ τὴν ὕλην εἶναι ἀποτεθειμένην καθαρὰν καὶ ἀμιγῆ, ταύτῃ δὲ αὐτῇ τὸ κινητὸν χρῶμα ὑπάρχειν. ἐν δὲ τῷ σκότῳ τὰ χρώματα χροιὰν δυνάμει μὲν ἔχειν, ἐνεργείᾳ δὲ, μηδαμῶς. πολὺ δὲ τὸ μεταξὺ τοῦ μὴ ἔχειν, καὶ μὴ ὁρᾶσθαι.

Οἱ μὲν ἄλλοι τὰ στοιχεῖα κεχρῶσθαι φυσικῶς, οἱ δὲ τὰ ὁμοιομερῆ ποιότητα μετέχειν τὰ πρῶτα, οἱ δὲ τὰ ἄτομα πάντα συλλήβδην ἄχροα, ἐξ ἀποίων δὲ τῶν λόγῳ θεωρητῶν τὰς αἰσθητὰς ὑποφαίνουσι γίνεσθαι ποιότητας.

Τέταρτον γὰρ δὴ λοιπὸν ἔτι γένος ἡμῖν αἰσθητικόν, ὃ διελέσθαι δεῖ ἀθρόα ἐν αὐτῷ ποικίλματα κεκτημένον, ἃ ξύμπαντα μὲν χρόας ἐκαλέσαμεν, φλόγα τῶν σωμάτων ἑκάστων ἀπορρέουσαν, ὄψει σύμμετρα μόρια ἔχουσαν πρὸς αἴσθησιν· ὄψεως δὲ τῆς πρόσθεν αὐτὸ περὶ τῶν αἰτίων τῆς γενέσεως, ὀλίγα μετερρήθη· τῇ δὲ ὧν τῶν χρωμάτων πέρι μάλιστα εἰκὸς πρέποι τ' ἂν τὸν ἐπιεικῆ λόγῳ διεξελθεῖν· τὰ φερόμενα ἀπὸ τῶν ἄλλων μόρια, ἐμπίπτοντά τε εἰς τὴν ὄψιν τὰ μὲν ἐλάττω, τὰ δὲ μείζω, τὰ δὲ ἴσα τοῖς αὐτοῖς τῆς ὄψεως μέρεσιν εἶναι. τὰ μὲν οὖν ἴσα, ἀναίσθητα, ἃ δὴ καὶ διαφανῆ λέγομεν· τὰ δὲ μείζονα καὶ ἐλάττω, τὰ μὲν συγκρίνοντα, τὰ δὲ διακρίνοντα αὐτήν, τοῖς περὶ τὴν σάρκα θερμοῖς, καὶ ψυχροῖς, καὶ τοῖς περὶ τὴν γλῶτταν στρυφνοῖς καὶ ὅσα θερμαντικὰ δριμέα ἐκαλέσαμεν, ἀδελφὰ εἶναι, τά τε λευκὰ καὶ τὰ μέλανα, ἐκείνων παθήματα γεγονότα ἐν ἄλλῳ γένει τὰ αὐτὰ, φανταζόμενα δὲ, ἀλλὰ διὰ ταύτας τὰς αἰτίας· οὕτως οὖν αὐτὰ προσρητέον, τὸ μὲν διακριτικὸν τῆς ὄψεως λευκόν, τὸ δ' ἐναντίον αὐτοῦ μέλαν, τὴν δὲ ὀξυτέραν φορὰν καὶ γένους πυρὸς ἑτέρου, προσπίπτουσαν καὶ διακρίνουσαν τὴν ὄψιν

ter. siquidem eodem pacto se ad medium habent utraque.

De coloribus. CAP. XIX.

COLOR *est corporis qualitas aspectabilis. Pythagorei colorem definierunt corporis superficiem. species autem fecerunt album, nigrum, rubrum, & pallidum. ac differentias quidem colorum de mistura elementorum, animalium autem de ciborum atq. aeris varietate prouenire dixerunt. Empedocles colorem dixit id, quod aspectus meatibus conueniret. eius differentias è ciborum varietate duxit; species quatuor, ut & elementorum, posuit, album, nigrum, rubrum, pallidum. Plato ignem à corporibus proficiscentē, cuius partes visui responderent. Aristarchus Samius, mathematicus, Stratonis auditor, lucem in subiectas res incidentem. Zeno Stoicus primum materiæ habitum. Democritus nihil per se colorem esse dixit. nam elementa quidē, plenum & inane, qualitatem habere; quæ autem de his componantur, ordine, figura, ac profectu colorari. nam secundū hæc visa fieri, colorum porrò quatuor eadem esse genera. Epicurus & Aristarchus tenebris colores ademerunt. Aristoteles definiti perspicui terminum. perspicuum autem esse puram & sinceram materiam. idemq́ moueri colores aiebat, & in tenebris existere quidem, sed non apparere. multum autem interesse, utrum res non existat, an haud appareat.*

Elementa alij natura colorari voluerunt, alij primas partes similes qualitatis esse participes, alij cunctas atomos colore carere, de quibusdam autem qualitatis expertibus ratione contemplandis qualitates sensus mouentes existere.

Sequitur quartum sentiendi genus exponendum, quod varietatem in se plurimam continet: & quæ sub eo sunt omnia, colores vocantur. Est autem color veluti flammula quædam fulgorq́ à singulis corporibus emanans, partes habens visui ad sentiendum accommodatas. Causas verò, ex quibus visus gignitur, suprà tractauimus. Nunc de coloribus potissimū hoc pacto probabilia dicenda videtur. Quæ ab aliis delata partibus in aspectum cadunt, partim minora partim maiora, partim visus ipsius partibus æqualia sunt. Aequalia quidem sentiri non possunt, quæ utrinque perspicua nominātur. Minora verò aut maiora partim discernere, partim contrahere visum dicimus, instar eorū quæ caliditate vel frigiditate carnem, aut eorū quæ acrimonia caliditateve linguam contrahunt vel discernunt. Atque ea quæ visum sic afficiunt, alba nigrave vocamus, quæ quidem passiones eorum sunt, quæ modo narrabā, & illorum quidē germana eademq́ quodammodo, sed in genere alio, diuersa tamen propter has causas esse videntur. Sic utique appellanda sunt ista: quod visum disgregat, album: nigrum verò, quod cōgregat. Motionem profectò acutiorem alteriusq́ generis ignis, incidentem dispergentemq́ visum

Plat. Tim.

visum vsq. ad oculos, orbesq́; ipsos oculorum meatúsq́; vi diuerberantem liquefacientemq́; ignē esse dicimus ex opposito obuiantem, cuius occursu lacryma, corpus ex igni & aqua mixtū, effunditur. Et vno quidem igne velut è coruscatione quadā exiliente, altero verò penetrante, & ab humore extincto, varij creantur ex huiusmodi mixtione colores, atq. ipsam passionem fulgorem coruscationemq́; vocamus: quódve id facit, splendidū atq. coruscum. Horum medium ignis genus ad oculorum humorem perueniens, illiq́; se miscens, minimè quidem coruscum, sed ex ipsa ignei radij ad humorum admixtione, sanguineū creante colorē, rubeum nominauimus. Splendidū albúmq. rubeo mixtum flauum procreat. Quo autem mensuræ modo singula singulis misceātur, etiamsi quis nouerit, narrare prudentis non est, præsertim cùm neq. necessariam, neq. verisimilem de his rationē afferre vllo modo possit. Rubeum cum albo nigroq́; purpureum generat. Paulo obscurior moreus luteolusq́; fit color, quando his inuicem cōflatis adustisq́; magis est adiuncta nigredo. Fuluū flaui fuscíq́; temperatione producitur. Fuscum verò albi et nigri confusione. Pallorem albi flauíq. copula generat. Splendidum albo adiunctum, plurimáq. obfusum nigredine, cæruleum efficit. Cæruleum cū albo glaucum creat. Fului nigriq́; temperie color viridis nascitur. Cetera fermè ex his omnia manifesta fiunt. Si quis enim superiores mixtiones imitatus reliquos colores exequitur, probabilibus rationibus disputabit. At si quis horum discussionem probationemq́; opere ipso aggredietur, quid inter humanam diuinámque naturam intersit, ignorare videbitur.

De mixtione. CAP. XX.

THALES *cum suis mixtionē immutatione elemētorum, Anaxagoras cōpositione fieri credebat. Empedocles & Xenocrates de minoribus corpusculis elementa componebant, quæ minima sunt, ac tanquam elementorū elementa. Plato tria quidem corpora, ignem, aerem, aquā, inter se mutari concedit, terram verò negat. Aristoteles cum suis corpuscula quidem & minutas parles inter se componi ait, rationes autem incorporeas commisceri.*

Zeno Vniuersi constitutionē sic se in orbem habere asserit: cùm ex igne per aerem fiat aqua, partem quidem vnam subsidere, ac terram concrescere, alteram verò partim aquam permanere, partim exhalatam aerem fieri; tum ex aeris particula ignem elucere. mixtionem autem fieri elementorum inter se commutatione, toto corpore per alterum transeunte.

Cleanthes ait, accenso Vniuerso, medium eius primum subsidere, deinde proxima paulatim extingui. madefacto autem Vniuerso, ignem extremum, renitēte medio, rursum in contrariū verti, itáq. sursum ferri, & Vniuersi constitutionē ordiri. atq. hunc Vniuersi constitutionis ambitum

μέχρι ὀφθαλμῶν αὐτάς τε τῶν ὀμμάτων τὰς διεξόδους βίᾳ διωθοῦσαν καὶ τήκουσαν, πῦρ μὲν ἀθρόον, καὶ ὕδωρ, ὃ δάκρυον καλοῦμεν, ἐκεῖθεν ἐκχέουσαν, αὐτὴν δὲ οὖσαν πῦρ ἐξ ἐναντίας ἀπαντῶσαν. καὶ τοῦ μὲν ἐκπηδῶντος πυρὸς οἷον ἀπὸ ἀστραπῆς, τοῦ δὲ εἰσιόντος καὶ περὶ τὸ νοτερὸν κατασβεννυμένου παντοδαπῶν ἐν τῇ κυκήσει ταύτῃ γιγνομένων χρωμάτων, μαρμαρυγὰς μὲν τὸ πάθος προσείπομεν· τὸ δὲ τοῦτο ἀπεργαζόμενον λαμπρόν τε καὶ στίλβον ἐπωνομάσαμεν· τὸ δὲ τούτων αὖ μεταξὺ πυρὸς γένος, πρὸς μὲν τὸ τῶν ὀμμάτων ὑγρὸν ἀφικνούμενον καὶ κεραννύμενον αὐτῷ, στίλβον δὲ οὔ· τῇ δὲ διὰ τῆς νοτίδος αὐγῇ τοῦ πυρὸς μιγνυμένῃ, χρῶμα ἔναιμον παρασχομένῃ, τοὔνομα ἐρυθρὸν λέγομεν. λαμπρὸν δὲ ἐρυθρῷ λευκῷ τε μιγνύμενον, ξανθὸν γέγονε. τὸ δὲ ὅσον μέτρον ὅσοις, οὐδ' εἴ τις εἰδείη, νοῦν ἔχει τὸ λέγειν, ὧν μήτε τινὰ ἀνάγκην, μήτε τὸν εἰκότα λόγον, καὶ μετρίως ἄν τις εἰπεῖν εἴη δυνατός. ἐρυθρὸν δὲ δὴ μέλανι λευκῷ τε κραθὲν ἁλουργόν· ὄρφνινον δὲ, ὅτ' ἂν τούτοις μεμιγμένοις καυθεῖσί τε μᾶλλον συγκραθῇ μέλαν· πυρρὸν δὲ ξανθοῦ τε καὶ φαιοῦ κράσει γίγνεται, φαιὸν δὲ λευκοῦ τε καὶ μέλανος· τὸ δὲ ὠχρὸν, λευκοῦ ξανθῷ μιγνυμένου· λαμπρῷ δὲ λευκὸν συνελθὸν καὶ εἰς μέλαν κατακορὲς ἐμπεσὸν, κυανοῦν χρῶμα ἀποτελεῖται· κυανοῦ δὲ λευκῷ κεραννυμένου, γλαυκόν· πυρροῦ δὲ μέλανι πράσιον. τὰ δ' ἄλλα ἀπὸ τούτων σχεδὸν δῆλα, αἷς ἂν ἀφομοιούμενα μίξεσι, διασώζοι τὸν εἰκότα μῦθον. εἰ δέ τις τούτων ἔργῳ σκοπούμενος βάσανον λαμβάνοιτο, τὸ τῆς ἀνθρωπίνης καὶ θείας φύσεως ἠγνοηκὼς ἂν εἴη διάφορον.

Περὶ μίξεως καὶ κράσεως. κεφ. κ'.

Θαλῆς καὶ οἱ ἀπ' αὐτοῦ κρᾶσιν εἶναι τὰς τῶν στοιχείων μίξεις κατ' ἀλλοίωσιν· τὰς κράσεις κατὰ παράθεσιν γίγνεσθαι τῶν στοιχείων. Ἐμπεδοκλῆς καὶ Ξενοκράτης ἐκ μικροτέρων ὄγκων τὰ στοιχεῖα συγκρίνει, ἅπερ ἐστὶν ἐλάχιστα καὶ οἱονεὶ στοιχεῖα στοιχείων. Πλάτων τὰ μὲν τρία σώματα, τρεπτὰ εἰς ἄλληλα, πῦρ, ἀέρα, ὕδωρ· τὴν δὲ γῆν, εἰς τι τούτων τῶν ἀμεταβλήτων. Ἀριστοτέλης καὶ τῶν ἀπ' αὐτοῦ· τὰ μὲν σώματά φησι θρυπτόμενα καὶ τὰ μικρὰ μόρια, παρατίθεσθαι ἀλλήλοις, τοὺς δ' ἀσωμάτους λόγους οἵτινές εἰσι λόγοι συγκρίνεσθαι.

ἀναξαγόρας Plut.

Ζήνων δὲ οὕτως ἀποφαίνεται διαρρήδην, τοιαύτην δὲ δεήσει εἶναι ἐν περιόδῳ τὴν τοῦ ὅλου διακόσμησιν ἐκ τῆς οὐσίας, ὅτ' ἂν ἐκ πυρὸς τροπὴ εἰς ὕδωρ δι' ἀέρος γίνηται. τὸ μέν τι ὑφίστασθαι καὶ γῆν συνίστασθαι, καὶ ἐκ τοῦ λοιποῦ δὲ τὸ μὲν διαμένειν ὕδωρ. ἐκ δὲ τοῦ ἀτμιζομένου ἀέρα γίγνεσθαι, ἔκ τινος δὲ τοῦ ἀέρος πῦρ ἐξάπτειν· τὴν δὲ μίξιν κρᾶσιν γίγνεσθαι τῇ εἰς ἄλληλα τῶν στοιχείων μεταβολῇ, σώματος ὅλου δι' ὅλου τινὸς ἑτέρου διερχομένου.

Κλεάνθης δὲ οὕτω πώς φησι, ἐκφλογισθέντος τοῦ παντὸς συνίζειν τὸ μέσον αὐτοῦ πρῶτον, εἶτα τὰ ἐχόμενα ἀποσβέννυσθαι, δι' ὅλου τοῦ δὲ παντὸς ἐξυγρανθέντος τὸ ἔσχατον τοῦ πυρὸς ἀντιτυπήσαντος αὐτῷ τοῦ μέσου, τρέπεσθαι πάλιν εἰς τοὐναντίον, εἶθ' οὕτω τρεπόμενον ἄνω φησὶ αὔξεσθαι καὶ ἄρχεσθαι διακοσμεῖν τὸ ὅλον· καὶ τοσαύτην περίοδον αἰεὶ καὶ διακόσμησιν ποιουμένου

μένου

μένειν ἐν τῇ τῶν ὅλων οὐσίᾳ, τόνῳ μὴ παύεσθαι. ὥσπερ γὰρ ἑνός τινος τὰ μέρη πάντα φύονται ἐκ σπερμάτων ἐν τοῖς καθήκουσι χρόνοις, οὕτω καὶ τοῦ ὅλου τὰ μέρη, ὧν καὶ τὰ ζῶα καὶ τὰ φυτὰ ὄντα τυγχάνει, ἐν τοῖς καθήκουσι χρόνοις φύεται· καὶ ὥσπερ τινὲς λόγοι τῶν μερῶν εἰς σπέρματα συνιόντες μίγνυνται, καὶ αὖθις διακρίνονται γενομένων τῶν μερῶν, οὕτως ἐξ ἑνός τε πάντα γίγνεσθαι, καὶ ἐκ πάντων εἰς ἓν συγκρίνεσθαι, ὁδῷ καὶ συμφώνως διεξιούσης τῆς περιόδου.

Χρύσιππος δὲ τοιοῦτόν τι διεβεβαιοῦτο, εἶναι τὸ ὂν πνεῦμα κινοῦν ἑαυτὸ πρὸς ἑαυτὸ καὶ ἐξ αὑτοῦ, ἢ πνεῦμα ἑαυτὸ κινοῦν πρόσω καὶ ὀπίσω· πνεῦμα δὲ εἴληπται διὰ τὸ λέγεσθαι αὐτὸ ἀέρα εἶναι κινούμενον· ἀνάλογον δὲ γίγνεσθαι κἄπειτα αἰθέρος, ὥστε καὶ εἰς κοινὸν λόγον πεσεῖν αὐτά. ἡ τοιαύτη δὲ κίνησις κατὰ μόνους γίγνεται τοὺς νομίζοντας τὴν οὐσίαν πᾶσαν μεταβολὴν ἐπιδέχεσθαι καὶ χύσιν, καὶ σύστασιν, καὶ σύμμιξιν, καὶ σύμφυσιν, καὶ τὰ τούτοις παραπλήσια. διαφέρειν γὰρ ἀρέσκει τοῖς ἀπὸ τῆς στωϊκῆς αἱρέσεως, παράθεσιν, μῖξιν, κρᾶσιν, σύγχυσιν· παράθεσιν μὲν γὰρ εἶναι σωμάτων συναφὴν κατὰ τὰς ἐπιφανείας, ὡς ἐπὶ τῶν σωρῶν ὁρῶμεν, ἐν οἷς πυροί τε καὶ κριθαὶ, καὶ φακοί, καὶ εἴ τινα τούτοις ἄλλα παραπλήσια περιέχεται, καὶ τῆς ἐπὶ τῶν αἰγιαλῶν ψήφου, καὶ ἄμμου· μῖξιν δ' εἶναι δύο, ἢ καὶ πλειόνων σωμάτων ἀντιπαρέκτασιν δι' ὅλων ὑπομενουσῶν τῶν συμφυῶν περὶ αὐτὰ ποιοτήτων, ὡς ἐπὶ τοῦ πυρὸς ἔχει καὶ τοῦ πεπυρακτωμένου σιδήρου, ἐπὶ τούτων γὰρ ὅλων γίγνεσθαι τῶν σωμάτων τὴν ἀντιπαρέκτασιν· ὁμοίως δὲ κἀπὶ τῶν ἐν ἡμῖν ψυχῶν ἔχει· δι' ὅλων γὰρ τῶν σωμάτων ἡμῶν ἀντιπαρεκτείνουσιν, ἀρέσκει γὰρ αὐτοῖς σῶμα διὰ σώματος ἀντιπαρήκειν. κρᾶσιν δὲ εἶναι λέγουσι δύο, καὶ πλειόνων σωμάτων ὑγρῶν, δι' ὅλων ἀντιπαρέκτασιν τῶν περὶ αὐτὰ ποιοτήτων ὑπομενουσῶν· τὴν μὲν μῖξιν καὶ ἐπὶ ξηρῶν γίγνεσθαι σωμάτων, οἷον πυρὸς καὶ σιδήρου, ψυχῆς τε καὶ τοῦ περιέχοντος αὐτὴν σώματος, τὴν δὲ κρᾶσιν ἐπὶ μόνων φασὶ γίγνεσθαι τῶν ὑγρῶν· συνεκφαίνεσθαι γὰρ ἐκ τῆς κράσεως τὴν ἑκάστου τῶν συγκραθέντων ὑγρῶν ποιότητα· οἷον οἴνου, μέλιτος, ὕδατος, ὄξους, τῶν παραπλησίων. ὅτι δ' ἐπὶ τοιούτων κράσεων διαμένουσιν αἱ ποιότητες τῶν συγκραθέντων, πρόδηλον ἐκ τοῦ πολλάκις ἐξ ἐπιμηχανήσεως ἀποχωρίζεσθαι ταῦτα ἀπ' ἀλλήλων. ἐὰν οὖν σπόγγον ἠλαιωμένον καθῇ τις εἰς οἶνον ὕδατι κεκραμένον, ἀποχωρίσει τὸ ὕδωρ τοῦ οἴνου ἀναδραμόντος τοῦ ὕδατος εἰς τὸν σπόγγον. τὴν δὲ σύγχυσιν δύο καὶ πλειόνων ποιοτήτων περὶ τὰ σώματα μεταβολὴν εἰς ἑτέρας διαφερούσης τούτων ποιότητος γένεσιν, ὡς ἐπὶ τῆς συνθέσεως ἔχει τῶν μύρων καὶ τῶν ἰατρικῶν φαρμάκων.

κεφ. κα'.

Ποσειδώνιος δὲ φθορὰς καὶ γενέσεις τέτταρας εἶναι ἐκ τῶν οὐκ ὄντων εἰς τὰ ὄντα γιγνομένας· τὴν μὲν γὰρ ἐκ τῶν οὐκ ὄντων καὶ τὴν εἰς οὐκ ὄντα, καθάπερ προεῖπον, ἀπέγνωσαν ἀνύπαρκτον οὖσαν· τὴν δ' εἰς ὄντα γιγνομένην μεταβολὴν, τὴν μὲν εἶναι κατὰ διαίρεσιν, τὴν δὲ κατ' ἀλλοίωσιν, τὴν δὲ κατὰ σύγχυσιν· τὴν δὲ ἐξ ὅλων λεγομένην κατὰ ἀνάλυσιν· τούτων δὲ τὴν κατ' ἀλλοίωσιν περὶ τὴν οὐσίαν γίγνεσθαι, τὰς δ' ἄλλας τρεῖς, περὶ τοὺς ποιοὺς λεγομένους τοὺς ἐπὶ τῆς οὐσίας γιγνομένης, ἀκολούθως δὲ τούτοις καὶ τὰς γενέσεις συμβαίνειν, τὴν δ' οὐσίαν οὔτ' αὔξεσθαι οὔτε

nunquam desinere. Quemadmodũ enim uniuscuiusq. partes suis tẽporibus de semine procreentur, sic etiam Vniuersi partes, in quibus animalia quoq. stirpesq́; censeantur, suis temporibus prouenire. et quemadmodũ partium quædam rationes in semine misceãtur, quæ illis compositis rursum dissoluantur; sic ex vno fieri omnia, rursumq́; ex omnibus vnum componi, æquali & perpetuo ambitu.

Chrysippus spiritum ponebat seipsum ad se & à se mouentem, siue prorsum ac retrorsum. spiritum autem sumebat, quod is aer motus esset, & atheri proportione responderet, sic vt eodem vtrumq. pertineret. Atq. hic motus iis mouetur solis, qui naturam putant omnem mutationem, solutionem, compositionem, ac similia recipere. Censent enim inter se differre Stoici compositionem, mixtionem, temperationem, & confusionẽ. Nam compositionem quidem dicunt corporum ad superficies contactum, quemadmodum in aceruis frumenti, hordei, lentis, ac similium, inq; calculis litoralibus est videre. Mixtionem autem ponunt duorum vel plurium corporum, quorum qualitates per integra diffundantur, vt in igne & ferro candenti licet videre, inque animis nostris. vtrobique enim per integra corpora diffusionem fieri, prout ipsis corpus placet per corpus transire. Temperationem verò duorum vel plurium corporum humidorum ponunt, quorum qualitates per integra diffundantur. Ac mixtionem quidem etiam siccis corporibus tribuunt, vt igni ac ferro, animo & corpori: temperationẽ verò solis humidis concedunt. simul enim ex temperatione singulorum humidorum, vt vini, mellis, aquæ, aceti, ac similiũ qualitates elucere. Atq. in talibus temperationibus permanere temperatorũ qualitates, ex eo constare, quòd hæc sæpenumero arte quadam à se inuicem separentur. enimuerò si quis oleo tinctam spongiam in vinum aqua temperatum demittat, aquam à vino separaturum esse, in spongiam procurrentem. Confusionem denique statuunt duarũ vel plurium qualitatum in alterius diuersa ortus transmutationem, vt in vnguentorum & pharmacorum compositione conspicitur.

CAP. XXI.

Posidonius interitus & ortus quatuor facit species, de iis quæ sint, in ea quæ sint, vsurpatas. nam de iis quæ non sint, in ea quæ non sint, dictum, vt antè monuimus, tanquam quæ in rerũ natura non esset, reiecit. Priorum autem specierũ vnam ponit in diuisione, alteram in transmutatione, tertiam in cõfusione, quartam in resolutione. atq. harum alteram quidem in substantia cerni, reliquas autem tres in iis, quæ propriè qualia dicantur: eorúmq. ratione ortus et interitus existere. nam substãtiam quidem nec augeri nec minui, siue quid addatur siue detrahatur, verùm

Hæc ad XX v cap. videntur pertinere.

*dumtaxat immutari, vt in numeris ac mensuris contingat: in istis qualibus autem, vt Dione ac Theone, incrementa & decrementa cerni, ideoq́ in animalibus, stirpibus, ac similibus interitus capacibus permanere singulorum ab ortu ad interitum vsque qualitates. Ceterùm in propriè qualibus duas esse capaces partes, alteram ex natura substantia, alteram ex *qualitatis. hanc enim, vt sæpe dictum sit, augeri ac minui. Neque idem esse propriè quale, & naturam qua constat; neq. tamē aliud, sed solum non idem: quòd & pars natura sit, & eundem occupet locum; quæ autem alia dicantur, et loco separentur, nec in parte ponantur. Non esse porrò idem illorum vtrumq́, manifestū facit Mnesarchus. Necessarium enim est iisdem eadem euenire. Quare si quis, cùm equum finxerit, verbi gratia, pòst eo confracto canem faciat, rectè dixerimus id nunc esse, antè nō fuisse. Quocirca non idem est vtrumq. Neq. rectè dixerimus nos eadē omnes esse natura. Sæpè enim contingit naturam quidem, velut Socratis, ante ortū existere, ipsum autē etiam desiderari: ac rursum post eius interitum naturam quidem permanere, ipsum autem non amplius existere.*

* ποιοῦ, ἀντὶ lego pro ποιότητος.

De vacuo & loco.
CAP. XXII.

OMNES *post Thaletem physici vacuum agnouerunt. Empedocles ait,*

Nil est in toto vacuum, nihil extat inane.

Democritus, Leucippus, Metrodorus, Epicurus atomos quidem multitudine, vacuum autem magnitudine infinitū posuerunt. Strato extra mundum negabat esse vacuum, intra mundum concedebat. locum autem dicebat interuallum inter continens & contentum.

Aristoteles quarto Physicorum sic ait: Vacuū in cælo ponunt Pythagorei, tanquam illud ex eo spiritum ducat. Primo autem de Philosophia Pythagorica libro ita scribit: Cælum esse vnum ex infinito colligitur, vt & tempus ac vacuum, quod singulorum describit loca. Alibi verò locum dicit esse cōtinentis immobilem terminum; siue in quo maneant ac moueantur corpora: plenum quidem, quando corpus vndiq. complectitur; vacuum autem, quando nihil in se continet. Ac locum quidē & corpus dari necessariò putat, vacuum verò non item, nisi cogitatione eius siquidem naturam & rerum consensum & corporum compagem euertere. motus autem in loco fieri ordine, circumobsistentibus inter se corporibus. Infinitum autem nullum nec multitudine nec magnitudine concedit.

Zeno cum suis intra mundū negabat esse vacuum, extra mundum concedebat. differre autem volebat inter se vacuum, locum, & regionem; vt

μειοῦσθαι κατὰ πρόσθεσιν ἢ ἀφαίρεσιν, ἀλλὰ μόνον ἀλλοιοῦσθαι καθάπερ ἐπ᾽ ἀριθμῶν καὶ μέτρων συνέβαινεν, ἐπὶ τῶν ἰδίως ποιῶν, οἷον Δίωνος, καὶ Θέωνος, καὶ αὐξήσεις, καὶ μειώσεις γίγνεσθαι, διὸ καὶ παραμένειν τὴν ἑκάστου ποιότητα τὰ ἀπὸ τῆς γενέσεως μέχρι τῆς ἀναιρέσεως, ἐπὶ τῶν ἀναίρεσιν δεχομένων ζώων καὶ φυτῶν, καὶ τῶν τούτοις παραπλησίων· ἐπὶ δὲ τῶν ἰδίως ποιῶν φασὶ δύο εἶναι τὰ δεκτικὰ μόρια, τὸ μέν τι κατὰ τὴν τῆς οὐσίας ὑπόστασιν, τὸ δὲ κατὰ τὴν τοῦ ποιοῦ, τὸ γὰρ, ὡς πολλάκις λέγομεν, τὴν αὔξησιν καὶ τὴν μείωσιν ἐπιδέχεσθαι, μὴ εἶναι τε ταυτὸν τό τε ποιὸν ἰδίως, καὶ τὴν οὐσίαν ὃ ἐξ ἧς ἐστὶ τοῦτο, μὴ μέντοι γε μηδ᾽ ἕτερον, ἀλλὰ μόνον οὐ ταυτὸν, διὰ τὸ καὶ μέρος εἶναι τὴν οὐσίαν, καὶ τὸν αὐτὸν ἐπέχειν τόπον· τὰ δ᾽ ἕτερα τινῶν λεγόμενα δεῖν καὶ τόπῳ κεχωρίσθαι, καὶ μηδ᾽ ἐν μέρει θεωρεῖσθαι· τὸ δὲ μὴ εἶναι ταυτὸ τό τε κατὰ τὸ ἰδίως ποιὸν, καὶ τὸ κατὰ τὴν οὐσίαν, δῆλον εἶναι φησὶν ὁ Μνήσαρχος. ἀναγκαῖον γὰρ τοῖς αὐτοῖς ταῦτα συμβεβηκέναι· εἰ γάρ τις πλάσας ἵππον, λόγου χάριν, συνθλάσειε, ἔπειτα κύνα ποιήσειεν, εὐλόγως ἂν ἡμᾶς ἰδόντας εἰπεῖν, ὅτι τοῦτ᾽ οὐκ ἦν πάλαι, νῦν δ᾽ ἔστιν· ὥστ᾽ ἕτερον εἶναι τὸ ἐπὶ τοῦ ποιοῦ λεγόμενον· τὸ δὲ καὶ ἐπὶ τῆς οὐσίας καθόλου νομίζειν τοὺς αὐτοὺς ἡμᾶς εἶναι τῇ οὐσίᾳ, ἀπίθανον εἶναι φαίνεται· πολλάκις γὰρ συμβαίνει τὴν μὲν οὐσίαν ὑπάρχειν πρὸ τῆς γενέσεως εἰ τύχοι τῆς Σωκράτους, τὸν δὲ Σωκράτη μηδέπω ὑπάρχειν, καὶ μετὰ τὴν τοῦ Σωκράτους ἀναίρεσιν ὑπομένειν μὲν τὴν οὐσίαν, αὐτὸν δὲ μηκέτι εἶναι.

Περὶ κενοῦ, καὶ τόπου.
κεφ. κβ´.

Οἱ ἀπὸ Θαλέω φυσικοὶ πάντες τὸ κενὸν ἐπέγνωσαν. ἐμπεδοκλῆς,

Οὐδέ τι τοῦ παντὸς κενὸν πέλει, οὐδὲ περιττόν.

Δημόκριτος, καὶ ἕτεροι, λεύκιππος, μητρόδωρος, ἐπίκουρος, τὰ μὲν ἄτομα ἄπειρα τῷ πλήθει, τὸ δὲ κενὸν ἄπειρον τῷ μεγέθει. στράτων ἐξωτέρω μὲν ἔφη τοῦ κόσμου μὴ εἶναι κενὸν, ἐνδοτέρω δὲ δυνατὸν γενέσθαι. τόπον δὲ εἶναι τὸ μεταξὺ διάστημα τοῦ περιέχοντος καὶ τοῦ περιεχομένου.

Ἀριστοτέλης ἐν τετάρτῳ φυσικῆς ἀκροάσεως γράφει· εἶναι δὲ φασὶ οἱ πυθαγόρειοι κενὸν καὶ ἐπιέναι ἐν ταυτῷ τῷ οὐρανῷ ἐκ τοῦ ἀπείρου πνεύματος ὡς ἀναπνέοντι. ἐν δὲ τῷ περὶ τῆς πυθαγόρου φιλοσοφίας πρώτῳ γράφει, τὸν δ᾽ οὐρανὸν εἶναι ἕνα, ἐπεισάγεσθαι ἐκ τοῦ ἀπείρου, χρόνον τε καὶ πνοὴν, καὶ τὸ κενὸν ὃ διορίζει ἑκάστων τὰς χώρας ἀεί. καὶ ἐν ἄλλοις λέγει, τόπον εἶναι τὸ τοῦ περιέχοντος πέρας ἀκίνητον, ἢ ἐν ᾧ μένει τε καὶ κινεῖται τὰ σώματα, πλήρη μὲν, ὅταν πανταχόθεν περιέχῃ τὸ σῶμα, κενὸν δὲ, ὅταν μηθὲν ἔχῃ τὸ παράπαν ἐν ἑαυτῷ. τόπον μὲν οὖν ἀναγκαῖον ὑπάρχειν καὶ σῶμα, κενὸν δὲ, οὐδαμῶς, εἰ μὴ μόνον προσνοήσει, ἀναιρετικὴν γὰρ εἶναι τὴν κατ᾽ ἐνδελέχειαν αὐτοῦ φύσιν τῆς τε τῶν ὄντων συμπαθείας καὶ τῆς τῶν σωμάτων ἀλληλουχίας· τὰς δὲ κινήσεις γίγνεσθαι τὰς κατὰ τόπον κατὰ τὸ πρότερον ἂν καὶ περιισταμένας ἀλλήλοις τῶν σωμάτων· ἄπειρον δὲ οὐθὲν ἀπολείπει, οὔτε κατὰ τὸ πλῆθος οὔτε κατὰ τὸ μέγεθος.

ἐπεισιέναι Arist.

Ζήνων καὶ οἱ ἀπ᾽ αὐτοῦ ἐντὸς μὲν τοῦ κόσμου μηδὲν εἶναι κενὸν, ἔξω δ᾽ αὐτοῦ ἄπειρον· διαφέρειν δὲ κενὸν, τόπον, χώραν· καὶ τὸ μὲν κενὸν εἶναι ἐρημίαν σώματος,

μένης, τὸ δὲ τόπον, τὸ ἐπεχόμενον ὑπὸ σώματος· τὴν δὲ χώραν, τὸ ἐκ μέρους ἐπεχόμενον.

Θαλῆς ἐρωτηθεὶς τί τὸ μέγιστον, ἔφησε, τόπος· τὰ ἄλλα μὲν γὰρ ὁ κόσμος, τὸν δὲ κόσμον οὗτος περιέχει.

Ἑρμοῦ ἐκ τοῦ πρὸς ἀσκληπιόν.

Πᾶν τὸ κινούμενον, ὦ ἀσκληπιέ, οὐκ ἔν τινι κινεῖται καὶ ὑπό τινος; μάλιστα. οὐκ ἀνάγκη δὲ μεῖζον εἶναι ἐν ᾧ κινεῖται τὸ κινούμενον; ἀνάγκη. ἰσχυρότερον ἄρα τὸ κινοῦν τοῦ κινουμένου; ἰσχυρότερον γάρ. ἐναντίας δὲ ἔχειν φύσιν ἀνάγκη τὴν ἐν ᾧ κινεῖται τῇ τοῦ κινουμένου. καὶ πάνυ. μέγας οὖν οὗτος κόσμος, οὗ μεῖζον οὐκ ἔστι σῶμα. ὡμολόγηται. καὶ στιβαρός, πεπλήρωται γὰρ ἄλλων σωμάτων μεγάλων πολλῶν, μᾶλλον δὲ πάντων ὅσα ἐστὶ σώματα, οὕτως ἔχει. σῶμα δὲ ὁ κόσμος; σῶμα. καὶ κινούμενος; μάλιστα. πηλίκον οὖν δεῖ τὸν τόπον εἶναι, ἐν ᾧ κινεῖται, καὶ ποταπὸν τὴν φύσιν. οὐ πολὺ μείζονα, ἵνα δυνηθῇ δέξασθαι τῆς φορᾶς τὴν συνέχειαν, καὶ μὴ θλιβόμενον τὸ κινούμενον ὑπὸ τῆς στενότητος ἐπίσχῃ τὴν κίνησιν; παμμέγεθές τι χρῆμα, ὦ τρισμέγιστε. ποταπῆς δὲ φύσεως; τῆς ἐναντίας ἄρα, ὦ ἀσκληπιέ. σώματι δὲ ἐναντία φύσις τὸ ἀσώματον. ὡμολόγηται. ἀσώματος οὖν ὁ τόπος· τὸ δὲ ἀσώματον, ἢ θεῖόν ἐστι, ἢ θεός. τὸ δὲ θεῖον λέγω νῦν, οὐ τὸ γεννητόν, ἀλλὰ τὸ ἀγέννητον.

ἐν ταὐτῷ.

Οὐδὲν τῶν ὄντων ἐστὶ κενὸν παρὰ τῆς ὑπάρξεως λόγῳ· τὸ δὲ ὄν, οὐκ ἂν ἠδύνατο εἶναι ὄν, εἰ μὴ μεστὸν τῆς ὑπάρξεως. τὸ γὰρ ὑπάρχον κενόν, οὐδέποτε γενέσθαι δύναται. οὐκ ἔστιν οὖν κενά τινα, ὦ τρισμέγιστε; οἷον κάδος, καὶ κέραμος, καὶ ληνός, καὶ τὰ ἄλλα τὰ παραπλήσια. φεῦ τῆς πολλῆς πλάνης ἀσκληπιέ· τὰ μᾶλλον πληρέστατα καὶ μεστότατα, ταῦτα κενὰ ἡγῇ εἶναι. πῶς λέγεις ὦ τρισμέγιστε; οὐ σῶμά ἐστιν ὁ ἀήρ; σῶμα. τοῦτο δὲ τὸ σῶμα οὐ διὰ πάντων διήκει τῶν ὄντων, καὶ πάντα διῆκον πληροῖ; σῶμα δέ, οὐκ ἐκ τῶν τεσσάρων κεκραμένον συνέστηκε; μεστὰ οὖν πάντα ἐστὶν ἃ σὺ φῂς κενὰ τοῦ ἀέρος· εἰ δὲ τοῦ ἀέρος, καὶ τῶν τεσσάρων σωμάτων. καὶ συμβαίνει ὁ ἐναντίος λόγος ἐκφαίνεσθαι, ὅτι ἃ σὺ φῂς μεστὰ ταῦτα πάντα κενά ἐστι τοῦ ἀέρος, ἐκείνων ἀπ' ἄλλων σωμάτων στενοχωρουμένων καὶ μὴ ἐχόντων τόπον δέξασθαι τὸν ἀέρα. ταῦτα οὖν ἃ σὺ φῂς, κοῖλα δεῖ ὀνομάζειν, οὐ κενά. ὑπάρξει γάρ, μεστά ἐστιν ἀέρος καὶ πνεύματος. ἀντίρρητος ὁ λόγος, ὦ τρισμέγιστε. τὸν οὖν τόπον ἐν ᾧ κινεῖται τὸ πᾶν, τί εἴπομεν; ἀσώματον, ἀσκληπιέ. τὸ οὖν ἀσώματον ἐστὶ νοῦς, ὅλος ἐξ ὅλου, ἑαυτὸν ἐμπεριέχων, ἐλεύθερος σώματος παντός· ἀπλανής, ἀπαθής, ἀφανής, αὐτὸς ἐν ἑαυτῷ, ἐπιχωρητικὸς πάντων, καὶ σωτήριος τῶν ὄντων, οὗ ὥσπερ ἀκτῖνές εἰσι τὸ ἀγαθόν, ἡ ἀλήθεια, τὸ ἀρχέτυπον πνεύματος, τὸ ἀρχέτυπον τῆς ψυχῆς. ταῦτ' οὖν τί ἐστι; ὃ μηδὲ ἓν τούτων ὤν, ὢν δέ, καὶ τοῦ εἶναι τούτοις, αἴτιος ὢν καὶ πᾶσι καὶ ἑνὶ ἑκάστῳ τῶν ὄντων πάντων.

Ἐπίκουρος ὀνόμασι πᾶσι παραλλάττειν κενόν, τόπον, χώραν. οἱ πυθαγόρειοι, ἐκτὸς εἶναι τοῦ κόσμου κενόν, εἰς ὃ ἀναπνεῖ ὁ κόσμος καὶ ἐξ οὗ. οἱ στωϊκοὶ εἶναι κενόν, εἰς ὃ κατὰ τὴν ἐκπύρωσιν ἀναλύεται ὁ κόσμος ἄπειρος ὤν. ποσειδώνιος ἔφησε τὸ ἐκτὸς τοῦ κόσμου, οὐκ ἄπειρον, ἀλλ' ὅσον αὔταρκες εἰς διάλυσιν. πλάτων τόπον εἶναι τὸ μεταληπτικὸν τῶν εἰδῶν, ὅπερ εἴρηται μεταφορικῶς τὴν ὕλην, καθάπερ τινὰ τιθήνην καὶ δεξαμενήν. κενὸν δὲ μὴ εἶναι

vacuum esset corporis priuatio, locus corporis receptaculum, regio partis vocabulum.

Thales interrogatus, quid esset maximum, Locus, respondit. nam vt reliqua mundus, ita hic mundum complectitur.

Mercurij sermone catholico, cui hoc principium deest.

Quod mouetur, Aesculapi, nónne in aliquo, et ab aliquo mouetur? maximè. Ac maius id esse, in quo quid mouetur, est pernecesse? Est. Quare fortius est quod mouet, eo quod mouetur. Fortius. Contrarium autem habet naturã in quo quid mouetur, ei quod mouetur. Omninò. Magnus igitur hic est mũdus, quo maius nullum est corpus. Patet. Atq. etiam fortis, siquidem aliis multis magnisq; refertus est corporibus, adeoq; corpora omnia complectitur. Corpus autem est mundus? Corpus. Ac mouetur? Maximè. Quantum igitur oportet locum esse, in quo mouetur, non multo maiorem, vt motum perpetuum recipiat, nec per loci angustiam impediat. Valde magnum. Quali autem natura? Contraria. Corpori autem cõtraria natura corpore caret. Patet. Corporis igitur expers est locus. Tale autem vel deus est, vel diuinum. diuinum autem voco nunc, quod genitum non est.

Ibidem. Ficino interp.

Nihil est in rerum ordine vacuum, solum verò quod non est, quod priuatur existentia, vacuum nuncupandum. nihil enim reperiri potest, quod cùm existat, vacuum sit. Nónne reperiuntur quædam vacua Trismegiste? veluti dolium vacuum, vacuus puteus, & similia quoq. quamplurima. Heu quàm procul à veritate vagaris ò Aesculapi. quæ ampla, & maximè omnium plena sunt, ea tu vacua putas. Quomodo id ò Trismegiste? Aer profectò corpus est. id corpus reliqua penetrat, discurrensq; replet omnia. corpus enim huiusmodi est, ex corporalibus non compositum. Quo fit, vt quæcunq. tu vacua nuncupas, plena sint aeris. Itaque concaua potius ista, quàm vacua nominari debent. nam & existunt, ac aeris spirituq; sunt plena. Inuicta atq indubia hæc est ratio Trismegiste. Locum, in quo omne mouetur, quid esse dicemus? Incorporeum ò Aesculapi. Incorporeũ verò quid est? Mens, ac ratio sese complectens, libera ab omni corporis mole, ab errore aliena, impaßibilis, intangibilis, ipsa sibi aßistens, purgans atq. seruãs omnia: cuius radij sunt bonum, veritas, principale lumen, primaq; animarũ forma. Deus quid est? Quod nullum ex his est, horum tamen omnium, vt sint, causa, præsens quiddam cunctis, præsens etiam vnicuique.

Epicurus nomine differre vacuum, locum, regionem credebat. Pythagorici extra mundum vacuũ ponebant, vnde spiritus cælo suppeteret. Stoici vacuum statuebant, in quod mundus infinitus per exustionem resolueretur. Posidonius extrà mundum non ponebat vacuum, nisi quantum resolutioni sufficeret. Plato locum statuit, qui species reciperet, quam translatè vocauit materiam, tanquam nutricẽ & receptaculum. vacuum autẽ

nusquam concedit. sic enim ait in Timæo: Earum autem quatuor rerum, quas suprà dixi, sic in omni mundo omnes partes collocatæ sunt, vt nulla pars huiusce generis excederet extrà, atq. in hoc vniuerso inessent genera illa vniuersa. Id ob eas causas: primùm vt mundus animans posset ex perfectis partibus esse perfectus. deinde, vt vnus esset, nulla parte, vnde alter gigneretur, relicta. Omni autem totam figuram mundi læuitate circumdedit. Nec enim oculis egebat, quia nihil extra, quod cerni posset, relictum erat: nec auribus, quia ne quod audiretur quidem. neq. erant aere circumfusa extrema mundi, vt respirationem requireret.*

*Chrysippus locum definiuit, quod ab aliquo vel aliquibus occuparetur, vel occupari posset. Si autẽ eius quod occupari ab aliquo posset, aliud occuparetur, aliud non item, totum ipsum nec vacuum nec locum fore, sed aliud quiddam carẽs nomine. Nam vacuum quidem similiter vt vasa *vacua dici, locum autem vt plena. regionẽ verò vtrum tanquam maius corporis receptaculum, an tanquam maioris accipimus? Ac vacuũ quidem frustrà poni, cùm nihil extra mundum sit; locum autem finitum esse, quòd nullum corpus sit infinitũ. & quemadmodum corpus omne finitum sit, ita incorporeum infinitũ. sic tempus & vacuum infinita esse. Nam vt nihil terminũ *nullũ statuat, ita nec nihili, quale sit vacuũ, vllum esse. id enim iuxta substantiam suam infinitum esse. cumq́; repletum finiatur, replente non extante, finem nullum existere.*

ἀγγεῖοις pro αἰτίοις.

ἐδὲν pro ἓν.

μήτε ἐκτὸς τοῦ κόσμου μήτε ἐν τῷ κόσμῳ. λέγει γὰρ ἐν Τιμαίῳ οὕτως· τῶν δὲ δὴ τεττάρων, ἓν ὅλον ἕκαστον εἴληφεν ἡ τοῦ κόσμου σύστασις· ἐκ γὰρ πυρὸς παντὸς ὕδατός τε καὶ ἀέρος καὶ γῆς συνέστησεν αὐτὸν ὁ συνιστάς, μέρος οὐδὲν οὐδενὸς οὐδὲ δύναμιν ἔξωθεν ὑπολιπών, τάδε διανοηθεὶς, πρῶτον μὲν, ἵνα ὅλον ὅ,τι μάλιστα ζῷον τέλειον ἐκ τελείων τῶν μερῶν εἴη· πρὸς δὲ τάτε, ἓν ἅτε οὐχ ὑπολελειμμένων, ἐξ ὧν ἄλλο τοιοῦτον γένοιτ' ἄν. λεῖον δὲ κύκλῳ πᾶν ἔξωθεν αὐτὸ ἀπηκριβοῦτο πολλῶν χάριν. ὀμμάτων τε γὰρ ἐπεδεῖτο οὐδέν, ὁρατόν τε γὰρ οὐδὲν ἔξωθεν ὑπελείπετο· οὐδ' ἀκοῆς, οὐδ' ἀκουστόν· πνεῦμά τε οὐκ ἦν περιεστὸς, δεόμενον ἀναπνοῆς.

Τόπον δ' εἶναι ὁ Χρύσιππος ἀπεφαίνετο, τὸ κατεχόμενον δι' ὅλου ὑπὸ ὄντος, ἢ τὸ οἷόν τε κατέχεσθαι ὑπὸ ὄντος, καὶ δι' ὅλου κατεχόμενον εἴτε ὑπό τινος, ὑπό τινων. ἐὰν δὲ τοῦ οἵου τε κατέχεσθαι ὑπὸ ὄντος, τὶ μὲν κατέχηται, τὶ δὲ μὴ, τὸ ὅλον κενὸν ἔσεσθαι, οὔτε τόπος, ἕτερον δέ τι οὐκ ὠνομασμένον, τὸ μὲν γὰρ κενὸν τοῖς κενοῖς αἰτίοις λέγεσθαι παραπλησίως, τὸν δὲ τόπον τοῖς πλήρεσι· χώραν δὲ πότερον τὸ μεῖζον οἷόν τε κατέχεσθαι ὑπὸ ὄντος, καὶ οἷον μεῖζον ἀγγεῖον σώματος, ἢ τὸ χωροῦν μεῖζον σώματι· τὸ μὲν οὖν κενὸν ἄπειρον εἶναι λέγεσθαι· τὸ γὰρ ἐκτὸς τοῦ κόσμου τοιοῦτ' εἶναι· τὸν δὲ τόπον πεπερασμένον, διὰ τὸ μηδὲν σῶμα ἄπειρον εἶναι. καθάπερ δὲ τὸ σωματικὸν πεπερασμένον εἶναι, οὕτως τὸ ἀσώματον ἄπειρον· ὅ τε γὰρ χρόνος ἄπειρος, καὶ τὸ κενόν. ὥσπερ γὰρ τὸ μηδὲν ἕν ἐστι πέρας, οὕτως δὲ τοῦ μηδενὸς, οἷόν ἐστι τὸ κενόν· κατὰ γὰρ τὴν αὐτοῦ ὑπόστασιν, ἄπειρόν ἐστι· περατοῦται δ' αὐτὸ ἐκπληρούμενον, τοῦ δὲ πληροῦντος ἀρθέντος, οὐκ ἔστιν αὐτοῦ νοῆσαι πέρας.

De motu. CAP. XXIII.

Pythagoras motum dixit materiæ mutationẽ, quatenus est materia. quæ communis est euiusuis motus definitio. Democritus vnum genus motus in obliquum posuit; Epicurus duo, rectarũ linearum ac declinationis. Quidam etiam quartum adiiciunt genus naturæ, siue ortus. Postremi intellectum adiecerunt, vsq. ad quinque progressi. Diodorus Saturnus mota quædam esse, moueri autem nihil dixit. Heraclitus quietem quidẽ ex rebus tollebat; motum autem tribuebat omnibus. Herophilus motũ alium in ratione, alium in sensu collocabat; Asclepiades omnem in sensu. Aristoteles motũ dicebat functionem eius quod moueri posset, quatenus id posset. Motus autem alios quantitatis, alios qualitatis, alios loci esse. Quantitatis quidem ponebat incrementum ac decrementũ, additione ac diminutione constantia: qualitatis autem immutationem, vt calidi in frigidum, dulcis in amarum: loci deniq. quem cursum potius dixisset, quo de loco res in locum mouẽtur. Atq. huius tres ponit species, duas simplices, rectũ & circularem, atque vnam mistam. Et rectum quidem dicit, qui sursum ac deorsum tendit, secundum leuitatem corporum ac grauitatem: circularem autem, qui in orbem fertur: mixtum deniq qui inclinat. Loci porrò motũ alium à medio

Περὶ κινήσεως. κεφ. κγ´.

Πυθαγόρας, κίνησίς ἐστι διαφορότης, ἢ ἑτερότης ἐν ὕλῃ, ἔφασκε, ᾗ ἐστιν ὕλη. οὗτος πάσης κινήσεως κοινὸς ὅρος. Δημόκριτος ἓν γένος κινήσεως, τὸ κατὰ παλμὸν, ἀπεφαίνετο. Ἐπίκουρος δύο εἴδη κινήσεως, τὸ κατὰ σταθμὴν, καὶ τὸ κατὰ παρέγκλισιν. εἰσὶ δέ τινες οἳ καὶ τέταρτον εἶδος εἰσάγουσι, τὸ κατ' οὐσίαν, ὅπερ ἐστὶ τὸ κατὰ γένεσιν. ἄλλοι δὲ καὶ τὴν διανοητικὴν προστιθέασιν, μέχρι γὰρ τῶν πέντε προέβησαν. Διόδωρος ὁ Κρόνος κεκινῆσθαι μέν τι, κινεῖσθαι δὲ μηδέν. Ἡράκλειτος ἠρεμίαν μὲν καὶ στάσιν ἐκ τῶν ὅλων ἀνῄρει, κίνησιν δὲ τοῖς πᾶσιν ἀπεδίδου. Ἡρόφιλος, κινήσεως τὴν μὲν λόγῳ θεωρητὸν, τὴν δὲ αἰσθητήν. Ἀσκληπιάδης πᾶσαν κίνησιν αἰσθητὴν ἀπεφήνατο. Ἀριστοτέλης τὴν κίνησιν ἐνέργειαν εἶναι τοῦ δυνάμει κινητικοῦ, ᾗ κινητικόν· τῶν δὲ κινήσεων τὰς μὲν εἶναι κατὰ τὸ ποσὸν, τὰς δὲ κατὰ τὸ ποιὸν, τὰς δὲ κατὰ τόπον· κατὰ μὲν τὸ ποσὸν, αὔξησιν ἐν προσθέσει τινὶ θεωρουμένην, καὶ ἀφαίρεσιν· κατὰ δὲ τὸ ποιὸν, ἀλλοίωσιν καὶ μεταβολὴν, ὡς τὴν ἐκ θερμοῦ εἰς ψυχρὸν, ἐκ γλυκέος εἰς πικρόν· κατὰ δὲ τόπον, ἣν ἂν ἰδιαίτερον φορὰν ὠνόμασεν, καθ' ὃν ἐξ οὗ εἰς ὃ μεταβαίνει τὰ κινούμενα· ταύτης δὲ τρεῖς εἶναι διαφορὰς, ὧν δύο μὲν ἁπλᾶς, τὴν κατ' εὐθεῖαν καὶ τὴν ἐν κύκλῳ, μίαν δὲ μικτήν· εὐθεῖαν μὲν τὴν ἄνω καὶ κάτω, κατά τε κουφότητα καὶ βαρύτητα τῶν σωμάτων· ἐν κύκλῳ δὲ τὴν περιφορὰν, μικτὴν δὲ, τὴν κατάλυσιν· τῆς δὲ κατὰ τόπον κινήσεως, τὴν μὲν ἀπὸ τοῦ μέσου

πλάγιον Plut.

μέσου γίγνεσθαι, τὴν δὲ ἐπὶ τὸ μέσον, τὴν δὲ περὶ τὸ μέσον. πυρὸς μὲν οὖν καὶ ἀέρος, ἀπὸ τοῦ μέσου, γῆς καὶ ὕδατος, ἐπὶ τὸ μέσον, τοῦ δὲ ὅλου, περὶ τὸ μέσον. τούτοις δὲ πληροῦσθαι τὸν ὅλον κόσμον.

fieri, alium ad medium, alium circa medium dicebat. ac primum igni & aeri, alterū terræ atq. aquæ, tertium Vniuerso tribuebat. his denique mundum totum perfici.

Ἑρμοῦ ἐκ τῶν πρὸς Ἀσκληπιόν.

Πᾶν τὸ κινούμενον, οὐκ ἐν κινουμένῳ κινεῖται, ἀλλὰ ἐν ἑστῶτι· καὶ τὸ κινοῦν δὲ ἑστάναι, ἀδύνατον συγκινεῖσθαι. πῶς οὖν ὦ Τρισμέγιστε τὰ ἐνθάδε συγκινεῖται τοῖς κινοῦσι; τὰς γὰρ σφαίρας ἔφης τὰς πλανωμένας κινεῖσθαι ὑπὸ τῆς ἀπλανοῦς σφαίρας· οὐκ ἔστιν αὕτη ὦ Ἀσκληπιὲ συγκίνησις· οὐ γὰρ ὁμοίως κινοῦνται, ἀλλ' ἐναντίως ἀλλήλαις. ἡ δὲ ἐναντίως τὴν ἀντέρεισιν τῆς κινήσεως ἑστῶσαν ἔχει· ἡ γὰρ ἀντιτυπία, στάσις φορᾶς· διὸ καὶ αἱ πλανώμεναι σφαῖραι ἐναντίως κινούμεναι τῇ ἀπλανεῖ ὑπ' ἀλλήλων τῇ ἐναντίᾳ ὑπαντήσει περὶ τὴν ἐναντιότητα ἑστῶσαν αὐτὴν ὑπ' αὐτῆς ἔχει. τὰς γὰρ ἄρκτους ταύτας ἃς ὁρᾷς μήτε δυνούσας, μήτε ἀνατελλούσας, περὶ δὲ τὸ αὐτὸ στρεφομένας, ποιεῖ κινεῖσθαι καὶ ἑστάναι. κινεῖσθαι ὦ Τρισμέγιστε· κίνησιν ποίαν ὦ Ἀσκληπιέ; τὴν περὶ τὰ αὐτὰ ἀναστρεφομένην· ἡ δὲ περιφορὰ ἡ περὶ τὸ αὐτὸ κίνησις ἐστὶν ὑπὸ στάσεως κατεχομένη. τὸ γὰρ περὶ αὐτό, κωλύει τὸ ὑπὲρ αὐτό· οὕτω καὶ ἡ ἐναντία φορὰ ἕστηκεν ἑδραία ὑπὸ τῆς ἐναντιότητος στηριζομένη. παράδειγμα δέ σοι ἐπίγειον τοῖς ὀφθαλμοῖς ἐπιπίπτον φράσω τὰ ἐπίκηρα ζῷα, οἷον τὸν ἄνθρωπον λέγω, νηχόμενον θεώρησον φερόμενον. τοῦ γὰρ ὕδατος ἡ ἀντιτυπία τῶν ποδῶν καὶ τῶν χειρῶν στάσις γίγνεται τῷ ἀνθρώπῳ, τοῦ μὴ συγκατενεχθῆναι τῷ ὕδατι. σαφὲς τὸ παράδειγμα, ὦ Τρισμέγιστε· πᾶσα οὖν κίνησις ἐν στάσει καὶ ὑπὸ στάσεως κινεῖται· ἡ οὖν κίνησις τοῦ κόσμου καὶ παντὸς ζῴου ὑλικοῦ οὐχ ὑπὸ τῶν κατ' ἐκτὸς τοῦ σώματος συμβαίνει γίγνεσθαι, ἀλλ' ὑπὸ τῶν ἐντὸς εἰς τὸ κατ' ἐκτὸς τῶν νοητῶν ψυχῆς καὶ πνεύματος, ἢ ἄλλου τινὸς ἀσωμάτου· σῶμα γὰρ ἔμψυχον οὐ κινεῖ, ἀλλ' οὐδὲ τὸ σύνολον σῶμα κἂν ᾖ ἄψυχον. πῶς τοῦτο λέγεις ὦ Τρισμέγιστε; τὰ οὖν ξύλα καὶ τοὺς λίθους καὶ τὰ πάντα ἄψυχα οὐ σώματά ἐστιν; οὐδαμῶς Ἀσκληπιέ· τὸ γὰρ ἔνδον τοῦ σώματος τοῦ κινοῦντος τὸ ἄψυχον οὐ σῶμα ἐκεῖνό ἐστι τὸ ἀμφότερα κινοῦν καὶ τὸ τοῦ βαστάζοντος, καὶ τὸ τοῦ βασταζομένου, διόπερ ἄψυχον, οὐκ ἄψυχον κινήσει. ὁρᾷς γοῦν καὶ βαρυνομένην τὴν ψυχήν, ὅταν δύο σώματα φέρῃ.

Omne autem, quod mouetur, non in moto, sed in quodā stabili mouetur. Ipsum quoq. quod mouet, etiam permanet. impossibile enim est cum eo simul agitari. Quonam igitur pacto Trismegiste, ea, quæ in mundo sunt, mutantur vnà cū iis, quæ mouent? nam sphæras erraticas ab aplane sphæra moueri dicebas. Iste non motus, ô Aesculapi, sed resistentia est. nō enim eodem, sed modo contrariò gradiuntur. Oppositio verò reuerberationem motionis stabilem continet. repercussio enim stationis, agitatio est. Ideoq. erraticæ sphæræ contrariè, ac aplanè subalternè inuicem discurrendo, obuiatione contraria circa oppositionem huiusmodi ab ea, quæ perstat, agitantur. quod quidem aliter habere se nequit. Nam arctas ipsas, quas nosti nec exoriri vnquam, nec mergi, circa idem perpetuò recurrentes, non moueri censes, an consistere potius? Moueri ô Trismegiste. quonam motu Aesculapi? Motione circa idem sempiternè currente. At verò circulatio illa idem, et circa idem motus statione cōtentus. Ipsum namq. circa idem prohibet, quod super ipsum est. impeditum autem id, quod super ipsum est, circa idem insistat. atq. ita contraria agitatio firma est, ab ipsa oppositione perpetuò stabilita. Exempla tibi ante oculos ponam in terris viuentium, veluti dum homo quis natat (currente nimirum aqua) manuum simul & pedum repercussio stare hominem efficit, ne cum aqua pariter collabatur, aut mergatur in eam. Perspicuū ô Trismegiste, exemplum in medium attulisti. Quodcunq. ergo mouetur in statu, à statu mouetur. Motus itaq. animalis omnis, quod ex materia cōstat, nequaquam fit ab iis, quæ sunt extra mundum, verum ab internis ad externa, seu ab anima, siue à spiritu, siue ab animo quodam incorporeo. Corpus enim corpus animatum minimè mouet, sed neq. totum simul corpus, etsi inanimatum existat. Qua ratione id asseris Trismegiste? Ligna, & lapides, et cætera omnia quæcunq. animā habent, non mouentur à corporibus, ô Aesculapi? Quid enim intra corpus, mouēs ipsum inanimatum? non vtique corpus illud est, quo mouentur vtraq. & corpus eius, quod fert, eiusq. quod fertur? Non illud quoq. quod dictum est, animatum est, ob eam potissimùm rationē, quod mouet? Nónne ergo perspicis, animam tunc onerari maximè, quando sola duo corpora sustinet?

Mercurij sermone catholico

Κίνησιν δ' εἶναι φησὶν ὁ Χρύσιππος μεταβολὴν κατὰ τόπον, ἢ ὅλῳ, ἢ μέρει· ἢ μεταλλαγὴν ἐκ τόπου, ἢ καθ' ὅλον, ἢ κατὰ μέρος, ἢ ἄλλως κίνησιν μεταλλαγὴν κατὰ τόπον, ἢ σχῆμα. φορὰν δὲ, μετεώρου κίνησιν ὀξεῖαν, μονὴν δὲ τὸ μὲν οἷον ἀκινησίαν σώματος, τὸ δ' οἷον σχέσιν, κατὰ ταὐτὰ καὶ ὡσαύτως νῦν τε καὶ πρότερον· πολλαχῶς δὲ λέγεσθαι τὴν κίνησιν, καὶ τὴν μονήν, διὸ καὶ πολλοὺς καθ' ἕκαστον σημαινόμενον ἀποδίδοσθαι ὅρους· τὰς δὲ πρώτας κινήσεις εἶναι δύο, τήν τε εὐθεῖαν καὶ τὴν καμπύλην· διὰ τούτων δὲ πολλαχῶς μιγνυμένων γίγνεσθαι πολλὰς κινήσεις καὶ διαφερούσας.

Chrysippus motum dicit loci mutationem vel in totū, vel ex parte. cursum autem, vehementē è sublimi motū. quietē autē partim priuationē motus in corpore, partim eundē corporis ante et post habitū. Multis porrò modis quietē ac motū dici, indeq. definitiones multas oriri. primos quidem motus esse duo, rectum & obliquum. his autē variè mistis varios motus existere.

Zeno dicebat omnium per se consistētium partes ad medium totius ferri, atq. etiā ipsius mundi; quocirca rectè dici, omnes mundi partes ad ipsius mediū ferri, ac præcipuè graues, eandemq́ causam esse & mundi quietis in vacuo infinito, & terræ in mundo, circa cuius punctum est constituta. Neq. corpus omne grauitatem habere, vt aerem & ignem; tamen hæc quoq. ad mundi medium ferri, circaq́ eius ambitum consistere. natura enim hæc sursum tendere, quoniam omni grauitate careant. Ac similiter ne mundum quidem ipsum graue esse, quòd eius tota fabrica grauibus ac leuibus elementis constet. terram autem per se quidem grauem videri; quoniam autē medio loco sita sit, ad quem talia solent ferri corpora, locum suum seruare.

(ἀνώφοιτα pro ἄνω τὰ φυτά)

Τοῦ δ' ἐν τῷ κόσμῳ πάντων τῶν κατ' ἰδίαν ἕξιν συνεστώτων τὰ μέρη τὴν φορὰν ἔχειν εἰς τὸ τοῦ ὅλου μέσον, ὁμοίως δὲ καὶ αὐτοῦ τοῦ κόσμου, διόπερ ὀρθῶς λέγεσθαι, πάντα τὰ μέρη τοῦ κόσμου ἐπὶ τὸ μέσον τοῦ κόσμου τὴν φορὰν ἔχειν, μάλιστα δὲ τὰ βάρος ἔχοντα· ταυτὸν δὲ αἴτιον εἶναι καὶ τῆς τοῦ κόσμου μονῆς ἐν ἀπείρῳ κενῷ, καὶ τῆς γῆς παραπλησίως ἐν τῷ κόσμῳ περὶ τὸ τούτου κέντρον καθιδρυμένης. οὐ πάντως δὲ σῶμα βάρος ἔχειν· ἀλλὰ βαρῆ εἶναι ἀέρα καὶ πῦρ· γίνεσθαι δὲ καὶ ταῦτά πως ἐπὶ τὸ τῆς ὅλης σφαίρας τοῦ κόσμου μέσον· τὴν δὲ σύστασιν πρὸς τὴν περιφέρειαν αὐτοῦ ποιεῖσθαι· φύσει γὰρ ἄνω τὰ φυτὰ ταῦτ' εἶναι διὰ τὸ μηδενὸς μετέχειν βάρους· παραπλησίως δὲ τούτοις, οὐδ' αὐτόν φασι τὸν κόσμον βάρος ἔχειν, διὰ τὸ τὴν ὅλην αὐτοῦ σύστασιν ἐκ τῶν βάρος ἐχόντων στοιχείων εἶναι καὶ ἐκ τῶν ἀβαρῶν, τὴν δ' ὅλην γῆν καθ' ἑαυτὴν μὲν ἔχειν ἀρέσκειν βάρος· παρὰ δὲ τὴν θέσιν διὰ τὸ τὴν μέσην ἔχειν χώραν, πρὸς δὲ τὸ μέσον εἶναι τὴν φορὰν τοῖς τοιούτοις σώμασιν, ἐπὶ τοῦ τόπου τούτου μένειν.

(Plat. Parmenid.)

Quoniam quod mouetur, vel fertur, vel alteratur. hi quippe soli sunt motus. Esto.

Ὅτι κινούμενόν τε, ἢ φέροιτο, ἢ ἀλλοιοῖτο ἄν. αὗται γὰρ μόναι κινήσεις. ναί. (πλάν. in τῷ περὶ ψυχῆς.)

(Plat. Tim.)

Ita totum animal mouebatur illud quidē, sed immoderatè, & fortuitò, vt sex motibus veheretur. nam & ante & ponè, ad leuam & ad dextram, & sursum & deorsum, modo huc modò illuc vehebatur.

Ὥστε τὸ μὲν ὅλον κινεῖσθαι ζῷον ἀτάκτως μὲν ὅπῃ τύχοι προϊέναι καὶ ἀλόγως τὰς ἓξ ἁπάσας κινήσεις ἔχον· εἴς τε γὰρ τὸ πρόσθε καὶ ὄπισθεν, καὶ πάλιν εἰς δεξιὰ καὶ ἀριστερὰ, κάτω τε καὶ ἄνω, καὶ πάντῃ κατὰ τοὺς ἓξ τόπους πλανώμενα. (τὸ αὐτὸ in τῷ Τιμαίῳ.)

Apollodorus Physicis motum ait loci vel figuræ mutationem vel in totum, vel ex parte: statum autem comprehensionem loci vel figuræ. Atq. hoc quidem esse tale, genera autem prima motus esse duo, rectum & circularem, quorum vterq. plures complectatur species. Fieri autem posse, vt in eodē loco plures quis motus moueatur, & vel ambulet atq. currat, non excedendo locum suum, vel simul in rectum & obliquum, dextra, sinistra, & in orbem agatur, vel celeriter simul atque tardè procedat: quemadmodum in nauigantibus ac similibus est cernere. Quemadmodum porrò omnis corporis partem corpus esse dixerit, superficiei superficiem, lineæ lineam, loci locum, temporis tempus, sic etiam omnis motus partem motum, ac status statum eadem ratione dicendum.

Ἀπολλόδωρος ἐν τῇ Φυσικῇ τέχνῃ, κίνησιν εἶναι μεταβολὴν κατὰ τόπον, ἢ σχῆμα, ἢ ὅλων, ἢ τῶν μερῶν, στάσιν δὲ τὴν συνοχὴν κατὰ τόπον ἢ σχῆμα. καὶ τὸ μὲν τοιοῦτον. γένη δὲ κινήσεως εἶναι τὰ πρῶτα δύο, τήν τε κατ' εὐθεῖαν, καὶ τὴν ἐγκύκλιον· τούτων δὲ εἴδη γίγνεσθαι πλείονα· συμβαίνει τὸ αὐτὸ δὲ κινήσεις γίγνεσθαι πλείους, καὶ ἐν τῷ αὐτῷ τόπῳ, οἷον περιπατεῖν καὶ τρέχειν, μὴ ἐκβαίνοντα τὸν ἀσώματον τόπον, ἢ ἅμα κινεῖσθαι τήν τε ἐπ' εὐθείας, καὶ τὴν εἰς τὰ πλάγια, καὶ τὴν μετέωρον, καὶ τὴν εἰς δεξιὰν, καὶ ἀριστερὰν, καὶ ἐγκύκλιον, καὶ ταχέως ἅμα καὶ βραδέως, καθάπερ ἐπὶ τῶν πλεόντων καὶ τῶν ὁμοίως τούτοις διακειμένων συντυγχάνειν. ὥσπερ δὲ παντὸς σώματος ἐλέγομεν μέρος εἶναι σῶμα, καὶ πάσης ἐπιφανείας ἐπιφάνειαν, καὶ πάσης γραμμῆς γραμμὴν, καὶ παντὸς τόπου τόπον, καὶ παντὸς χρόνου χρόνον, οὕτως καὶ πάσης κινήσεως κίνησιν εἶναι ῥητέον, καὶ πάσης στάσεως στάσιν, κατὰ τὴν αὐτὴν ἀναλογίαν.

(Plat. Theæteto.)

Nunquid moueri dicis, quando locum quid ex loco mutat, vel in eodem vertitur? Equidem. Ergo vna hæc species esto. At cùm eodē in loco quid permanēs senescit, vel nigrū ex albo, vel ex molli durum efficitur, aut alia quadam alteratione mutatur, nonne alteram hanc motus speciem meritò nuncupabimus? Meritò. Ex his necessariū est, geminas species motus existere, alterationem scilicet, motumq́ localem.

Καί μοι λέγε ἆρα κινεῖσθαι καλεῖς, ὅτ' ἄν τι χώραν ἐκ χώρας μεταβάλλῃ, ἢ καὶ ἐν τῷ αὐτῷ στρέφηται; ἔγωγε. τοῦτο μὲν τοίνυν ἓν ἔστω εἶδος. ὅτ' ἂν δὲ ᾖ μὲν ἐν τῷ αὐτῷ, γηράσκῃ δὲ, ἢ μέλαν ἐκ λευκοῦ, ἢ σκληρὸν ἐκ μαλακοῦ γίγνηται, ἤ τινα ἄλλην ἀλλοίωσιν ἀλλοιῶται, ἆρα οὐκ ἄξιον ἕτερον εἶδος κινήσεως φάναι; ἀναγκαῖον μὲν οὖν. δύο δὴ λέγω τούτω εἴδη κινήσεως, ἀλλοίωσιν, τήν τε περιφοράν. (πλα in τῷ Θεαιτήτῳ.)

(Paulo antè.)

Dicam, nec contemnenda quidem, quòd nihil in seipso vnum certum est, neq. rectè ipsum ex se hoc quiddam, aut quale quid denominare potes. Etenim si magnum appellas, rursus paruum etiā apparet: & si graue, leue iterum. eademq́ de cæteris ratio, quasi nihil sit vnum, aut aliquid, aut quale. sed ex latione motuq́ & alterna commixtione fiunt omnia quæ esse dicimus, non rectè denominantes. Nihil enim est vnquam, semper au-

Ἐγὼ ἐρῶ καὶ μάλ' οὐ φαῦλον λόγον, ὡς ἄρα ἓν μὲν αὐτὸ καθ' ἑαυτὸ, οὐδέν ἐστι, οὐδ' ἄν τι προσείποις ὀρθῶς, οὐδ' ὁποιονοῦν τι· ἀλλ' ἐὰν ὡς μέγα προσαγορεύσῃς, τι καὶ μικρὸν φανεῖται, καὶ ἐὰν βαρύ τι, κοῦφον· ξύμπαντά τε οὕτως· ὡς μηδενὸς ὄντος ἑνὸς, μήτε τινὸς, μήτε ὁποίου· ἐκ δὲ δὴ φορᾶς τε καὶ κινήσεως, καὶ κράσεως πρὸς ἄλληλα γίγνεται πάντα, ἃ δὴ φαμὲν εἶναι οὐκ ὀρθῶς προσαγορεύοντες. ἔστι μὲν γὰρ οὐδέποτε οὐδὲν, (ἐν ταυτῷ.)

ἀεὶ

ἀεὶ δὲ γίνεται· καὶ περὶ τούτου πάντες ἑξῆς οἱ σοφοὶ, πλὴν Παρμενίδου, συμφέρονται· Πρωταγόρας τε, καὶ Ἡράκλειτος, καὶ Ἐμπεδοκλῆς, καὶ τῶν ποιητῶν οἱ ἄκροι τῆς ποιήσεως ἑκατέρας, κωμῳδίας μὲν Ἐπίχαρμος, τραγῳδίας δὲ Ὅμηρος εἰπών,

Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν·

πάντα εἴρηκεν ἔκγονα ῥοῆς τε καὶ κινήσεως. τίς οὖν ἂν ἔτι πρός γε τοσοῦτον στρατόπεδον, καὶ στρατηγὸν Ὅμηρον δυνάιτο ἀμφισβητήσας, μὴ καταγέλαστος γενέσθαι; οὐ ῥάδιον, ὦ Σώκρατες. οὐ ῥάδιον ὦ Θεαίτητε, ἐπεὶ καὶ τάδε τῷ λόγῳ σημεῖα ἱκανά, ὅτι τὸ μὲν εἶναι δοκοῦν καὶ τὸ γίγνεσθαι, κίνησις παρέχει, τὸ δὲ μὴ εἶναι καὶ ἀπόλλυσθαι, ἡσυχία· τὸ γὰρ θερμόν τε καὶ πῦρ ὃ δὴ καὶ τἆλλα γεννᾷ καὶ ἐπιτροπεύει, αὐτὸ γεννᾶται ἐκ φορᾶς καὶ τρίψεως, τοῦτο δ' ἡ κίνησις. καὶ μὴν τό γε τῶν ζώων γένος, ἐκ τῶν αὐτῶν τούτων φύεται. πῶς δ' οὔ; τί δαὶ ἡ τῶν σωμάτων ἕξις; οὐχ ὑπὸ ἡσυχίας μὲν καὶ ἀργίας διόλλυται· ὑπὸ γυμνασίων δὲ καὶ κινήσεως ἐπὶ τὸ πολὺ σώζεται; ναί· ἡ δ' ἐν τῇ ψυχῇ ἕξις, οὐχ ὑπὸ μαθήσεως μὲν καὶ μελέτης κινήσεων ὄντων κτᾶταί τε μαθήματα καὶ σώζεται καὶ γίνεται βελτίων· ὑπὸ δὲ ἡσυχίας, ἀμελετησίας τε καὶ ἀμαθίας οὔσης, οὔτε τι μανθάνει, ἅ τε ἂν μάθῃ ἐπιλανθάνεται, καὶ μάλα. τὸ μὲν ἄρα ἀγαθὸν κίνησις κατά τε ψυχὴν, καὶ κατὰ τὸ σῶμα, τὸ δὲ τοὐναντίον, ἔοικεν. ἔτι οὖν σοὶ λέγω, νηνεμίας τε καὶ γαλήνας, καὶ ὅσα τοιαῦτα, ὅτι αἱ μὲν [illegible] καὶ ἀπολλῦσι, τὰ δ' ἕτερα σώζει; καὶ ἐπὶ τούτοις τὸν κολοφῶνα ἀναγκάζω προσβιβάζων τὴν χρυσῆν σειρὰν, ὡς [illegible], ἢ τὸν ἥλιον [illegible] λέγει, καὶ δηλοῖ, ὅτι ἕως μὲν ἂν ἡ περιφορὰ ᾖ κινουμένη, καὶ [illegible] πάντα [illegible] σώζεται, ἐν θεοῖς τε καὶ ἀνθρώποις· εἰ δὲ [illegible] τοῦτο ὥσπερ δεθέν, πάντα χρήματ' ἂν [illegible] διαφθαρείη, καὶ γένοιτ' ἂν τὸ λεγόμενον, τὰ ἄνω κάτω πάντα.

Περὶ γενέσεως καὶ φθορᾶς.

κεφ. κδʹ.

Παρμενίδης καὶ Μέλισσος, ἀνῄρουν γένεσιν καὶ φθορὰν διὰ τὸ νομίζειν τὸ πᾶν ἀκίνητον. Ἡράκλειτος φησὶ ὅτι πάντα τε χωρεῖ, καὶ οὐδὲν μένει· καὶ ποταμοῦ ῥοῇ ἀπεικάζων τὰ ὄντα λέγει, ὡς δὶς ἐς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν ἐμβαίης. Πλάτων φθαρτὸν μὲν τὸν κόσμον ὅσον ἐπὶ τῇ φύσει, αἰσθητὸν γὰρ εἶναι, διότι καὶ σωματικόν, οὐ μὴν φθαρησόμενόν γε προνοίᾳ καὶ συνοχῇ θεοῦ. Ἐμπεδοκλῆς, Ἀναξαγόρας, Δημόκριτος, Ἐπίκουρος, καὶ πάντες ὅσοι κατὰ συναθροισμὸν τῶν λεπτομερῶν σωμάτων κοσμοποιοῦσι, συγκρίσεις μὲν καὶ διακρίσεις ἄγουσι, γενέσεις δὲ καὶ φθορὰς οὐ κυρίως· οὐ γὰρ κατὰ τὸ ποιὸν ἐξ ἀλλοιώσεως· κατὰ δὲ τὸ ποσὸν ἐκ συναθροισμοῦ ταύτας γίγνεσθαι. Πυθαγόρας, καὶ πάντες ὅσοι παθητὴν τὴν ὕλην ὑποτίθενται, κυρίως γένεσιν καὶ φθορὰν γίγνεσθαι· ἐκ γὰρ ἀλλοιώσεως τῶν στοιχείων, καὶ [illegible], καὶ ἀναλύσεως γένεσιν καὶ φθορὰν παράθεσιν καὶ μῖξιν, κρᾶσιν τε καὶ σύγχυσιν γίγνεσθαι. Ζήνωνι καὶ Κλεάνθει, καὶ Χρυσίππῳ ἀρέσκει τὴν οὐσίαν μεταβάλλειν, οἷον εἰς σπέρμα τὸ πῦρ, καὶ

tem fit. Et in hoc omnes per ordinem sapiẽtes, excepto Parmenide, consenserunt, Protagoras, Heraclitus, Empedocles, & poetarum in vtroq. poemate summi, in comœdia Epicharmus, Homerus in tragœdia. Nam cùm Oceanum diceret deorum generationem, & matrem Tethyn, omnia ex fluxu motuq́. genita prædicauit. An non id proferre videtur? Mihi verò. Quis ergo aduersus tantum exercitum, eiusq́. ducem Homerum pugnare audeat, quin ridiculus habeatur? Arduum est, ô Socrates. arduum absq. dubio Theatete, præsertim cũ hæc huic sermoni argumento esse possint, quod vt esse, aut fieri quicquam videatur, motus facit, non esse autem & interire, quies. Ignis enim calorq́., qui alia gignit, & regit, ipse ex latione frictioneq́. efficitur: hic autem motus est. An nõ hæc ignis origo? hæc certè. Quinetiam animalium genus ex eisdem nascitur. Quid ni? Quid corporũ habitus? an non otio & torpore corrũpitur, exercitatione autem motuq́. plurimùm conseruatur? Ita. Anima quoq. habitus disciplina & meditatione, quæ motiones sunt, doctrinas consequitur, seruatur, atq. perficitur: otio autem, id est, negligẽtia, & pigritia, nihil penitus discit, & si quid didicerit, obliuiscitur. Et maximè quidem. Bonum itaq. tã in anima, quàm in corpore motus est, quies vero contrariũ. Videtur. Præterea in iis quæ serenitates tranquillitatesq́. vocantur, hoc assero, quod quietes putrefaciant atq. perdant, alia verò conseruant. Itaq. Colophonem nunc deniq. cogam, ipsam scilicet catenam auream rumpens, quã quidem nihil aliud præter Solem Homerus intelligit. Quia quousq. Solis circuitus perseuerat, omnia tam deorum quàm hominum sunt, atq. seruãtur. sin autem hoc quasi ligatum staret, confestim omnia dissoluerẽtur, eueniretq́. quod dicitur, sursum deorsum omnia.

De ortu & interitu.

CAP. XXIV.

PARMENIDES *& Melissus ortum atq. interitum tollebant, quoniam nihil moueri putabant. Heraclitus omnia transire, nec quicquam manere dicebat: ac fluuio labenti res cõparans, aiebat eundem fluuium bis ingrediendum non esse. Plato mundum interire quidem posse credebat, quoniã sub sensum caderet, vt corporeus, interiturum tamen diuina prouidentia negabat. Empedocles, Anaxagoras, Democritus, Epicurus, & quicunq. mundum de minutis corpusculis componũt, compositiones quidem ac dissolutiones introducunt, ortus autem atq. interitus nõ item. non enim per qualitatem ex immutatione, sed per quantitatem illos ex cõgerie statuunt. Pythagoras & quicunq. mutabilem ponunt materiam, veros ortus atque interitus introducunt. nam ex elementorum immutatione ac dissolutione ortus atq. interitus compositionem, mixtionem, temperationem, et confusionem statuunt. Zenoni, Cleanthi, & Chrysippo mutari naturam placet in ignem, vt semen, idq́.*

rursus in pristinam mundi constitutionem. Panætio videtur verisimilior mundi æternitas, quã totius in ignem transmutatio.

Aristoteles sublunarem mundi partem iniuriæ exponebat, quam etiam terrena sentirent. Xenophanes, Parmenides, & Melissus æternũ faciunt mundum, principij finisq́ expertem. quiq́ sempiternum faciunt mundum, temporũ quosdam ponunt ambitus, quibus eadem redeant omnia, ipsiusq́ mundi seruetur constitutio. Anaximander, Anaximenes, Anaxagoras, Archelaus, Diogenes, Leucippus, mundum interire credunt; vt & Stoici, verùm exustione. Empedocles id contentionis atq. amicitiæ dominio tribuebat; Democritus maioris victoriæ. Epicurus multis modis interire mundũ volebat, partim vt animal, partim vt plantam, partim aliis rationibus. Philolaus duplicem ponit mundi interitũ, alterum ex ignis cælestis lapsu, alterum ex aqua lunaris per aeris conuersionem.

Philolaus.

Philolaus negat interire mundum. sic enim ait libro de Anima: Quapropter etiam citra interitum & calamitatem perpetuò durat. siquidẽ nec intra ipsum causa potẽtior vlla reperitur, nec extra quicquam, quod eum possit perdere. Quocirca fuit hic mundus ab æterno, inq́ æternum durat, vnus ab vno cognato et præstantissimo gubernandus. Habet quoque motus ac mutationis principium vnus et continuus mundus, & perpetuò volubilis. Atq. vna quidem pars eius mutationem non sentit, altera sentit. Illa totius animæ ad Lunam vsq. definitur; hæc reliquo ad terrã vsq. spatio. Et quoniam res mouens quidem per æternitatem protenditur, quod autem mouetur, id mouentis arbitrium sequitur; oportet alterum semper moueri, alterum semper affici. Illud mẽtis atq. animæ est, hoc ortus & mutationis: illius potestas prior est ac maior, huius posterior & minor. Tertium ex vtroq. compositum est, et semper currente numine, & semper mutabili mundo. Quocirca non imperitè dicetur mundus Dei & ortus æterna secundum naturæ mutabilis seriem effectio. Atq. ille quidem eodem semper pacto se habet, hæc autem oriuntur & occidunt, tamen vt formas rursum easdem parenti atque opifici restituant.

Ocelus æternum facit mundum. sic enim ait libro de Vniuersi natura: Præterea figuræ, motus, temporũ ac naturæ æternitas initij finisq́ expertem esse mundum confirmat. Nam & figura circuli est, qui ab omni parte similis & æqualis est, ideoq́ principij finisq́ expers. & motus in orbem fertur, qui quidem finem non habet: & infinitũ

πάλιν ἐκ τούτου τοιαύτην ἀποτελεῖσθαι τὴν διακόσμησιν, οἵα πρότερον ἦν· παναιτιος πιθανωτέραν εἶναι νομίζει, καὶ μᾶλλον ἀρέσκουσαν αὐτῷ τὴν ἀϊδιότητα τοῦ κόσμου, ἢ τὴν τῶν ὅλων εἰς πῦρ μεταβολήν.

Ἀριστοτέλης, τὸ ὑπὸ τὴν σελήνην μέρος τοῦ κόσμου παθητικὸν ἀπεφαίνετο, ἐν ᾧ καὶ τὰ περίγεια κηραίνεται. ξενοφάνης, παρμενίδης, μέλισσος, ἀγένητον εἶναι, ἀΐδιον, καὶ ἄφθαρτον τὸν κόσμον· καὶ οἱ φάμενοι δὲ τὴν διακόσμησιν αἰώνιον ὑπάρχειν, περιοδευτικοὺς εἶναι φασὶ χρόνους, καθ' οὓς καὶ ταῦτα καὶ ὡσαύτως γίνεσθαι πάντα, καὶ τὴν αὐτὴν διασώζεσθαι τοῦ κόσμου διάταξίν τε καὶ διακόσμησιν. ἀναξίμανδρος, ἀναξιμένης, ἀναξαγόρας, ἀρχέλαος, διογένης, λεύκιππος, φθαρτὸν τὸν κόσμον. καὶ οἱ στωϊκοὶ φθαρτὸν τὸν κόσμον, κατὰ πύρωσιν δέ. ἐμπεδοκλῆς τὸν κόσμον φθείρεσθαι κατὰ τὴν ἐπικράτειαν τοῦ νείκους, καὶ τῆς φιλίας. δημόκριτος φθείρεσθαι τὸν κόσμον τοῦ μείζονος τὸν μικρότερον νικῶντος. ἐπίκουρος πλείστοις τρόποις τὸν κόσμον φθείρεσθαι· καὶ γὰρ ὡς ζῶον καὶ ὡς φυτὸν καὶ πολλαχῶς. φιλόλαος διττὴν εἶναι τὴν φθορὰν τοῦ κόσμου, τὸ μὲν ἐξ ὑγροῦ πυρὸς ῥυέντος, τότε δὲ ἐξ ὕδατος σεληνιακοῦ περιστροφῇ τοῦ ἀέρος ῥυέντος.

οὐρανοῦ Plut.

Φιλόλαος ἄφθαρτον τὸν κόσμον λέγει γοῦν οὕτως περὶ ψυχῆς· παρ' ὃ καὶ ἄφθαρτος καὶ ἀκαταπόνατος διαμένει τὸν ἄπειρον αἰῶνα. οὔτε γὰρ ἔντοσθεν ἄλλα τις αἰτία δυναμικωτέρα αὐτᾶς εὑρεθήσεται, οὔτ' ἔκτοσθεν φθεῖραι αὐτὸν δυναμένα· ἀλλ' ἦν ὅδε ὁ κόσμος ἐξ αἰῶνος καὶ εἰς αἰῶνα διαμενεῖ, εἷς ὑπὸ ἑνὸς τῶ συγγενέω καὶ κρατίστω καὶ ἀνυπερθέτω κυβερνώμενος· ἔχει δὲ καὶ τὰν ἀρχὰν τᾶς κινήσιός τε καὶ μεταβολᾶς ὁ κόσμος εἷς ἐὼν, καὶ συνεχὴς καὶ φύσει συνδιαπνεόμενος, καὶ περιαγεόμενος ἐξ ἀρχιδίω· καὶ τὸ μὲν ἀμετάβλατον αὐτοῦ, τὸ δὲ μεταβάλλον ἐστί· καὶ τὸ μὲν ἀμετάβολον ἀπὸ τᾶς τὸ ὅλον περιεχούσας ψυχᾶς μέχρι σελήνας περαιοῦται, τὸ δὲ μεταβάλλον ἀπὸ τᾶς σελήνας, μέχρι τᾶς γᾶς· ἐπεὶ δέ γε καὶ τὸ κινέον ἐξ αἰῶνος εἰς αἰῶνα περιπολεῖ, τὸ δὲ κινεόμενον, ὡς τὸ κινέον, ἄγει οὕτως διατίθεσθαι, ἀνάγκη τὸ μὲν ἀεικίνατον, τὸ δὲ ἀειπαθὲς εἶμεν. καὶ τὸ μὲν νῶ καὶ ψυχᾶς ἀνάκωμα πᾶν, τὸ δὲ γενέσιος καὶ μεταβολᾶς· καὶ τὸ μὲν πρᾶτον τῇ δυνάμει, καὶ ὑπερέχον, τὸ δ' ὕστερον καὶ καθυπερεχόμενον· τὸ δὲ ἐξ ἀμφοτέρων τούτων, τοῦ μὲν ἀεὶ θέοντος θείου, τοῦ δὲ ἀεὶ μεταβάλλοντος γενατοῦ κόσμου. διὸ καὶ καλῶς ἔχει λέγειν κόσμον ἦμεν ἐνέργειαν ἀΐδιον θεῶ τε καὶ γενέσιος κατὰ συνακολουθίαν τᾶς μεταβλατικᾶς φύσιος. καὶ ὁ μὲν, εἷς ἀεὶ διαμένει κατὰ τὸ αὐτὸ καὶ ὡς αὕτως ἔχων, τὰ δὲ καὶ γινόμενα καὶ φθειρόμενα πολλὰ, καὶ τὰ μὲν φθορᾷ ὄντα καὶ φύσει, καὶ μορφὰς σώζεται, καὶ γονᾷ πάλιν τὰν αὐτὰν μορφὰν ἀποκαθιστάντα τῷ γεννήσαντι πατέρι καὶ δημιουργῷ.

φιλολάου in τῷ περὶ ψυχῆς [illegible]

Ὄκελος ἀΐδιον τὸν κόσμον, ὧδε γὰρ ἐν τῷ περὶ τοῦ παντὸς φύσεως λέγει· ἔτι δὲ καὶ τὸ ἀτελεύτητον καὶ τοῦ σχήματος καὶ τᾶς κινάσιος, καὶ τῶ χρόνω, καὶ τᾶς ὠσίας πιστοῦται διότι ἀγένητος ὁ κόσμος, καὶ ἄφθαρτος· ἅτε γὰρ τῶ σχήματος ἰδέα κύκλος· ἐστὶ δὲ πάντοθεν ἴσος καὶ ὅμοιος· διόπερ ἄναρχος καὶ ἀτελεύτατος, ἅ τε τᾶς κινάσιος κατὰ κύκλον· αὐτὰ δὲ ἀπαράβατος καὶ ἀδιέξοδος, ὅτε χρόνος ἄπειρος ἐν ᾧπερ ἁ κίνασις,

ἀκίνησις, διὰ τὸ μήτε ἀρχὰν εἰληφέναι τὸ κινούμενον, μήτε τελευτὰν λαμψεῖν. δῆλα δ' ἄτε μὰν οὐσία τῶ περιμάτων ἀνέκβακτος καὶ ἀμετάβλατος, διὰ τὸ μὴ τε ἀπὸ τῶ χείρονος εἰς τὸ βέλτιον, μήτε ἀπὸ τῶ βελτίονος ἐπὶ τὸ χεῖρον πέφυκεν μεταβάλλειν.

Ἐπειδ' ἐν τῷ σύμπαντι τὸ μὲν γένεσις, τὸ δὲ αἰτία γενέσιος· καὶ γένεσις μὲν ὅπου μεταβολὰ καὶ ἔκβασις τῶ ὑποκειμένω· φανερὸν περὶ μὲν τὰν αἰτίαν γενέσιος, τὸ τε ποιεῖν καὶ κινεῖν ἐστι, περὶ δὲ τὸ δεχόμενον τὰν γένεσιν τό τε πάσχειν καὶ τὸ κινεῖσθαι.

addit Oc.

Πρᾶτος γὰρ ὕλα τὸ πανδεχὲς, κοινὸν γὰρ ὑπόκειται πᾶσιν, ὥσπερ πρᾶτον μὲν, τὸ δυνάμει σῶμα αἰσθητὸν ἀρχάν. δεύτερον δὲ, αἱ ἐναντιότητες, οἷον θερμότητες καὶ ψυχρότητες, καὶ ξηρότητες. τρίτον δὲ, πῦρ, καὶ ὕδωρ, καὶ γᾶ, καὶ ἀήρ· ταῦτα γὰρ μεταβάλλοντ' ἐς ἄλληλα, αἱ δ' ἐναντιότητες μεταβάλλοντι.

addit Oc.

Παντελὴς δὲ φθορὰ τᾶς περὶ τὰν γᾶν διακοσμάσιος, οὔτε γέγονεν, οὔτε ἔσσεταί ποκα. διὸ καὶ τοῖς λέγοντες τὰν τᾶς ἑλλανικᾶς ἱστορίας ἀρχὰν ἀπὸ Ἰνάχω ἀργείω, ποθεκτέον οὕτως, ὡς οὐκ ἀπό τινος ἀρχᾶς πρώτας, ἀλλὰ τᾶς γενομένας μεταβολᾶς καὶ κατ' αὐτάν. πολλάκις γὰρ ἤδη καὶ γέγονε καὶ ἐσεῖται βάρβαρος ἁ Ἑλλὰς, οὐχ ὑπ' ἀνθρώπων μόνον γενομένα μεταναστάσιος, ἀλλὰ καὶ ὑπ' αὐτᾶς τᾶς φύσιος οὔτε μείζονος οὔτε μείονος αὐτᾶς γενομένας, ἀλλὰ νεωτέρας ἀεὶ καὶ ποθ' ἁμὲ ἀρχὰς λαμβανούσας. περὶ μὲν οὖν τῶ ὅλω καὶ παντὸς, ἔτι δὲ γενέσιος καὶ ἀφθαρσίας τᾶς ἐν αὐτῷ γενομένας, ὥστ' ἔχει, ὥστ' ἑξεῖ τὸν ἅπαντα αἰῶνα, τᾶς μὲν ἀεὶ κινατικᾶς φύσιος ἐούσας, τᾶς δ' αἰεὶ παθητικᾶς, τᾶς μὲν ἀεὶ κυβερνώσας, τᾶς δὲ κυβερνωμένας, ἄχρι εἴρηταί μοι περὶ τούτων.

Τῶν μαθηματικῶν τινὲς μὲν ὡς πλατείαν φασὶν εἶναι τὴν τάξιν τῶν ἀστέρων· τινὲς δὲ μέσον πάντων τὸν ἥλιον· ταυτὸν δὲ πεπονθέναι τῷ ἑωσφόρῳ τὸν στίλβοντα, ἰσοδρομεῖν δὲ αὐτοὺς τῷ ἡλίῳ καὶ συμπεριφέρεσθαι αὐτῷ· καὶ τότε μὲν προανατέλλοντα ἑωσφόρον φαίνεσθαι, τότε δὲ ἐπικαταδυόμενον, ἕσπερον καλεῖσθαι, τοὺς δὲ πλανήτας τοῖς ἀπλανέσιν ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς ἀντιφέρεσθαι· τούτῳ δὲ συνομολογεῖ καὶ ἀλκμαίων. ἀριστοτέλης δὲ ὑπὸ τῶν σφαιρῶν ὑφ' ὧν ἕκαστα συμβέβηκε, καὶ ἀναξίμανδρος ὑπὸ τῶν κύκλων καὶ τῶν σφαιρῶν, ἐφ' ὧν ἕκαστος βέβηκε φέρεσθαι. Οἱ μὲν ἄλλοι σφαιρικοὺς αὐτοὺς, κλεάνθης δὲ κωνοειδεῖς.

πλάτωνα Plut.

Παρμενίδης πρῶτον μὲν τάττει τὸν ἑῷον, τὸν αὐτὸν δὲ νομιζόμενον ὑπ' αὐτοῦ καὶ ἕσπερον ἐν τῷ αἰθέρι· μεθ' ὃν τὸν ἥλιον, ὑφ' ᾧ τοὺς ἐν τῷ πυρώδει ἀστέρας ὅπερ οὐρανὸν καλεῖ.

Μητρόδωρος ἅπαντας τοὺς ἀπλανεῖς ἀστέρας ὑπὸ τοῦ ἡλίου προσλάμπεσθαι. στράτων καὶ αὐτὸς τὰ ἄστρα ὑπὸ τοῦ ἡλίου φωτίζεσθαι· διότιμος τύριος ὁ δημοκρίτειος τὴν αὐτὴν τούτοις εἰσενήνοχε γνώμην.

Εὔδοξος καὶ ἄρατος τὰς ἐπισημασίας κατὰ τὰς τῶν ἄστρων ἐπιτολὰς γίγνεσθαι. λέγει γοῦν ἄρατος ἐν τοῖς φαινομένοις οὕτως·
Αὐτὸς γὰρ τά γε σήματ' ἐν οὐρανῷ ἐστήριξεν,
ἄστρα διακρίνας· ἐσκέψατο δ' εἰς ἐνιαυτὸν
ἀστέρας, οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν.

Ἄστρον δὲ εἶναί φησι ὁ ποσειδώνιος σῶμα θεῖον,

ἐξ

ἐξ αἰθέρος συνεστηκὸς, λαμπρὸν καὶ πυρῶδες, οὐδέποτε στάσιν ἔχον, ἀλλ' αἰεὶ φερόμενον ἐγκυκλίως· ἰδίως δὲ τὸν ἥλιον καὶ τὴν σελήνην ἄστρα λέγεσθαι· διαφέρειν δὲ ἀστέρα ἄστρου, εἰ μὲν γάρ τις ἐστὶν ἀστὴρ, καὶ ἄστρον ὀνομασθήσεται· οὐ πάντως, ἡ μὴν ἀνάπαλιν.

Ἀνατολὴν δ' εἶναι φησὶν ὁ Χρύσιππος ἐν ταῖς φυσικαῖς τέχναις, ὑπεροχὴν ἄστρου ὑπὲρ γῆς, δύσιν δὲ κρύψιν ἄστρου ὑπὸ γῆν γίνεσθαι δὲ ἅμα τῶν αὐτῶν ἀνατολὴν, καὶ δύσιν, πρὸς ἄλλους τε καὶ ἄλλους. ἐπιτολὴν δὲ ἄστρου ἅμα ἡλίῳ ἀνατολὴν, δύσιν δὲ τὴν ἅμα ἡλίῳ δύσιν· διχῶς γὰρ λέγεσθαι δύσιν, τὴν μὲν κατὰ τὴν ἀνατολὴν, τὴν δὲ κατὰ τὴν ἐπιτολήν· κυνὸς δὲ ἐπιτολὴν ἅμα ἡλίῳ, κυνὸς ἀπόκρυψιν εἰς γῆν· τὸν δ' ὅμοιον λόγον εἶναι καὶ ἐπὶ τῶν πλειάδος.

Ἀπολλόδωρος ἐν τῷ δευτέρῳ περὶ θεῶν, πυθαγορείαν εἶναι τὸ περὶ τούτου αὐτὸν εἶναι φωσφόρον τε καὶ ἕσπερον δόξαν.

Περὶ οὐσίας ἡλίου, καὶ μεγέθους, καὶ σχήματος, καὶ τροπῶν, καὶ ἐκλείψεως, καὶ σημείων, καὶ κινήσεως.

Ξενοφάνης ἐκ νεφῶν πεπυρωμένων εἶναι τὸν ἥλιον, ἔκλειψιν δὲ γίνεσθαι κατὰ σβέσιν· ἕτερον δὲ πάλιν ταῖς ἀνατολαῖς γίνεσθαι. παριστόρηκε δὲ καὶ ἔκλειψιν ἡλίου ἐφ' ὅλον μῆνα, καὶ πάλιν ἐντελῆ, ὥστε τὴν ἡμέραν νύκτα φανῆναι.

Θεόφραστος ἐν τοῖς φυσικοῖς γέγραφεν, ἐκ πυριδίων μὲν τῶν συναθροιζομένων τῆς ὑγρᾶς ἀναθυμιάσεως, συναθροιζόντων δὲ τὸν ἥλιον.

Ἀναξίμανδρος κύκλον εἶναι ὀκτὼ καὶ εἰκοσαπλασίονα τῆς γῆς, ἀρτίῳ τροχῷ παραπλήσιον, ἔχοντα κοίλην περιφέρειαν, πλήρη πυρὸς, κατὰ μέρος ἐκφαίνουσαν διὰ στομίου τὸ πῦρ, ὥσπερ διὰ πρηστῆρος, καὶ τὸν μὲν ἥλιον ἴσον εἶναι τῇ γῇ· τὸν δὲ κύκλον ἀφ' οὗ τὴν ἐκπνοὴν ἔχει, καὶ ὑφ' οὗ περιφέρεται, εἶναι τοῦ προειρημένου μεγέθους· γίνεσθαι δὲ τὴν ἔκλειψιν τοῦ στομίου τῆς τοῦ πυρὸς ἐκπνοῆς ἀποκλειομένου.

Ἀναξιμένης πύρινον ὑπάρχειν τὸν ἥλιον ἀπεφήνατο, ὑπὸ πεπυκνωμένου δὲ ἀέρος καὶ ἀντιτύπου ἐξωθούμενα τὰ ἄστρα τὰς τροπὰς ποιεῖσθαι, πλατὺν εἶναι τῷ σχήματι. Παρμενίδης, καὶ Μητρόδωρος, πύρινον ὑπάρχειν τὸν ἥλιον.

Ἀντιφῶν πῦρ ἐπινεμόμενον μὲν τὸν περὶ τὴν γῆν ὑγρὸν ἀέρα, ἀνατολὰς δὲ καὶ δύσεις ποιούμενον, τῷ τὸν μὲν ἐπικαιόμενον αἰεὶ προλείπειν, τοῦ δ' ὑπονοτιζομένου πάλιν ἀντέχεσθαι.

Ἡράκλειτος καὶ Ἑκαταῖος, ἄναμμα νοερὸν τὸ ἐκ θαλάττης εἶναι τὸν ἥλιον, σκαφοειδῆ εἶναι ὑπόκυρτον· γίνεσθαι δὲ τὴν ἔκλειψιν κατὰ τὴν σκαφοειδοῦς στροφὴν, ὥστε τὸ μὲν κοῖλον ἄνω γίνεσθαι, τὸ δὲ κυρτὸν κάτω πρὸς τὴν ἡμετέραν ὄψιν· τὸ δὲ μέγεθος ἔχειν, εὖρος ποδὸς ἀνθρωπείου. Μητρόδωρος πύρινον ὑπάρχειν τὸν ἥλιον. Ἀλκμαίων, πλατὺν εἶναι τὸν ἥλιον.

Οἱ Πυθαγόρειοι σφαιροειδῆ τὸν ἥλιον, ἔκλειψιν δὲ γίνεσθαι σελήνης αὐτὸν ὑποδρομούσης.

Καθάπερ καὶ ὁ ἥλιος τὸν ἐναντίον τῷ πόλῳ ποιεῖται δρόμον, ὡς τὸν οὐρανὸν ὁ ἥλιος εἰς τἀναντία περιφέρειν αὐτὸς ἀπὸ δυσμῶν ἐπὶ τὰς ἀνατολὰς φερόμενος.

Ἀντιφῶν ἔφησε τὸν ἥλιον εἶναι πῦρ ἐπινεμόμενον

In addit. Plut.

ἁρματείῳ Plut.

περιφορᾷ in τῷ αὐτῷ ἀναγράμματι.

Hæc paulo antè iisdem verbis ponuntur.

thereum, splendidum, & igneum, nec vnquam quiescens, sed in orbem semper decurrens. propriè autem Solem ac Lunam stellas dici. ab his deniq. differre sidera, quod hæ etiam stellæ vocari possint, non item illæ sidera.

Ortum Chrysippus Physicis ait esse stellæ extantiam supra terram, & occasum eiusdem occultationem sub terra. easdemq́ue cum aliis atq. aliis collatas oriri simul & occidere dici. Apparitionem porrò stellæ esse ortum cum Sole, et occasum eiusdem occasum cum eodem. bifariam siquidem occasum dici, vt partim ortui, partim apparitioni opponatur. Itaq. Canis apparitionem eius vnà cum Sole ortum, & occasum vnà cum Sole occultationem sub terra dici, nec non idem in Pleiadibus vsurpari.

Apollodorus altero de Diis libro Pythagoram ait primùm opinatum esse, eundem esse Luciferū & Hesperum.

De Solis natura, magnitudine, figura, conuersionibus, defectu, signis, & motu.

XENOPHANES de nubibus incensis ortum putat Solem. defectum autē iisdem extinctis euenire, aliumq́ue rursus oriri Solem. Quin etiam defectū Solis integro mense durasse narrat, aliumq́ue perfectum euenisse, vt interdiu nox esset.

Theophrastus Physicis, igniculis de humida quidem exhalatione componi asserit, ipsos autem Solem componere.

Anaximander circulum dicit esse, vicies & octies terra maiorem, rota curuli similem, concauum continentem ignis plenum orbiculum, qui ignem quadam parte tanquam ex gutture depromat. ac Solem quidem terræ esse æqualem, circulum autem, in quo fertur ac respirat, dictæ esse magnitudinis. Defectum deniq. euenire, parte ea, qua ignis depromitur, obturata.

Anaximenes igneum esse Solem affirmauit, ac densitate aeris repulsas stellas conuerti, latáq́ue illum figura præditum. quod primum, etiam Parmenidi ac Metrodoro placuit.

Antipho ignem putauit, qui humidum circa terram aerem depasceretur, ac tum oriri tum occidere diceretur, cùm vt ambustus aer vsq. deficeret, ita madefactus vicissim resisteret.

Heraclitus & Hecatæus ignem marinum intellectus participem dixerunt, ac scaphæ figuram habere. defectum quoq. secundum huius figuræ conuersionem euenire, cùm videlicet parte concaua à nobis auersa, conuexa ad nos spectat. magnitudinem deniq. habere, quanta sit humani pedis latitudo, vt et Alcmæo latitudinē Soli tribuit.

Pythagorei sphæricam figuram Soli tribuerūt, cuius defectus Luna subeunte contingat.

Sol contrarium cælo cursum conficit, sic vt in contrarium illud torqueat, ab occidente in orientem decurrens.

Porphyri. de statuis.

Anaxagoras ferrum vel saxum candens Solem putauit, cuius conuersio de repulsu aeris Arctoi, quem ipse compressum reddiderit fortiorem, existat.

Thales de terra Solem composuit, ac Luna ad perpendiculum subeunte, qua & ipsa sit eiusdem natura, credit deficere. id autem in speculo orbi supposito cerni.

Diogenes pumiceum credidit Solem, in quem ætheris radij figerentur. cum porrò frigore calori opposita extingui.

Philolaus Pythagoreus vitrea natura Solem fecit, qui vt calestis ignis radios reciperet, ita lumen simul cum calore ad nos transfunderet: sic vt duo quodam pacto sint Soles, nempe calestis ignis, & qui inde tanquam in speculum transfunditur; nisi quis etiam tertium velit addere, radium à speculo ad nos reflexum.

Empedocles duos posuit Soles, alterum verum ignē alterius hemisphærij, radio sua exaduersum oppositum; alterum apparentem, radium alterius hemisphærij, aere calido pleni, à terra rotūditate ad Solem reflexum, ignis motum sequentem. & vt compendio dicam, radium calestis ignis esse Solem. conuerti autem, dum à sphara sua & circulis tropicis rectū perpetuò tenere cursum vetatur. posteriarem quoq. terra æqualem esse, defectum deniq. Luna subeunte pati.

Epicurus terreum fartum Solem putauit, more pumicis ac spongiæ per cauernas accensum.

Parmenides Solem & Lunam de circulo lacteo voluit excerni, illum quidem à rariore calidi mistura, hanc autem à densiore frigidi.

Democritus ferrum vel saxum candens dixit, quòd rotatione sua conuerteretur.

Cleanthes ignem marinum intellectus participem dixit. Conuersiones autem ait pro alimenti subiecti interuallo fieri. Oceani siquidem exhalationes depasci. Motum porrò spira facere ab Aequatore versus Septemtrionem ac Meridiem, qui sint spira termini. Alij eum rectà hunc motum facere dixerunt, quasi non spharam, sed cylindrū haberet.

Aristarchus Solem & Planetas stare vult, ac terram circum Solem moueri, itaq; secundū huius inclinatianes illum obscurari.

Xenophanes multos Soles multasq; Lunas posuit pro varijs terra climatibus ac zonis. cumq; Sol nonnunquam in quandam terra partem nobis incognitam incidat, tum quasi frustrà laborātem defectum pati. ac Solem quidem in infinitū procedere, verùm propter interualli magnitudinem videri in orbem moueri.

μὲν τὸν περὶ τῇ γῇ ὑγρὸν ἀέρα, ἀνατολὰς δὲ καὶ δύσεις ποιούμενον, τῷ τὸν μὲν ἐπικαιόμενον αἰεὶ προλείπεσθαι, τοῦ δ' ὑποστοιζομένου πάλιν ἀντέχεσθαι.

Ἀναξαγόρας μύδρον ἢ πέτρον διάπυρον εἶναι τὸν ἥλιον· τροπὴν δὲ γίνεσθαι ἀνταποδόσει τοῦ πρὸς ταῖς ἄρκτοις ἀέρος, ὃν αὐτὸς συνωθῶν ἐκ τῆς πυκνώσεως ἰσχυροποιεῖ. [ἀντωθούμενον Plut.]

Θαλῆς γεώδη τὸν ἥλιον, ἐκλείπειν δὲ αὐτὸν, τῆς σελήνης ὑπερχομένης κατὰ κάθετον, οὔσης φύσεως γεώδους, βλέπεσθαι δὲ τοῦτο κατοπτρικῶς ὑποτιθέμενον τῷ * δίσκῳ. [δίσκου Plut.]

Διογένης κισηροειδῆ τὸν ἥλιον, εἰς ὃν ἀπὸ τοῦ αἰθέρος ἀκτῖνας ἐναποστηρίζονται· ὑπὸ δὲ τοῦ ἀντιπίπτοντος τῇ θερμότητι ψυχροῦ σβέννυσθαι.

Φιλόλαος ὁ Πυθαγόρειος, ὑαλοειδῆ τὸν ἥλιον, δεχόμενον μὲν τοῦ ἐν τῷ κόσμῳ πυρὸς τὴν ἀνταύγειαν, διηθοῦντα δὲ πρὸς ἡμᾶς τό τε φῶς καὶ τὴν ἀλέαν, ὥστε τρόπον τινὰ διττοὺς ἡλίους γίνεσθαι, τό, τε ἐν τῷ οὐρανῷ πυρῶδες, καὶ τὸ ἀπ' αὐτοῦ πυροειδὲς κατὰ τὸ ἐσοπτροειδές· εἰ μή τις καὶ τρίτον λέξει τὴν ἀπὸ τοῦ ἐνόπτρου κατ' ἀνάκλασιν διασπειρομένην πρὸς ἡμᾶς αὐγήν.

Ἐμπεδοκλῆς δύο ἡλίους, τὸν μὲν ἀρχέτυπον πῦρ, ὂν ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ τοῦ κόσμου, πεπληρωκὸς τὸ ἡμισφαίριον, αἰεὶ κατ' ἀντικρὺ τῇ ἀνταυγείᾳ ἑαυτοῦ τεταγμένον· τὸν δὲ φαινόμενον ἀνταύγειαν ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ τῷ τοῦ ἀέρος τοῦ θερμομιγοῦς πεπληρωμένῳ, ἀπὸ κυκλοτεροῦς τῆς γῆς κατ' ἀνάκλασιν γινομένην εἰς τὸν ἥλιον, κρυσταλλοειδῆς περιαγομένην τῇ κινήσει τοῦ πυρώδους· ὡς δὲ βραχέως εἰρῆσθαι συντεμόντα, ἀνταύγειαν εἶναι τοῦ περὶ τὴν γῆν πυρὸς τὸν ἥλιον, τροπὴν δὲ γίνεσθαι ὑπὸ τῆς περιεχούσης αὐτὸν σφαίρας, κωλυόμενον ἄχρι παντὸς εὐθυπορεῖν, καὶ ὑπὸ τῶν τροπικῶν κύκλων· ἴσον δὲ τῇ γῇ τὸν κατὰ τὴν ἀνταύγειαν, ἔκλειψιν δὲ γίνεσθαι σελήνης αὐτὸν ὑπερχομένης.

Ἐπίκουρος γήινον πύκνωμα τὸν ἥλιον φησὶν εἶναι, κισηροειδῶς καὶ σπογγοειδῶς ταῖς κατατρήσεσιν ὑπὸ πυρὸς ἀνημμένον.

Παρμενίδης τὸν ἥλιον, καὶ τὴν σελήνην ἐκ τοῦ γαλαξίου κύκλου ἀποκριθῆναι, τὸν μὲν ἀπὸ τοῦ ἀραιοτέρου μίγματος, ὃ δὴ θερμόν, τὴν δὲ ἀπὸ τοῦ πυκνοτέρου, ὅπερ ψυχρόν.

Δημόκριτος μύδρον ἢ πέτρον διάπυρον, τροπὴν δὲ γίνεσθαι ἐκ τῆς περιφερούσης αὐτὸν δινήσεως.

Κλεάνθης ἄναμμα νοερὸν τὸ ἐκ θαλάττης, τὸν ἥλιον· περὶ δὲ τὴν τροπὴν φασὶ κατὰ τὸ διάστημα τῆς ὑποκειμένης τροφῆς. ὠκεανὸς δ' ἐστίν, ἧς τὴν ἀναθυμίασιν ἐπινέμεται, συμπεριφέρεσθαι δὲ τὸν ἥλιον κινούμενον ἕλικα ἐν τῇ σφαίρᾳ, ἀπὸ τοῦ ἰσημερινοῦ ἐπί τε ἄρκτου καὶ νότου, ἅπερ ἐστὶ πέρατα τῆς ἕλικος· ἄλλοι δὲ ἐπ' εὐθείας αὐτὸν κινεῖσθαι τὴν ἕλικα, οὐ περισφαίριον ποιοῦντα, περὶ δὲ κύλινδρον. [[illegible] adde Plut.]

Ἀρίσταρχος τὸν ἥλιον ἵστησι μετὰ τῶν ἀπλανῶν, τὴν δὲ γῆν κινεῖσθαι περὶ τὸν ἡλιακὸν κύκλον, καὶ κατὰ τὰς ταύτης ἐγκλίσεις σκιάζεσθαι. [[illegible] Plut.]

Ξενοφάνης πολλοὺς εἶναι ἡλίους καὶ σελήνας κατὰ τὰ κλίματα τῆς γῆς καὶ ἀποτομὰς καὶ ἱδρύας· κατὰ δέ τινα καιρὸν ἐκπίπτειν τὸν δίσκον εἴς τινα ἀποτομὴν τῆς γῆς οὐκ οἰκουμένην ὑφ' ἡμῶν, καὶ οὕτως ὥσπερ κενεμβατοῦντα ἔκλειψιν ὑποφαίνειν· ὁ δ' αὐτὸς τὸν ἥλιον εἰς ἄπειρον προϊέναι, δοκεῖν δὲ κυκλεῖσθαι διὰ τὴν ἀπόστασιν. [ζώνας Plut.]

Ἀρισ-

Ἀριστοτέλης ἐκ πέμπτης οὐσίας τὸν ἥλιον. πυροῦσθαι δὲ τὸν ἀέρα καὶ σφόδρα γίγνεσθαι θερμὸν, ἀνίσχοντός τε τοῦ ἡλίου καὶ πλησιάζοντος ἡμῖν, οὐ διὰ τὸ πυρινὸν εἶναι τὴν οὐσίαν, ἀλλὰ διὰ τὴν ὀξύτητα τῆς κινήσεως αὐτοῦ καὶ τὴν πρὸς τὸν ἀέρα παράθεσιν ὑποβεβλημένον αὐτοῦ τῇ φορᾷ καὶ παρακαιόμενον· οὔτε διὰ τὸν ἥλιον οὔτε τῶν ἄλλων ἄστρων οὐδὲν πῦρ εἶναι· σφαιροειδῆ μὲν γὰρ τούτων τὰ σχήματα, πυρὸς δὲ ἐκτός· οὔτε γὰρ τὴν περὶ τὸ μέσον οἰκείαν εἶναι κίνησιν πυρὸς, ἀλλὰ τὴν ἀπὸ τοῦ μέσου, οὔτε τὴν τῆς αὐξήσεως τῶν ζώων καὶ φυτῶν δύναμιν, ἀλλὰ τὴν τῆς φθορᾶς, οὐδὲ τὴν καθ' ἑαυτὰ διαμονήν· τὸ γὰρ πῦρ ἀχώριστον εἶναι τῆς ὕλης· ἐκ πέμπτης ἄρα τινὸς καὶ διαφερούσης τῆς πυρὸς οὐσίας τόν τε οὐρανὸν ὑπάρχειν, καὶ τὰ ἐν αὐτῷ πάντα· καὶ τὸν μὲν ἥλιον ἡμέρας ἀπεργάζεσθαι ὑπὲρ γῆν ἰόντα, νύκτα δὲ χωρήσαντα ὑπὸ γῆν. καὶ τῆς μὲν ἑτέρας τῶν τροπικῶν ἐφαψάμενον, βραχυτάτην ποιεῖν τὴν ἡμέραν, μακροτάτην δὲ τὴν νύκτα, θατέρου δὲ ἀνάπαλιν· τὸν δ' ἰσημερινὸν ἰόντα τε καὶ ἀπιόντα, διαθεῖν δὲ τὸν ἴδιον ἐνιαυτοῦ κύκλον. ἔκλειψιν δὲ τοῦ ἡλίου φαίνεσθαι σελήνης ὑποδραμούσης ὑπὸ τὸν αὐτὸν κύκλον, καὶ ταῖς ἡμετέραις ὄψεσι ἀντιφραττούσης, προσγειοτάτη γὰρ εἶναι τῶν ἄλλων ἄστρων· ὁπότ' οὖν κατὰ διάμετρον ὑπ' αὐτὸν γένηται, τὰς προσπιπτούσας ἀπ' αὐτοῦ πρὸς τὴν γῆν ἀκτῖνας ἐπιπροσθεῖν, ὥστε τοσοῦτον τόπον ἀφώτιστον ἀπεργάζεσθαι τῆς γῆς, ὁπόσον ἂν αὐτῆς ἐπίσχῃ τὸ σκίασμα, παρ' ὃ καὶ μήτε κατὰ πᾶν κλίμα τῆς γῆς, μήτε κατὰ τὴν αὐτὴν ὥραν, μήτε ἐπὶ πολὺ ἄγαν τόπον, διατείνειν τὸ τῆς ἡλιακῆς ἐκλείψεως πάθος.

Ζήνων τὸν ἥλιόν φησι, καὶ τὴν σελήνην, καὶ τῶν ἄλλων ἄστρων ἕκαστον εἶναι νοερὸν καὶ φρόνιμον πυρινὸν πῦρ, ὡς τεχνικοῦ. δύο γὰρ γένη πυρὸς, τὸ μὲν ἄτεχνον καὶ μεταβάλλον εἰς ἑαυτὸ τὴν τροφήν· τὸ δὲ τεχνικὸν, αὐξητικόν τε καὶ τηρητικὸν, οἷον ἐν τοῖς φυτοῖς ἐστὶ καὶ ζώοις· ὃ δὴ φύσις ἐστὶ καὶ ψυχή· τοιούτου δὲ πυρὸς εἶναι τὴν τῶν ἄστρων οὐσίαν· τὸν δὲ ἥλιον καὶ τὴν σελήνην δύο φορὰς φέρεσθαι, τὴν μὲν ὑπὸ τοῦ κόσμου ἀπ' ἀνατολῆς ἐπ' ἀνατολήν, τὴν δὲ ἐναντίαν τῷ κόσμῳ ζώδιον ἐκ ζωδίου μεταβαίνοντας· τὰς δ' ἐκλείψεις τούτων γίγνεσθαι διαφόρως, ἡλίου μὲν, περὶ τὰς συνόδους, σελήνης δὲ, περὶ τὰς πανσελήνους· γίνεσθαι δ' ἐπ' ἀμφοτέρων τὰς ἐκλείψεις καὶ μείους, καὶ ἐλάττους.

Χρύσιππος τὸν ἥλιον εἶναι τὸ ἀθροισθὲν ἔξαμμα νοερὸν ἐκ τοῦ τῆς θαλάσσης ἀναθυμιάματος, σφαιροειδῆ δὲ εἶναι τῷ σχήματι. Εὐριπίδης πῦρ εἶναι τὸν ἥλιον. λέγει γοῦν ἐν Φοινίσσαις·

Ἥλιε θοαῖς ἵπποισιν εἱλίσσων φλόγα.

ἐν δὲ Φαέθοντι·

Θερμὴ δ' ἄνακτος φλὸξ ὑπερτελοῦσα γῆς.

Ὅμηρος μὴ εἶναι πῦρ τὸν ἥλιον, ἀλλὰ φῶς καθαρώτατον, δείκνυσι δὲ τοῦτο σαφῶς διὰ τῶν ἐπῶν. λέγει γὰρ οὕτως·

Σεῖον Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον
δεινήν, ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο εἴκελος αὐγῇ
ἢ πυρὸς αἰθομένου, ἢ ἠελίου ἀνιόντος.

τί οὖν φαίνεται ποιῶν ἄλλο, ἢ τῇ διαζεύξει μαρτυρόμενος, ὅτι πῦρ οὐ νομίζει τὸν ἥλιον, ἀλλ' ἕτερον μὲν πυρὸς, φαινόμενον δὲ ἐν ταῖς ἀνατολαῖς πυρώδη, διὰ τὴν ὑγρότητα, καὶ τὴν ἀναθυμίασιν, ᾗ μιγνύμενον ἐρυθαίνεται πᾶν τὸ λαμπρόν.

Aristoteles de quinta natura Solem componit. incendi autem & valde calefieri oriente & appropinquante Sole aerem, non quòd ignea sit natura, sed ob motus velocitatem, quo subiectus aer atteratur. alioqui nec Solem nec vllam stellam aliam ignem habere. quamuis enim sphærica sint figura, tamen igne carere. Nam nec circa mediũ, motũ ignis esse proprium, sed à medio motũ, nec illum vel animalia stirpesq́; alẽdi potiùs vim habere, quàm perdendi: vel per se posse consistere. siquidem à materia separari ignem nõ posse. Quocirca quinta cuiusdam & ab igne diuersa natura cùm cælũ esse, tum quæ in eo sint omnia. Solẽ porrò diem quidem super terram decurrẽtem efficere, noctem autem sub terram recedentem, & alterum quidem Tropicum contingentem, breuissimum diem ac longissimam noctem reddere, alterum autem, contrarium. anni autem spatio orbem suum percurrere. defectum quoq. Solis euenire, Luna sub eundem orbem decurrente, ac nostris officiente luminibus. cùm sit enim stellarum omnium terris citima, quando ad perpendiculum sit sub ipso collocata, radios illius, quò minùs in terram incidant, intercipere. qua etiam de causa tantam terræ portionem, quantam ipsius vmbra teneat, lumine priuare. ideoq́; nec per omnem terræ tractum, nec eadem hora, nec valde longè Solis defectum existere.

Zeno & Solem ait, & Lunam, & aliam stellã quamuis intellectus participem et sapientem esse ignem, tanquam arte constantem. Duplicem etenim esse ignem, alterum artis expertem, & alimentum in suam naturam conuertentem, alterũ artis participem, & augentem res ac seruantem, qualis in stirpibus & animalibus cernatur, quæ quidem natura sit atque anima. Hoc igitur igne stellas constare. Solem porrò atq. Lunam duobus ferri motibus, altero mundi ab ortu in occasum, altero per signa contrario. Defectus autẽ vtriusq; diuersos euenire, Solis quidem noua Luna, Lunæ autem plena. alios quidem maiores, alios minores cerni.

Chrysippus ignem intellectus participẽ de maris exhalatione collectum dixit. figura autem esse sphærica.

Euripides ignẽ putauit. sic enim Phœnissis ait:

O qui citatis, Sol, equis flammam rotas.

& Phaethonte:

At flamma regis calida conscendens polum.

Homerus non ignem, sed lucem purissimã credidit, id quod ex his patet versibus:

*Peliacam dextro quatiens humero super hastam
Diram, quam circum ferrum fulgore micabat
Ardentisve ignis, Solisve orientis anheli.*

Hac enim disiunctione clarè ostendit se non ignẽ putare Solem, sed ab igne quidem diuersum, ignis tamen naturam ortu suo referentem, propter humorem & exhalationem, cui coniunctus omnis splendor rubet.

Non

Philolai Bacchus.

* * *

Arati, interprete Auieno.

Non hic, cùm primo seducet gurgite vultum,
Ceu picturato diuersos ore colores
Proferet. haud etenim tali tibi sole reuecto
Mitia iam cæli fas expectare serena.
Et si tranquillo conuexa excurrerit Austro,
Indideritq́; facem ponto Deus integer, atra
Nube carens, puruśq́; comis & splendidus orbe
Conuenit eoa faciem præsumere lucis.
Sed non ora cauo similis, medioq́; recedens
Orbe quasi, vel si radios discingitur vltrò,
Figat ad australem porrecto sidere partem,
Aut Borea rigidi iaculetur luminis igne:
Et vento & pluuiis reparata in luce carebit.
Deniq. per flammas procul atq. incendia solers,
Ipsa die cedunt blandi si lumina Solis,
Tende oculos. certa hoc ducentur signa sinistro.
Et ne sanguineus latè rubor imbuat ora,
Qualia protractu vaga nubila sæpè ferescunt:
Aut ne labenti piceus color abdat amictu
Lampada, quære diu. si tetro crassior orbe est,
Vuescet pluuiis tellus.
Vis simul amborum si vultum solis oberret,
Cũcta Noti quatient, imbres procul arua rigabũt.
Ecce alias primo nascentis solis in ortu,
Vel cùm præcipites pelago Deus inserit ignes,
Si coeunt radij:
Omnibus his signis in terram defluit imber.
Aut vbi sub lucem densa inter nubila sese
Diuersi rumpent radij:
——— nimbis ingentibus arua madebunt.
At matutini si Phœbum in littoris
Maiorem solito produxerit, atq. per æthram
Marcenti similis defluxerit extimus orbis,
Alta dehinc scandens minuat iubar igniferũ sol:
Pura serena aderunt.
——— Hic quoq. magnis
Cùm madefacta die sub tempestatibus horret,
Pallidus ora cadens, promittet pura serena.
Quin nascente die venturos conuenit imbres
Noscere, cùm proni procul ad confinia cæli
De piceo spectans nubila tractu.
Et cùm declinant radij, sed partem in vtramq.
Lucis in occasu, nox vt ferat algida rores,
Imber erit. puras si Phœbus condit habenas,
Et Calpetano tranquillum gurgite lumen
Tingat, at in lapsu nubes ignita sequatur:
——— Nunquam te crastina fallet
Hora, nec insidiis noctis capiere serena.
——— Sed cùm radiis marcentibus ardor
Languet, vel tenui tenduntur acumine frustrà
Phœbei crines: nimbos aget atra procella,
Talis & obducti cernetur forma diei,
Qualem fraternos subtexens Luna iugales
Lucem habitat.
——— Aut vbi rursum
Cùm matutinos molitur Lucifer ortus,
Ebria sanguineas subuoluunt vellera nubes.
Namq grauis cælo fundetur protinus imber.

Μή οἱ ποικίλλοιτο νέον βάλλοντος ἀρούρας
κύκλος, ὅτ᾽ εὐδίου κεχρημένος *ἤματος εἴης,
μηδέ τι σῆμα φέροι, φαίνοιτο δὲ λιτὸς ἁπάντῃ.
εἰ δ᾽ αὔτως καθαρόν μιν ἔχοι βουλύσιος ὥρη,
δύνοι δ᾽ ἀννέφελος μαλακὴν ὑποδείελος αἴγλην,
καὶ μὲν ἐπερχομένης ἠοῦς ἔθ᾽ ὑπεύδιος εἴη,
ἀλλ᾽ οὐχ ὁππότε κοῖλος ἐειδόμενος περιτέλλῃ,
οὐδ᾽ ὁπότ᾽ ἀκτῖνες αἱ μὲν νότον, αἱ δὲ βορῆα
σχιζόμεναι βάλλωσι, τὰ δ᾽ αὖ περὶ μέσσα φαείνῃ,
ἀλλά που, ἢ ὑετοῖο διέρχεται, ἢ ἀνέμοιο.
σκέπτεο δ᾽ εἴ κέ τοι αὐγαὶ ὑπείκωσ᾽ ἠελίοιο
αὐτὸν ἐς ἥλιον· τοῦ γὰρ σκοπιαὶ *εἴσιν ἄρισται.
εἴ τί οἱ καὶ ἔρευθος ἐπιτρέχει, οἷά τε πολλὰ
ἑλκομένων νεφέων ἐρυθαίνεται ἄλλοθεν ἄλλα·
ἢ εἴ που μελανεῖ· καί τοι τὰ μὲν ὕδατος ἔστω
σήματα μέλλοντος· τὰ δ᾽ ἐρεύθεα πάντ᾽, ἀνέμοιο.
εἴ γε μὲν ἀμφοτέροις ἅμυδις κεχρωσμένος εἴη,
καί κεν ὕδωρ φορέοι, καὶ ὑπηνέμιος τανύοιτο.
εἰ δέ τι ἢ ἀνιόντος ἢ αὐτίκα δυομένοιο
ἀκτῖνες συνίωσι, καὶ ἀμφ᾽ ἑνὶ πεπλήθωσι,
ἤ ποτε καὶ νεφέων πεπιεσμένος, ἢ ὅτ᾽ ἐς ἠῶ
ἔρχεται ἐκ νυκτὸς, ἢ ἐξ ἠοῦς ἐπὶ νύκτα.
ὕδατί κεν κατιόντι παρατρέχοι ἤματα κεῖνα.
μηδ᾽ ὅτε οἱ ὀλίγη νεφέλη πάρος ἀντέλλῃσι,
τὴν δὲ μετ᾽ ἀκτῖνες κεχρωσμένος αὐτὸς ἀερθῇ,
ἀμνηστεῖν ὑετοῖο· πολὺς δ᾽ ὅτε οἱ περὶ κύκλος
οἷον τηκομένῳ ἐναλίγκιος εὐρύνηται,
πρῶτον ἀνερχομένοιο, καὶ ἂψ ἐπὶ μεῖον ἴῃσιν,
εὔδιός κε φέροιτο· καὶ εἴ ποτε *χείματος ὥρῃ
ὠχρήσῃ κατιών· ἀτὰρ ὕδατος ἡμερινοῖο
γινομένου, κατόπισθε περὶ νέφεα σκοπιάζειν.
καὶ δὴ δυομένου τεκμαιρόμενος ἠελίοιο,
ἣν μὲν ὑποσκιάῃσι μελαινομένη εἰκυῖα
ἠέλιον νεφέλη, ταὶ δ᾽ ἀμφί μιν ἔνθα καὶ ἔνθα
ἀκτῖνες μεσσηγὺς ἑλισσόμεναι διχόωνται,
ἦτ᾽ ἂν ἔτ᾽ εἰς ἠῶ σκέπαος κεχρημένος εἴης.
εἰ δ᾽ ὁ μὲν ἀννέφελος βάπτοι ῥόον ἑσπερίοιο,
ταὶ δὲ κατερχομένου νεφέλαι καὶ ἔτ᾽ οἰχομένοιο
πλησίαι ἑστήκωσιν ἐρευθέες, οὔ σε μάλα χρὴ
αὔριον οὐδ᾽ ἐπὶ νυκτὶ περιτρομέειν ὑετοῖο.
ἀλλ᾽ ὁπότ᾽ ἠελίοιο μαραινομένῃσιν ὁμοῖαι
ἐξαπίνης ἀκτῖνες ἀπ᾽ οὐρανόθεν τανύωνται,
οἷον ἀμαλδύνονται ὅτε σκιάῃσι κατ᾽ ἰθὺ
ἱσταμένη γαίης τε καὶ ἠελίοιο σελήνη·
οὐδ᾽ ὅτε οἱ ἐπέχοντι φαεινόμεναι ἠῶθι πρὸ
φαίνονται νεφέλαι ὑπερευθέες ἄλλοθεν ἄλλαι,
ἄβρεκτοι γίνονται ἐπ᾽ ἤματι κείνῳ ἄρουραι·
μηδ᾽ αὔτως ἔτ᾽ ἐόντι πέριξ, ὁπότε προταθεῖσαι
ἀκτῖνες φαίνονται ἐπίσκιοι ἠῶθι πρὸ,
ὕδατος ἢ ἀνέμοιο κατισχομένου λελαθέσθαι.
ἀλλ᾽ εἰ μὲν κεῖναι μᾶλλον κνέφαος φορέοιντο
ἀκτῖνες, μᾶλλόν κεν ἐφ᾽ ὕδατι σημαίνοιεν.
εἰ δ᾽ ὀλίγος τανύοιτο περὶ δνόφος ἀκτίνεσσι,
οἷόν που μαλακαὶ νεφέλαι φορέουσι μάλιστα·
ἦτ᾽ ἂν ἐπερχομένοιο περιδνοφέοιντ᾽ ἀνέμοιο·
οὐδὲ μὲν ἠελίου σχεδόθεν μελανεῦσαι ἀλωαὶ
εὔδιοι· ἀσσότεραι δὲ καὶ ἀστεμφὲς μελανεῦσαι,
μᾶλλον χειμέριαι, δύο δ᾽ ἂν χαλεπώτεραι εἶεν.
σκέπτεο δ᾽ ἢ ἀνιόντος, ἢ αὐτίκα δυομένοιο,

εἴ που

[Right-margin notes: [illegible]; *αἵματος; *οἱ ἢ; *[illegible]]

εἴπου οἱ νεφέων τὰ παρήλια κικλήσκονται,
ἢ νότου, ἠὲ βορῆος ἐρεύθεται, ἢ ἑκάτερθεν,
μηδ' οὕτω σκοπιὴν ταύτην ἀμβλεῖα φυλάσσειν.
εἰ γὰρ ὅτ' ἀμφοτέρωθεν ὁμοῦ περὶ μέσσον ἔχουσιν
ἠέλιον κεῖναι νεφέλαι σχεδὸν οὐρανοῖο,
γίγνεται αὐξομένη Διόθεν χειμῶνος ἰόντος.
εἴγε μὲν ἐκ βορέαο μί' οἴη φοινίσσοιτο,
ἐκ βορέω πνοιάς κε φέροι· νοτίη δὲ νότοιο.
ἢ καί που ῥαθάμιγγες ἐπιτροχόωσ' ὑετοῖο,
ἑσπερίοις καὶ μᾶλλον ἐπισκέπτεο ἤμασι τούτοις
ἑσπερόθεν γὰρ ὁμῶς σημαίνεται ἐμμενὲς αἰεί.

Nec si sole procul rutila inter stagna morante
Emineant radij, radios quoq. crassior umbra
Contegat: ille dies pluuiis ventoq́ carebit.
Quin erit imber item, si solem circulus ater
Ambiat exortum. maior si deniq. nimbus
Vrgebit cælo, maior sola perluet imber,
Circumfusa adeò si cingula nescia solui
Seruarent tetram speciem torpentia noctis.
Sæpe etiam Phœbo nubes percussa rubescit,
Et meditata Dei formam, procul igne recepto,
Concipit effigiem simulato luminis orbe.
Id qua parte poli spectaueris, adfore ab ipsa
Parte tene ventos. tamẽ hæc tamẽ omnia semper
Decedente die melius ventura docebunt.

Περὶ σελήνης οὐσίας, καὶ μεγέθους, καὶ σχήματος.

Ἀναξίμανδρος κύκλον εἶναι ἐννεακαιδεκαπλάσιον τῆς γῆς, ὅμοιον ἁρματίῳ κοίλην ἔχοντι τὴν ἁψῖδα, καὶ πυρὸς πλήρη, καθάπερ τὸν τοῦ ἡλίου κείμενον λοξόν· ὡς κἀκεῖνος ἔχοντι μίαν ἐκπνοὴν οἷον πρηστῆρος αὐλόν, ἐκλείπειν δὲ κατὰ τὰς στροφὰς τοῦ τροχοῦ.

Ἀναξιμένης πυρίνην τὴν σελήνην. Παρμενίδης πυρίνην, ἴσην δὲ τῷ ἡλίῳ, καὶ γὰρ ἀπ' αὐτοῦ φωτίζεται. Ἡράκλειτος σκαφοειδῆ τῷ σχήματι.

Ξενοφάνης νέφος εἶναι τὴν σελήνην πεπιλημένον. Θαλῆς γεώδη τὴν σελήνην ἀποφήνατο. Δημόκριτος καὶ Ἀναξαγόρας, στερέωμα διάπυρον, ἔχον ἐν ἑαυτῷ πεδία καὶ ὄρη καὶ φάραγγας. Διογένης, κισσηροειδὲς ἄναμμα τὴν σελήνην. Ἴων, σώματι μὲν, ὑαλοειδῆ, διαυγές, τῇ δ' ἀφεγγές. Βήρωσος ἡμιπύρωτον σφαῖραν τὴν σελήνην. Ἡρακλείδης καὶ Ὄκελλος, γῆν ὁμίχλῃ περιεχομένην. Πυθαγόρας, κατοπτροειδὲς σῶμα. Ἐμπεδοκλῆς ἀέρα συνεστραμμένον νεφοειδῆ, πεπηγότα ὑπὸ πυρός, ὥστε σύμμικτον, δισκοειδῆ δὲ τῷ σχήματι, τινὲς δὲ κυλινδροειδῆ.

Πλάτων ἐκ πλείονος τοῦ πυρὸς εἶναι τὴν σελήνην. Ἀριστοτέλης σελήνην ἐν μεθορίοις ἀέρος τεταγμένην, καὶ τῆς πέμπτης οὐσίας μετέχουσαν, ἐν μηνὶ περιέρχεσθαι τὸν ἴδιον κύκλον, ἐλάττονα δὲ τῆς γῆς εἶναι τῷ μεγέθει.

Ζήνων τὴν σελήνην ἔφησεν ἄστρον νοερὸν καὶ φρόνιμον, πύρινον δὲ πυρὸς τεχνικοῦ. Κλεάνθης πυροειδῆ τὴν σελήνην, πιλοειδῆ δὲ τῷ σχήματι. Ποσειδώνιος, καὶ οἱ πλεῖστοι τῶν στωικῶν μικτὴν ἐκ πυρὸς καὶ ἀέρος, μείζονα δὲ τῆς γῆς ὡς καὶ τὸν ἥλιον· σφαιροειδῆ δὲ τῷ σχήματι· σχηματίζεσθαι δ' αὐτὴν πολλαχῶς, καὶ γὰρ πανσέληνον γιγνομένην, καὶ διχότομον, καὶ ἀμφίκυρτον, καὶ μηνοειδῆ.

Χρύσιππος τὸ ἀθροισθὲν ἔξαμμα μετὰ τὸν ἥλιον ἐκ τοῦ ἀπὸ τῶν ποτίμων ὑδάτων ἀναθυμιάματος· διὸ καὶ τούτοις τρέφεσθαι, σφαιροειδῆ δὲ εἶναι· μῆνα δὲ καλεῖσθαι τὴν τοῦ δρόμου αὐτῆς περίοδον· μεὶς δ' ἐστί, φησί, τὸ φαινόμενον τῆς σελήνης πρὸς ἡμᾶς, ἢ σελήνη μέρος ἔχουσα φαινόμενον πρὸς ἡμᾶς.

Περὶ δὲ φωτισμοῦ αὐτῆς. Ἀναξίμανδρος, Ξενοφάνης, Βήρωσος, ἴδιον αὐτὴν ἔχειν φῶς· Ἀριστοτέλης, ἴδιον μέν, ἀραιότερον δέ πως. οἱ στωικοί, ἀμαυροφανές, ἀεροειδὲς γάρ. Ἀντιφῶν ἰδιοφεγγῆ μὲν τὴν σελήνην, τὸ δ' ἀποκρυπτόμενον περὶ αὐτὴν ὑπὸ τῆς προσβολῆς τοῦ ἡλίου ἀμαυροῦσθαι, πεφυκότος τοῦ ἰσχυροτέρου τὸ ἀσθενέστερον ἀμαυροῦν, ὃ δὴ συμβαίνει καὶ περὶ τὰ ἄλλα ἄστρα.

De Lunæ natura, magnitudine, & figura.

ANAXIMANDER *circulum esse dixit decies & nonies terra maiorem, rotæ curuli similem, concauum continentem ignis plenum orbiculum, more Solis, & obliquum itidem, una parte expirantem cen per guttur. deficere autem secundum rotæ conuersiones.*

Anaximenes igneam dixit Lunam: Parmenides quoq. igneam, ac Soli æqualem. ab eo siquidẽ lumen accipere: Heraclitus scaphæ figurã tribuit.

*Xenophanes nubem compressam dixit: Thales naturæ terreæ: Democritus & Anaxagoras solidum igneum, campos, montes, et conualles in se complexum: Diogenes ignem pumiceum: Io *corpus partim perspicuum, partim obscurum: Berosus orbem semiustum. Heraclides & Ocellus terram caligine septam: Pythagoras speculi naturam referens corpus: Empedocles aerem contortũ, & ab igne compactum, discíq; formam habere, vel, secundum alios, cylindri.*

Plato maximam partem igne constare credit: Aristoteles propter aerem positam, et quintæ naturæ participem, mensis spatio orbem suum percurrere. minorem autem esse terra.

*Zeno Lunam dixit stellam intellectus participem, sapientem, igneam, cum arte coniunctam: Cleanthes igneæ naturæ, * figuræ: Posidonius ac Stoici pleriq. mistam ex igne & aere, terra maiorem, more Solis, figura sphærica, tamen vt variis modis appareat, nunc plena, nunc semiplena, nunc gibbosa, nunc cornuta.*

Chrysippus ignem de aquarum dulcium exhalatione post Solem collectũ, ideóq; iisdem ali sphæricam autem habere figuram. Mensem quoq. dici curriculi ipsius ambitum, itaq; vocari Lunæ partem eam, quæ nobis est conspicua.

De illustratione eius.

ANAXIMANDER, *Xenophanes, Berosus, proprium Lunam habere lumen dixerunt: Aristoteles proprium quidem, sed rarius: Stoici subobscurum, & aereum: Antipho proprio quidem lucere lumine, partes autem eius abscunditas accessu Solis obscurari, tanquã imbecillius à fortiori, quemadmodum & aliis stellis contingat.*

Thales

Thales primus à Sole dixit illustrari. quod et: à Pythagoras, Parmenides, Empedocles, Anaxagoras, & Metrodorus senserunt.

Heraclitus idem Lunæ, quod Soli, euenire arbitratus est. nam cùm habeant scaphæ figuram, acceptis ab humida exhalatione radiis in speciem illustrari; clarius quidē Solem, qui puriori fruatur aere, obscurius autē Lunam, quæ minùs puro.

De defectu eius.

ANAXIMANDER *defectum rota ore obturato putauit euenire: Berosus inusta parte ad nos conuersa: Alcmæo, Heraclitus, per scaphæ conuersionem: Pythagorei quidam, teste Aristotele & Philippo Pontio, obstaculo vel nostra, vel opposita terra.*

πανσέληνον pro μῆνα τέμνει.

* *Iunioribus quibusdam visum est id flammæ incremento tribuere, quæ ordine paulatim cresceret, donec plenam redderet Lunam, rursumq́; eodem pacto decresceret, donec in coniūctione prorsus extingueretur; id quod etiam de menstrua occultatione Xenophanes asserebat.*

Thales, Anaxagoras, Plato, Stoici, Mathematicos secuti, menstruas quidem occultationes accedente & circumfulgente Sole fieri dixerunt, defectus autem Lunæ in vmbram terræ incidente, vt inter vtrumq. sidus positæ, ita hanc magis obscurantis: Anaxagoras, teste Theophrasto, etiam sublunaribus corporibus obstantibus.

Chrysippus Lunam deficere dixit obstante illi terra, cuius in vmbram incidat.

De facie eius.

PYTHAGOREI *alij, vt Philolaus, terræ formā esse dixerunt, quoniam Luna, quemadmodū terra hæc, accolatur maioribus ac pulchrioribus animalibus & plantis, cùm & decies ac quinquies præstantiora ibi degant animalia, nihil excremētū habentia, & dies altero tanto sint longiores: alij maris vltra zonam torridam reflexionem: Anaxagoras compositionis dissimilitudinem, tum frigidis ac terris inter se mistis, tum aliis partibus altis; aliis humilibus, aliis concauis, tum iuncta cū igne caligine, vnde existat vmbra; vnde etiam falsiformem dici stellam: Democritus vmbram sublimiorum eius partium, quandoquidem montes & valles habeat. Parmenides propter caliginem igni permistam; qua etiam de causa falsiformem stellam vocat: Stoici propter aeris additamentum, quod ipsius compositionem prohibeat esse sinceram: Aristoteles propter terra, idipsum vetantis.*

ὄγκων pro ἀγγέων.

Mathematici compositionis dissimilitudinem in causa ponunt. quemadmodum enim nubium à Sole illustratarum rariores partes magis splendeant, densiores minùs, sic & Luna tū nubi com-

Θάλης πρῶτος ἔφη ὑπὸ τοῦ ἡλίου φωτίζεσθαι· πυθαγόρας, παρμενίδης, ἐμπεδοκλῆς, ἀναξαγόρας, μητρόδωρος ὁμοίως.

Ἡράκλειτος ταυτὸν πεπονθέναι τὴν τε σελήνην καὶ τὸν ἥλιον· σκαφοειδεῖς δὲ ὄντας τοῖς σχήμασι τοὺς ἀστέρας δεχομένους τὰς ἀπὸ τῆς ὑγρᾶς ἀναθυμιάσεως αὐγὰς φωτίζεσθαι πρὸς τὴν φαντασίαν, λαμπροτέρως μὲν τὸν ἥλιον, ἐν καθαρωτέρῳ γὰρ ἀέρι φέρεσθαι· τὴν δὲ σελήνην ἐν θολωτέρῳ, καὶ διὰ τοῦτο ἀμαυροτέραν φαίνεσθαι.

Περὶ δὲ ἐκλείψεως σελήνης· Ἀναξίμανδρος τοῦ στομίου τοῦ περὶ τὸν τροχὸν ἐπιφραττομένου βήρωσος, κατὰ τὴν πρὸς ἡμᾶς ἐπιστροφὴν τοῦ ἀπυρώτου μέρους· ἀλκμαίων, ἡράκλειτος, ἀντίφανης, κατὰ τὴν τοῦ σκαφοειδοῦς στροφὴν, καὶ τὰς περικλίσεις. τῶν πυθαγορείων τινὲς κατὰ τὴν ἀριστοτελικὴν ἱστορίαν, καὶ τὴν φιλίππου τοῦ ποντίου ἀπόφασιν, ἀντιφράξει, ποτὲ μὲν τῆς γῆς, ποτὲ δὲ τῆς ἀντίχθονος. Τῶν δὲ μεθ' ἑτέρων εἰσί τινες, οἷς ἔδοξε κατ' ἐπινέμησιν φλογὸς κατὰ μικρὸν ἐξαπτομένης τεταγμένως, ἕως τὴν τελείαν πανσέληνον ἀποδῷ, καὶ πάλιν ἀναλόγως μειουμένης μέχρι τῆς συνόδου καθ' ἣν τελείως σβέννυται· ξενοφάνης καὶ τὴν μηνιαίαν ἀπόκρυψιν κατάσβεσιν.

ἀμφοτέρων.

Θάλης, ἀναξαγόρας, πλάτων, οἱ στωϊκοὶ, τοῖς μαθηματικοῖς συμφώνως τὰς μὲν μηνιαίους ἀποκρύψεις συνοδεύουσαν αὐτὴν ἡλίῳ, καὶ περιλαμπομένην ποιεῖσθαι· τὰς δ' ἐκλείψεις εἰς τὸ σκίασμα τῆς γῆς ἐμπίπτουσαν, μεταξὺ μὲν ἀμφοτέρων τῶν ἀστέρων γινομένης, μᾶλλον δὲ τῆς σελήνης ἀντιφραττομένης. ἀναξαγόρας, ὥς φησι θεόφραστος, καὶ τῶν ὑποκάτω τῆς σελήνης ἔσθ' ὅτε σωμάτων ἐπιπροσθούντων.

Χρύσιππος ἐκλείπειν τὴν σελήνην τῆς γῆς αὐτὴν ἐπιπροσθούσης, καὶ εἰς σκιὰν αὐτῆς ἐμπιπτούσης.

Περὶ δὲ ἐμφάσεως αὐτῆς· τῶν πυθαγορείων τινὲς μὲν, ὧν ἐστι φιλόλαος, τὸ γαιοφανὲς αὐτῆς εἶναι διὰ τὸ περιοικεῖσθαι τὴν σελήνην, καθάπερ τὴν παρ' ἡμῖν γῆν, ζώοις καὶ φυτοῖς μείζοσι καὶ καλλίοσιν· εἶναι γὰρ πεντεκαιδεκαπλάσια τὰ ἐπ' αὐτῆς ζῶα τῇ δυνάμει, μηδὲν περιττωματικὸν ἀποκρίνοντα, καὶ τὴν ἡμέραν τοσαύτην τῷ μήκει· ἄλλοι δὲ τὴν ἐν τῇ σελήνῃ ἔμφασιν ἀνάκλασιν εἶναι τῆς ἀντιπέραν τοῦ διακεκαυμένου κύκλου τῆς οἰκουμένης ὑφ' ἡμῶν θαλάττης. ἀναξαγόρας ἀνωμαλότητα συγκρίματος διὰ τὸ ψυχρομιγὲς ἅμα καὶ γεῶδες, τὰ μὲν ἐχούσης ὑψηλὰ, τὰ δὲ ταπεινὰ, τὰ δὲ κοῖλα· καὶ παραμεμῖχθαι τῷ πυροειδεῖ τὸ ζοφῶδες· ὧν τὸ πάθος ὑποφαίνει τὸ σκιερόν· ὅθεν ψευδοφανῆ λέγεσθαι τὸν ἀστέρα. δημόκριτος ἀποσκίασμά τι τῶν ὑψηλῶν ἐν αὐτῇ μερῶν, ἄγκη γὰρ αὐτὴν ἔχειν καὶ νάπας. παρμενίδης διὰ τὸ παραμεμῖχθαι τῷ περὶ αὐτὴν πυρώδει τὸ ζοφῶδες· ὅθεν ψευδοφανῆ τὸν ἀστέρα καλεῖ. οἱ στωϊκοὶ διὰ τὸ ἀερομιγὲς τῆς οὐσίας, μὴ εἶναι αὐτῆς ἀκήρατον τὸ σύγκριμα. ἀριστοτέλης μὴ εἶναι αὐτῆς ἀκήρατον τὸ σύγκριμα, διὰ τὰ πρόσγεια ἐρύματα τοῦ αἰθέρος, ὃν προσαγορεύει σῶμα πέμπτον.

ἔμφασιν Plato

Οἱ ἀπὸ τῶν μαθηματικῶν τὸ ἀνώμαλον συγκριτικὸν αἴτιον εἶναι· καθάπερ ἐπὶ τῶν προσαυγαζομένων ὑπὸ τοῦ ἡλίου νεφῶν, τὰ μὲν γὰρ ἀραιότερα μέρη, λαμπρότερα φαίνεσθαι, τὰ δὲ πυκνότερα, ἀμαυρότερα, οὕτως καὶ τῆς σελήνης, οἰκείας μὲν νεφελοειδεῖ πιλήματι,

προσαυ-

Greek column

περισταυγαζομένης δ' ὑπὸ τοῦ ἡλίου.

Ξενοφάνης τὸν μὲν ἥλιον χρήσιμον εἶναι πρὸς τὴν τοῦ κόσμου καὶ τὴν τῶν ἐν αὐτῷ ζώων γένεσίν τε καὶ διοίκησιν, τὴν δὲ σελήνην παρέλκειν.

Περὶ τῶν ἀποστημάτων.

Ἐμπεδοκλῆς διπλάσιον ἀπέχειν τὴν σελήνην ἀπὸ γῆς, ἤπερ ἀπὸ τοῦ ἡλίου· οἱ δὲ ἀπὸ τῶν μαθηματικῶν, ὀκτωκαιδεκαπλάσιον. Ἐρατοσθένης τὸν ἥλιον ἀπέχειν ἀπὸ τῆς γῆς σταδίων μυριάδας μυριάδων τετρακοσίας, καὶ στάδια ὀκτάκις μύρια· τὴν δὲ σελήνην ἀπέχειν ἀπὸ τῆς γῆς μυριάδας ἑβδομήκοντα ὀκτὼ σταδίων.

Περὶ ἡλίου καὶ σελήνης.

Ἐμπεδοκλῆς τοῦ ὕψους τοῦ ἀπὸ τῆς γῆς εἰς οὐρανόν, ἥτις ἐστὶν ἀφ' ἡμῶν ἀνάτασις, πλείονα εἶναι τὴν κατὰ τὸ πλάτος διάστασιν κατὰ τοῦτο τοῦ οὐρανοῦ μᾶλλον ἀναπεπταμένου, διὰ τὸ ᾠῷ παραπλησίως τὸν κόσμον κεῖσθαι· Βοηθὸς δὲ πρὸς τὴν φαντασίαν δέχεται τὸ ἀναπεπταμένον, οὐ κατὰ τὴν ὑπόστασιν.

Σημεῖα σελήνης.

[Margin: ἐκ τῶν Ἀράτου φαινομένων.]

Σκέπτεο δὲ πρῶτον κεραίας ἑκάτερθε σελήνης.
ἄλλοτε γὰρ τ' ἄλλῃ μιν ἐπιγράφει ἕσπερος αἴγλη·
ἄλλοτε δ' ἀλλοῖαι μορφαὶ κερόωσι σελήνην,
εὐθὺς ἀεξομένην, αἱ μὲν τρίτῃ, αἱ δὲ τετάρτῃ·
τάων καὶ περὶ μηνὸς ἐφεσταότος κε πύθοιο.
λεπτὴ μὲν καθαρή τε περὶ τρίτον ἦμαρ ἐοῦσα,
εὔδιός κ' εἴη· λεπτὴ δὲ καὶ εὖ μάλ' ἐρευθὴς,
πνευματίη· παχίων δὲ καὶ ἀμβλείῃσι κεραίαις,
τέτρατον ἐκ τριτάτοιο φόως ἀμενηνὸν ἔχουσα,
ἢ νότῳ ἀμβλύνεται, ἢ ὕδατος ἐγγὺς ἐόντος.
εἰ δέ κ' ἀπ' ἀμφοτέρων κεράων τρίτον ἦμαρ ἄγουσα,
μήτ' ἐπινεύστάζοι, μήθ' ὑπτιόωσα φαείνοι
ἀλλ' ὀρθαὶ ἑκάτερθε περιγνάμπτωσι κεραῖαι,
ἑσπέριοί γ' ἄνεμοι κείνην μετὰ νύκτα φέρονται.
εἰ δ' αὔτως ὀρθὴ καὶ τέτρατον ἦμαρ ἄγησι,
ἦ τ' ἂν χειμῶνος συναγειρομένοιο διδάσκοι.
εἰ δέ κεν οἱ κεράων τὸ μετήορον ἐπινεύῃσι,
δειδέχθαι βορέω· ὅτε δ' ὑπτιάῃσι, νότοιο.
αὐτὰρ ἐπὴν τριτόωσαν ὅλος περὶ κύκλος ἑλίσσῃ,
πάντῃ ἐρευθόμενος, μάλα κεν τότε χείμερος εἴη·
μείζονι δ' ἂν χειμῶνι πυρώτερα φοινίσσοιτο.
σκέπτεο δ' ἐς πληθύν τε καὶ ἀμφότερον διχόωσαν,
ἡ μὲν ἀεξομένην, ἡ δ' ἐς κέρας αὖθις ἰοῦσαν·
καί οἱ ἐπὶ χροιῇ τεκμαίρεο μηνὸς ἑκάστου.
πάντῃ μὲν καθαρῇ κε μάλ' εὔδια τεκμήραιο.
πάντα δ' ἐρευθομένῃ, δοκέειν ἀνέμοιο κελεύθους·
ἄλλοθι δ' ἄλλο μελαινομένῃ, δοκέειν ὑετοῖο.
σήματα δ' οὐ μάλα πᾶσιν ἐπ' ἤμασι πάντα τέτυκται·
ἀλλ' ὅσα μὲν τριτάτῃ τετραταίῃ τε πέλονται,
μέσφα διχαιομένης διχάδος γε μὲν, ἄχρις ἐπ' αὐτὴν,
σημαίνει διχόμηνον· ἀτὰρ πάλιν ἐκ διχομήνης
εἰς διχάδα φθιμένην· ἔχεται μὲν αὐτίκα τετρὰς
μηνὸς ἀποιχομένου. ἡ δὲ τριτάτη, ἐπιόντος·
εἰ δέ μιν περὶ πᾶσαν ἅλωαι κυκλώσονται,
ἢ τρεῖς, ἠὲ δύω περικείμεναι, ἠὲ μί' οἴη,
τῇ μὲν ἰῇ ἀνέμοιο γαληναίης τε δοκεύειν

Latin column

pressa simili, tum à Sole illustrata accidere.

Xenophanes Solem quidem requiri putabat ad mundi animaliumq́; ortum & constitutionem; Lunam autem superuacuam esse.

De interuallo eius.

Empedocles Lunam duplũ à terra distare spatium eius, quod à Sole distet, putauit: Mathematici decuplum & octuplum: Eratosthenes Solem quidem à terra distare quadringentis et octo stadiorum myriadibus, Lunam autem septuaginta & octo.

Empedocles aiebat altitudine cæli cum terra comparati maius esse latitudinis interuallum, qua magis expansum sit cælum, quoniam oui more situs sit mundus: Boethus hoc non reipsa se sic habere, sed ita poni asserebat.

De signis eius.

[Margin: Arati Interprete Auieno.]

Cynthia cùm primũ cælo noua cornua promit,
Cautus vtrinq. deam circumspice. namq. reuersa
Nequaquam semper similis lux imbuit ortum:
Sed species diuersa trahit, variįq́; notatur
Formarum primi cùm surgit luminis igne.
Tertia cùm rutilat, tum maior sideris æthram
Scandit: & æreas quarta face luminat oras,
Ingredientis erit plenè tibi nuncia mensis.
Hæc castigato si tertia fulserit ortu
Pura, sic vt fœdis ab Syrtibus abfore dicat,
Clara serena diu.
At si virgineum suffuderit ore ruborem,
Ventus erit. vento semper rubet aurea Phœbe.
Luminis ista dehinc si crassior atq. retusis
Cornibus ingreditur: si quarti sideris ortu
Percurso, vt tenuem protendat corporis vmbrã,
Imbribus aut Zephyris hebetabitur: arguet vltrò
Flabra Noti aut pluuias.
Tertia si rursum protollat Cynthia currus,
Sic subiecta faces & acumina lenta coruscans,
Vt nec curua quasi declinet cornua, nec se
Fusa supinato deducat lumine in auras:
Occiduo Zephyrum prædices surgere mundo,
Aut Libyæ de parte Notum. sin quattuor autem
Cynthia curriculis cælum subit, atq. coruscis
Cornibus immodicè præstantibus vsserit ignes:
Vix prolixa salum eiet ociùs omnia Cauri.
Istius in Boream quod se sustollet acumen,
Si curuum specie velut armat: affore cælo
Sæua procellosi prædicet flabra Aquilonis
Inferiore plaga. si Lunam tertius ortus
Proferat, atq. Deæ conuoluat circulus oras
Suffusus rutilo: mox tempestate sonora
Spumosum latè pelagus canescere cernes.
Maior & hac rauci versabit gurgitis vndis,
Ipsa quoq. immodicè si vultum Luna rubescat.
Contemplator item, seu plenum luminis orbem
Cynthia distendit, seu tertius ambitus olli
Caditur, & media velut indiga lucis vtrinque
Sustinet obducta sibimet dispendia forma,
Cornua prima replens, & cornua fessa dehiscens.
Induit & qualem procedens ore colorem,

Hinc perpende oculis, ipso monitore dierum
Signa tene, ac totū discerne in tempora mensem.
Non vnum deprehensa diem tibi signa loquūtur,
Nec vulgò in cunctis adsunt præcepta diebus:
Sed quæ signa nouo dederit mox tertia in ortu,
Quartáve,sustollit medios dum Cynthia vultus,
Durabunt cælo medio quæ edixerit ore.
Ille alius trino conuoluit tramite Lunam,
Et geminus plerunq. meat Sol,& vnicus idem.
Cingere si simplex circumuersabitur orbem,
Signa procellarum certißima,signa serent
Præferet:abruptos subitò prænuntiat Euros.
Marcescens tenui sensim caligine,& æthra
Digestus patula, docet vndis adfore pacem.
Si duo se Lunæ circumfudère repentè,
Maxima vis pontum,vis vertet maxima terras,
Maioresq́; dehinc agitabunt stagna procellæ,
Si trinus rutilum constrinxerit ambitus orbem.
Et magis immodica formidine sæuiet Auster,
Zonarum teter fuerit si tractus in æthra.
Deniq. disrumpant si sese cingula Lunæ,
Vltima tempestas ruet imi gurgitis æstum.

De Galaxia.

CIRCVLVS *est nubilus,per totū quidem aerē apparens,albi autem coloris gratia dictus lacteus.*

Pythagorei dixerunt esse stellæ conflagrationē, quæ suo quidem loco.excidisset:quam autem cæli regionem percurrisset,eam in orbē sub Phaethontis incēdio combusisset: alij Solis curriculum hoc loco primum extitisse:alij speculi visum esse, Solis radiis in cælum reflexis, vt & in Iride, ac nubibus contingat.

Metrodorus accessui Solis causam tribuit,enim hic sit circulus:Parmenides densi ac rari misturā talem efficere colorem: Anaxagoras terræ vmbrā hoc loco consistere,cùm à Sole non pariter illustrētur omnia: Democritus multarum paruarum & coniūctarum stellarū inter se illustrantium communem propter densitatem fulgorem: Aristoteles vaporis sicci multi atq. continui conflagrationē. circulum enim hunc maximum maximis & clarißimis stellis atq. etiam vulgaribus scatere,ideoq́; semper plurimos eo loco deferri à terra vapores, qui lactis formam præbeant: Posidonius ignis congeriem, stella quidem rariorem, fulgure autem densiorem.

De cometis,stellis transuolantibus, ac similibus.

PYTHAGOREI *partim stellas faciunt cometas, quæ non semper, sed certo temporis ambitu appareant; partim visus nostros in Solem speculi more reflexos: Anaxagoras ac Democritus duarū vel plurium stellarum concursum: Aristoteles exhalationis aridæ igneam congeriem; & cometas *quidem,cùm illa validius*incensa diutiùs durat, stella quidem infrà apparente,coma autem suprà fulgente; barbatas autem, cùm contrà stella quidem suprà apparet,coma autē infrà barbæ more.*

pro δι. ἐξανθῇ pro ἐξαφθῇ.

Strato dicebat stellæ lumē densa nube circūda-

ῥηγνυμένη, ἀνέμοιο· μαραινομένη δὲ, γαλήνης·
ταὶ δύο δ' ἂν χειμῶνι περιτρεχάοιτο σελήνην·
μείζονα δ' ἂν χειμῶνα φέροι τριέλικτος ἀλωή,
καὶ μᾶλλον μελανεῦσα· καὶ εἰ ῥηγνύατο, μᾶλλον.

Περὶ γάλακτος.

Κύκλος ἐστὶ νεφελοειδὴς ἐν μὲν τῷ ἀέρι διὰ παντὸς φαινόμενος, διὰ δὲ τὴν λευκόχροιαν ὀνομαζόμενος γαλαξίας.

Οἱ μὲν Πυθαγόρειοι ἔφασαν ἀστέρος εἶναι διάκαυσιν ἐκπεσόντος μὲν ἀπὸ τῆς ἰδίας ἕδρας, δι' οὗ δὲ περιέδραμε χωρίου ἐμπρησμῷ τῷ ἐπὶ Φαέθοντος. οἱ δὲ τὸν ἡλιακὸν ταύτῃ φασὶ κατ' ἀρχὰς γεγονέναι δρόμον. τινὲς δὲ κατοπτρικὴν εἶναι φαντασίαν τοῦ ἡλίου τὰς αὐγὰς πρὸς τὸν οὐρανὸν ἀνακλῶντος, ὅπερ κἀπὶ ἴριδος ἐπὶ τῶν νεφῶν συμβαίνει.

Μητρόδωρος διὰ τὴν πάροδον τοῦ ἡλίου, τοῦτον γὰρ εἶναι τὸν ἡλιακὸν κύκλον. Παρμενίδης τὸ τοῦ πυκνοῦ καὶ τοῦ ἀραιοῦ μῖγμα γαλακτοειδὲς ἀποτελέσαι χρῶμα. Ἀναξαγόρας τὴν σκιὰν τῆς γῆς κατὰ τόδε τὸ μέρος ἵστασθαι τοῦ οὐρανοῦ, ὅταν ὑπὸ τὴν γῆν ὁ ἥλιος γενόμενος μὴ πάντα περιφωτίζῃ. πολλῶν καὶ μικρῶν καὶ συνεχῶν ἀστέρων συμφωτιζομένων τ' ἀλλήλοις διὰ τὴν πύκνωσιν συναυγασμόν. Ἀριστοτέλης ἀναθυμιάσεως ξηρᾶς ἔξαψιν πολλῆς τε καὶ συνεχοῦς· τὸν γὰρ κύκλον ἐν ᾧ δοκεῖ θεωρεῖσθαι μέγιστον ὄντα, πλήρη τῶν μεγίστων ὑπάρχειν καὶ λαμπροτάτων ἀστέρων, καὶ ἔτι τῶν σποράδων καλουμένων, ὥστε διὰ ταῦτα συνεχῶς πλείστην περὶ τοῦτον ἀθροίζεσθαι τὸν τόπον τὴν ἀπὸ τῆς γῆς ἀναθυμίασιν, καὶ ποιεῖν τὴν τοῦ γάλακτος φαντασίαν. Ποσειδώνιος πυρὸς σύστασιν, ἄστρου μὲν μανοτέραν· αὐγῆς δὲ, πυκνοτέραν.

Περὶ κομητῶν, καὶ διαττόντων, καὶ τῶν τοιούτων.

Τῶν Πυθαγορείων τινὲς μὲν ἀστέρα φασὶν εἶναι τὸν κομήτην· τῶν οὐκ αἰεὶ μὲν φαινομένων, διὰ δέ τινος διωρισμένου χρόνου περιοδικῶς ἀνατελλόντων, ἄλλοι δὲ ἀνάκλασιν τῆς ἡμετέρας ὄψεως εἰς τὸν ἥλιον παραπλησίως ταῖς κατοπτρικαῖς ἐμφάσεσιν.

Ἀναξαγόρας καὶ Δημόκριτος σύνοδον ἀστέρων δυοῖν, ἢ καὶ πλειόνων κατὰ συναυγασμόν. Ἀριστοτέλης τῆς ξηρᾶς ἐκ γῆς ἀναθυμιάσεως διάπυρον σύστασιν· κομήτας δὲ, ὅταν ἐπὶ πλεῖον ἐξανθῇ καὶ πρὸς πλείονα διαμένῃ χρόνον, τοῦ μὲν ἀστέρος φαινομένου κάτωθεν, τῆς δὲ κόμης ἄνωθεν ἐπιλαμπούσης· πωγωνίας δὲ, ὅταν ἔμπαλιν ὁ μὲν ἀστὴρ ἄνωθεν θεωρεῖται· ἡ δὲ κόμη κάτω παρεχομένης τῷ σχήματι πώγωνος ἔμφασιν.

Στράτων ἄστρου φῶς περιληφθὲν νέφει πυκνῷ καθάπερ

καθάπερ ἐπὶ τῶν λαμπτήρων γίγνεται. Ἡρακλείδης ὁ Ποντικὸς, νέφος μετάρσιον ὑπὸ μεταρσίου φωτὸς καταυγαζόμενον. ὁμοίως δ᾽ αἰτιολογεῖ πωγωνίαν, δοκίδας, κίονα, καὶ τὰ τούτοις συγγενῆ, καθάπερ ἀμέλει πάντες οἱ περιπατητικοὶ, παρὰ τοὺς τοῦ νέφους ταῦτα γίγνεσθαι σχηματισμούς. Ἐπιγένης πνεύματος ἀναφορὰν γαιομιγοῦς πεπυρωμένην. Βόηθος ἀέρος ἀνημμένου φαντασίαν. Ἀναξαγόρας τοὺς καλουμένους διάττοντας ἀπὸ τοῦ αἰθέρος σπινθῆρος δίκην καταφέρεσθαι, διὸ καὶ παραυτίκα σβέννυσθαι. Μητρόδωρος εἰς τὰ νέφη τοῦ ἡλίου βίαιον ἔμπτωσιν πολλάκις σπινθήρησιν. Ξενοφάνης πάντα τὰ τοιαῦτα νεφῶν πεπυρωμένων συστήματα ἢ καὶ κινήματα.

σπινθηρίζειν Plut.

Χαλδαίους μὲν δὴ λόγος περὶ κομητῶν ὧδε γιγνώσκειν· ὅτι εἰσί τινες καὶ ἄλλοι ἔξω τῶν φαινομένων πλανήτων ἀστέρες, οἱ τέως μὲν ἀφανεῖς εἰσιν, ὅτι ἐπὶ πολὺ ἄνω που ἀφ᾽ ἡμῶν φέρονται, ἤδη δὲ καὶ ταπεινωθέντες ὤφθησαν, ὥσπερ ξυνεσταλκότες εἰς τὰ ὅλα· καὶ τούτους κομήτας καλεῖν φίλον τοῖς οὐ γιγνώσκουσιν, ὅτι δὴ καὶ αὐτοὶ ἐκ τῶν πολλῶν ἀστέρων εἰσὶ, ἀφανίζουσαν δὲ δοκοῦσιν, ἐπειδὰν ἀναχωρῶσιν εἰς τὴν σφῶν χώραν διαδύντες εἰς τὸ βάθος τοῦ αἰθέρος, ὥσπερ ἐς τὸν τοῦ πελάγους βυθὸν οἱ ἰχθύες. Οἱ δ᾽, ἐπ᾽ ἀνέμου ἢ θυέλλης ἀναφέρεσθαι ἔς τινα γεώδη ἐς τὸν ἄνω ἀέρα, ἐδόξασαν, καὶ ταῦτα ἐκπυρωθέντα, καὶ εἰς τὴν δίνην ἐμπεσόντα τοῦ αἰθέρος, ξυμπεριινοστεῖν τῷ παντὶ ἐπὶ χρόνον· ἔπειτα ἀπαναλωθέντα πρὸς τοῦ πυρὸς ἀφανῆ καθίστασθαι· καὶ τοὺς κομήτας δὲ καλουμένους ἀστέρας ταῦτα εἶναι. Δημόκριτος δὲ, ὁ λόγος λεγόμενός ἐστιν ὡς κατ᾽ ἀντίλαμψιν τῶν πλανωμένων ἀστέρων πρὸς ἀλλήλους τε καὶ τοὺς ἀπλανεῖς, οἱ κομῆται συνίστασθαι δοκοῦσι, καθάπερ πλειόνων κατόπτρων ἀντιλαμπόντων σφισὶν, ἤδη τινὰ ὤφθη ἀστεροειδῆ φαντάσματα.

Ἀρρια.

Ἀρριανός φησιν· ὅσα δὲ μένει ἐπὶ χρόνον, τὰ μὲν οἷς συμπεριφέρεσθαι τῷ οὐρανῷ, τὰ δὲ, ἤδη τινὰ καὶ ἰδίαν πλάνην πλανώμενα, οὗτοί εἰσι οἱ κομῆται ἀστέρες, καὶ λαμπάδες, καὶ πωγωνίαι, καὶ πίθοι, καὶ δοκίδες, καθ᾽ ὁμοιότητα ἑκάστη ἰδίᾳ τῆς ἐπωνυμίας λεγόντα· τεκμήριον δὲ, ὅτι μὴ παραυτίκα διαφθείρεται· ὡς εἴγε ἐν τῷ ἀέρι ξυνίσταντο, ταχεῖα ἂν ἐγίγνετο αὐτοῖς ἐν τῷ ψυχρῷ ἡ σβέσις· ὅτι δὲ προσκαιρός ἐστιν ἡ φθορὰ αὐτῶν, ἐδήλωσε, καὶ ὅτι πρὸς ἄρκτοις μᾶλλον ἢ ἡ ἄλλη χώρα συνίστανται τοῦ οὐρανοῦ, καὶ τοῦτο ἐπ᾽ αὐτὸ φέρει, ἔνθα παχύς τι ὁ ἀὴρ μᾶλλον καὶ σύστασις οὐ ῥᾳδία φορηθῆναι πρὸς τὸν οὐ φέρονταί τι ἀτάκτως οἱ πολλοὶ τῶν κομητῶν ἐπινεμόμενοι, ἐμοὶ δοκεῖ, τὴν ἄνω ἀναφερομένην τροφὴν, καὶ ταύτῃ ἐφομαρτοῦντες· ἡ δὲ ἀρχὴ αὐτῶν, ἀστεροειδής ἐστι, καθότι εἰς σφαῖραν ξυνάγεσθαι πέφυκε πᾶν ὅσον πυροειδής. ἡ δὲ κόμη, αὐγοειδὴς τῶν μὲν, ὥσπερ ἄφετος ἀνειμένη, τῶν δὲ ἀνωθὺς οὖσα, καὶ ἐς τὸ ἄνω μᾶλλόν τι ἀπὸ τοῦ ἀέρος τεινομένη· οἱ δὲ πίθοι ὀλιγάκις πεφήνασι, καθότι πλείονος δέονται ξυναγωγῆς πυρός· ἤδη δὲ καὶ τῶν ἀπλανῶν ἔστιν οἳ ξὺν κόμῃ ἐφάνησαν, ἐπειδὰν περὶ αὐτοὺς ἀέρος ἀναφορὰ πυκνωθεῖσα, ξυναφὲς ἐργάσηται τῆς κόμης τὸ εἴδωλον, καθάπερ καὶ ἅλως ξυναφεῖς αὐτοῖς τοῖς ἄστροις φαίνονται· ἤδη δὲ καὶ πλησίον ἡλίου ξυστάντες κομῆται, οἱ μὲν ἔφθησαν ἀφανισθῆναι πρὶν τὴν γένεσιν αὐτῶν καταστῆναι ἐμφανεῖς οἱ δὲ ἐκ-

tum, vt in lucernis appareat: Heraclides Ponticus nubem sublimem sublimi lumine illustratam, ac similem reddit causam barbatarum trabium, columnarum, ac similium, vt omnes ferè Peripatetici, nubium videlicet figuras.

Epigenes credebat spiritum terreum incensum ac sublatum: Boethus aeris incensi visum.

Anaxagoras transuolantes stellas ab æthere tanquam scintillas deferri credebat, ideoq́ statim extingui: Metrodorus Solem violenter in nubes incidentem nonnunquam scintillare: Xenophanes hæc omnia nubium incensarum motus.

Chaldæi sic de cometis sentiunt, alias præterea vltra planetas esse stellas, quæ aliquandiu quidem lateant, quoniam longè sint à nobis remotæ, nonnunquam autem inferiùs delatæ appareant, ita re exigente; easq́ cometas ab iis vocari, qui nesciunt ipsos quoque stellas esse, euanescere autem videri, cùm in suam regionem, in ætheris profundum, velut in maris fundum pisces, referantur.

*Alij terrea quædam vento vel turbine in aerē ferri existimarunt, ibiq́ incensa & in ætheris *vertiginem illapsa, cum Vniuerso ad tempus aliquod circumferri, donec igne consumpto euanescant; atq. hæc dici cometas.*

illum pro dinum.

Democrito videbatur secundum fulgorem planetarum ad planetas vel alias stellas existere cometas, quemadmodum speculis aliquot inter se oppositis nonnũquam aliquid stellæ simile eluceat.

Arrian.

*Quæ autē ad tempus durant, partim cæli motu, partim propria conuersa, cometæ sunt, ac faces & barbatæ ac dolia, trabesq́, à similitudine nomē *adepta. Argumentum autem ex eo sumitur, quòd non statim intereunt. alioqui si in aere consisterent, celeriter in frigido extinguerētur. Neq. valdè diuturnum esse eorum motum inde colligitur, quòd ad Septemtrionem potius, quàm aliam cæli partem consistunt, *eoq́ præterea loco, qui densum habeat aerēm, ac firmam constitutionem, nec certo feruntur ordine, quòd alimentum in altum delatum depascantur, opinor, ac sequantur. Principium autem eorum cum stellis cognationem habet, quatenus in orbem solent ignea omnia contrahi. Coma verò radiat, nũc velut demissa, nunc erecta & sursum tendens ab aere. Dolia porrò rariùs apparent, quoniam ampliorem ignis congeriem requirunt. Quinetiam fixæ quædam comam habere sunt visa, cùm aer circa illas cōdensatus propinquā comæ reddidisset effigiem, quemadmodū et coronæ prope easdem apparent. Quid quod prope Solem constituti cometæ alij, priusquā clarè apparerent, euanuerunt, alij deficiente Sole*

λέγονται pro λεγόντα.

τὸ ἐπ᾽ αὐτὸ φέρει.

appa-

apparuerunt, alij Solis occasum secuti, cùm antè, vt sit verisimile, radiis illustrati non potuissent lucere. Quocirca locum hæc habebit opinio, per aeris densitatem ista expressa, inq; loca inferiora delata, per ætherem incensa, donec suppetat materia, consistere, & cum æthere circumferri, à forma nomen vnumquodq. adeptum, cometas quidem, quorum instar comæ ignis in orbem fulget; barbatas autem, quæ in alterutram partem barbæ speciem præferunt, dolia verò, quæ cum magnitudine ac rotunditate etiam profunditatẽ exprimunt. trabes deniq. ac faces ab harum rerum similitudine. Atque horum vnumquodque & manè lucet & vesperi. quædam etiam sunt ἀμφιφανῆ. ea verò dicuntur, quæ prima nocte ad occasum conspecta, nocte eadem ante diem ortum occuparunt.

De tonitruis, fulguribus, fulminibus, presteribus, ac typhonibus.

ANAXIMANDER *horum causam spiritui tribuit. illum namq. densa nube interceptum, cùm per vim eruperit, eruptionem quidem sonitum, discidium autem per nubis nigredinem fulgorem efficere: Anaximenes idẽ ait, addito maris exemplo, quod remis dissectum refulgeat: Metrodorus, cùm in densam nubem inciderit spiritus, collisione quidem sonitum efficere, plaga autem ac discidio fulgorem, motus verò velocitati adiuncto Solis feruore fulmẽ, cuius imbecillitas in presterem euadat.*

Anaxagoras putabat, cùm calidum in frigidũ incideret, siue æthereum in aereum, sonitu quidẽ tonitru efficere, nubis autem nigredine fulgur, multitudine verò lucis ac magnitudine fulmen, magis autem corporeo igne typhonem, magis denique nubilo presterem. quod idem sentiebat Archelaus, addito feruidorum lapidum in frigidam demissorum exemplo.

Xenophanes fulgur illustrata motu nube fieri censebat.

Empedocles lucem in nubẽ incidere credebat, & obstantem aerem expellere; cuius collisio quidẽ & occasus sonitũ efficeret, lumen autem fulgur, eiusq; vis fulmen. Diogenes ignem in nubem humidam incidere, cuius occasus quidem tonitru, lumen autem fulgur efficeret, accedente tamen spiritu: Heraclitus tonitrua quidem ad conuersiones ventorum ac nubium, et spiritus in nubes incidentes referebat, fulgura autem ad vapores incensos, presteres verò ad nubes incensas atq. extinctas.

Leucippus ignem densissimis nubibus interceptum violenter excidentem tonitru credit efficere: Democritus tonitru quidem inæqualem mistionem, quæ nubem, qua cõtinetur, deorsum protrudat; fulgur autem nubium coniunctionẽ, qua ignis efficientia per varios hiatus in vnum coa-

λείποντος ἡλίου, ἐξεφάνησαν· οἱ δὲ, καὶ ἐπικαταδύναντες τῷ ἡλίῳ προῆλθον, οἷα δὴ εἰκὸς, ὑπὸ τῶν αὐτοῦ καταλαμπανόμενοι τῷ μὴ ἐμφανεῖς καθίστασθαι· ὥστ' ἐκεῖνος ἂν κρατοίη ὁ λόγος ἀποφαίνειν ἀέρος πιλήματι ἀποθλιβόμενα καὶ ἐμπίπτοντα εἰς τὰ κατωτέρω καὶ τῷ ἀέρι ξυνάφῃ τοῦ αἰθέρος ἐξαφθέντα, ἔστ' ἂν ὑπάρχοι περὶ αὐτοὺς ἡ τροφὴ, ξυμμένειν τε καὶ ξυμπεριφοιτᾶν τῷ αἰθέρι· καὶ ταῦτα ὅπως ἂν τύχῃ ἀπὸ τῆς ἰδίας ἐπικληΐζεσθαι ἕκαστον, κομήτας μὲν, ἀφ' ὧν ὥσπερ κόμης εἰς τὰ κύκλῳ ἀπολάμπει αὐτοῦ, ἡ πυρὸς πωγωνίας δὲ, ἀφ' ὅτου εἰς πώγωνος σχῆμα ἀπήρτηται αὐτοῦ ἐς τὸ ἐπιβάτερα. πίθους δὲ ὅσα μεγάλα κυκλοτερῆ, καί τι καὶ βάθυ ἐν σφίσιν ἐξέφηνε· δοκοὺς δὲ ἂν καὶ λαμπάδας καθ' ὁμοιότητα τοῦ εἴδους τῷ ἐπιφημίζεσθαι· φαίνεται δὲ τούτων ἕκαστον, καὶ ἑσπέριον, καὶ ἑῷον, τὰ δὲ καὶ ἀμφιφανῆ φαίνεται· ἀμφιφανῆ δὲ κλήζουσιν ὅσα περὶ πρῶτα τῆς νυκτὸς φανέντα πρὸς δύσει ἔπειτα ἐν τῇ αὐτῇ νυκτὶ πρὶν ἡμέραν ἐπιλαβεῖν ἔφθη ἀνασχόντα.

Περὶ βροντῶν, ἀστραπῶν, κεραυνῶν, πρηστήρων, καὶ τυφώνων.

Ἀναξίμανδρος ἐκ τοῦ πνεύματος ταῦτ' εἶναι συμβαίνει· ὅταν γὰρ περιληφθὲν νέφει παχεῖ βιασάμενον ἐκπέσῃ τῇ λεπτομερείᾳ καὶ κουφότητι, τότ' ἡ μὲν ῥῆξις τὸν ψόφον, ἡ δὲ διαστολὴ παρὰ τὴν μελανίαν τοῦ νέφους τὸν διαυγασμὸν ἀποτελεῖ. Ἀναξιμένης ταὐτὰ τούτῳ, προστιθεὶς τὸ ἐπὶ τῆς θαλάσσης, ἥτις σχιζομένη ταῖς κώπαις παραστίλβει. Μητρόδωρος ὅταν εἰς νέφος πεπηγὸς ὑπὸ πυκνότητος ἐμπίσῃ πνεῦμα, τῇ μὲν συνθραύσει τὸν κτύπον ἀποτελεῖ, τῇ δὲ πληγῇ καὶ τῷ σχισμῷ διαυγάζει, τῇ δ' ὀξύτητι τῆς φορᾶς προσλαμβάνον τὴν ἀπὸ τοῦ ἡλίου θερμότητα κεραυνοβολεῖ· τοῦ δὲ κεραυνοῦ τὴν ἀσθένειαν εἰς πρηστῆρα περιίστησι.

Ἀναξαγόρας, ὅταν θερμὸν εἰς τὸ ψυχρὸν ἐμπέσῃ, τοῦτο δ' ἐστὶν αἰθέριον μέρος εἰς ἀερῶδες, τῷ μὲν ψόφῳ βροντὴν ἀποτελεῖ, τῷ δὲ παρὰ τὴν μελανίαν τοῦ νέφους χρώματι, τὴν ἀστραπήν· τῷ δὲ πλήθει καὶ μεγέθει τοῦ φωτὸς, τὸν κεραυνόν· τῷ δὲ πολὺ σωματωτέρῳ πυρὶ, τὸν τυφῶνα· τῷ δὲ νεφελομιγεῖ, τὸν πρηστῆρα. Ἀρχέλαος τοῦτο λέγει, παρατιθεὶς τὸ τῶν διαπύρων λίθων καθιεμένων ἐς ψυχρὸν ὕδωρ πάθος.

Ξενοφάνης ἀστραπὰς γίνεσθαι λαμπρυνομένων τῶν νεφῶν κατὰ τὴν κίνησιν. Ἐμπεδοκλῆς ἔμπτωσιν φωτὸς εἰς νέφος ἐξείργοντος τὸν ἀντέχοντα ἀέρα, οὗ τὴν μὲν σβέσιν καὶ τὴν θραῦσιν, κτύπον ἀπεργάζεσθαι· τὴν δὲ λάμψιν, ἀστραπήν· κεραυνὸν δὲ, τὸν τῆς ἀστραπῆς τόνον. Διογένης ἔμπτωσιν πυρὸς εἰς νέφος ὑγρὸν, βροντὴν μὲν τῇ σβέσει ποιεῖν, τῇ δὲ λαμπηδόνι τὴν ἀστραπήν· συναιτιᾶται δὲ καὶ τὸ πνεῦμα. Ἡράκλειτος, βροντὴν μὲν κατὰ συστροφὰς ἀνέμων καὶ νεφῶν καὶ ἐμπτώσεις πνευμάτων εἰς τὰ νέφη, ἀστραπὰς δὲ κατὰ τὰς τῶν θυμιωμένων ἐξάψεις, πρηστῆρας δὲ, κατὰ νεφῶν ἐμπρήσεις καὶ σβέσεις. Λεύκιππος πυρὸς ἐναποληφθέντος νέφεσι παχυτάτοις ἔκπτωσιν ἰσχυρὰν βροντὴν ἀποτελεῖν ἀποφαίνεται. Δημόκριτος, βροντὴν μὲν ἐκ συγκρίματος ἀνωμάλου τὸ περιειληφὸς αὐτὸ νέφος πρὸς τὴν κάτω φορὰν ἐκβιαζομένου· ἀστραπὴν δὲ σύγκρουσιν νεφῶν, ὑφ' ἧς τὰ γεννητικὰ τοῦ πυρὸς διὰ τῶν πολυκένων ἀραιωμάτων τῇ παρατρίψει εἰς τὸ αὐτὸ συναλιζόμενα,

λιζόμενα δύνηται· κεραυνὸν δέ, ὅταν ἐκ καθαρωτέρων καὶ λεπτοτέρων, ὁμαλωτέρων τε καὶ πυκναρμόνων, καθάπερ αὐτὸς γράφει, γεννητικὸν τοῦ πυρὸς ἡ φορὰ βιάσηται· πρηστῆρα δ', ὅταν πολυκενώτερα συγκρίματα πυρὸς ἐν πολυκένοις κατειχθέντα χώραις καὶ περιεχόμενα ἰδίοις σώματος ποιούμενα τὴν πολυμιγῆ τῇ ἐπὶ τὸ βάρος ὁρμὴν λάβῃ.

Χρύσιππος ἀστραπήν, ἔξαψιν νεφῶν ἐκτριβομένων ἢ ῥηγνυμένων ὑπὸ πνεύματος, βροντὴν δὲ εἶναι τὸν τούτων ψόφον. ἅμα δὲ γίγνεσθαι ἡμᾶς διὰ τὸ τὴν ἀκοὴν ὀξυτέραν εἶναι τῆς ὁράσεως· ὅταν δ' ἡ τοῦ πνεύματος φορὰ σφοδροτέρα γένηται καὶ πυρώδης, κεραυνὸν ἀποτελεῖσθαι· ὅταν δὲ ἄθρουν ἐκπίσῃ τὸ πνεῦμα, καὶ ἧττον πεπυρωμένον, πρηστῆρα γίγνεσθαι· ὅταν δέ τι ἧττον πεπυρωμένον, τυφῶνα.

Ἀριστοτέλης ἐξ ἀναθυμιάσεως καὶ τὰ τοιαῦτα γίγνεσθαι τῆς ξηρᾶς, ὅταν τύχῃ μὲν τῇ ὑγρᾷ, παραβιάζηται δὲ τὴν ἔξοδον· τῇ μὲν παρατρίψει καὶ τῇ ῥήξει τὸν ψόφον, τῇ δ' ἐμφάσει τῆς ξηρότητος τὴν ἀστραπὴν παρίστησι. Στράτων θερμοῦ ψυχρῷ παρεισπεσόντος ὅταν ἐκβιασθὲν τύχῃ, τὰ τοιαῦτα γίγνεσθαι· βροντὴν μὲν ἀπορρήξει· φάει δέ, ἀστραπήν· τάχει δέ, κεραυνόν· πρηστῆρας δὲ καὶ τυφῶνας τῷ πλεονασμῷ τῷ τῆς ὕλης, ἣν ἑκάτερος αὐτῶν ἐφέλκεται, θερμοτέρα μὲν ὁ πρηστήρ, ταχυτέρα δὲ ὁ τυφών.

Οἱ στωϊκοὶ βροντὴν μὲν προσκρουσμὸν νεφῶν· ἀστραπὴν δέ, ἔξαψιν ἐκ παρατρίψεως· κεραυνὸν δέ, σφοδροτέραν ἔκλαμψιν· πρηστῆρας δέ, νωθεστέραν.

Ἀριστοτέλης τυφῶνας δ', ὅταν ἐκνεφίας εἰλούμενος καταφέρηται· τὸ γὰρ πνεῦμα κωλυόμενον μὲν εἰς ὀρθὸν ἰέναι παρ' ἀντιπερίστασιν, ἢ ψύχος, ἢ τάχος, ἤ τινα ἄλλην αἰτίαν, ἐλαυνόμενον δ' ὑπὸ τοῦ κατόπιν ἐπιόντος ἀναστρέφει εἰλούμενον ἐν τῷ νέφει κύκλῳ καὶ συγκατάγει ἐπὶ γῆν ἑαυτῷ τὸ νέφος· εἶθ' ὅτῳ ἂν ἐντύχῃ, φερόμενον σφοδρῶς ἀναρπάζειν, καὶ πάλιν ἀπορρίπτειν, τοῦτο γὰρ εἶναι τὸ πάθος, οἷον ἐκνεφίας ἄπεπτον. πρηστῆρας δ', ὅταν βιαίως κατιὸν ἐκπυρωθῇ τὸ πνεῦμα κατὰ τὴν φοράν, ἐμπίπρασθαι τὸν ἀέρα τυρώσει χρωματιζόμενον, διὸ καὶ νυκτὸς ἐκλάμπειν ἀναρπάζειν τε καὶ περιφέρειν ὁμοίως καὶ τούτους, ὥσπερ πυρώδεις ὄντας τυφῶνας. κεραυνὸν δ', ὅταν πολὺ καὶ λεπτὸν περιληφθὲν ἐν τοῖς νέφεσι πνεῦμα πυρωθὲν ἐκλυθῇ, καὶ μετ' ἰσχυρᾶς ἐπὶ γῆν κατασκήψῃ φορᾶς. ἐὰν μὲν ᾖ πανυλεπτόν, καὶ διὰ τοῦτο ἐπικαιρὸν ἐπικαῖον, ἀργῆτα λέγεσθαι κατὰ τοὺς ποιητάς. ἐὰν δ' ἧττον ἐπικαῖον, ψολόεντα· τὸ μὲν γὰρ διὰ τὴν λεπτότητα, καὶ πρὶν ἐκπυρῶσαι, φερόμενον οἴχεσθαι διὰ τάχους· ὡς μηδ' ἐπιμελαίνειν τι τῶν ὑποκειμένων· τὸ δὲ οἱ κατὰ βαρύτερον ἐπιχρῶσαι μὲν ὥστ' ἐπ' αἰθάλῃ, παρεκθλῖψαι δέ, μηδὲν ἀφανίσαντα· διὸ καὶ τὰ μὲν ἀντιτυπήσαντα φλέγεσθαι, τὰ δ' εἰς τὰς ἑαυτῶν ἀραιότητας ὑποδεξάμενα, μηδὲν πάσχειν. ἤδη γοῦν ἀσπίδος πληγείσης τακῆναι μὲν τὸ χάλκωμα, τὸ δὲ ξύλον μηδὲν παθεῖν, φθάσαντος διὰ τὴν τῆς ὕλης μανότητα πρὸ τῆς καύσεως, ἀλλ' οἷον τύχος ἐποίησε. περὶ μὲν οὖν τούτων διετάττετο οὕτως.

Ὅτι δὲ ξηροὶ ἀτμοί, ῥυέντες μὲν εὐθὺς ἀνέμους εἰργάσαντο· ἐν νέφει δὲ ἀποληφθέντες, ἔπειτα ῥηγνύντες βίᾳ τὸ νέφος, βροντάς τε, καὶ ἀστραπὰς ἐξ-

Ἔξαψιν Plut.

Ἀριστοτ.

cta percolet; fulmen verò motum violentum puriorum, ac tenuiorum, atque æquabiliorum ignis efficientium; presterem deniq. rariores ignis mistiones in rarioribus locis interceptas, grauitate per mistionis varietatem propendentes.

Chrysippus fulgur quidem nubium extritarũ vel spiritu ruptarum inflammationem ponebat, tonitru autem sonitũ. quæ quamuis simul fiant, non tamen simul à nobis sentiri, quòd auditu sit visus acutior. Cùm porrò spiritus violentior atq. igneus extiterit, fulmen gigni. cumq́; vno impetu spiritus erumpat, si minùs fuerit igneus, presterẽ; si minimè, typhonem creare.

Aristoteles etiam hæc de exhalatione sicca componebat, quæ cùm in humidum illapsa violenter erumperet, attritu quidem & ruptura sonitum, siccitate autem incensa fulgur crearet.

Strato calore frigori per vim cedente hæc euenire credebat, ruptura quidem tonitru, lumine autem fulgur, velocitate verò fulmen; materiæ deniq. multitudine presteres ac typhones, tamen vt calidiorem illi, hi densiorem attrahant.

Stoici tonitru quidem nubium collisionem credebant, fulgur autem de attritu accensionem, fulmen autem vehementiorem splẽdorem, presterem deniq. hebetiorem.

Aristoteles typhonès quidem fieri censet, cùm ecnephias contortus deorsum fertur. spiritũ enim vetari quidem per oppositum spiritum, vel frigus, vel densitatem, vel aliam causam rectà procedere, à posteriori autem incitatum retrocedere intra nubem contortam, eamq́; secum in terram deferre, itaq́; quicquid occurrerit, violenter in altũ subiicere. hanc siquidem illius esse tanquam crudi ecnephiæ vim: presteres verò, cùm violenter delabens spiritus motu accenditur pariter enim aerem accendi, ideoq́; nocte etiã fulgere, ac subiicere quoq. hos, velut igneos typhones: fulmen autem, cùm multus ac tenuis in nubibus interceptus spiritus incensus in terrã violenter erumpit. is porrò si valdè tenuis fuerit, ideoq́; ardentior, candens illud à poetis dici, sin minùs ardens, fuliginosum. nam illud quidem propter tenuitatem prinsquã accendat euanescere, sic vt nihil subiectum denigret, hoc autem grauius inficere quidem tanquam fuligine, verùm absq. noxa deferri, ideoq́; resistentia quidem amburi, raritatem autem suscipientia non lædi. quocirca scuto quondam tacto, ferrũ quidem periisse, ligno autẽ nihil accidisse; propter materiæ raritatem fulmine, prinsquam accenderet, euanescente. Atq. hæc quidem hactenus.

Meteorol. 3. ... pro ...

ψύχει pro τάχει.

Sicci autem vapores profluentes quidem statim ventos generant, in nube autem conclusi, posteaq́; per vim erumpentes, tonitrua ac fulgura: longius autem

Arist.

autem procedentes igni quidem existunt fulmina; minùs autem ignei, presteres; minimè verò, typhones; lentissimi denique ecnephiæ. communi quidem nomine, quoniam in terram incumbunt, incubi vocantur. Neq. verò similiter omnes nubium cauitates ac rupturæ, eosq. sequentia tonitrua se habent. At fulgur rumpendo exteritur, halitumq. qui latè splendeat, incudit. Et quanquam post tonitru fulgur existat, tanto tamen sentitur velociùs, quanto aspectus est auditu velocior, dum alter accedentem sonum percipit, alter ad obiectum ipse tendit. Tonitru porrò spiritum esse, hinc licet colligere, quòd & opposita rumpit, & eò penetrat, quò nihil præter spiritum penetrare potest. Igneum quoque spiritum esse cùm hoc ipsum docet, tum, si cui propè accidat, visus. siquidem ignis apparet, neque non effectus indicat. Amburit enim proxima quæque, vel penitus accendit, nec obscura relinquit ignis vestigia. Ecnephias porrò cùm versatus nube rupta exciderit, typhon vocatur. versatur autem hoc pacto: Cùm interceptus in nube spiritus per nubis densitatem, vel frigus auersans, vel alium spiritũ oppositum rectà vetatur procedere, tum contortus & in se conuersus iterum sursum fertur, recto cursu ab inferioribus impedito. Neque aliter se habent fluminum vortices. Nam rectà quidem decurrens aqua nunquam torqueretur: verùm impedito cursu reuertitur, ac reuertens in orbem torquetur, quoniam rectà reuerti nequit. Typhones verò magnam etiam nubis partem secum deferunt, terraq. illapsi occurrens omne subuertunt, impetu repulso, ita vt naues quondam oneratas longè supra aquam euexerint. Iam fulminum variæ sunt species, ac nomina. alia s. quidem fuliginosa vocantur, alia cãdentia; quæq. incumbunt, incubi; quæq. cum ignis vortice deferuntur, procellæ, & spiræ, quæ in hanc formam desiliunt. Et quæ quidem velociter deferuntur, si quid accensu facile offendunt, id antequam penitus accendant, transiliunt, & semustum relinquunt: alia verò fuligine tantùm relicta euanescunt. Ac uelociora quidem quadam nocent quicquam, verùm rara si occurrant materia, licèt accensu facili, dumtaxat pertranseunt; verùm resistentem noctam penitus conficiunt. Quocirca cistam quidem de molli ligno factam contingentia sine noxa pertransierunt, aurum verò inclusum, cui inhæserunt, liquefecerunt. Similiter & vestem dumtaxat attriuerunt, & latere penetrato, quod inclusum erat, confecerunt. Horum denique omnium splendida quidem vocantur cãdentia; quæ

φήναιτο. ἐμπίπτοντες δὲ ἐπιμέγα, διάπυροι μὲν, κεραυνοί· ἀθρόοι δὲ καὶ ἡμίπυροι, πρηστῆρες· ὅσοι δὲ ἔρημοι πυρὸς, τυφῶνες· οἱ δὲ ἔτι ἀνειμένοι, ἐκνεφίαι. κατασκήψαντες δὲ εἰς γῆν, ξύμπαντα ταῦτα σκηπτοὶ κλήζονται· οὐδὲ ἴσον δὲ αἱ κοιλότητες τῶν νεφῶν καὶ ῥήξεις καὶ ἐπ᾽ αὐταῖς βρονταὶ ἔχουσιν· ἀστραπὴ δὲ ὑπὸ ῥήξεως ἐκτρίβεται, καὶ ἐξαπίνης τὸ πνεῦμα ὡς ἐκλάμψαι ἐπιμέγα· καὶ γίγνεται μὲν ἀστραπὴ μετὰ βροντὴν, ὀξυτέρα δὲ ταύτης δὴ, ὅσον ὄψις ἀκοῆς ὀξύτερον· καὶ ὅτι ἀκοὴ μὲν πελαζούσης τῆς φωνῆς αἰσθάνεται, ὄψις δὲ ἐπὶ τὸ ὁρώμενον αὐτὸ ἐκπέμπεται. κεραυνὸς δὲ καθ᾽ ὅτι πνεῦμα ἐστὶ, ἀπὸ τῶνδε τεκμηριοῦσθαι παρέχει. ῥήγνυσί τε ἔς τινα τῶν ἐντυχόντων, καὶ ἀφικνεῖσθαι οἷά τε καὶ διαπνεῖσθαι, ὅθεν οὐκ ἄν τι ἄλλο ὅτι μὴ πνεῦμα διέλθοι. ὡς δὲ ἔμπυρον πνεῦμα ἐστὶ, δηλοῖ μὲν τοῦτό γε, καὶ ἡ ὄψις ὅτῳ ἐγγὺς κατέσκηψε, πῦρ γὰρ φαίνεται· ἤδη δὲ, καὶ ἀφ᾽ ὧν ἐργάζεται ἐδήλωσε· περιφλέγει γὰρ ἔς τινα τῶν πελασάντων, τὰ δὲ καὶ ἐξαπίνης πάντη, καὶ ἀπολείπεται ἀπ᾽ αὐτοῦ ἴχνη, οἷον δὴ ἐπὶ πυρὶ ἐκκαύσαντι ἐσβεσμένου. ἐκνεφίας δὲ ἄνεμος ἐστὰν ἀνειμένος ἐκπέσῃ, νέφους ῥαγέντος, τυφὼν κλήζεται· γίγνεται δὲ ἡ δίνη ὧδε. ἐπειδὰν κάλυμμα ἐν τῷ νέφει ἐγερθῇ, τῷ μὴ οὐκ ἐπ᾽ εὐθὺ ἐκπεσεῖν τὴν πνοὴν, ἀναστρέφεταί τι καὶ ἀνειλεῖται ἐς αὐτὸν, εἴργεται ὑπὸ πάχυς νεφέλης ἐπ᾽ εὐθὺ ἐκπεσεῖν, ἢ κρύους ἀποστρέψαντος, ἢ ἀντιπεσούσης ἄλλης πνοῆς· ὅτῳ τι καὶ πρὸς ἄλλο τι ἄλλῃ αἱ θύελλαι ἀναστρέφονταί τε, καὶ ἀνειλούμεναι αὖθις ἄνω ἀναφέρονται ἐπειδὰν δὲ ἐγείρας τόπος τῆς γῆς ἀνακόψῃ τῆς πνοῆς τὴν ἐπ᾽ εὐθὺ ὁρμὴν· καὶ δῖναι ἐν τοῖς ποταμοῖς ὕδατος, ταυτὸ τοῦτο εἰσί. φερόμενον γὰρ εὐθεία τὸ ὕδωρ, οὔποτ᾽ ἂν δινηθείη· ἀντιπεσόντος δὲ ἄλλοτι ἄλλου πρὸς τὴν φορὰν ἀναστρέφει ἡ ῥοὴ, ἀναστραφεῖσα δὲ ἐς κύκλον ἐπικάμπτει ἐπὶ τῇ ῥύμῃ, ὅτι μὴ οἷά τε ἐπ᾽ εὐθὺ ἐς τὸ ἔμπαλιν ἐκφέρεσθαι· οἱ δὲ τυφῶνες καὶ τῆς νεφέλης τὸ πολὺ ἐς τὸ κάτω συνέλικι ἐπάγουσιν ἅμα σφισὶ καὶ προσπεσόντες τῇ γῇ ἀναρπάζουσιν ὅτῳ ἂν ἐντύχωσιν, ἀντικοπτομένης τῆς ῥύμης, ὡς ξὺν τῇ αὐτῇ ἕλικι ἀναστρέφεσθαι, ὥστε καὶ ναῦς ἤδη ἅμα τῷ φόρτῳ ἐκπεσόντες ἐξῆραν ἐπὶ μέγα ἔξω τῆς θαλάσσης. κεραυνῶν δὲ πολλαὶ ἰδέαι τε καὶ ὀνόματα εἰσίν· οἱ μὲν αὐτῶν ψολόεντες, οἱ δὲ ἀργῆτες κλήζονται· σκηπτοί τε ὅσοι κατασκήπτουσι, καὶ αἰγίδες ὅσοι ἐν συστροφῇ πυρὸς καταφέρονται, ἕλικες δὲ ὅσοι ἐς ἑλικοειδῆ γραμμὴν διάττουσι. καὶ δὴ ὅσοι μὲν καὶ πάντη ὀξέως ἐκπεσόντες, ὕλῃ ἐνέτυχον καυσίμῳ, ὅσοι δὲ ξὺν πλήθει τῷ τάχα κατέσκηψαν, οὗτοι πρὶν ἐκκαῦσαι διῇξαν· ὥστε ἡμίπυροι δόξαν, ὑπειλῆφθαι· οἱ δὲ καὶ αἰθαλώσαντες μόνον διῆλθον· οἱ δὲ καὶ τῶν ὀξύτεροι οὐδὲ ἓν ἐξεργάσασθαι ἔφθασαν, ἀλλὰ ἀραιᾷ μὲν ὕλῃ, εἰ καὶ πάνυ καυσίμῳ ἐντυχόντες, διεχώρησαν μόνον· ἀντιτύπῳ δὲ εἰ πελάσειεν ἐνεχθέντες, κατειργάσαντό τε αὐτὴν καὶ διέφθειραν· ὥστε κυτίδος μὲν ξύλα μαλθακὰ ἁψάμενοι διῇξαν ἀπαθῆ ἀπολιπόντες τὸ δὲ χρύσιον ἔτηξαν τὸ ἔνδον, ὅτι ἐχέθησαν ἐν τῷ χρυσίῳ· καὶ χιτώνια ἤδη οὐκ ἔκαυσαν, ἀλλὰ ἐβρίχωσαν μόνον· καὶ διὰ μὲν κεράμου διῆλθον, τὸ δὲ ἔνδον ἐν αὐτῷ διεφόρησαν. τούτων ξυμπάντων οἱ μὲν λαμπροὶ ἀργῆτες· ὅσοι τε καταβαλώσαντες τὰ πελάσαντά σφι-

σιν

σιν ἐπαύσαντο, οὗτοι δὲ ψολόεντες, ἐπὶ τοῦ ἔργου ἐκλήθησαν. καὶ οἱ μὲν δι' εὐθείας κατασκήψαντες ἐς τοὔμπαλιν τῇ αὐτῇ εὐθείᾳ ἀνῆξαν· οἱ δὲ ἐκ πλαγίου ἐμπεσόντες πρὸς ἴσην γωνίαν ἄνω ἀναφέρονται· καὶ οἱ μὲν ἁπλοῖ, οἱ δὲ διπλοῖ κατέσκηψαν· πλεῖστοι δὲ ἦρος καὶ μετοπώρου, καὶ ἅμα βιαιότεροι περὶ τὰ πλειάδος καὶ ἀρκτούρου ἐπιτολήν, ὅτι ἐν κινήσει καὶ παθήμασι πολυειδέσιν ὁ ἀὴρ τῇ ἐν τῇ ὥρᾳ ἐστίν, οἷα δὴ οὔτε ὑπὸ κρύους πεπηγώς, οὔτε ὑπὸ θερμοῦ ἡλίου ἐκκεκαθαρμένος. τοιγάρτοι καὶ ἐν χώραις οὔσαις νιφετώδεσι καὶ ψυχραῖς, καὶ ὅσαι ἂν κεκαυμέναι ὑπὸ ἡλίου κατασκήπτουσιν, οἱ κατασκήψαντες ἐν θαύματι ἀναφέρονται, καθάπερ ἐν κελτοῖς καὶ παρ' αἰγυπτίοις.

[margin: μίλωνος φυσικοῦ.] Ἀστραπαὶ εἰσὶ διτταί, ἡ μὲν ἡμερινή, ἡ δὲ νυκτερινή. γίγνεται δὲ ἡ μὲν ἡμερινὴ ὑπὸ τοῦ ἡλίου, ὅταν ῥαγῇ τὸ ὕδωρ ὑποφαινομένου αὐτοῦ, λαμπρὰ δὲ ὡς φαίνεται, ὥσπερ καὶ νυκτερινή, ὅτι ἐν φάει γίγνεται· ἡ δὲ νυκτερινὴ ὑπὸ τῶν ἄστρων, ὅταν ῥαγῇ τὸ ὕδωρ ὑποφαινομένων αὐτῶν; λαμπρὰ δὲ φαίνεται, ὅτι ἐν ζόφῳ γίγνεται.

Περὶ ἴριδος, περὶ ἅλω, καὶ παρηλίου, καὶ ῥάβδων.

Τῶν μεταρσίων παθῶν, τὰ μὲν καθ' ὑπόστασιν, οἷον γίγνεται ὄμβρος, χάλαζα· τὰ δὲ κατ' ἔμφασιν ἰδίαν οὐκ ἔχοντα ὑπόστασιν, αὐτίκα γοῦν πλεόντων ἡμῶν ἡ ἤπειρος κινεῖσθαι δοκεῖ. ἔστιν οὖν κατ' ἔμφασιν ἡ ἶρις.

[margin: Θαύμαντος Plut.] Πλάτων φησὶ Θαύμαντος αὐτὴν γενεαλογῆσαι τοὺς ἀνθρώπους διὰ τὸ θαυμάσαι ταύτην ὅμηρος.

* καὶ οἱ ὀφθαλμιῶντες δὲ τοῦτο πάσχουσι, ὅταν εἰς τὸν λύχνον ἀποβλέψωσι.

[margin: ἀριστοτέλους.] Ἅλω δὲ καὶ ἴριδας, καὶ παρήλιον, καὶ ῥάβδους, καὶ τ' ἄλλα τὰ κατὰ τὰς ἐμφάσεις, ὑπὸ μὲν τῆς αὐτῆς αἰτίας γίγνεσθαι· πάντα γὰρ εἶναι ταῦτα τῆς ὄψεως ἀνάκλασιν· διαφέρειν δὲ τοῖς τόποις καὶ ἀφ' ὧν καὶ ὡς ἔχει συμβαίνειν τὴν ἀνάκλασιν. ἅλω μὲν οὖν καὶ παρήλιον φαίνεσθαι καὶ περὶ σελήνην, καὶ καθόλου περὶ τὰ λαμπρὰ τῶν ἄστρων, καὶ οὐδὲν ἧττον ἡμέρας καὶ νυκτός, καὶ περὶ μεσημβρίας, ἢ δείλην· ἕωθεν δ' ἔλαττον, πολλάκις καὶ περὶ δύσιν. συμβαίνει δέ, ὅταν διὰ τῆς πέριξ ἀέρος ἀχλυώδους ὄντος ἐπιλάμπηται τὸ φῶς αὐτοῦ, ὥστε ὅλον ὁρᾶσθαι τὸν κύκλον· περιφανὴ γὰρ εἶναι καὶ σφαιρικὴν κατὰ τὴν ἔμφασιν τὴν ἅλω· ταύτης δὲ τὴν μὲν ἐπιμένουσαν, ὑετὸν σημαίνειν, τὴν δὲ διασπασθεῖσαν πνεῦμα, τὴν δὲ μαραινομένην εὐδίαν· ἶριν δὲ περὶ μόνον ἥλιον καὶ σελήνην συνίστασθαι, γίγνεσθαι δὲ καὶ νύκτωρ, ὀλιγάκις, καὶ πάνυ διὰ πολλοῦ· κύκλον δὲ μηδέποτε φαίνεσθαι τῆς ἴριδος, μηδὲ μεῖζον ἡμικυκλίου τμῆμα· ποικίλην δ' ἔχειν τὴν ἔμφασιν, διὰ τὸ κατὰ τὴν τῆς ὄψεως ἀνάκλασιν φοινικοῦν, καὶ πράσινον, καὶ ἁλουργὸν προσπίπτειν ἀπ' αὐτοῦ χρῶμα, φοινικοῦν μέν, ὅτι τὸ λαμπρὸν ἐν μέλανι, καὶ διὰ μέλανος ὁρώμενον, τοιαύτην ἀποτελεῖ χρόαν· τοῖς γοῦν θεωμένοις τὸν ἥλιον δι' ὁμίχλης, ἢ διὰ καπνοῦ δοκεῖν ἐρυθρὸν εἶναι, ἢ καὶ τὴν ἀπὸ τῶν χλωρῶν ξύλων φλόγα φοινιγμένην, διὰ τὸ πολὺν αὐτῇ καταμεμῖχθαι καπνόν· κατὰ τοῦτο δὴ καὶ τὴν ἐξωτάτω καὶ μείζονα περιφέρειαν τῆς ἴριδος ἐμφαίνει τὸ φοινικοῦν· διὰ γὰρ μέλανος τοῦ νέφους ἀνακλωμένην τὴν ὄψιν πρὸς λαμπρότατον ὄντα τὸν ἥλιον ἀντιλαμβάνεσθαι τοιοῦδε χρώματος· τὴν δὲ δευτέραν καὶ τρίτην περιφέρειαν διὰ τὴν τῆς ὄψεως ἀσθένειαν τότε πράσινον καὶ τὸ ἁλουργὲς ἐμφαίνειν. τὸ δ' ὅ-

autem fuliginem dumtaxat inferunt, ab eo fuliginosa dicuntur. Iam alia quidem rectè delata aquè rectè referuntur: alia vero obliquè illapsa rectis angulis referuntur. alia quoq. simplicia delabuntur, alia duplicia. Pleraq. porrò Vere & Autumno cernuntur, ac violentiora circa Pleiadum & Arcturi exortum, quòd ea tempestate variè aer afficiatur, tanquam nec frigore concretus, nec æstu purgatus. Quamobrem in regionibus valdè frigidis & calidis fulmina pro prodigiis habentur, velut apud Celtas & Aegyptios.

Duplicia fulgura sunt, alia diurna, alia nocturna. Ac diurna quidem per Solem eueniunt, cùm eo lucente aqua rumpitur; eaq. splendent, vt & nocturna, quoniam luce cernuntur: nocturna verò per stellas, cùm illis lucentibus eadem rumpitur; eaq. quoniam in tenebris eueniunt, splendent. [margin: Milonis Physici.]

De iride, corona, parelio, & virgis.

CÆLESTIVM *euentorũ alia subsistunt reipsa, vt imber & grando, alia videntur, nec reipsa subsistunt, quemadmodum nobis nauigantibus terra videtur moueri. ac tale quoddam est Iris.*

Plato eam Thaumantis filiam poetas ait dixisse, quòd eam admirarentur.

• idemq. experiuntur, qui lippos habent oculos, cùm lucernam aspexerint. [margin: Quæ hic desunt, ex Plutarcho, vnde desumpta videntur, possunt suppleri.]

Aristoteles coronam & iridem, ac parelium atque virgas, & reliqua similia eandem quidem causam ait habere, nempe visum reflexum, locis autem ac modis reflexionis differre. Coronã quidem & parelium tum circum Lunam, tum circũ quasuis stellas splendidas apparere, nec minùs die quàm nocte, adeoq. circa meridiem aut vesperem, rariùs autem manè, ac sæpe ad occasum: nasci autem, cùm per aerem caliginosum lumen illarum diffunditur, sic vt totus appareat circulus. globosam enim esse coronæ figuram, eamq. si maneat, pluuiam portendere: si frangatur, ventum; si euanescat, serenitatem. Irim porrò dumtaxat circum Solem & Lunam cerni, atque etiam nocte nonnunquam, verùm circulum nunquam habere, aut maius semicirculo segmẽtum. Variam autem habere figuram, quòd secundum visus reflexionem puniceus, caeruleus, ac purpureus ab ipsa reddatur color; puniceus quidem, quòd splendor per nigrũ apparens talem colorem pariat, quemadmodum Sol iis, qui cùm per caliginem vel fumum intueãtur, rubere videatur, aut viridiũ lignorum flamma punicea, quoniam fumi multum habeat. eodẽ igitur pacto extremum & maximum iridis ambitum puniceum videri, quòd per nigram nubem reflexus ad splendidissimum Solem visus talem apprehendat colorem; reliqui autem duo, caeruleus ac purpureus, propter visus imbecillitatem. atque [margin: Meteorol. 3.]

in vniuersum Solis vel Lunæ segmenti speciem esse irim, in caua ac roscida nube circuli forma conceptam. nec non duplicem aliquando cerni, sic vt posterior priori planè videatur contraria, situq́ colorum opposita. Parelia denique & virgas eadē quidem de causa fieri, non tamen eodem nubis habitu. siquidem cùm illa caliginosa & æqualis, ac præterea aquosa densaq́ fuerit, sū visum tanquam à leui speculo ad Solem reflexum candorem concipere. Solem enim & colore & figura referre parelium. ac nubis quidem æqualitatem coloris esse causam, reflexionem autem visus ad nubē tāquam speculum, figuræ, cùm illa vt nondum sit aqua, ita confestim sit in eam mutanda ideoq́ pluuiam portendere parelium, magisq́ ad Austrum quàm ad Boream situm, quòd illius aer faciliùs, quàm huius, in aquā transeat. denique & oriente & occidente Sole cerni, non aliè, sed obliquè sita, vt & virgas, quæ propter nubium inæqualitatem sic vocentur.

De nube, pluuia, niue, grandine.

Plat. Tim.

IGNI *sæpe miscetur aquæ pars tenuis, atque humida fluidaq́, sic ideò nominata, quia lubrica terra circumfluit: mollis quoque ob eam causam, quia eius bases minùs firmæ stabilesq́ quàm terræ, facilè cedunt atque labuntur. Hæc quando ab igni destituta, ab aere quoq; deseritur, fit leuior, & alienis expressis cogitur in seipsam: atque ita compacta, si supra terram id contigerit, grando fit: si in terra, glacies. quæ quidem tunc fiunt, cùm riget concrescitq́ maximè gelu: cùm verò minùs congelatur, si supra terram accedit, nix: sin in terra ex rore crassior facta, pruina.*

De ventis.

ARISTOTELES *exhalationis siccæ primum impetum dixit. nec rarò siccam cum humida permisceri. ac ventum quidem de multis exhalationibus componi, quoniam is multitudo sit vaporis sicci in terram delati: Ecnephias autem, cùm eadē condensata maiorem nubis partem impetus violentia ad se attraxerit. celeritatem enim excrementi violentiam vento conciliare.*

De terræ motu.

PLATO *motus omnis sex formas ponit, superiorem & inferiorem, dextrum et sinistrum, anteriorem & posteriorem; quorū nullo terram moueri contingat, vt æquissimo loco sitā. quapropter ipsam quidem immobilem consistere, tanquam cui nihil extet, quo propendeat, loca autem quædam eius rariora concuti.*

Meteorol. 2.

Aristoteles motus, mugitus, & hiatus ait existere, sicca exhalatione in terræ cauernas influente, subitoq́ impetu tremorem pariente. vt enim extre nitens exhalatio ventum vehementem pariat, ita intùs conclusam motus impetu loca, quibus contineatur, concutere. hanc porrò vim terra contineri partim propter soli densitatem, partim propter frigus, partim propter siccitatem. Quapropter etiam cælo tranquillo plerumque motus

λον εἶναι τὴν ἶριν ἔμφασιν ἡλίου τμήματος ἢ σελήνης ἐν νέφει κοίλῳ καὶ δεδροσισμένῳ κατὰ κύκλου περιφέρειαν ὁρωμένην· γίγνεσθαι δ' ἔστιν ὅτε διπλῆν, ὥστε τὴν ἑτέραν φαίνεσθαι καὶ διαμπαντὸς ἐξ ἐναντίας ἱσταμένην τῇ προτέρᾳ, καὶ τῇ θέσει τῶν χρωμάτων ἀντεστραμμένην. παρηλίους δὲ καὶ ῥάβδους γίγνεσθαι μὲν ἀπὸ τῆς αὐτῆς αἰτίας, οὐ μὴν ὁμοίως ἔχοντος τοῦ νέφους· ὅταν γὰρ ἀχλυῶδες ᾖ καὶ ὁμαλὲς, πρὸς δὲ τούτοις ὑδατῶδες καὶ πυκνὸν, ὡς ἀπὸ χαλκοῦ κατόπτρου λείου κλώμενον πρὸς τὸν ἥλιον τὴν ὄψιν λευκὴν ποιεῖν φαντασίαν. παραπλήσιον γὰρ ἡλίῳ κατά τε τὴν χρόαν καὶ τὸ σχῆμα φαίνεσθαι τὸ παρήλιον. τὸ μὲν γὰρ ὁμαλὸν τοῦ νέφους αἰτίαν εἶναι τοῦ χρώματος, τὴν δ' ἀνάκλασιν τῆς ὄψεως προσπίπτουσαν ἀθρόως πρὸς πεπυκνωμένον, ὥσπερ ἔνοπτρον· οὐδέπω μὲν ὂν ὕδωρ, ἐγγὺς δ' ὑπάρχον τῆς πρὸς ὕδωρ μεταβολῆς, διὸ καὶ σημεῖον ὕδατος εἶναι τὸ παρήλιον, καὶ μᾶλλον τὸ νότιον τοῦ βορείου· διὰ τὸ μᾶλλον μεταβάλλειν εἰς ὕδωρ τὸν νότιον ἀέρα, τοῦ πρὸς ἄρκτον· γίγνεσθαι περὶ τὰς ἀνατολὰς τοῦ ἡλίου, καὶ περὶ δύσεις, οὐκ ἄνωθεν, ἀλλ' ἐκ τῶν πλαγίων, καθάπερ καὶ τὰς ῥάβδους· εἶναι δὲ καλουμένας, δι' ἀνωμαλίαν τῶν ἐνοπτριζόντων νεφῶν.

Τὸ πυρὶ μεμιγμένον ὕδωρ ὅσον λεπτὸν, ὑγρόν τε διὰ τὴν κίνησιν καὶ τὴν ὁδὸν ἣν κυλινδούμενον ἐπὶ γῆς ὑγρὸν λέγεται· μαλακόν τε αὐτοῦ τὰς βάσεις ἧττον ἑδραίας οὔσας ἢ τὰς γῆς, ὑπεῖκον· τοῦτο ὅταν πυρὸς ἀποχωρισθὲν ἀέρος τε μονωθῇ, γέγονε μὲν ὁμαλώτερον, ξυνέωσται δὲ ὑπὸ τῶν ἐξιόντων εἰς αὑτό· παγὲν δὲ οὕτω, τὸ μὲν ὑπὲρ γῆς μάλιστα παθὸν τοιαῦτα, χάλαζα· τὸ δ' ἐπὶ γῆς, κρύσταλλος· τὸ δ' ἧττον, ἡμιπαγές τε ὄν, τὸ μὲν ὑπὲρ γῆς αὖ χιών· τὸ δ' ἐπὶ γῆς ξυμπαγὲν, ἐκ δρόσου γιγνόμενον, πάχνη λέγεται.

Ἀριστοτέλης τὸ τῆς ξηρᾶς ἀναθυμιάσεως τὴν πρώτην ἀναφοράν· γίγνεσθαι δὲ ποτὲ τῇ ξηρᾷ πρὸς τὴν ὑγρὰν μῖξιν· πνεῦμα μὲν ἐκ πολλῶν συνιουσῶν ἀναθυμιάσεων, τὸν γὰρ ἄνεμον εἶναι ξηρᾶς ἀναδόσεως πλῆθος κινούμενον περὶ γῆν. τοὺς δ' ἐκνεφίας ἀνέμους ὅταν ἀθρόον καὶ πυκνὸν, φερόμενον εἰς ἑαυτὸ, τὸ πλεῖον ἀναλύσῃ τοῦ νέφους τῆς σφοδρότητος τῆς ῥύμης· τὸ γὰρ τάχος τῆς ἐκκρίσεως ποιεῖν τὴν τοῦ πνεύματος ἰσχύν.

Πλάτων πάσης κινήσεως ἓξ εἶναι περιστάσεις, ἄνω καὶ κάτω, ἐπὶ δεξιὰ, καὶ καθ' ἑτέρα, πρόσθεν καὶ ὄπισθεν, κατ' οὐδεμίαν τούτων ἐνδέχεσθαι τὴν γῆν κινεῖσθαι, ἐν τῷ πανταχόθεν ἰσαιτάτῳ κειμένην, μένειν ἀκίνητον· ἅτε δὴ μηδὲν ἔχουσαν ἐξαίρετον εἰς τὸ ῥέψαι μᾶλλον, τόπους δὲ αὐτῆς κατ' ἀραιότητα σαλεύεσθαι.

Plut.

Ἀριστοτέλης φησὶ σεισμοὺς γίγνεσθαι, καὶ μυκήματα, καὶ χάσματα, τῆς ξηρᾶς ἀναθυμιάσεως εἰς τὰς ἀραιότητας καὶ τῆς γῆς ῥυείσης, καὶ κατὰ τὰς ἀθρόας ἐμπτώσεις βόμβους καὶ βρασμοὺς περὶ αὐτὴν ἀπεργαζομένης· ὡς γὰρ ὁρμήσασαν ἔξω τὴν ἀναθυμίασιν ἄνεμον ποιεῖν σφοδρὸν, οὕτως εἴσω καθειρχθεῖσαν τῇ ῥύμῃ τῆς φορᾶς διακραδαίνειν τοὺς τόπους ἐν οἷς ἂν ἀπολειφθῇ· συνέχεσθαι τὴν δύναμιν ταύτην ἐν τῇ γῇ διά τε πύκνωσιν τῆς ἐπιφανείας καὶ διὰ κατάψυξιν, καὶ διὰ ξηρασίαν· ὅθεν καὶ νηνεμίας οὔσης ὡς ἐπὶ τὸ πο-

λὺ γίγνεσθαι τοὺς σεισμούς, τῆς τῶν ἀνέμων ῥοπῆς εἴσω βαπτιζούσης, καὶ νυκτὸς μᾶλλον διὰ τὴν ψύξιν· καὶ τὸ ὄρθρον· τοὺς γὰρ ἀνέμους τότε τῆς πνοῆς ἄρχεσθαι, καὶ πρὸς τὴν γῆν ἀποστρέφειν κατὰ τὴν ἀναθυμίασιν ἀνιὸν πνεῦμα· καὶ τῆς ἡμέρας ἔστιν ὅτε περὶ μεσημβρίας, τὸν γὰρ ἥλιον τῆς ἀναθυμιάσεως ἐπικρατοῦντα, κατακλείειν αὐτὴν εἰς τὴν γῆν, καὶ ἔαρος, καὶ μετοπώρου μᾶλλον· ἀνωμάλους γὰρ ταύτας εἶναι τὰς ὥρας, τὸ μὲν θέρος, καὶ τὸν χειμῶνα, τὸ μὲν διὰ τὸν πάγον, τὸ δὲ διὰ τὴν ἀλέαν ἀκίνητον ποιεῖν τὸν ἀέρα· διὰ τὸ τὸ μὲν ἄγαν εἶναι ξηρόν, τὸ δὲ ἄγαν ψυχρόν, καὶ ἐν τοῖς αὐχμοῖς ὅτι μάλιστα πνευματώδης ὁ ἀήρ· τοῦτον γὰρ εἶναι αὐχμὸν ξηρᾶς πλῆθος ἀναθυμιάσεως· ἀπολαυομένης δὲ τῆς ἀτμίδος εἰς τὴν γῆν, καὶ καθειργομένης, σφυγμὸν γίγνεσθαι περὶ αὐτὴν καὶ τρόμους, καὶ ἐν ταῖς ἐπομβρίαις ἐπιφραττομένης ὑπὸ τοῦ ὑγροῦ καὶ τοῦ ψυχροῦ τῆς γῆς, καὶ τῆς ἐντὸς ἀναθυμιάσεως αὐξομένης ὑπὸ τῶν ὑετῶν καὶ πυκνουμένης, ὥστε κατὰ τὴν προσέπτωσιν ἰσχυρῶς κινεῖν καὶ σείειν, καὶ ἐν τοῖς ὑπάντρους καὶ σομφοὺς ἔχουσι τοὺς κάτω τόπους, ἢ καὶ παρακειμένην ῥοώδη θάλατταν, διὰ τὸ θύραθεν πλεῖον ὑποδέχεσθαι πνεῦμα, καὶ διὰ τὴν θάλατταν προσπίπτουσαν ἀπωθεῖν εἰς τὴν γῆν τὸ πεφυκὸς ἀπ' αὐτῆς ἀποπνεῖν πνεῦμα καὶ σκεδάννυσθαι. περὶ γοῦν τὴν Πελοπόννησον, καὶ τὴν ἀχαΐαν, καὶ τὴν εὐβοίας τὰς κοιλάδας, πολλοὺς καὶ μεγάλους γίγνεσθαι σεισμούς. ὡς γὰρ ὑφ' ἡμῶν πολλάκις τὸ διαπνεόμενον ἔξω πνεῦμα, πάλιν δρομῆσαν εἴσω, παλμὸν παρέχει καὶ σφυγμὸν ἐν τοῖς σώμασιν, οὕτω τὸ περιληφθὲν ἐν τῇ γῇ κατὰ τὴν κίνησιν κλονούμενον περὶ τοὺς πόρους καὶ διεκκοπτόμενον, σπασμοὺς καὶ σεισμοὺς ἀποτελεῖν. συμβαίνει δὲ καὶ τὰ μυκήματα, ποτὲ μὲν μετὰ σεισμῶν, ποτὲ δὲ καὶ χωρὶς τοῦ πνεύματος ἠχοῦντος, ὥστ' ἐξακούεσθαι ψόφον τινά, καὶ βόμβον ἐπὶ μήκιστον, ὁπότε διὰ τῶν συρίγγων διαυλοδρομεῖ παρατριβόμενον, μηδ' ἐξιόν· τὰ δὲ χάσματα σεισμῶν, ἤδη γοῦν τινὰς σεισμοὺς μὴ πρότερον λῆξαι πρὶν ἢ διαρραγῆναι τοὺς τόπους ἐν οἷς ἐγίνετο, βιασαμένου τοῦ περιληφθέντος πνεύματος, περὶ τὴν ἔξοδον, ὥσπερ ἐκνεφίου τινὸς ἀνέμου, καθάπερ καὶ τὸ περὶ τὴν ποντικὴν ἡράκλειαν, καὶ τὸ ἔτι πρότερον γενόμενον περὶ τὴν ἱερὰν καλουμένην αἰόλου νῆσον· ἐν ταύταις γὰρ ὑπὸ σεισμῶν οἰδήματα τῆς γῆς γίγνεσθαι μεγάλα· καὶ ταῦτα διαρραγέντα πολὺν ἄνεμον ἐκπεφυσηκέναι καὶ φέψαλον, ὥστε καταπρῆσαι πλησίον οὖσαν τὴν τῶν λιπαραίων πόλιν. τὰς δὲ ποντίας λεγομένας νήσους ἧττον σείεσθαι τῶν προσγείων, διὰ τὸ καταψύχεσθαι τῷ πλήθει τῆς θαλάττης, τὴν ἀπὸ τῆς γῆς ἀναθυμίασιν. τεκμήριον δὲ εἶναι τοῦ ῥεῖν ὑπὸ τὴν γῆν τὸ πνεῦμα, πρῶτον μὲν ἀπὸ τοῦ ἐν οἷς γίγνεται προσημαίνεσθαι, ἠχοῦντος εἶτα τὸ περὶ τὸν ἥλιον πάθος· ἀμαυρότερον γὰρ καὶ ἀχλυώδη φαίνεσθαι χωρὶς νέφους, ὑπονοστοῦν ἀρχομένου τοῦ πνεύματος εἰς τὴν γῆν, τοῦ λεπτύνοντος τὸν ἀέρα καὶ διακρίνοντος, πρός τε τούτοις τὸ πρὸ τῶν αἰθρίαν σεισμῶν νηνεμίαν γίγνεσθαι καὶ ψῦχος· τὸ μὲν γὰρ ξυμβαίνειν τὴν εἴσω τῶν ἀνέμων μετάρροιαν· τὸ δὲ διὰ τὴν τῆς θερμῆς ἀναθυμιάσεως ἀπουσίαν. καὶ περὶ μὲν σεισμῶν καὶ τῶν ἄλλων τῶν περὶ τὴν γῆν παθημάτων ἐπὶ τοσοῦτον.

Ἀριστοτέλης καὶ ἡρακλείδης, ὑπὸ τοῦ ἡλίου τὰ πλεῖστα τῶν πνευμάτων κινοῦντος καὶ περιφέροντος, ἐμφ' ὧν

hos existere, quoniam ventorum vis introrsum sit delata; ac nocte ferè, propter frigus; & diluculo, cùm venti flare incipiunt, & exhalationes in terram reiiciunt. & nonnunquam meridie, cùm Sol exhalationem vincens intra terram concludit; ac Vere & Autumno potissimùm. hæc enim tempora esse inæqualia, cùm Aestas & Hiems vel frigore vel æstu immobilem reddat aerem, quòd altera valdè sicca sit, altera valdè humida. necnō squalore, cùm est maximè ventosus aer. nam id esse squalorem, siccæ exhalationis copiam. quocirca reiecto in terram vapore, ibiq; concluso, concuti terram ac tremere. nec non imbribus, cùm humore ac frigore terra obstruitur, & interior exhalatio per pluuiam augetur ac densatur, sic vt erūpendo vehementer moueat & quatiat. locis quoque cauernosis, vel mari adiacentibus, quoniam plures halitus suscipiant, et alluens mare suas exhalationes in terram reiiciat. quare circa Peloponnesum, Achaiam, et Eubœæ specus multos magnosq; euenire terræ motus. Quemadmodū enim in nostro corpore nonnunquam expiratus halitus si recurrat, motum ac tremorem excitet, sic etiam terra inclusum, ac mouendo concussum & offensum, terræ motum gignere. Mugitus porrò interdum vnà cum terræ motibus existere, interdum separatim spiritu sonum edente, qui longissimè exaudiatur, cùm ille per tubos discurrendo atteritur, nec exit. Hiatus autem semper cum terræ motibus esse coniunctos. siquidem horum quosdā non antè cessasse, quàm loca, in quibus contigissent, dehiscerent, concluso halitu violenter ecnephiæ more erumpente, vt ad Ponti Heracleam, et antè ad Hieram insulam acciderit. his enim locis tumores terræ magnos è motu extitisse, quibus disruptis magna venti vis expiraret, & scintillarum, quæ proximam vrbem Liparem combusserint. At medio mari sitas insulas minùs cōcuti, quàm terræ adiacentes, quòd maris magnitudo terræ exhalationem refrigeret. Ventum deniq; sub terra fluere, inde primùm colligi, quòd quibus in locis versetur, sonitu suo patefaciat; deinde ex Solis euentu, qui citra nubem videatur obscurior, dum spiritus aerem attenuare ac diducere solitus in terram redeat; tum quòd ante terræ motus cælum plerumque tranquillum & frigidum cernatur, quorum illud propter ventos in terram receptos, hoc propter calidæ exhalationis absentiam contingat. Ac de terræ motu quidem & aliis terræ euentis hactenus.

De accessu & recessu maris.

ARISTOTELES *& Heraclides Soli causam tribuunt, plerosque spiritus mouentis ac circumferentis, quibus ingruentibus quidem propulsum Atlanti-*

Atlanticum mare intumescat, æstumq́; efficiat, cessantibus autem retractum subsidat, æstumq́; reuocet.

Plato suspendium adfert aquarum. esse enim naturale quoddam suspendium, per quoddã terræ foramen æstum circumferens, ac mari tumorem concilians.

De aquis.

ᾳ pro καλῶ.

AQVARVM *vires et sapores aliasq́; qualitates Aristoteles, vt compendio dicã, tribus causis tribuit: vel terræ discrimini; nam per qualemcunq. fluant, talẽ saporẽ referre, aut salsum, aut acerbũ, aut alium quemcunque vel fumosæ & igneæ exhalationis mistioni; nam lapidum & salis ac nitri compagem, nec non grauitatem et leuitatem, crassitiem ac tenuitatem, & similia de calidi ac fumosi mixtione nasci: vel denique aeri, qui calorem ac frigus conciliet, quæ tamen etiam à terra conferantur. nam calidas quidem adustam, siccã, & bituminosam producere, frigidas autem in vniuersum quidẽ existere quæcunq. scaturiunt, propriè autem profundas ferè omnes, vt & metallicas, quæ à Sole procul absunt, nisi locus ignem habeat. calore siquidem carere tum quæ in aere, tum quæ in terra, tum quæ in sublimi cernũtur cùm ob halitus, tum ob aeris asperitatem. nec non in locis vmbrosis ac ventosis sitas, quoniam vtrunq. frigus pariat; ideoq́; quasdam excisis arboribus redditas esse calidas. quæq; per tubos & cauernas discurrunt, quoniam his in locis halitus, vt & in cisternis, refrigeret. & quæ per rupes fluant, quoniã lapis omnis frigidus sit, idemq́; sicut aquam omnem dulcem, sic etiam frigidam reddat. vtrunque enim naturæ ipsius esse consentaneum. Denique calorem quidem & saporem etiam alias habere causas posse, manifestum tamẽ ex his fieri, aquam non tam ex se, quàm ex alienis viribus discrimen nancisci, quandoquidem aliud terra, aliud ignis, aliud aer efficiat.*

ἄσπερ pro ὥσπερ.

Aristot. epist. ad Alexandrum, Alcyonio interp.

Mundus igitur est coagmentatio ex cælo, terra, & reliquis rebus, quarum natura illis continetur. Sed aliter etiã nominari exprimiq́; potest. Mundus est rerum omnium ordo, ornatusq́; descriptio, quæ tum à diis, tum per deos custodiatur. Media eiusdem mundi pars, cùm immota & fixa quiescat, terræ vitæ datricis possessio facta est; quæ quidem hospitium, et cuiusq. generis animalium matrem se præbet. Infima pars vniuersa, & vsquequaq. finita circumscribitur. Summa, quæ eadem deorum domicilium patet, cælum est appellatum: quod quidem diuinorũ corporum habetur plenum, quæ sidera appellare consueuimus. Idem quoque sempiterno incitatum motu, vna in orbẽ circumuectione cum his omnibus absq. intermissione replicatur. Cùm autẽ vniuersum cælum, & mundus forma sit globosa, & perenni perpetuaq́; motione conuertatur, vt demonstrauimus; duo signa necessariò sunt, quæ omni motu carent, quæq́; è diuerso inter se constituta, solida & concreta

ἐμβαλλόντων μὲν καὶ προσωθουμένην ἀνοιδεῖν τὴν Ἀτλαντικὴν θάλατταν, καὶ κατασκευάζειν τὴν πλημμύραν· καταληγόντων δ' ἄν τι προσαποσπωμένην ὑποβαίνειν, ὅπερ εἶναι τὴν ἄμπωτιν.

Πλάτων ἐπὶ τὴν αἰώραν φέρεται τῶν ὑδάτων· εἶναι γάρ τινα φυσικὴν αἰώραν διά τινος ἐγγείου τρήματος περιφέρουσαν τὴν παλίρροιαν, ὑφ' ἧς ἀντικυμαίνεσθαι τὰ πελάγη.

Περὶ ὑδάτων.

Τὰς δὲ τῶν ὑδάτων δυνάμεις, κατὰ τοὺς χυλοὺς, καὶ τὰς ἄλλας ποιότητας, ὡς εἰπεῖν συμβάλλοντι, γίνεσθαι παρὰ τρεῖς αἰτίας· ἢ γὰρ παρὰ τὴν τῆς γῆς διαφοράν· ὁποία γὰρ ἂν ἑκάστη ᾖ καὶ δι' ἧς ἂν ῥέῃ, τοιοῦτον ἴσχειν τὸν χυλὸν, οἷον ἁλυκὸν, ἢ νιτρῶδες, ἢ πικρὸν, ἢ τῶν ἄλλων ὁποιονοῦν, ἢ παρὰ τὴν τῆς καπνώδους καὶ πυρώδους ἀναθυμιάσεως μίξιν· ἀπολιθοῦσι γὰρ καὶ πῆξιν ἁλῶν, καὶ νίτρων, ἔτι τε βαρύτητας, καὶ κουφότητας, καὶ παχύτητας καὶ λεπτότητας, καὶ τὰς ἄλλας δυνάμεις ἀπεργάζεσθαι τὴν τοῦ θερμοῦ καὶ καπνώδους μίξιν· ἢ παρὰ τὸν ἀέρα· θερμότητας γὰρ καὶ ψυχρότητας, καὶ παρὰ τὴν γῆν μὲν γίνεσθαι, δι' οἵας ἂν ῥέῃ, καὶ ἐν οἵαις γίνεσθαι· θερμὰ μὲν γὰρ τὴν κατακεκαυμένην καὶ ξηρὰν καὶ ἀσφαλτώδη ποιεῖν· ψυχρὰ δὲ ὡς μὲν ἁπλῶς εἰπεῖν, τοὺς ναματιαίους, ὡς δὲ καθ' ἕκαστα κατὰ βάθους ὡς ἐπίπαν· ὥσπερ καὶ τὰ ἐν τοῖς μετάλλοις· πόρρω γὰρ τοῦ ἡλίου, πλὴν ἐὰν πυρώδης ὁ τόπος ᾖ. δεῖ γὰρ ἀφεστάναι τὴν θερμότητα, τοῦτ' ἐν τῷ ἀέρι καὶ τὰ ἐν τῇ γῇ καὶ τὰ ἐν τοῖς ὑψηλοῖς, διά τε τὰ πνεύματα, καὶ μάλιστα διὰ τὴν τοῦ ἀέρος ψυχρότητα· καὶ ἐν τοῖς συσκίοις, καὶ πνευματώδεσι, ψύχεται γὰρ ὑπ' ἀμφοτέρων· διὸ καὶ κοπέντων δένδρων, ἔνια θερμὰ γίνεσθαι, καὶ τὰ διὰ κοιλίας ἔχοντα φαραγγώδεις, καὶ ὑπαύλους· τὸ γὰρ πνεῦμα διαυλωνίζον ταύτῃ ψύχει, καθάπερ ἐν τοῖς λάκκοις· καὶ τὰ διὰ πέτρας ῥέοντα καὶ ἐνίαμα, ψυχρὸν γὰρ ὁ λίθος, καὶ μάλλον ὁ τοιοῦτος εἴδους ὥσπερ γλυκὺ πᾶν ὕδωρ, οὕτω καὶ ψυχρόν. οἰκεῖα γὰρ ἄμφω τῆς φύσεως, ἡ θερμότης, καὶ ἡ τῶν χυλῶν ποιότης γίνοιτ' ἂν ἀφ' ἑτέρων· συμβαίνει δ' οὖν καὶ ἐκ τοῦ λόγου τούτου, μὴ εἶναι τοῦ ὕδατος καθ' ἑαυτὸ διαφορὰν, ἀλλὰ ταῖς ἄλλων δυνάμεσι διαφέρειν, εἴπερ τὰ μὲν τὴν γῆν, τὰ δὲ τὸ πῦρ, τὰ δὲ τὸν ἀέρα, ποιεῖν συμβέβηκεν.

Κόσμος μὲν οὖν ἐστι σύστημα ἐξ οὐρανοῦ καὶ γῆς, καὶ τῶν ἐν τούτοις περιεχομένων φύσεων. λέγεται δὲ καὶ ὁ κόσμος ἑτέρως, ἡ τῶν ὅλων τάξις τε καὶ διακόσμησις, ὑπὸ θεοῦ τε καὶ διὰ θεῶν φυλαττομένη· ταύτης δὲ τὸ μὲν μέσον καὶ ἀκίνητόν τε καὶ ἑδραῖον φερέσβιος εἴληχε γῆ, παντοδαπῶν ζώων διασώζουσα καὶ μήτηρ· τὸ δὲ ὕπερθεν αὐτῆς πᾶν τε καὶ πάντῃ πως πεπερασμένον ἐς τὸ ἄνω, τὸ τῶν θεῶν οἰκητήριον, οὐρανὸς ὠνόμασται· πλήρης δ' ὢν σωμάτων θείων, ἃ δὴ καλεῖν ἄστρα εἰώθαμεν· κινούμενος κίνησιν ἀΐδιον ἐν περιαγωγῇ καὶ ἐν κύκλῳ, συγχορεύει πᾶσι τούτοις ἀπαύστως δι' αἰῶνος· τοῦ δὲ σύμπαντος οὐρανοῦ τε καὶ κόσμου σφαιροειδοῦς ὄντος, καὶ κινουμένου καθάπερ εἶπον ἐνδελεχῶς, δύο ἐξ ἀνάγκης ἀκίνητά ἐστι σημεῖα κατ' ἀντικρὺ ἀλλήλοις, καθάπερ τόρνῳ κυκλοφορουμένη σφαί-

σφαίρας, περὶ δ' ὃ πᾶς ὄγκος κύκλῳ στρέφεται. καλοῦνται δὲ οὗτοι πόλοι, δι' ὧν ἐννοήσομεν ἐπεζευγμένην εὐθεῖαν, ἥν τινες ἄξονα καλοῦσι, διάμετρος ἔσται τοῦ κόσμου, μέσην ἔχουσα τὴν γῆν· τοὺς δὲ δύο πόλους, πέρατα· τῶν δ' ἀκινήτων πόλων τούτων, ὁ μὲν ἀεὶ φανερός ἐστιν ὑπὲρ κορυφὴν ὢν κατὰ βορέαν κλίμα, ἀρκτικὸς καλούμενος. οὐρανοῦ τε καὶ ἄστρων οὐσίαν μὲν αἰθέρα, οὐχ, ὥς τινες, διὰ τὸ πυρώδη οὖσαν αἴθεσθαι, πλημμελοῦντες περὶ τὴν πλεῖστον πυρὸς ἀπηλλαγμένην δύναμιν, ἀλλὰ διὰ τὸ ἀεὶ θεῖν κυκλοφορουμένην, στοιχεῖον οὖσαν ἕτερον τῶν τεττάρων, ἀκήρατόν τε καὶ θεῖον· τῶν γε μὴν ἐν περιεχομένων ἄστρων, τὰ μὲν ἀπλανῆ τῷ σύμπαντι οὐρανῷ συμπεριφέρεται, τὰς αὐτὰς ἕδρας ἐχόντων· μέσος δὲ ὁ ζῳοφόρος καλούμενος κύκλος ἐγκάρσιος ὤν, διὰ τῶν τροπικῶν διέζωσται, κατὰ μέρη διῃρημένος εἰς δώδεκα ζῳδίων χώρας· τὰ δὲ πλανητὰ ὄντα, οὔτε τοῖς προτέροις ὁμοταχῶς κινεῖσθαι πέφυκε, οὔτε ἐν ἀλλήλοις, ἀλλ' ἐν ἑτέροις καὶ ἑτέροις κύκλοις, ὥστε τὸν μὲν προσγειότερον εἶναι, τὸν δὲ ἀνώτερον. τὸ μὲν οὖν τῶν ἀπλανῶν πλῆθος ἀνεξερεύνητόν ἐστιν ἀνθρώποις, καίπερ ἐπὶ μιᾶς κινουμένων ἐπιφανείας τῆς τοῦ παντὸς οὐρανοῦ· τὸ δὲ τῶν πλανήτων εἰς ἑπτὰ μέρη κεφαλαιούμενον ἐν τοσούτοις ἐστὶ κύκλοις ἐφεξῆς κειμένοις, ὥστε ἀεὶ τὸν ἀνώτερον μείζω τοῦ ὑποκάτω εἶναι, τοὺς δὲ ἑπτὰ ἀλλήλοις περιέχεσθαι· τούτους γε μὴν ὑπὸ τῆς τῶν ἀπλανῶν σφαίρας, περιειλῆφθαι δὲ ἀεὶ τὴν θέσιν ταύτην εἶναι μέχρις ὁ αἰθὴρ ὁρίζεται, τὰ θεῖα ἐμπεριέχων σώματα, καὶ τὴν τῆς κινήσεως τάξιν· μετὰ δὲ τὴν αἰθέριον καὶ θείαν φύσιν, ἥντινα τεταγμένην ἀποφαινόμεθα, ἔτι δὲ ἄτρεπτον καὶ ἀναλλοίωτον καὶ ἀπαθῆ, συνεχής ἐστιν, ἡ διόλου παθητή τε καὶ τρεπτή, καὶ τὸ σύμπαν εἰπεῖν, φθαρτή τε καὶ ἐπίκηρος. ταύτης δὲ αὐτῆς πρώτη ἐστὶν ἡ λεπτομερὴς καὶ φλογώδης οὐσία ὑπὸ τῆς αἰθερίου πυρουμένη, διὰ τὸ μέγεθος αὐτῆς καὶ τὴν ὀξύτητα τῆς κινήσεως· ἐν δὲ τῇ πυρώδει καὶ τῇ ἀτάκτῳ λεγομένῃ τὰ σέλατα διάττει, καὶ φλόγες ἀκοντίζονται, καὶ δοκίδες δὲ καὶ βόθυνοι, καὶ κομῆται λεγόμενοι στηρίζονταί τε καὶ σβέννυνται πολλάκις· ἑξῆς δὲ ταύτης ὁ ἀὴρ ὑποκέχυται, ζοφερὸς ὢν καὶ παγετώδης τὴν φύσιν, ὑπὸ ἐκείνης λαμπόμενος ἅμα καὶ καιόμενος λαμπρότερος γίγνεται ἀλεεινός· ἐν δὲ τούτῳ τῆς παθητῆς ὄντι καὶ αὐτῷ δυνάμεως παντοδαπῶς ἀλλοιουμένῳ νέφη συνίσταται, καὶ ὄμβροι καταρράττουσι· χιόνες τε καὶ πάχναι καὶ χάλαζαι,

quiescunt, globumq; sustinent, velut ille qui in torno versatur: atq. circum eadem signa vniuersus cõuertitur mundus. Itaq. in orbem is circumflectitur, illaq; vertices dicuntur. per quos si conceperimus directam lineam, quem nonnulli axin vocant, dimetiens mundi erit linea, quæ terram tenebit mediam; vertices autẽ, extrema. Sed cùm duo hi vertices nullo motu cieantur, alter conspicuus semper, & illustris super caput est, qui item ad Septentriones Arcticus nominatur: alter Antarcticus, qui perpetuis terræ tenebris offusus, ad Austrum spectat. Naturam cæli et siderum ætherẽm appellamus, non quia etiamsi multo igni constet, possit ardere, vt nonnulli memoriæ prodiderunt, qui certè magno errore ducti rem talẽ commenti sunt, quæ plurimum ab igni secreta sit ac libera: verùm quòd in orbẽ agitata videatur perpetuo cursu rapi, cùm & elementum à quatuor reliquis diuersum habeatur, & nullam fati malignitatem subeat, resq; diuina planè sit. Itaq; siderum, quæ comprehenduntur, alia fixa cum vniuerso torquentur cælo in iisdẽ recepta locis; quorũ orbis medius est, qui signifer vocatur, quiq; obliquus, per partes tamen in duodecim signorũ loca distributus, per solstitialem brumalemq; circulum ambitur: alia cùm vaga sint, profectò nec ad motum eadem celeritate, qua superiora, nec inter se similem agẽdum apta sunt, sed pro diuersitate orbium diuersum, vt aliud eorũ propius, aliud excelsius & sublimius extat. Multitudinem quidẽ eorum, quæ fixa, ab omniq; erratione libera sunt, nulla indagine consequi possumus, quanquã simplici totius cæli imagine motus conficiant suos. Sed vaga & errantia cùm summatim ad septem reducantur, totidem assignantur orbibus, ita proximo ordine dispositis, vt altior semper humilioris magnitudinem excedat, & septem illa inter se contenta, omnia à globo, cui inerrantia adhærent, omninò comprehendantur. At orbis, in quo versatur Phænon, qui etiã Saturnus dicitur, suo situ ei semper coniungitur. Infra autẽ hunc Iouis stella fertur, quæ Phaethon vocatur. Huic verò proximũ inferiorẽ orbem tenet Pyrceis, quæ stella Herculis & Martis appellatur. Infra hãc Stilbon, quod numen Mercurij quidã vocant, cùm non desint qui Apollinis dicãt. Hoc excipit Phosphoros, quam partim stellã Veneris, partim Iunonis nominant. Deinde Solis, citima Luna, quæ vsq. in terram procumbit. Æthere tum diuina corpora, tum conuersionis constantia & ordo continetur. Post æthe ream, eandemq; diuinam naturam, quam rato niti ordine probauimus, & neq. commutari, neque affici posse, succedit natura, quæ si vniuersitatem spectes, afficitur & mutatur, & (vt rem complectar vniuersam) mortalis est, fatiq; vim sentit. Atque huius ipsius prima habetur natura ea, quæ tenuis ac flãmulenta est, quæq; ab æetherea natura propter eius magnitudinẽ & in motu celeritatẽ fomites adipiscitur. In ea autem parte, quæ multo igni tenetur, & nullo ordine cohiberi dicitur, fulgores prosiliunt, flãmæ in morem iaculi eiibrantur, & quæ trabes, & foueæ crinitæ dici solent, tum affixæ, tum plerumq. restinctæ visuntur. Deinde aer suffunditur, qui quidem suapte natura multa caligine & gelu afficitur, & ob motum splendorem simul & ardorem contrahens, magis splendescit, & tepescit. In hoc nimirum, cùm facultate præditus sit patibili, & omnem in partem mutabili, nubes coguntur; imbres, niues, pruinæ deci-

decidunt, flatus ventorum, & verticũ, atq. etiam tonitrua, fulgura, delapsus fulminũ, & immensæ caliginis conglobationes sunt. Post hanc aeris naturam terra, & mare fixum quieuit. Terra vario stirpium & animaliũ genere abundat, fontibusq́; et fluuiis scatet, aliis quidem per terram sese volutantibus, aliis verò in mare prorumpẽtibus. Varietate item prædita est, quam infinita colorũ genera, montesq́; in celsissima iuga elati, et siluæ materia, quæ altis radicibus nititur, densæ induxerunt, & vrbes amplificarunt, quas homo animalium omnium longè sapientissimus, in insulis & continenti exædificauit. Frequens hominũ sermo orbem terræ in insulas & continentem diuidit; nec satis compertũ habet, vniuersum orbẽ vnam planè insulam esse, quæ mari circumdetur, cui Atlantici nomen indiderunt. Verisimile autẽ est, multas quoq. alias sedere insulas, quæ longè cõtrariis obuersæ fretu, sita sint, aliæ quidem illa ipsa maiores, sed aliæ minores; quæ certè omnes, ea vna excepta, nobis minimè visæ sunt. Quod enim nostri maris insulis, si cum his maribus cõparentur, euenit; idem quoq. orbi terræ, quem incolimus, si ad mare Atlanticum respicias, euenire affirmamus. Multæ etiam aliæ præ vniuerso mari enumerantur insulæ. quædam enim magnæ sunt, quæ vastis circumfunduntur maribus. Vniuersa autem humoris vis, & natura per quosdã terræ specus extans, cùm quasi per formationẽ extulisset loca ea, quæ habitari dicimus, post spirabilem præcipuè naturam constat: postquam media maximè parte mundi, terra vniuersa in infima fixa et cõpressa, tum immota, tum inconcussa stabilisq́; constitit. Et hoc quidem omne id est, quod in mundo infimum vocamus. Cùm autem hæc quinque elementa in totidem tractibus ad speciem rotundæ figuræ locentur, & semper maius capax minoris sit, terra aquæ, aqua aeris, aer ignis, ignis etheris; vniuersum constituere mundũ. Atq. summã quidem partem deorũ domicilium indicarũt, infimã animalium, quæ quotidiano ortu prodeãt. Ac humens quidẽ huius pars ea est, quam fluuios, aquarum scaturigines, & maria vocare cõsueuimus; arida, quam tellurem continentẽ, & insulas nominauimus. Insulæ aliæ amplæ patent, qualẽ vniuersum terrarum orbẽ diximus: aliæ etiã multæ vastis circumfusæ maribus sitæ sunt: aliæ paruæ, quæ cũ in interno mari sparsæ sint, nobis ex omni numero extant. In his, quæ memoria dignæ sint, ponũtur, Sicilia, Sardinia, Corsica, Creta, Euboea, Cyprus, Lesbus. aliæ minores, quarũ aliæ Sporades, aliæ Cyclades, aliæ diuersis vocantur nominibus. Mare, quod extra habitabilem & cultam terram patet, Atlanticum vocatur, & qui nos circumfluit Oceanus, quiq́; ad occidentem angusto admodum ore per columnas Herculis effusus, in internum mare quasi in portum irrumpit, paulùm verò in latum expatians refunditur, vastos sinus mutuis complexibus iungens; & alibi per angustas fauces sese patefacit, alibi se iterum latius effundit. Principia igitur fama celebratur, ipsum à columnis Herculis nauigantibus bipertitò sinuari, dextrorsum in Syrtes, quarum alteram magnam, alteram paruam dictitant.

πνοιαί τε ἀνέμων, καὶ τυφώνων, ἔτι δὲ καὶ βρονταὶ, καὶ ἀστραπαὶ, καὶ πτώσεις κεραυνῶν, μυρίων τε γνόφων συμπληγάδες. ἑξῆς δὲ τῆς ἀερίου φύσεως, γῆ τε καὶ θάλαττα ἐρήρεισται, φυτοῖς τε βρύουσα καὶ ζώοις, πηγαῖς τε καὶ ποταμοῖς, τοῖς μὲν, ἀνὰ γῆν ἀνελιττομένοις, τοῖς δὲ, ἀπερευγομένοις εἰς θάλατταν· πεποίκιλται δὲ χλόαις μυρίαις, ὄρεσί τε ὑψηλοῖς, βαθυξύλοις τε δρυμοῖς καὶ πόλεσιν, ἃς τὸ σοφὸν ζῶον ἄνθρωπος ἱδρύσατο, νήσοις τε ἐναλίοις. τὴν μὲν οὖν οἰκουμένην ὁ πολὺς λόγος εἴς τε νήσους καὶ ἠπείρους διεῖλεν, ἀγνοῶν ὅτι καὶ ἡ σύμπασα μία νῆσός ἐστιν, ὑπὸ τῆς ἀτλαντικῆς καλουμένης θαλάσσης περιῤῥεομένη. πολλὰς δὲ καὶ ἄλλας τῆσδε ἀντιπορθμούσας ἀποκεῖσθαι, τὰς μὲν μείζους αὐτῆς, τὰς δὲ ἐλάττους, ἡμῖν δὲ πάσας πλὴν τῆσδε ἀοράτους. ὅπερ γὰρ αἱ παρ' ἡμῖν νῆσοι πρὸς ταῦτα πελάγη πεπόνθασι, τοῦτο ἥδε ἡ οἰκουμένη. πολλαί τε ἔτι πρὸς σύμπασαν τὴν θάλατταν, καὶ αὗται μὲν μεγάλαι τινές εἰσιν νῆσοι μεγάλοις περικλυζόμεναι πελάγεσι· ἡ δὲ σύμπασα τοῦ ὑγροῦ φύσις, ἐπιπολάζουσα κατὰ τὰς τοῦ ὑγροῦ ποιότητας, καὶ τὰ κοιλώματα τὰς καλουμένας ἀναπεφυκεῖα οἰκουμένας, ἑξῆς ἂν εἴη τῆς ἀερίου μάλιστα φύσεως· μετὰ δὲ ταῦτα, ἐν τοῖς βυθοῖς κατὰ τὸ μεσαίτατον τοῦ κόσμου ἐρηρεισμένη, συνέστηκεν ἀκίνητος καὶ ἀσάλευτος· καὶ τοῦτ' ἔστι τοῦ κόσμου τὸ πᾶν, ὃ καλοῦμεν κάτω· πέντε δὲ στοιχεῖα ταῦτα ἐν πέντε χώραις σφαιρικαῖς. λέγω δὲ γῆς μὲν ἐν ὕδατι, ὕδατος δὲ ἐν ἀέρι, ἀέρος δὲ ἐν πυρὶ, πυρὸς δὲ ἐν αἰθέρι, τὸν ὅλον κόσμον συνεστήσατο· καὶ τὸ μὲν ἄνω πᾶν θεῶν ἀπέδειξεν οἰκητήριον, τὸ κάτω δὲ ἐφ' ἡμέρων ζώων. αὐτό γε μὴν τούτου μὲν, ὑγρόν ἐστιν, ὃ καλεῖν ποταμοὺς, καὶ νάματα, καὶ θαλάσσας εἰθίσμεθα· τὸ δὲ ξηρὸν, ὃ γῆν τε καὶ ἠπείρους καὶ νήσους ὀνομάζομεν. τῶν δὲ νήσων, αἱ μέν εἰσι μεγάλαι, καθάπερ οὖν πᾶσα ἡ οἰκουμένη λέλεκται πολλοῖς τε ἑτέροις μεγάλοις περιῤῥεομένη πελάγεσιν, αἱ δὲ ἐλάττους, φανεραὶ δὲ ἡμῖν καὶ ἐντὸς οὖσαι· καὶ τούτων αἱ μὲν ἀξιόλογοι, σικελία τε καὶ εὔβοια, καὶ κύπρος, σαρδὼ, κύρνος, κρήτη τε, καὶ πελοπόννησος, καὶ λέσβος. οὐδὲ ὑποδεέστεραι, ὧν αἱ μὲν σποράδες, κυκλάδες, αἱ δὲ ἄλλως ὀνομάζονται. πέλαγος δὲ τὸ μὲν ἔξω τῆς οἰκουμένης, ἀτλαντικόν τε καὶ ὠκεανὸν καλεῖται, περιῤῥέον ἡμᾶς· ἐντὸς δὲ πρὸς δύσεις στενοπόρῳ διανοιγαὸς στόματι ταῖς ἡρακλείου λεγομέναις στήλαις τὸν εἴσρουν εἰς τὴν ἔσω θάλασσαν, ὡς ἂν εἰς λιμένα ποιεῖ)· κατὰ μικρὸν δὲ ἐπιπλατυνόμενος, ἀναχεῖται μεγάλους περιλαμβάνων κόλπους ἀλλήλοις συνεχεῖς· πρῶτον μὲν οὖν λέγεται κολποῦσθαι ἐν δεξιᾷ εἰσπλέοντι τὰς ἡρακλείους στήλας διχῶς εἰς τὰς καλουμένας σύρτεις, ὧν τὴν μὲν μεγάλην,

γάλλων, τὴν δὲ μικρὰν καλοῦσιν· ἐπιθάτερα δὲ οὐχ ἔθ' ὁμοίως ἀποκολπούμενος, βίᾳ τόσα πελάγη, τό τε σαρδινικὸν, καὶ τὸ γαλατικὸν λεγόμενον, καὶ ἀδρίονας· ἑξῆς δὲ τούτων ἐγκάρσιον τὸ σικελικόν· μετὰ δὲ τοῦτο, τὸ κρητικὸν συνεχὲς αὐτῷ· τῇ μὲν, τὸ αἰγύπτιον, καὶ παμφύλιον, καὶ σύριον· τῇ δὲ, τὸ αἰγαῖόν τε καὶ μυρτῷον· ἀντιπαρῆκει δὲ τοῖς εἰρημένοις πολυμερέστατος δὲ ὢν πόντος, οὗ τὸ μὲν μυχαίτατον, μαιώτις καλεῖται· τὸ δὲ ἔξω πρὸς τὸν ἑλλήσποντον συνεστόμωται τῇ καλουμένῃ προποντίδι. πρός γε μὴν ταῖς ἀνασχέσεσι τοῦ ἡλίου πάλιν εἰσρέων ὁ ὠκεανὸς, τὸν ἰνδικόν τε καὶ περσικὸν διανοίξας κόλπον ἀναφαίνει τὴν ἐρυθρὰν θάλασσαν διειληφώς· ἐπὶ θάτερον δὲ κέρας κατεστενοῦται, καὶ ἐπὶ μήκη διὼν εἰς αὐχένα πάλιν ἀνευρύνεται, τὴν ὑρκανίαν τε καὶ κασπίαν ὁρίζων· τὸ δὲ ὑπὲρ ταύτην βαθὺν ἔχει τὸν ὑπὲρ τὴν μαιώτιν λίμνην τόπον· εἶτα κατ' ὀλίγον τι ὑπὲρ τοὺς σκύθας τε καὶ κελτικὴν σφίγγει τὴν οἰκουμένην, πρός τε τὸν γαλατικὸν καλούμενον κόλπον, καὶ τὰς προειρημένας στήλας ἡρακλείους, ὧν ἔξω περιῤῥεῖ τὴν γῆν ὁ ὠκεανός. ἐν τούτῳ γε μὴν νῆσοι μεγάλαι τυγχάνουσιν, αἵ τε δύο, βρεττανικαὶ λεγόμεναι, καὶ λαβεῖον καὶ ἱερνὴ, τῶν προϊστορημένων μείζους ὑπὲρ κελτοὺς κείμεναι· τούτων δὲ ἐλάττους, ἥ τε ταπροβάνη πέραν ἰνδῶν λοξὴ πρὸς τὴν οἰκουμένην, ἡ φοβέα καὶ εὔβοια καλουμένη, κατὰ τὸν ἀράβιον κειμένη κόλπον. οὐκ ὀλίγαι τε ἄλλαι τε μικραὶ περὶ τὰς βρεττανικὰς καὶ τὴν ἰβηρίαν κύκλῳ περιεστεφάνωνται τὴν οἰκουμένην ταύτην, ἣν δὴ νῆσον εἰρήκαμεν· ἧς πλάτος μὲν, κατὰ τὸ βαθύτατον τῆς ἠπείρου βραχὺ ἀποδέοντα τετράκις μυρίων σταδίων φασὶ οἱ εὖ γεωγραφήσαντες· μῆκος δὲ περὶ ἑπτάκις μυρίους μάλιστα· διαιρεῖται δὲ εἴς τε εὐρώπην καὶ ἀσίαν, καὶ λιβύην. εὐρώπη μὲν οὖν ἐστὶν, ἧς ὅροι κύκλῳ, στῆλαί τε ἡρακλέους, καὶ μυχοὶ πόντου, θάλαττά τε καὶ ὑρκανία, καθ' ἣν στενώτατος ἰσθμὸς εἰς τὸν πόντον διήκει. τινὲς δὲ ἀντὶ τοῦ ἰσθμοῦ, τάναϊν ποταμὸν εἰρήκασιν. ἀσία δέ ἐστι τὸ ἀπὸ τοῦ εἰρημένου ἰσθμοῦ καὶ τοῦ πόντου καὶ τῆς ὑρκανίας θαλάττης μέχρι θατέρου ἰσθμοῦ, ὃς μεταξὺ κεῖται τοῦ τε ἀραβικοῦ κόλπου, καὶ τῆς ἔσω θαλάττης, περιεχόμενος ὑπό τε ταύτης, καὶ τοῦ πέριξ ὠκεανοῦ. τινὲς δὲ ἀπὸ τανάϊδος μέχρι νείλου τίθενται ὅρον. λιβύη δὲ, τὸ ἀπὸ τοῦ ἀραβίου καὶ ἰσθμοῦ ἕως ἡρακλείων στηλῶν· οἱ δὲ ἀπὸ τοῦ νείλου φασὶ ἕως ἐκείνων, τὴν δὲ αἴγυπτον ὑπὸ τῶν τοῦ νείλου στομάτων περιεχομένην· οἱ μὲν τῇ ἀσίᾳ, οἱ δὲ τῇ λιβύῃ προσάπτουσι· καὶ τὰς νήσους οἱ μὲν ἐξαιρέτους ποιοῦσιν, οἱ δὲ προσνέμουσιν, ἣν καλεῖν εἰώθαμεν οἰκουμένην τοιαύτην τινὰ ἱστορήκαμεν· περὶ δὲ τῶν ἀξιολογωτάτων ἐν αὐτῇ καὶ ὑπὲρ ταύτης παθῶν νῦν λέγομεν, αὐτὰ τὰ ἀναγκαῖα ἀνακεφαλαιούμενοι· δύο γὰρ δή τινες ἀναθυμιάσεις ἀπ' αὐτῆς ἀναφέρονται συνεχῶς εἰς τὸν ὑπὲρ ἡμᾶς ἀέρα, λεπτομερεῖς καὶ ἀόρατοι παντάπασιν, ἔκ τε τῶν κατὰ τὰς ἠόνας τόπων, ἔκ τε ποταμῶν τε καὶ ναμάτων ἀναφερόμεναι

sinistrorsum non ita sese in sinum colligens, tria maria constituit, Sardiniũ, Gallicum, Adriaticũ; et post hæc Siculũ, obliquũ tamen; inde Creticum. cui parte alia iungitur Aegyptium, & Pamphylium, & Syriacum; alia Aegæum, & Myrtoum. Pontus tamen his ipsis opponitur, in multas diffusus partes: cuius quidem intimi recessus Mæotis vocantur; sed pars quæ ad Hellespontum exterior fertur, in Propontida coit. Ad ortum item Solis Oceanus influens, Indico Persicoq; sinu patefacto, & mari rubro proximo complexo, sese aperit. In alterum verò cornu cùm per angustas et proceras ceruices porrigatur, Hyrcano, Caspioq; terminato, iterum latè expanditur. id autem quod vltra hoc est, altum supra Mæotida paludem occupat locum. Deinde modicè vltra Scythas & Galliam, terrã lambit eam, quæ ad sinum Gallicum et columnas Herculis exposita est, extra quas Oceanus ipse terras alluit. in quo quidem duæ amplissimæ insulæ cognomento Britannicæ sedent, Albion, & Ierna. quæ omnia superiorum magnitudinem excedũt, & vltra Galliam iacent. quibus quidem minores sunt, Taprobane, vltra Indos orbi terrarũ obuersa, & Phebol, ita enim appellatur, in sinu Arabico sita. Item non pauca, quamuis parua, circum Britannicas & Hispaniam sunt, quæ orbẽ hunc terræ ambiunt, quam insulam iam diximus: cuius quidem latitudo parte continentis maxima paulo minus XL. mill. stadiorũ patet, vt memoriæ prodiderunt, qui de situ orbis accuratè scripserunt; longitudo autẽ colligit circiter LXX. mill. stadiorum ad summũ. Diuiditur in Europam, Asiam, Africam. Europa ea intelligitur, cuius fines per ambitum constituuntur Herculis columnæ, atque Ponti recessus, & mare Hyrcanum, per quod terra angusta in Pontum procurrit. Nonnulli post eandem terram angustã Tanaim fluuium statuerunt. Asia ab eadem terra angusta, & mari Hyrcano ad alterã angustam terrã pertinet, quæ media inter sinum Arabicũ, & internum mare iacet; continetur q; ab eodem mari, & Oceano circũ alluente. Non desunt qui à Tanai ad ostia Nili fines Asiæ proferant. Africa ab angusta Arabiæ terra vsq. ad columnas Herculis protenditur. quidam à Nilo principium sumendũ cẽsent: vt Aegypti partem, quæ Nili ostiis circumflua est, quidam iuris Asiæ, quidã Africæ faciunt; et alij eam pro insignibus habẽt insulis, alij semper finitimis contribuunt locis. Terræ, marisq; natura, & situs, quem orbem terræ appellare cõsueuimus, ita propositus sit: nunc scriptura persequemur quæ in eo memoratu digna existant, quæq; opero ei ascribãtur. quæ institutione necessaria summatim exponentur. Ex eodẽ igitur terrarũ orbe duo halituum genera assiduè in summum aera efferuntur, quæ quidem tenuibus constant partibus, & omninò in aspectũ non veniunt, nisi quid eiusmodi ad orientem habeatur. talis enim generis halitus cùm per fluuios, & aquarum scatebras euehantur, cõspici possunt.

possunt. Quæ ex terra respirat, sicca & fumida est: quæ ex humore, vda ac vaporosa. Ex hac concreta redduntur nebulæ, rores, & gelu genera, nubes, imbres, niues, grandines: ex sicca venti, et diuersa tempestatum genera, tonitrua, fulgurationes, accensi turbines, fulmina, & cætera, quæ cũ hisce cognatione iunguntur. Nebula vaporosus quidã halitus est, vnde nulla mittatur aqua. quæ inquã nebula crassior aere constat, sed nube rarior. concrescit vel è raritate, quæ nubi initium dat, vel è reliqua eius parte. aduersa illi statuitur serenitas, quæ nihil aliud est, quàm aer omnis tũ nebula, tum nubis expers. Ros est humor è sudo serenoq; cælo, qui cõcretione sua tenui deferatur. Gelu aqua vniuersa ex puro serenoq; cælo dẽsata. Pruina ros dimidia parte congelatus. Nubes vaporosa crassitudo, quæ contorta imbris producendi vim habet. Imber gignitur ex congressu nubis amplioris. Differentiis totidem discrepat, quot attritus nubis, & cõfrictus. nam si lenis sit, tenues admodũ spargit guttas: sin vehemẽs, pleniores. Hæc humoris genera imbres vocantur, nimbo quidẽ maiores, ita tamen vt assiduè per terrã delata cõtorsiones adsint. Nix oritur per nubium coactarum percussum, quæ quidẽ à mutatione in aquã facta eliduntur. Spumosam, albamq; niuis naturã elisus facit: gelatus autẽ inclusi humoris, qui nondũ effluxerit, aut raruerit, frigus inducit. Eadẽ nix si vehemens & conferta decidat, niphetos vocatur. Grando gignitur per niuẽ decidẽtem conuersam, quæ pondus ex obstrictu in velociorẽ delapsum ceperit. pro magnitudine autem percussionum quæ edantur, tum maiores, tũ violentiores deturbantur. Et hæc quidẽ ex humenti aspiratione suapte natura decidere apta sunt, sed ex sicca ita à frigore impulsa, vt fluere possit, ventus erũpit. Et certè is nihil aliud est, quàm aer multus, & cõfertus, qui fluat. atq; ille simul spiritus etiã dicitur. Spiritus itẽ natura animata, & fœcunda nominatur, quæ in animalibus & stirpibus per omnia meat. de qua nunc vt verba faciamus, nulla præscribit necessitas. Ventos appellamus spiritus, qui in aere flant: auras halitus, qui ex humore deferuntur. Venti qui ex vda terra spirant, Apogei dicũtur: qui ex sinibus, Encolpiæ. Qui ex fluuiis & paludibus afflant, proportione illis ipsis respondent. Qui autẽ per nubem diruptam oriuntur, & in seipsos crassitudinẽ dissipant, procellæ vocantur; vt Exhydriæ, qui cum aqua post illam repentè dirupta inferuntur. Ab oriente qui continentes afflant, Vulturni vocãtur, Aquilones ab Septẽtrionibus, Fauonij ab Occasu, Austri à Meridie. Ex Vulturnis Cæcias dicitur; qui quidẽ ab solstitiali ortus loco spirat, Subsolanus ab æquinoctiali, Vulturnus ab hibernis. Ex obuersis Fauoniis à solstitiali occasu Caurus mittitur, quẽ nonnulli Olympiam, nonnulli Iapyga nominant; Fauonius ab æquinoctiali, Africus ab hiberno. Ex Aquilonũ genere, qui Cæciam consequitur, Aquilo dicitur; Se-

θεωρεῖται. τούτων δ' ἡμῖν ἡ μὲν ξηρὰ καὶ καπνώδης ἀπὸ τῆς γῆς ἀπορρέουσα· ἡ δὲ, νοτερὰ καὶ ἀτμώδης, καὶ ἀπὸ τῆς ὑγρᾶς ἀναθυμιωμένη φύσεως. γίγνονται δὲ ἀπὸ μὲν ταύτης ὁμίχλαι καὶ δρόσοι, καὶ πάγων ἰδέαι, νέφη τε καὶ ὄμβροι, καὶ χιόνες, καὶ χάλαζαι· ἀπὸ δὲ τῆς ξηρᾶς ἄνεμοί τε καὶ πνεύματα διάφορα· βρονταί τε καὶ ἀστραπαί, καὶ πρηστῆρες, καὶ κεραυνοί, καὶ τὰ ἄλλα, ἃ δὴ τούτοις ἐστὶ σύμφυλα. ἔστι δὲ ὁμίχλη, ἀτμώδης ἀναθυμίασις ἄγονος ὕδατος, ἀέρος μὲν παχυτέρα, νέφους δὲ ἀραιοτέρα· γίγνεται δὲ ἤτοι ἐξ ἀρχῆς νέφους, καὶ ἐξ ὑπολείμματος· ἀντίπαλος δὲ αὐτῇ λέγεταί τε καὶ ἔστιν αἴθριος, οὐδὲν ἄλλον οὖσα, πλὴν ἀὴρ ἀνέφελός τε καὶ ἀνόμιχλος· δρόσος δὲ ἐστὶν ὑγρὸν ἐξ αἰθρίας κατὰ σύστασιν λεπτὴν φερόμενον· κρύσταλλος δὲ ἀθρόον ὕδωρ ἐξ αἰθρίας πεπηγός· πάχνη δὲ ἐστὶν ἡμιπαγὴς δρόσος. νέφος δὲ ἐστὶν ἀτμῶδες συνεστραμμένον γόνιμον ὕδατος· ὄμβρος δὲ γίγνεται μὲν κατ' ἐκπιασμὸν νέφους εὖ μάλα πεπαχυμμένου· διαφορὰς δὲ ἴσχει ὅσας καὶ ἡ τοῦ νέφους ἀπόθλιψις, ἠπία μὲν γὰρ οὖσα, μαλακὰς ψεκάδας διασπείρει, σφοδρὰ δὲ ἁδροτέρας· καὶ τοῦτο καλοῦμεν ὄμβρον ὑετόν, μείζονα καὶ συνεχῆ συστρέμματα ἐπὶ γῆς φερόμενα. χιὼν δὲ γίγνεται κατὰ νεφῶν πεπυκνωμένων ἀποθραυσιν πρὸ τῆς εἰς ὕδωρ μεταβολῆς ἀνακοπέντων· ἐργάζεται δὲ ἡ μὲν κοπὴ τὸ ἀφρῶδες τε, καὶ ἔκλευκον· ἡ δὲ σύμπηξις, τοῦ ἐνόντος ὑγροῦ τὴν ψυχρότητα οὔπω χυθέντος, οὐδὲ ἠραιωμένου· σφοδρὰ δ' αὕτη καὶ ἀθρόα καταφερομένη, νιφετὸς ὠνόμασται. χάλαζα δὲ γίγνεται, νιφετοῦ συστραφέντος, καὶ βρῖθος ἐκ πιλήματος εἰς καταφορὰν ταχυτέραν λαβόντος· παρὰ δὲ τὰ μεγέθη τῶν ἀπορρηγνυμένων θραυσμάτων οἵ τε ὄγκοι μείζους, αἵ τε φοραὶ γίγνονται βιαιότεραι. ταῦτα μὲν οὖν ἐκ τῆς ὑγρᾶς ἀναθυμιάσεως πέφυκε συμπίπτειν· ἐκ δὲ τῆς ξηρᾶς ὑπὸ ψύχους μὲν ὠσθείσης, ὥστε ῥεῖν, ἄνεμος ἐγένετο. οὐδὲν γάρ ἐστιν οὗτος, πλὴν ἀὴρ πολὺς ῥέων καὶ ἀθρόος· ὅστις ἅμα καὶ πνεῦμα λέγεται. καλεῖται δὲ πνεῦμα καὶ ἑτέρως, ἥ τε ἐν φυτοῖς καὶ ζῴοις καὶ διὰ πάντων ἥκουσα, ἔμψυχός τε καὶ γόνιμος οὐσία, περὶ ἧς νῦν λέγειν οὐκ ἀναγκαῖον. τὰ δὲ ἐν ἀέρι πνέοντα καλοῦμεν ἀνέμους· αὔρας δὲ τὰς ἐξ ὑγροῦ φερομένας ἐκπνοάς· τῶν δὲ ἀνέμων οἱ μὲν ἐκ νενοτισμένης γῆς ῥέοντες, ἀπόγαιοι λέγονται· οἱ δὲ ἐκ κόλπων διεξάττοντες, ἐγκολπίαι. τούτοις δὲ ἀνάλογον ἐπέχουσιν ἐκ ποταμῶν τε καὶ λιμνῶν· οἱ δὲ κατὰ ῥῆξιν γινόμενοι καὶ ἀνάλυσιν τοῦ πάχους εἰς ἑαυτοὺς ποιούμενοι, ἐκνεφίαι· μεθ' ὕδατος δὲ ἀθρόου ῥαγέντος ἐξυδρίαι λέγονται. καὶ οἱ μὲν ἀπὸ ἀνατολῆς συνεχεῖς εὖροι κέκληνται, βορέαι δὲ, οἱ ἀπὸ ἄρκτου· ζέφυροι δὲ, οἱ ἀπὸ δυσμῶν· νότιοι δὲ, ἀπὸ μεσημβρίας· τῶν γε μὴν εὔρων ἀπαρκτίας μὲν λέγεται ὁ ἀπὸ τοῦ περὶ τὰς ἰσημερινὰς ἀνατολὰς τόπου ῥέων ἄνεμος, ἀπηλιώτης δὲ, ὁ ἀπὸ τοῦ περὶ τὰς χειμερινάς, καὶ τῶν ἐναντίων ζεφύρων, ἀργέστης μὲν ὁ ἀπὸ τῆς θερινῆς δύσεως, ὅντινα καλοῦσιν οἱ μὲν ὀλυμπίαν, οἱ δὲ ἰάπυγα· ζέφυρος δὲ, ὁ ἀπὸ ἰσημερινῆς· καὶ τῶν βορείων, ἰδίως, ὁ μὲν, τῶν ἑξῆς τῷ καικίᾳ καλεῖται βορέας δὲ καὶ ἀπαρκτίας, διὰ

ἑξῆς

ἐφεξῆς αὐτῷ καθεξῆς ἀπὸ τοῦ πόλου κατὰ τὸ μεσημβρινόν. Θρασκίας δὲ, ὁ ἑξῆς τῷ ἀργέστῃ, ὃν ἔνιοι καικίαν καλοῦσι. καὶ τῶν μὲν ὄντων ὁ μὲν ἀπὸ τοῦ ἀφανοῦς πόλου φερόμενος ἀντίπαλος τῷ ἀπαρκτίᾳ καλεῖται νότος. εὐρόνοτος δὲ ὁ μεταξὺ τούτου καὶ εὔρου. τὸ δὲ ἐπὶ θάτερα μεταξὺ λιβός τε καὶ νότου, οἱ μὲν λιβόνοτον, οἱ δὲ λιβοφοίνικα καλοῦσιν. τῶν δὲ ἀνέμων, οἱ μέν εἰσιν εὐθύπνοοι· ὁπόσοι διεκθύουσι πρόσω κατ' εὐθεῖαν· οἱ δὲ ἔστιν ἀνακαμψίπνοοι, καθάπερ ὁ καικίας λεγόμενος· καὶ οἱ μὲν χειμέριοι, καθάπερ οἱ νότοι δυναστεύοντες· οἱ δὲ θέρειοι, ὡς οἱ ἐτήσιοι λεγόμενοι, μίξιν ἔχοντες τῶν τε ἀπὸ τῆς ἄρκτου φερομένων καὶ ζεφύρων· οἱ δὲ ὀρνιθίαι καλούμενοι εἰσὶν οἱ πνέοντες ἄνεμοι, βόρειοι εἰσὶ τῷ γένει. τῶν γε μὴν βιαίων πνευμάτων, κατὰ γῆς μέν ἐστι πνεῦμα βίᾳ καὶ ἄνω προσαλλόμενον. λαῖλαψ δὲ καὶ στρόβιλος, πνεῦμα εἰλούμενον ἄνω καὶ κάτω· ἀναφύσημα δὲ, πνεῦμα γῆς ἄνω φερόμενον κατὰ τὴν ἐκ βυθοῦ τινος ἢ ῥήγματος ἀνάδοσιν. ὅταν δὲ πολὺς φέρηται εἰλούμενος, πρηστὴρ χθόνιός ἐστιν. εἰληφθὲν δὲ πνεῦμα ἐν νέφει παχεῖ τε νοτίῳ, καὶ ἐξωσθὲν δι' αὐτοῦ βιαίως τὸ πίλημα τοῦ νέφους, βρόμον καὶ πάταγον ἀπειργάσατο μέγαν, βροντὴν λεγόμενον, ὥσπερ ἐν ὕδατι πνεῦμα σφοδρῶς ἐλαυνόμενον. κατὰ δὲ τὴν τοῦ νέφους ἔκρηξιν πυρωθὲν τὸ πνεῦμα καὶ λάμψαν, ἀστραπὴ λέγεται. ὃ δὴ πρότερον τῆς βροντῆς προσῶν ὕστερον γινόμενον, ἐπεὶ τὸ ἀκουστὸν, ὑπὸ τοῦ ὁρατοῦ πέφυκε φθάνεσθαι, τοῦ μὲν καὶ πόρρωθεν δηλουμένου, τοῦ δὲ, ἐπειδὰν ἐμπελάσῃ τῇ ἀκοῇ, καὶ ἔσται τὸ μὲν τάχιστον ἢ τῶν ὄντων, λέγω δὴ τὸ πυρῶδες ἐν τῇ πλήξει πρὸς ἀκοὴν ἀφικνούμενον· τὸ δὲ ἀστράψαν, ἀναπυρωθὲν βιαίως, καὶ ἄχρι τῆς γῆς διεκθέον, κεραυνὸς καλεῖται. ἐὰν δὲ ἡμίπυρον ᾖ, σφοδρὸν ἄλλως, καὶ ἀθρόον, πρηστήρ· ἐὰν δὲ ἄπυρον παντελῶς, τυφῶν. ἕκαστον δὲ τούτων κάτω σκήψαν εἰς γῆν, σκηπτὸς ὀνομάζεται. τῶν δὲ κεραυνῶν οἱ μὲν αἰθαλώδεις, ψολόεντες λέγονται· οἱ δὲ ταχέως διάττοντες, ἀργῆτες· ἑλικίαι δὲ, οἱ γραμμοειδῶς φερόμενοι· σκηπτοὶ δὲ, ὅσοι κατασκήπτουσιν εἴς τι. συλλήβδην δὲ τῶν ἐν ἀέρι φαντασμάτων, τὰ μέν ἐστι κατ' ἔμφασιν· ἴρις δὲ, καὶ ῥάβδοι, καὶ ἁπλῶς τὰ τοιαῦτα, καθ' ὑπόστασιν δὲ σέλα τε διάττοντα καὶ κομῆται, καὶ τὰ τούτοις παραπλήσια. ἶρις μὲν οὖν ἐστιν ἔμφασις ἡλίου τμήματι γῆς ἢ σελήνης ἐν νοτερότητι, καὶ κοίλῳ, καὶ συνεχεῖ πρὸς φαντασίαν, ὡς ἐν κατόπτρῳ θεωρουμένη κατὰ κύκλου περιφέρειαν. ῥάβδος δὲ, ἴριδος ἔμφασις εὐθεῖα· ἅλως δ' ἐστὶν ἔμφασις λαμπρότητος ἄστρου, περὶ τοῦτο διαφέρουσα τῇ ἰδιότητι· ἡ μὲν ἶρις ἐξ ἐναντίας φαίνεται, ἡλίου τε καὶ σελήνης· ἡ δ' ἅλως κύκλῳ παντὸς ἄστρου· σέλας δέ ἐστι πυρὸς ἀθρόου ἔξαψις ἐν ἀέρι. τῶν δὲ σελάων τὰ μὲν ἀκοντίζονται· ὁ μὲν οὖν ἐξακοντισμός ἐστι πυρὸς γένεσις ἐκ παρατρίψεως ἐν ἀέρι φερομένου ταχέως, καὶ φαντασίαν μήκους καταφαίνοντος διὰ τὸ τάχος. ὁ δὲ στηριγμὸς χω-

ptemtrionarius, qui à vertice deiu per meridiē spirat; Thrascia, qui post Caurū. eundem nonnulli Caciam vocant. Ex Austrorū genere Auster vocatur, qui quidem ex occulto nobis vertice illatus, cum Septemtrionario quasi colluctatur. Euronotus medius est inter Vulturnum et Austrum. qui verò ex altera parte locum medium tenet inter Africum & Austrum, aliis pro Libonoto, aliis pro Libophœnice est. Ventorum etiam alij rectà spirāt, quales sentiuntur qui è directa antè flant: alij per flexus mittuntur, qualis Cacias. alij hieme vigēt, vt Austri; alij æstate, vt Etesiæ, qui commistione tenentur eorum qui tum à Septemtrionibus ingruunt, tum Fauonij habentur. Ornithiæ verni quidem sunt, sed Aquilonij genere. De vehementibus flatibus Catægis est spiritus, qui supernè decumbat, & quidē repentè. Thyella, hoc est tempestas, violentus est spiritus, qui repentino allidat motu. Lælaps, et Strobilus, qui de infima in summam vertitur partem. Anaphysema terræ quoq. spiritus est, in excelsum sublatus per vaporem, qui vel ex alto, vel ex loco qui discesserit, erumpit. At cùm circumactus magnopere torquetur, tum pro terrestri turbine accenso habetur. Qui autē spiritus in nube densa & vda tortus, & foràs per se cohærentes nubium obstrictus disiecerit sonitū magnum & crepitum edit, quem Tonitru dicūt, veluti aqua spiritus vehementer agitatus. qui si in nube perfringenda ignierit, & coruscarit, Fulgur dicitur; quod quidem tametsi ante tonitru emicat, tamē post illud editur: quoniā id quod auditur, ab eo quod cernitur, suapte natura præuerti aptum est, cùm alterum vel è longinquo aspiciatur, alterum postquā auribus admotum est, præsertim cùm idipsum omnia celeritate præstet sua. Res igitur coruscans igni concepto per vim vsq. ad terrā decurrens, Fulmen vocatur. quod si dimidia parte ignescat, & aliàs vehemēs & confertum demittatur, Turbo accensus dicitur: si omnino igni calet, Vortex. atq. horum quoduis in terram decumbens, Sceptos nominatur. Fulmina quæ similitudine, formaq́; ardenti sunt, Psoloenta dicuntur: quæ celeriter transeunt, Argetes: Helices, quæ specie linearum deferuntur. Scepti, quæcunq. ad quippiam allidunt. Earum quæ ex aere nobis obuersantur, vt strictim hæc attingantur, alia apparent, alia subsistāt. Ad alterum genus pertinent Arcus, Virga, & reliqua id genus: ad alterum fulgores, stellæ, quæ aut transcurrunt, aut crines passas habent, & quæ his ipsis similia sunt. Arcus est imago secti vel Solis, vel Lunæ in nube, quæ vda & caua sit, & quæ ad visionem perpetuò extenta, quasi in speculo aspiciatur per orbis complexum. Virga est recta Arcus species. Corana sitē species est splendoris, qui collucens ex sidere emicet. Differt ab Arcu, quòd is aduerso Sole & Luna apparet, illa nullum non sidus redimat. Fulgor autem vniuersi ignis accensi est in aere. Fulgorum alij in iaculi morem eiibrantur, alij certo loco fixo permanent. Iaculatio est ignis ortus, cùm ex confrictu in aere incitetur, & imaginem longitudinis ob velocitatem reddat. Firmitas est oblonga absque impulsu

pulsu intentio, & quasi sideris fluor. quod si altera parte latior explicetur, Crinita vocatur. Fulgores alij sæpenumero quiescũt, alij continuo restinguũtur. Multa quoq. alia imaginum genera licet aspicere, faces, trabes, dolia, foueas, quæ omnia id genus appellationes sortiuntur ex eiusmodi rerum similitudine. atq. eorum alia ad occidentem, alia ad orientem, alia ad vtramq. regionẽ spectantur, rarò ad septẽtriones & austrum. Omnia tamen minùs consistunt. nihil enim tale firmum semper apparuisse, literarũ monumentis testatum habemus. Quæ ad aerem pertinẽt, hæc sunt. Cõtinet etiam terra in seipsa multos fontes, vt aquæ, ita spiritus, & ignis; quorũ alij sub terra conditi minùs videntur, vt in Lipara, Aetna, & Aeoli insulis: quidam item in morem amnium sæpe fluunt, & vel ignescens eiiciunt ferrum: nonnulli etiam sub terra iis proximi, ex quibus aqua scaturit, illos calfaciunt; & nunc tepidæ aquarũ scatebræ erumpunt, nunc feruentissimæ, nunc modicè temperatæ. Atq. etiam per multa spirituũ genera plerisq. in locis terræ ostia patefacta sunt; quorũ quidẽ spirituum alij aduentantes furore instigant, alij inediã tolerare faciunt, alij vaticinari, vt in Delphis, & in Lebadia; alij ex toto conficiunt & perdunt, vt in Phrygia. Accidit item sæpenumero, vt cognatus flatus modicè temperatus, in abditos terræ meatus impulsus, & de propriis laribus dimotus, multa quassarit loca. Nec minùs frequenter magna copia extrinsecus coactus, in terræ cauernis quasi implicitus, & exitu prohibitus, violenter terram concussit, vt erumperet. quo in tempore id euenit, quod motũ terræ appellare consueuimus. Itaq. alij in obliquum quatientes mucronatis angulis, Epiclintæ vocãtur: alij sursum & deorsum succutientes rectis angulis, quos Brassas appellant. Qui verò in cauis considunt partibus, Chasmatiæ dicuntur. qui hiatus aperiunt, et terrã discindunt, Rhectæ nominantur. Horũ quidam halitus etiam emittunt, quidam saxa, quidam lutum; quidam non antè visos indicant fontes; quidam vna agitatione labefactant & subuertunt (tales dicuntur Ostæ,) quidam vibrant in vtramq. partem inclinatione facta, & id quod tremit quassatu, dirigunt. tales Palmatiæ nominantur. Consternatio quæ affertur, similis est tremoris. Terræ motus aliquando in mugitus conuertuntur, quotiescunque terram quatiunt cum sono. plerumq. etiam terra sine motu mugit, cùm spiritus ad motum ciendũ satis non est, implicitus autem in ea non sine violento impetu frangitur. Spiritus item subeuntes in vnũ corpus simul coalescunt, opera humoris in terra abditi. Quædam in mari proportione cum illis ipsis cõsentiunt, vt hiatus, aut discessiones, & proluuies, quæ modo inundationem reuocãt, modò effundunt; quod in Helice & Bura factum dicitur. Plerumq. etiam in mari ignis sufflat, fontes primùm scaturiunt, fluuij erumpunt, arbores enascuntur, vortices aquarum ad proportionem flatus accommodantur; quorũ alij medio in mari, alij in Euripis, alij in fretis aguntur. Multi etiam æstus, & aquarum inundationes,

εἰς φορᾶς προμήκης ἔκτασις, καὶ οἱονεὶ ἄστρου ῥύσις· πλατυνομένη δὲ ἐπὶ θάτερον, κομήτης καλεῖται· πολλάκις δὲ τῶν σελάων τὰ μὲν ἐπιμένει πλείονα χρόνον, τὰ δὲ παραχρῆμα σβέννυται. πολλαὶ δὲ καὶ ἄλλαι φασμάτων ἰδέαι θεωροῦνται, λαμπάδες τε καλούμεναι καὶ δοκίδες, καὶ πιθίαι καὶ βόθυνοι, κατὰ τὴν πρὸς ταῦτα ὁμοιότητα ὧδε προσαγορευθεῖσαι· καὶ τὰ μὲν τούτων ἑσπέρια, τὰ δὲ ἑῷα, τὰ δὲ ἀμφιφανῆ θεωρεῖται· σπανίως δὲ καὶ βόρεια, καὶ νότια· πάντα γὰρ ἀβέβαια· οὔτε γὰρ πώποτέ τι τούτων ἀεὶ φανερὸν ἱστόρηται κατεστηριγμένον. τὰ μὲν τοίνυν ἀέρια τοιαῦτα. ἐμπεριέχει δὲ καὶ ἡ γῆ πολλὰς ἐν ἑαυτῇ, καθάπερ ὕδατος, οὕτως δὲ καὶ πνεύματος καὶ πυρὸς, πηγάς· τούτων δὲ αἱ μὲν ὑπὸ γῆν εἰσὶν ἀόρατοι, πολλαὶ δὲ ἀναπνοὰς ἔχουσι, καὶ ἀναφυσήσεις, ὥσπερ Λιπάρα τε καὶ Αἴτνη, καὶ Αἰόλου νῆσος. αἳ δὴ καὶ ῥέουσι πολλάκις ποταμῶν δίκην, καὶ μύδρους ἀναρριπτοῦσι διαπύρους· ἔνιαι δὲ ὑπὸ γῆν οὖσαι πλησίον πηγαὶ ὑδάτων, θερμαίνουσι ταῦτα· καὶ τὰ μὲν χλιαρὰ τῶν ναμάτων ἀνιᾶσι, τὰ δὲ ὑπέρζεστα, τὰ δὲ ἔχοντα κράσεως ὁμοίως δὲ καὶ τῶν πνευμάτων πολλὰ πολλαχοῦ γῆς στόμια ἀνέῳκται· καὶ τὰ μὲν ἐνθουσιᾶν ποιεῖ τοὺς ἐμπελάζοντας, τὰ δὲ χρησμῳδεῖν, ὥσπερ τὰ ἐν Δελφοῖς, καὶ τὰ ἐν Λεβαδείᾳ· τὰ δὲ καὶ πάντα πάσιν ἀναιρεῖ, καθάπερ τὰ ἐν Φρυγίᾳ. πολλάκις δὲ καὶ συγγενές τι πνεῦμα εὔκρατον, ἐν γῇ παρωσθὲν εἰς μυχίους σήραγγας αὐτῆς ἔξεδρον γενόμενον ἐκ τῶν οἰκείων τόπων πολλὰ μέρη συνεκράδανε· πολλάκις δὲ πολὺ γενόμενον ἔξωθεν ἐν τοῖς ταύτης κοιλώμασι, καὶ ἀποκλεισθὲν ἐξόδου μετὰ βίας αὐτὴν συνετίναξε ζητοῦν ἔξοδον αὑτῷ, καὶ ἀπειργάσατο τὸ πάθος τοῦτο ὃ καλεῖν σεισμὸν εἰώθαμεν. τῶν δὲ σεισμῶν, οἱ μὲν εἰς τὰ πλάγια σείοντες κατ᾽ ὀξείας γωνίας ἐπικλίνται καλοῦνται. οἱ δὲ ἄνω ῥιπτοῦντες, καὶ κοῖλα, χασματίαι· οἱ δὲ χάσματα ποιοῦντες, καὶ γῆν ἀναρρηγνύντες, ῥῆκται. τούτων δὲ οἱ μὲν καὶ πνεύματα προσαναβάλλουσιν, οἱ δὲ πέτρας, οἱ δὲ πηλὸν, οἱ δὲ πηγὰς φαίνουσι τὰς πρότερον οὐκ οὔσας· οἵ τινες ἀποβρέκται καλοῦνται, καὶ ταμίαι προώσιον, ὡς καλοῦσι καὶ ἀπὸ παλμῶν διορθοῦντες ἀεὶ τὸ σειόμενον, παλματίαι λέγονται, τρόμῳ πάθος ὅμοιον ἀπεργαζόμενοι. γίγνονται δὲ καὶ μυκηταὶ σεισμοὶ, σείοντες τὴν γῆν μετὰ βρόμου. πολλάκις δὲ καὶ χωρὶς σεισμοῦ γίγνεται μύκημα γῆς, ὅταν τὸ πνεῦμα σείειν μὲν, μὴ αὔταρκες ᾖ· εἰλούμενον δὲ ἐπ᾽ αὐτῇ κόπτηται μετὰ ῥοθίου βίας· συσσωματοποιεῖται δὲ τὰ σείοντα πνεύματα, καὶ ὑπὸ τῶν ἐν τῇ γῇ ὑγρῶν κεραννύμενα. τὰ δὲ ἀνάλογον συμπίπτει τούτοις, καὶ ἐν θαλάττῃ γίγνονται χάσματα θαλάττης, καὶ ἀναχωρήματα πολλάκις, καὶ κυμάτων περιδρομαὶ, ποτὲ μὲν ἀνταποκοπὴν ἔχουσαι, ποτὲ δὲ πρόοδον μόνον· ὥσπερ ἱστορεῖται περὶ Ἑλίκην τε, καὶ Βοῦραν. πολλάκις δὲ καὶ ἀναφυσήματα γίγνονται πυρὸς ἐν τῇ θαλάττῃ, καὶ πηγῶν ἀναβλύσεις, καὶ ποταμῶν ἐκβολαὶ, καὶ δένδρων ἐκφύσεις, ῥοαί τε καὶ δῖναι, τῶν πνευμάτων ἀνάλογον. αἱ μὲν ἐν μέσοις πελάγεσιν, αἱ δὲ κατὰ τοὺς εὐρίπους τε, καὶ πορθμούς. πολλαί τε ἀμπώτεις λέγονται κυμάτων ἀρσεις,

ἀρχῆς συμμεταβάλλειν ἀεὶ τῇ σελήνῃ, κατά τινας ὡρισμένας καιρούς· ὡς δὲ τὸ πᾶν εἰπεῖν, τῶν στοιχείων κεκραμένων ἀλλήλοις ἔν ἀέρι τε καὶ γῇ, καὶ θαλάττῃ, κατὰ τὸ εἰκὸς αἱ τῶν παθῶν ὁμοιότητες συνίστανται), τοῖς μὲν ἐπὶ μέρους φθορὰς καὶ γενέσεις φέρουσαι, τὸ δὲ σύμπαν, ἀγένητόν τε καὶ ἀνώλεθρον, φυλάττουσαι· καίτοι γέ τις ἐθαύμαζε πῶς ποτε ἐκ τῶν ἐναντίων ἀρχῶν συνεστηκὼς ὁ κόσμος, λέγω δὲ ξηρῶν τε καὶ ὑγρῶν, ψυχρῶν τε καὶ θερμῶν, οὐ πάλαι διέφθαρται καὶ ἀπόλωλεν· ὡς κἂν εἰ πόλιν τινὲς θαυμάζοιεν ὅπως διαμένει συνεστηκυῖα ἐκ τῶν ἐναντιωτάτων ἐθνῶν, πενήτων λέγω καὶ πλουσίων, νέων, γερόντων, ἀσθενῶν, ἰσχυρῶν, πονηρῶν, χρηστῶν· ἀγνοοῦσι δὲ ὅτι τοῦτ᾽ ἐστι πολιτικῆς ὁμονοίας τὸ θαυμασιώτατον· λέγω δὲ τὸ μίαν ἐκ πολλῶν, καὶ ὁμοίαν ἐξ ἀνομοίων ἀποτελεῖν διάθεσιν ὑποδεχομένην πᾶσαν καὶ φύσιν καὶ τύχην· ἴσως δὲ τῶν ἐναντίων ἡ φύσις γλίχεται καὶ ἐκ τούτων ἀποτελεῖ τὸ σύμφωνον, οὐκ ἐκ τῶν ὁμοίων, ὥσπερ ἀμέλει τὸ ἄρρεν συνήγαγε πρὸς τὸ θῆλυ· καὶ οὐχ ἑκάτερον πρὸς τὸ ὁμόφυλον, καὶ τὴν πρώτην ὁμόνοιαν διὰ τῶν ἐναντίων συνῆψεν, οὐ διὰ τῶν ὁμοίων· ἔοικε δὲ καὶ ἡ τέχνη, τὴν φύσιν μιμουμένη, τὸ αὐτὸ ποιεῖν· ζωγραφία μὲν γὰρ λευκῶν τε καὶ μελάνων ὠχρῶν τε καὶ ἐρυθρῶν χρωμάτων ἐγκερασαμένη φύσεις, τὰς εἰκόνας τοῖς προηγουμένοις ἀπετέλεσε συμφώνους. μουσικὴ δὲ ὀξεῖς ἅμα δὲ καὶ βαρεῖς, μακρούς τε καὶ βραχεῖς φθόγγους. γραμματικὴ δὲ φωνηέντων τε καὶ ἀφώνων γραμμάτων κρᾶσιν ποιησαμένη, τὴν ὅλην τέχνην ἀπ᾽ αὐτῶν συνεστήσατο. ταὐτὸ δὲ τοῦτ᾽ ἦν παρὰ τῷ σκοτεινῷ Ἡρακλείτῳ λεγόμενον, συλλήψιες ὅλα καὶ οὐχ ὅλα, συμφερόμενον καὶ διαφερόμενον, συνᾷδον, διᾷδον, ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα· οὕτως οὖν καὶ τὴν τῶν ὅλων σύστασιν, οὐρανοῦ λέγω καὶ γῆς, τοῦ τε σύμπαντος κόσμου διὰ τῆς τῶν ἐναντιωτάτων κράσεως ἀρχῶν, μία διεκόσμησεν ἁρμονία· ξηρὸν γὰρ ὑγρῷ, ψυχρόν τε θερμῷ μιγέν, βαρεῖ τε κοῦφον, καὶ ὀρθὸν περιφερεῖ, γῆν τε πᾶσαν, καὶ αἰθέρα, καὶ ἥλιον, καὶ σελήνην, καὶ τὸν ὅλον οὐρανὸν ἐκόσμησε· μία δὲ διὰ πάντων διήκουσα δύναμις ἐκ τῶν ἀμίκτων καὶ ἑτερείων, ἀέρος τε καὶ γῆς, καὶ πυρὸς, καὶ ὕδατος, καὶ σύμπαντα κόσμον δημιουργήσασα, καὶ μιᾷ περιλαβοῦσα σφαίρας ἐπιφανεία· τάς τε ἐναντιωτάτας ἐν αὐτῷ φύσεις ἀλλήλαις ἀναγκάσασα ὁμολογῆσαι, καὶ ἐκ τούτων μηχανησαμένη τῷ παντὶ σωτηρίαν. αἰτία δὲ ταύτης ἡ τῆς ὁμολογίας ἰσομοιρία· καὶ τὸ μηδὲν αὐτῶν πλεῖον ἕτερον δύνασθαι· τὴν γὰρ ἴσην ἀντίτασιν ἔχει τά τε βαρέα πρὸς τὰ κοῦφα, καὶ τὰ θερμὰ πρὸς τὰ θάτερα τῆς φύσεως ἐπὶ τῶν μειζόνων διδασκούσης, ὅτι τὸ ἴσον σωστικόν πως ἐστὶν ὁμονοίας· ἡ δὲ ὁμόνοια τοῦ πάντων γενετῆρός τε καὶ περικαλλεστάτου κόσμου. τίς γὰρ ἂν εἴη φύσις τοῦδε κρείττων; ἣν γὰρ ἂν εἴπῃ τις μέρος ἐστὶν αὐτοῦ, τό τε καλὸν πᾶν ἐπώνυμόν ἐστι τούτου, καὶ τὸ τεταγμένον ἀπὸ τοῦ κόσμου λεγόμενον κεκοσμῆσθαι· τί δὲ τῶν ἐπὶ μέρους

& decessiones fieri dicuntur ad Lunæ cursum statis temporibus. Atq. vt in summa rem proponam, operum similitudines non sine ratione excitantur, elementis inter se concretis in aere, terra, & mari. Ac per partes quidē ortus efficitur, & interitus inuehitur, cùm vniuersitas nec natiua, nec mortalis sit. Atqui non defuerunt qui mirabantur, quomodo si mūdus ex principiis contrariis compactus & coagmentatus est, siccis, humidis, frigidis, calidis, iampridē in interitum delapsus non sit: perinde ac si qui mirarentur, qua ratione ciuitas incolumi statu permaneat, quæ tamē cōstituta sit ex diuersis hominum generibus, egentium & diuitū, iuuenū & senum, imbecillium & valentū, improborū & proborum. Sed ignorant hoc maxima admiratione dignū in ciuili cōcordia, quippe cùm hac in re ex multis vnus, ex dissimilibus similis efficitur status, vbi omnium rerū natura & fortuna adest. Ac fortè quidē natura ad contraria miro fertur desiderio, atq. concentū ex his facit, nō vt ex similibus, vt cùm marē femina coniunxit (certè tum non vtriusq. sexus prolem ad cognatæ naturæ prolem aggregauit) imò non per similes res, sed per contrarias primā instituit coniunctionē. Ars item ad imitationē naturæ sese componēs, hoc idem videtur præstare. Nā in pictura cùm natura coloris albi, nigri, lutei, rubri confundūtur, tabella propositis exemplaribus similes reddūtur. In musica cùm soni acuti, graues, stabiles, breues diuersis in vocibus miscentur, vnus perficitur cōcentus. Grāmatica cùm ex literis partim vocalibus, partim mutis concretionē quandam effecisset, ab iisdē vniuersam deduxit artē. Atq. hoc idem est, quod etiam apud Heraclitū reperitur, qui obscuri cognomē meruit. si inter se, inquit, crispa & recta, vtile & inutile, consonum & absonū coniunxeris, ex vniuersis vnum, ex vno vniuersa prodibūt. Ita rerū omnium constitutionem, cæli inquā et terræ vniuersiq. mūdi concretionē, principiorum maximè contrariorū vno exornauit atq. instruxit cōcentu. Vis enim quadam per omnia dimanans & transiens, siccitatē humori, calorem frigori, leue graui cōmistum, & rectum rotundo, terramq. omnē, mare, æthera, Solem, Lunam, & vniuersum exornauit cælū, cùm mundū fabricata esset ex diuersis & nullo pacto cōmistilibus, aere, terra igni, aqua, & imagine vna, qua globos cōprehendit. Atq. etiam maximè cōtrarias naturas in eo ad mutuam coegit conuenientiā, et per hæc salutē peperit vniuerso. cuius quidē causa est elementorum cōsensio, & quasi mutua cōspiratio. huius autē æqua partitio, et quædā planè facultas, qua nihil aliud alij præstat. Grauia enim æqualē habent renisum leuiū, & calida aliorū, quando natura exemplo maiorum doceat æquabilitatem ad conseruandam concordiam mirabiliter esse accōmodatam. concordia verò est omnium parentis, atq. adeo pulcerrimi mundi. Et quænam quæso natura præstātior hac fuerit? Si partem dederis, illius nimirū pars erit: id autē quod pulcrū est, totū illius cognominis est: atq. id quod dispositū et cōstans habetur, ab ipso mūdo ornari dicitur. Quid

item singulare vnquã poterit æquari cælesti ordini, & volubilitati? cùm sidera & Sol & Luna conuer tantur exactissima norma de alio in aliud sæculum. Quæ enim vnquã talis erit certa constantia, qualẽ pulcra tempora, eademq́ rerũ omnium procreatricia seruant, certo ordine æstatem, hiemem, noctes diesq́, in exitũ mensis & anni reuocantia. Quinetiã ipse ille mundus amplitudine est summus, motu incitatissimus, splendore fulgentissimus, nec vetustescens, nec occidens vnquam. Idem genera animaliũ aquatilium, pedestrium, & volucrium distinxit, & suis ipsius conuersionibus viuendi tempora præscripsit. Huius quidẽ beneficio vniuersa animalia tũ spirant, tum animãtur. huius est, quòd rerum nouitates admirationem parientes rato certoq́ ordine perficiantur. Cùm verò cuiusq. generis venti agitent, & calitus fulmina decidant, & rapidæ tempestates effundantur, ac propterea vdum exprimatur, igneũ emicet ac difflctur: nimirũ mundus vniuersum ipsum inter sese consentire facit, & rectè omnia cõstituit. Terra multiplici satorum genere virens, et scatebris aquarũ affluens, & vestigiis animaliũ pressa, certis tẽporibus omnia procreando, alendo & suscipiendo, & infinita rerum genera & opera producendo, naturam nihil vetustescentem æquè custodit, quanquã terræ motionibus cõcutiatur, et profluuie obruatur, & per partes exuratur. Cõstat enim hæc omnia ab honesta re & bona emanantia, salutem ei præstare sempiternam. Atq. cùm eadem ipsa terra cõcutitur, spiritus illapsi excurrũt, per dirupta & hiantia loca exhalantes, vt paulo antè memorauimus. Pluuiis itẽ aquis munda facta, quicquid pestilens est, eluitur. Auris etiã afflata, partes quæ abditiores sunt, quæq́ supra eam extant, puriores euadunt, & integriores. Atqui flammæ etiam id quod multo gelu coactũ est, plenum reddunt: gelu autẽ genera flammas remittunt, & per partes alia gignuntur, alia virent, alia occidunt. Et rerũm quidẽ ortus ipsos astringunt occasus, occasus autẽ ortus leniores efficiunt: vna verò ex omnibus parta salus propagatur, cùm res illæ aduersæ, eodemq́ mutuo conatu conflictẽtur, & modò superantes, modò superata, vniuersum in omniũ sæculorum posteritatem ab interitu vindicent.

Mercurij ad Tatium.

Ego & humanitate ductus, & erga Deum pietate, fili, isto primùm conscribo. Nulla enim verior potest esse pietas, quàm res cognoscere, deq́ iis opifici gratias agere; id quod nunquã facere desinam. Quo pacto quis igitur, pater, si nihil heic est veri, honestè vitam transigat? Pietatem cole, fili. quod qui facit, maximam philosophiæ nauat operam. siquidẽ absq. philosophia nemo pietatem possit colere. Qui cognouerit, qualia quæq. sint, quoq́ ordine, & à quo, quaq́ de causa disposita, gratias agit opifici, tanquam bono patri, probo nutricio, & fido tutori. quod qui facit, pietatem colet, itaq́ & vbi sit, & quæ sit veritas, cognoscet, ac tum pietatem etiam magis colet. Nunquam enim corpori inclusus animus, fili, cùm od ipsius boni ac veri cognitionem se erexerit, in contrarium relabi potest. Vehementi siquidem amore te-

δύναιτο ἂν ἐξισωθῆναι τῇ κατ' οὐρανὸν τάξει καὶ φορᾷ τῶν ἀστέρων, ἡλίου τε καὶ σελήνης κινουμένων ἀκριβεστάτοις μέτροις ἐξ αἰῶνος εἰς ἕτερον αἰῶνα. τίς δὲ γένοιτ' ἂν αὖ εὐδία τοιάδε, ἣν φυλάττουσιν αἱ καλαὶ καὶ γόνιμοι τῶν ὅλων ὧραι, θέρη τε καὶ χειμῶνας ἐπάγουσαι τεταγμένως, ἡμέρας τε νύκτας εἰς μηνὸς ἀποτέλεσμα, καὶ ἐνιαυτοῦ. καὶ μὴν μεγέθει μὲν ἐστὶν ἀνυπέρτατος, κινήσει δ' ὀξύτατος, λαμπρότητι δὲ τηλαυγέστατος, δυνάμει δὲ ἀήρεος καὶ ἄφθαρτος· ἐστὶν ἐνανδρίων ζώων, καὶ πεζῶν, τε ἀερίων φύσεις ἐχώρησε, καὶ βίους ἐμέτρησε τῇ αὐτοῦ κινήσει· ἐκ τούτου πάντα ἐμπνεῖται, καὶ ψυχὴν ἔχει τὰ ζῶα· ἐκ τούτου καὶ αἱ παράδοξοι νεοχμώσεις τεταγμένως ἀποτελοῦνται· συνταραττόντων μὲν ἀνέμων παντοίων, πιπτόντων δὲ ἐξ οὐρανοῦ κεραυνῶν, ῥηγνυμένων χειμώνων ἐξαιδίων, διά τε τούτων ναίπερ ἐκπιεζόμενον, τό, τε πυρῶδες διαπνεόμενον εἰς ὁμόνοιαν ἄγει τὸ πᾶν, καὶ καθίστησι· ἥ τε γῆ φυτοῖς κομῶσα κοσμηθεῖσα παντοδαποῖς νάμασί τε περιβρύουσα καὶ περιοχουμένη ζώοις, κατὰ καιρὸν ἐκφύουσά τε πάντα, καὶ τρέφουσα, καὶ δεχομένη, μυρίας φέρουσα ἰδέας καὶ πόας, τὴν ἀγήρω φύσιν ὁμοίως τηρεῖ· καίτοι γῆ καὶ σεισμοῖς τινασσομένη τε πλημμύραις ἐπικλυζομένη, πυρκαϊαῖς τε καθ' ἡμέραν φλογιζομένη· πάντα δὲ ἔοικεν αὐτῇ πρὸς ἀγαθὸν γενόμενα, τὴν δι' αἰῶνος σωτηρίαν παρέχειν. σειομένης τε γὰρ ἐξάττουσι ἄνω τῶν πνευμάτων παρεμπτώσεις, κατὰ ῥήγματα τὰς ἀναπνοὰς ἔχουσαι, καθὼς ἄνω λέλεκται· καθαιρομένη τε ὄμβροις ἀποκλύζεται πάντα νοσώδη· περιπνεομένη δὲ αὔραις τά τε ὑπ' αὐτὴν καὶ τὰ ὑπὲρ αὐτὴν εἰλικρινεῖται. καὶ μὴν αἱ φλόγες μὲν τὸ παγετῶδες παίουσιν· οἱ πάγοι δὲ τὰς φλόγας ἀνιᾶσι. καὶ τὰ ἐπὶ μέρους, τὰ μὲν γίγνεται, τὰ δὲ ἀκμάζει, τὰ δὲ φθείρεται· καὶ αἱ μὲν γενέσεις ἀνασπῶσι τὰς φθοράς· αἱ φθοραὶ δὲ κουφίζουσι τὰς γενέσεις. μία δὲ ἐκ πάντων περαινομένη σωτηρία δι' ἀτελοῦς ἀντιπαρεσταμένων ἀλλήλοις, καὶ τὸ μὲν περικρατοῦν, τὸ δὲ περικρατούμενον φυλάττει τὸ σύμπαν ἄφθαρτον δι' αἰῶνος.

Ἐγὼ, ὦ τέκνον, καὶ τῆς φιλανθρωπίας ἕνεκα, καὶ τῆς πρὸς τὸν θεὸν εὐσεβείας, πρῶτον τόδε συγγράφω· οὐδεμία γὰρ ἂν γένοιτο δικαιοτάτη εὐσέβεια, ἢ τοῦ νοῆσαι τὰ ὄντα, καὶ χάριν τῷ ποιήσαντι ὑπὲρ τούτων ὁμολογῆσαι, ὅπερ διατελῶν οὐ παύσομαι. τί οὖν ἄν τις πράττων, ὦ πάτερ, εἰ μηδὲ ἐστὶν ἀληθὲς ἐνθάδε, καλῶς διαγάγοι τὸν βίον; εὐσέβει, ὦ τέκνον. ὁ δὲ εὐσεβῶν ἄκρως φιλοσοφεῖ· χωρὶς γὰρ φιλοσοφίας, ἄκρως εὐσεβῆσαι ἀδύνατον· ὁ δὲ μαθὼν οἷά ἐστι καὶ πῶς διατέτακται, καὶ ὑπό τινος, καὶ ἕνεκεν τίνος, χάριν τῷ δημιουργῷ, ὡς πατρὶ ἀγαθῷ καὶ τροφεῖ χρηστῷ, καὶ ἐπιτρόπῳ πιστῷ. ὁ δὲ χάριν ὁμολογῶν εὐσεβήσει· ὁ δὲ εὐσεβῶν, εἴσεται καὶ ποῦ ἐστιν ἡ ἀλήθεια, καὶ τίς ἐστιν ἐκείνη. καὶ μαθὼν, ἔτι μᾶλλον εὐσεβέστερος ἔσται. οὐδέποτε γὰρ, ὦ τέκνον, ψυχὴ ἐν σώματι οὖσα, καὶ κουφίσασα ἑαυτὴν ἐπὶ τὴν κατάληψιν τοῦ ὄντος ἀγαθοῦ καὶ ἀληθοῦς ὀλισθῆσαι δύναται ἐπὶ τὸ ἐναντίον· δεινὸν γὰρ ἔρωτα

ἐμοὶ ἐν τῷ πρὸς τάτ.

ἴχει

ἴσχει καὶ λήθην πάντων τῶν κακῶν ψυχὴ μαθοῦσα ἑαυτῆς τὸν προπάτορα, καὶ οὐκ ἔτι ἀποστῆναι τοῦ ἀγαθοῦ δύναται. τοῦτο, τέκνον, τοῦτο εὐσεβείας ἔστω τέλος, ἐφ' ὃ ἀφικνούμενος καὶ καλῶς βιώσῃ, καὶ εὐδαιμόνως τεθνήξῃ, τῆς ψυχῆς σου μὴ ἀγνοούσης, ποῦ αὐτὴν δεῖ ἀναπτῆναι. αὕτη γὰρ μόνη ἐστὶν, ὦ τέκνον, ἡ πρὸς τὴν ἀλήθειαν ὁδὸς, ἣν καὶ οἱ ἡμέτεροι πρόγονοι ὥδευσαν, καὶ ὁδεύσαντες, ἔτυχον τοῦ ἀγαθοῦ. σεμνὴ αὕτη ὁδὸς καὶ λεία, χαλεπὸν δὲ ψυχῇ ὁδεῦσαι ἐν σώματι οὔσῃ. πρῶτον μὲν γὰρ αὐτὴν ἑαυτῇ πολεμῆσαι δεῖ, καὶ διάστασιν μεγάλην ποιῆσαι, καὶ ὑπὸ τοῦ ἑνὸς μέρους πλεονεκτηθῆναι. ἑνὸς γὰρ γίνεται πρὸς δύο ἡ στάσις, τοῦ μὲν φεύγοντος, τῶν δὲ κατασχεῖν ἀνθελκόντων· ἡ δὲ νίκη ἀμφοτέρων οὐχ ὁμοία. τὸ μὲν γὰρ πρὸς τὸ ἀγαθὸν σπεύδει, τὰ δὲ πρὸς τὰ κακὰ κατοικεῖ· καὶ τὸ μὲν ἐλευθερωθῆναι ποθεῖ, τὰ δὲ τὴν δουλείαν ἀγαπᾷ. κἂν μὲν νικηθῇ τὰ δύο μέρη, μεμένηκεν ἑαυτῶν ἔρημα, καὶ τοῦ ἄρχοντος. ἐὰν δὲ τὸ ἓν ἡττηθῇ, ὑπὸ τῶν δύο ἄγεται καὶ φέρεται τιμωρούμενον τῇ ἐνθάδε διαίτῃ. αὕτη ἐστὶν, ὦ τέκνον, ὁ τῆς ἐκεῖσε ὁδοῦ ἀγωγός· δεῖ γάρ σε, ὦ τέκνον, πρῶτον τὸ σῶμα πρὸ τοῦ τέλους ἐγκαταλεῖψαι, καὶ νικῆσαι τὸν ἐναγώνιον βίον, καὶ νικήσαντα οὕτως ἀνελθεῖν. νῦν δὲ, ὦ τέκνον, κεφαλαίοις τὰ ὄντα διεξελεύσομαι· νοήσεις γὰρ τὰ λεγόμενα μεμνημένος ὧν ἤκουσας. πάντα τὰ ὄντα κινεῖται· μόνον τὸ μὴ ὂν, ἀκίνητον. πᾶν σῶμα μεταβλητόν. οὐ πᾶν σῶμα διαλυτόν, ἔνια τῶν σωμάτων διαλυτά. οὐ πᾶν ζῶον θνητὸν, οὐ πᾶν ζῶον ἀθάνατον. διαλυτὸν φθαρτὸν, τὸ μένον, ἀμετάβλητον, τὸ ἀμετάβλητον ἀΐδιον. δὲ τὸ ἀεὶ γινόμενον, ἀεὶ καὶ φθείρεται· τὸ δὲ ἅπαξ γινόμενον, οὐδέποτε φθείρεται, οὐδὲ ἄλλο τι γίνεται. πρῶτον ὁ θεὸς, δεύτερον ὁ κόσμος, τρίτον ὁ ἄνθρωπος. ὁ κόσμος διὰ τὸν ἄνθρωπον, ὁ δὲ ἄνθρωπος διὰ τὸν θεόν. ψυχῆς τὸ μὲν αἰσθητὸν, θνητόν· τὸ δὲ λογικὸν ἀθάνατον. πᾶσα οὐσία ἀθάνατος, πᾶσα οὐσία μεταβλητή. πᾶν τὸ ὂν διττὸν, οὐδὲ τῶν ὄντων ἕστηκεν. οὐ πάντα ψυχῇ κινεῖται, πᾶν δὲ ὂν ψυχῇ κινεῖται. πᾶν τὸ πάσχον αἰσθάνεται, πᾶν τὸ αἰσθανόμενον πάσχει· πᾶν τὸ λυπούμενον, καὶ ἥδεται ζῶον θνητόν. οὐ πᾶν τὸ ἡδόμενον λυπεῖται ζῶον ἀΐδιον. οὐ πᾶν σῶμα νοσεῖ· πᾶν σῶμα νοσοῦν, διαλυτόν. ὁ νοῦς ἐν τῷ θεῷ, ὁ λογισμὸς ἐν τῷ ἀνθρώπῳ· ὁ λογισμὸς ἐν τῷ νῷ, ὁ νοῦς ἀπαθής. οὐδὲν ἐν σώματι ἀληθές, ἐν ἀσωμάτῳ τὸ πᾶν ἀψευδές. πᾶν τὸ γινόμενον, φθαρτόν. οὐδὲν ἀγαθὸν ἐπὶ τῆς γῆς. οὐδὲν κακὸν ἐν τῷ οὐρανῷ. ὁ θεὸς ἀγαθὸς, ὁ ἄνθρωπος κακός. τὸ ἀγαθὸν ἑκούσιον, τὸ κακὸν ἀκούσιον. οἱ θεοὶ τὰ ἀγαθὰ αἱροῦνται ὡς ἀγαθά. ἡ εὐνομία μεγάλη, εὐνομία· ἡ εὐνομία, ὁ νόμος. θεῖος χρόνος, νόμος ἀνθρώπινος. κακία κόσμου τροφή, χρόνος ἀνθρώπου φθορά. πᾶν ἐν οὐρανῷ ἀμετάθετον. πᾶν τὸ ἐπὶ γῆς μετάθετον. οὐδὲν ἐν οὐρανῷ δοῦλον, οὐδὲν ἐπὶ γῆς ἐλεύθερον. οὐδὲν ἄγνωστον ἐν οὐρανῷ, οὐδὲν γνώριμον ἐπὶ τῆς γῆς. οὐ κοινωνεῖ τὰ ἐπὶ γῆς τοῖς ἐν οὐρανῷ. πάντα ἐν οὐρανῷ ἄμωμα, πάντα τὰ ἐπὶ γῆς ἐπίμωμα. τὸ ἀθάνατον οὐ θνητὸν, τὸ θνητὸν οὐκ ἀθάνατον. τὸ σπαρὲν, οὐ πάντως γεννητόν· τὸ δὲ γεννητὸν πάντως καὶ σπαρέν. διαλυτοῦ σώματος δύο χρόνοι· ὁ ἀπὸ τῆς

netur, omniumq́ malorũ obliniſcitur animus, cùm parentem ſuum cognouerit, nec poſtea bonum poteſt relinquere. Atq. hic pietatis eſto finis, fili, quem conſecutus & rectè viues, & beatè morieris, cùm tuus non ignorabit, quò ipſi euolandum ſit, animus. Hæc enim ſola veritatis eſt via, quam etiam maiores noſtri ingreſſi, bonum ſunt cõſecuti. ea quanquã præclara eſt ac facilis, difficulter tamẽ ab animo corpori incluſo peragrari poteſt. Primùm enim ipſum oportet ſecum pugnare, magnumq́ excitare diſſidium, et alteri parti cedere. Vnus enim cum duobus pugnat, ipſe fugiens cum illis retrahentibus. Neq. ſimilis eſt vtrorumq́ victoria. ſiquidem illud bonum appetit, hæc mala; illud liberari cupit, hæc ſeruire. Iam ſiue duæ partes ſuperentur, ſeipſis ac rectore deſtituuntur; ſiue vnus vincatur, duorum arbitrio verſatur, ſupplicium hac vita dans. Atq. hic eſt, fili, viæ illius dux. Primùm enim corpus relinquẽdum eſt, ac vita ſuperanda, deinde poſt victoriam aſcendendum. Nunc autem, fili, ſingula per capita percurram. ſiquidem quæ dicam, eorum quæ audieris memor, intelliges. Quicquid eſt, mouetur: ſolum, quod nõ eſt, non mouetur. Omne corpus mutari poteſt. Non omne corpus diſſolui poteſt: quædam corpora poſſunt. Non omne animal eſt mortale. non omne immortale. Quod diſſolui poteſt, interire poteſt. Quod manet, mutari non poteſt: quod mutari nõ poteſt, æternum eſt. Quod ſemper naſcitur, ſemper interit: quod ſemel naſcitur, nunquam interit, nec in aliud mutatur. Primum Deus eſt, alterum mundus, tertium homo. Vt mundus propter hominem, ita homo propter Deum. Anima ſenſus particeps, mortalis eſt: animo rationis particeps, immortalis. Omnis ſubſtantia eſt immortalis: omnis ſubſtantia mutabilis. Quicquid eſt, duplex eſt: nihil, quod eſt, conſiſtit. Non omnia mouentur animo: quicquid eſt, mouetur animo. Quicquid patitur, ſentit: quicquid ſentit, patitur. Quicquid dolet, etiam gaudet, animal mortale: non omne quod *gaudet, etiam dolet, animal immortale. Non omne corpus ægrotat: omne corpus ægrotans diſſolui poteſt. Mens in Deo eſt, in homine ratio. Ratio in mente eſt: mens pati nequit. In corpore nihil eſt verum: in incorporeo nihil falſum. Quicquid natum eſt, interire poteſt. Nihil in terra bonum eſt: nihil in cælo malum. Deus eſt bonus, homo malus. Bonum cum voluntate coniunctũ eſt, malum ab ea ſeiunctum. Dij bona vt bona expetunt. Tempus diuinum eſt, lex humana. Mundi alimentum eſt vitium, hominis interitus tempus. Quicquid in cælo eſt, transferri nequit: quicquid in terra eſt, poteſt. Nihil eſt in cælo ſeruum: nihil in terra liberum. Nihil eſt in cælo ignotum, nihil in terra notum. Non ſunt ſimilia cæleſtibus terreſtria. Omnia cæleſtia crimine carent: omnia terreſtria ſunt infecta. Immortale non eſt mortale: mortale non eſt immortale. Quod ſatum eſt, non prorſus eſt natum: quod natum eſt, prorſus etiam ſatum. Corporis mortalis duo ſunt tempora; vnum à ſatione ad ortum,

*ἡδόμενον pro λυπούμενον.

ἀγαθοποιὸν φύσεως, τὰν δ' ἕνα τᾶς κακοποιῶ· διὰ τοῦτο καὶ τὰ τέχνᾳ καὶ τὰ φύσει γιγνόμενα δύο τούτων πρᾶτον μετειλήφει, τᾶς τε μορφῶς, καὶ τᾶς ὠσίας. καὶ ἁ μὲν μορφώ ἐστιν αἰτία, τοῦτο δέ τι εἶμεν· ἁ δὲ ὠσία, τὸ ὑποκείμενον παραδεχόμενον τὰν μορφώ. οὔτε δὲ τὰ ὠσία οἷόν τε ἐστὶ μορφᾶς μετῖμεν αὐτὰ ἐξ αὐτᾶς, οὔτε μὰν τὰν μορφὼ γενέσθαι περὶ τὰν ὠσίαν· ἀλλ' ἀναγκαιοτέραν τινὰ εἶμεν αἰτίαν, τὰν κινάσοισαν ἀνεστῶσαν πραγμάτων ἐπὶ τὰν μορφώ, ταύταν δὲ, τὰν πράταν τᾷ δυνάμει, καὶ καθυπερτάταν εἶμεν τᾶν ἀλλᾶν· ὀνομάζεσθαι δ' αὐτὰ ποθήκει θεόν. ὥστε τρεῖς ἀρχὰς εἶμεν ἤδη, τόν τε θεὸν, καὶ τὰν ἐστὼ τῶν πραγμάτων καὶ τὰν μορφώ· καὶ τὸν μὲν, θεὸν τεχνίταν, καὶ τὸν κινέοντα· τὰν δ' ἐστὼ τὰν ὕλαν, καὶ τὸ κινούμενον· τὰν δὲ μορφὼ, τὰν τέχναν καὶ πόθον κινέεται ὑπὸ τῶ κινέοντος ἐστώ· ἀλλ' ἐπεὶ τὸ κινούμενον ἐναντίας ἑαυτῷ δυνάμεις ἴσχει τὰς τῶν ἁπλῶν σωμάτων, τὰ δ' ἐναντία συναρμογᾶς τινος δεῖται καὶ ἑνώσιος, ἀνάγκη ἀριθμῶν δυνάμιας καὶ ἀναλογίας, καὶ τὰ ἐν ἀριθμοῖς καὶ γεωμετρικοῖς δεικνύμενα παραλαμβάνειν, ἃ καὶ συναρμόσαι καὶ ἑνῶσαι τᾷ δυνάσει τι ἐν τᾷ ἐστοῖ τῶν πραγμάτων ποτὰν μορφώ. καθ' αὑτὰν μὲν γὰρ ἔσσα ἁ ἐστὼ, ἄμορφος ἐστὶ· κιναθεῖσα δὲ ποτὶ τὰν μορφὼ, ἔμμορφος γίγνεται, καὶ λόγον ἔχουσα τᾶς συντάξιος· ὁμοίως δὲ καὶ τὸ διοικεῖται τὸ κινούμενον ἐστὶ τὸ πρᾶτος κινέον· ὥστ' ἀνάγκα τρεῖς εἶμεν τὰς ἀρχὰς, τάν τε ἐστὼ τῶν πραγμάτων, καὶ τὰν μορφὼ, καὶ τὸ ἐξ αὑτοῦ κινατικὸν, καὶ ἀόρατον δυνάμει· τὸ δὲ τοιοῦτον ὀνόμον μόνον εἶμεν δεῖ, ἀλλὰ καὶ νόω τι κρέσσον· νόω δὲ κρέσσον ἐστὶ, ὅπερ ὀνομάζομεν θεὸν φανερόν. ὁ μὲν τοῦ ἴσω λόγος περὶ τὰν ῥητὰν, καὶ λόγον ἔχοισαν φύσιν ἐστίν· ὁ δὲ τῶ ἀνίσω περὶ τὰν ἄλογον, καὶ ἄρρητον· αὐτὰ δ' ἐστὶ δ' ἐστώ, καὶ διὰ τοῦτο γένεσις καὶ φθορὰ γίγνεται περὶ ταύταν, καὶ οὐκ ἄνευ ταύτας.

Τὰ κατηγορούμενα τοῦ αἰσθητοῦ καὶ ἐνύλου ἀληθῶς ἐστὶ ταῦτα, τὸ πάντη εἶναι διαπεφορημένον, τὸ μεταβλητὸν εἶναι, τὸ ὑφεστάναι ἐν ἑτερότητι, τὸ συνθετὸν εἶναι, τὸ καθ' ἑαυτὸ ὑπάρχειν, τὸ ἐν τόπῳ, τὸ ἐν ὄγκῳ θεωρεῖσθαι, καὶ ὅσα τούτοις παραπλήσια· τοῦ δὲ ὄντως ὄντος καὶ καθ' αὑτὸ ὑφεστηκότος αὐτοῦ τὸ εἶναι ἀεὶ ἐν ἑαυτῷ ἱδρυμένον· ὡσαύτως τὸ κατὰ ταὐτὰ ἔχειν, τὸ ἐν ταὐτότητι οὐσιοῦσθαι, τὸ ἀμετάβλητον εἶναι κατ' οὐσίαν, τὸ ἀσύνθετον, τὸ μήτε λυτὸν, μήτε ἐν τόπῳ εἶναι, μήτε εἰς ὄγκον διαπεφορῆσθαι, τὸ μήτε γενόμενον μήτε ἀπολλύμενον εἶναι· καὶ ὅσα τοιαῦτα ὧν ἐχομένους δεῖ μηδ' ἐπ' ἄλλον ταῖς περὶ τῆς διαφόρου αὐτῶν φύσεως, καὶ αὐτοὺς λέγειν, καὶ ἄλλων λεγόντων ὑπακούειν.

Ψυχὴ τοίνυν οὐσία ἐστὶν ἀσώματος, καὶ ἐν σώματι δὲ οὖσα, οὐκ ἐκβαίνει τῆς ἰδίας οὐσιότητος· τυγχάνει γὰρ οὖσα ἀκίνητος κατ' οὐσίαν, καὶ κατὰ νόησιν αὐτοκίνητος, οὐκ ἔν τινι κινουμένη, οὐ πρός τι, οὐ ἕνεκέν τινος· προτερεῖ γὰρ τῇ δυνάμει, τὰ δὲ πρότερα οὐ δεῖται τῶν ὑστέρων· τὸ ἔν τινι τοίνυν ἐστὶν ὁ τόπος καὶ χρόνος, καὶ φύσις· τὸ δὲ πρός τι ἐστὶν ἁρμονία, καὶ εἶδος, καὶ σχῆμα· τὸ δὲ οὗ ἕνεκα γὰρ σώματος, καὶ χρόνος, καὶ τόπος, καὶ φύσις. ταῦτα δὲ κατὰ συζυγίαν οἰκειότητα κοινωνεῖ ἀλλήλοις· ἐπεὶ τοίνυν τὸ σῶμα ἐδεῖτο τόπου, ἀμήχανον γὰρ ἦν συστῆναι σῶμα ἄνευ τόπου, καὶ μεταβάλλεται φυσικῶς· ἀδύνατον δὲ μεταβολὴν εἶναι ἄνευ χρόνου, καὶ τῆς κατὰ

sit, alterum mali causa, duæ quoque rationes requirũtur, altera boni auctoris naturæ, altera mali. Quapropter tum artis tum naturæ opera hæc duo primùm nanciscuntur, formã & substantiã: quarum illa certum quid esse rem facit, hæc illam subiecta recipit. Atqui nec substantia per se potest formam recipere, nec illa hanc vestire; sed maior alia requiritur causa, quæ* substantiam ad formã perducat, eademq́; prima sit ac potentissima: quam quidẽ vocari conuenit Deum. Itaq. tria iam sunt principia, Deus, substantia, & forma; Deus quidẽ opifex & motor, substantia autẽ materia ac mota, forma verò ars, & vnde mouetur à motore substantia. Iam quia, quod mouetur, contrarias habet in se corporum simplicium vires, contraria autẽ compagem quandam & copulam desiderãt; numerorum vires ac proportiones, & Arithmeticas, Geometricasq́; demonstrationes oportet assumere, quæ substantiam cũ forma compingere et copulare possint. Nam per se quidem substantia forma caret, formæ autem admota, formam accipit, & compositionis rationẽ. Ac similiter si quid mouetur, oportet aliquid esse quod per se moueat. Quocirca tria sunt ponenda principia, substãtia, forma, quodq́; per se mouet, nec cernitur: quod quidem non tantùm existere oportet, sed etiam menti præstare. menti autem præstat, quẽ Deum vocamus. Itaq. æqualis quidem ratio ad effabilem & rationis participem naturam, inæqualis autẽ ad rationis expertem & ineffabilem pertinet. ea verò substantia est, ideoq́; in hac, non absq. hac ortus & interitus cernuntur.

Rebus sub sensum cadentibus & materia constantibus hæc tribuuntur, vt in omnem partẽ differantur, vt mutari possint, vt in altero consistãt, vt composita sint, vt in loco ac mole cernantur, ac si quæ sunt similia: quod autem re vera est ac per se subsistit, ei tribuuntur hæc, vt semper in se sit aptum, vt eodem pacto se habeat, vt in eodem consistat, vt naturam mutare nequeat, vt simplex sit; vt solui nequeat, vt locum non habeat, vt in molẽ non distendatur, vt nec oriatur nec intereat, ac si quæ sunt similia. quæ quidem sequentes de diuersa ipsorum natura tum ipsos conuenit loqui, tum alios loquentes audire.

Anima igitur natura est incorporea, quæ ne in corpore quidem suam perdit naturam. Etenim secundum naturam est immobilis, secundũ intellectum à se mouetur, nec in quoquam, nec ad aliquid, nec propter aliquid mota: siquidem vires eius priores sunt, ac priora posterioribus non indigent. Itaq. quod in quoquam dicitur, locus intelligitur, ac tempus, & natura; quod ad aliquid, harmonia, forma, & figura, quod propter aliquid, corpus, quoniam propter hoc et tempus est, & locus, & natura. quæ quidem sunt inter se cognata. Et quoniam locum requirit corpus, sine quo nequit consistere; ac natura mutatur, id quod absq. tempore & motu naturali nequit fieri; neq.

citra

[Margin notes:] * ... pro ... — Porphyrii Gradibus ad intellecta percipienda. — Mercur. ad Amm.

extra harmoniam potest corpus consistere: corporis igitur causa locus est, qui mutationes eius recipiens, id quod mutatur, interire non sinat. Quod autem mutatur, de alio in aliud transit, & ut habitum amittit, ita corpus retinet, eiusq́; in quod mutatur, habitum sumit. siquidem corpus quidē manet, quædam autem affectio interit, itaq́; secundum affectionem corpus mutatur. Quapropter corpore carent locus, tempus, & motus naturalis. Atq. horum singula proprietatem suam habēt, locus quidem *ambitum, tempus autem intervallum ac numerum, natura vero motum, harmonia porrò amicitiam, corpus denique mutationē. at animæ proprius est secundum naturam intellectus.

ἀμοχὰ pro περιοχά.

Rerum cognitionis *principium de iis, quæ cernuntur, sumitur. ea verò partim intellectu, partim sensu percipiuntur; hoc mobilia, illo immobilia: quorum priora mundo, posteriora sensu indicantur. Quæ autē non cernuntur, partim scientia, partim opinione comprehenduntur; illa immobilia, hæc mobilia. Ac tria quædam requirūtur, quod iudicet, quod iudicetur, & ad quod iudicetur: quorum primum est mens ac sensus, alterum ratio, tertium id quod cernitur; id quod partim intellectu, partim sensu percipitur. Indicat porrò rationem mens nunc rei intellectu, nunc sensu perceptæ inhærens. unde & figurarū ac numerorum captiones in Geometria existunt, & verisimiles in politicis ac physicis ortus & factorum causa. Etenim harmoniam quidem duplam rationem habere, intellectu percipitur; convenire autem hanc rationem sensus docet. Quin etiam mechanici secundum intellectum figuras, numeros, & proportiones usurpant. at effectus ad sensum referuntur, quandoquidem in materia & motu cernuntur. Deniq. rei causam nemo cognoverit, nisi eius naturam antè considerarit. Ac natura quidem cuiusq. mente iudicatur, causa autē & modus ratione & sensu: ratione quidem, cùm aliquid necessariò efficitur: sensu vero, cùm sensus adfertur testimonium.

ἀρχὰ τᾶς pro Ἀρχύτας. Archytæ de principiis.

Rectè quidem hæc explicuisti, pater; verùm illud me insuper doce. Etenim cùm scientiam & artem ratione præditi functiones esse dixeris, nūc animalia bruta, quoniam ratione careant, bruta esse ac vocari dicis. ex quo efficitur, ut bruta scientia & arte careant, quando ratione destituuntur. Efficitur sanè, fili. Cur igitur bruta quædam, pater, scientia atque arte videmus uti, ac tum formicas hieme sibi alimentum reponere, tum volucres nidos construere, tum quadrupedes stabula sua cognoscere. Hæc nec scientia, nec arte, fili, sed natura fiunt. Etenim scientiæ & artes discuntur, cùm bruta nihil unquam discant. At quæ natura fiunt, functionem quidem habent, ve-

Mercurij ad Tatium.

φύσιν κινήσεως, οὔτε σώματος εἶδόν τι σύστασιν εἶναι ἄνευ ἁρμονίας· ἕνεκα τοίνυν τοῦ σώματος ἐστὶν ὁ τόπος, παραδεχόμενος γὰρ τὰς τοῦ σώματος μεταβολάς, οὐκ ἐᾷ ἀπόλλυσθαι τὸ μεταβαλλόμενον· μεταβαλλόμενον δὲ, ἀπὸ ἑτέρου εἰς ἕτερον μεταπίπτει, καὶ τῆς μὲν ἕξεως στερίσκεται, τὸ δ᾽ εἶναι σῶμα, οὐχὶ συνιστὸν, μεταβληθὲν δὲ εἰς ἕτερον τὴν τοῦ ἑτέρου ἕξιν ἔχει· τὸ γὰρ σῶμα ᾗ σῶμα· ἡ δὲ ποιὰ διάθεσις οὐ μένει· τὸ σῶμα τοίνυν κατὰ διάθεσιν μεταβάλλεται. ἀσώματος τοίνυν ὁ τόπος, καὶ ὁ χρόνος, καὶ ἡ φυσικὴ κίνησις. τυγχάνει δὲ ἕκαστον τούτων, τῆς ἰδίας ἰδιότητος· ἰδιότης δὲ, τοῦ τόπου παραδοχὴ, χρόνου δὲ διάστημα καὶ ἀριθμὸς, φύσεως δὲ κίνησις, ἁρμονίας δὲ φιλία, σώματος δὲ μεταβολή· ἰδιότης δὲ ψυχῆς ἡ κατ᾽ οὐσίαν νόησις.

Ἀρχύτας τῶν ἰόντων γνώσιος τὰ αὐτόθεν φαινόμενα· τῶν δ᾽ αὐτόθεν φαινομένων, τὰ μὲν ἔντι νοητὰ, τὰ δὲ αἰσθητά· νοητὰ μὲν τὰ ἀκίνητα, αἰσθητὰ δὲ τὰ κινούμενα, κριτήριον δὲ τῶν μὲν νοατῶν ὁ κόσμος, τῶν δ᾽ αἰσθατῶν [illegible]σις. τῶν δὲ μὴ αὐτόθεν φαινομένων, τὰ μὲν ἔντι ἐπιστατὰ, τὰ δὲ δοξαστά· ἐπιστατὰ μὲν, τὰ ἀκίνητα· δοξαστὰ δὲ τὰ κινούμενα. δεῖ δὲ ταῦτα τρία νοῆσαι, τὸ κρίνον, καὶ τὸ κρινόμενον, καὶ παρ᾽ ὅπερ κρίνεται· καὶ τὸ μὲν κρίνον εἶμεν τὸν νόον καὶ τὰν αἴσθησιν· τὸ δὲ κρινόμενον τὸν λόγον, παρ᾽ ὅπερ καὶ κρίνεται τὸ αὐτόθεν φαινόμενον· τούτου δὲ τὸ μὲν νοατὸν, τὸ δ᾽ αἰσθατόν. ἐπικρίνει δὲ ὁ νόος τὸν λόγον, ὅκα μὲν ποτὶ τὸ νοατὸν ἐπιβάλλων, ὅκα δὲ ποτὶ τὸ αἰσθατὸν, ὅκαν μὲν γὰρ περὶ νοατῶν περὶ τὸ αἰσθατόν· καὶ δι᾽ αὐτὸ ψευδογραφεῖαι ἐν γαμετρίᾳ κατὰ σχήματα καὶ ἀριθμὼς ἐμφαίνονται, αἱ πολογίαι δὲ καὶ εἰκοτολογίαι ἐν φυσιολογίᾳ καὶ πολιτικᾷ, κατὰ γένεσιν καὶ πράξιας· τὸ μὲν γὰρ ὅτι ἐν διπλόῳ λόγῳ ἁρμονία τυγχάνει ποτὶ τὸν νοατὸν λόγον, ποτιβάλλων ὁ λόγος γινώσκει· τὸ δ᾽ ὅτι συμφωνεῖ ὁ διπλόος λόγος διὰ τᾶς αἰσθάσιας ἐπιμαρτυρεῖται· καὶ τῶν μαχανικῶν δέ τοι λόγοι ποττὰ νοητὰ, ποτιβάλλοντι σχήματα, καὶ ἀριθμὼς, καὶ ἀναλογίας· τὰ δὲ ἀποτελέσματα ποτὶ τὰ αἰσθητά· μεθ᾽ ὕλας γὰρ ταῦτα θεωρεῖται, καὶ κινάσιος· καθ᾽ ὅλω δὲ ἀμάχανον γνῶμεν τὸ διὰ τί ἐν ἑκάστῳ, μὴ προειδότας τὸ τί ἐστιν ἕκαστον· κρίνεται δὲ τὸ μὲν, τό ἐν τι ἕκαστον ἰόντων, τῷ νοῷ, τὸ δ᾽ ὅτι ἐστὶ καὶ ὅτι οὕτως ἔχει λόγῳ καὶ αἰσθάσει· λόγῳ μὲν, ὅκα δεῖξιν τινὸς σαμαίνωμεν ἐκ συλλογισμῶ ὑπάρχοντος ἐξ ἀνάγκας, αἰσθάσει δ᾽ ὅκα ἐπιμαρτυρούμεθα τὸν λόγον διὰ τᾶς αἰσθάσιος.

ἀρχύτας ἐν τῷ περὶ ἀρχᾶν.

Ὀρθῶς ταῦτα ἀπέδειξας, ὦ πάτερ· ἐκεῖνα δὲ ἔτι μοι δίδαξον. ἔφης γάρ που τὴν ἐπιστήμην, καὶ τὴν τέχνην ἐνέργειαν εἶναι τοῦ λογικοῦ. νυνὶ δὲ φὴς τὰ ἄλογα ζῶα στερήσει τοῦ λογικοῦ, ἄλογα εἶναι καὶ καλεῖσθαι, δηλονότι ἀνάγκη, κατὰ τοῦτον τὸν λόγον τὰ ἄλογα ζῶα μὴ μετέχειν ἐπιστήμης, μηδὲ τέχνης, διὰ τὸ ἐστερῆσθαι τοῦ λογικοῦ. ἀνάγκη γὰρ, ὦ τέκνον. πῶς οὖν ὁρῶμεν, ὦ πάτερ, τινὰ τῶν ἀλόγων ἐπιστήμῃ, καὶ τέχνῃ χρώμενα, οἷον τοὺς μύρμηκας τὰς τροφὰς ἀποθησαυρίζομένους τοῦ χειμῶνος, καὶ τὰ ἀέρια ζῶα ὁμοίως καλιὰς ἑαυτοῖς συντιθέντα, τὰ δὲ τετράποδα γνωρίζοντα τοὺς φωλεοὺς τοὺς ἰδίους. ταῦτα ὦ τέκνον, οὐκ ἐπιστήμῃ, οὐ τέχνῃ ποιεῖ, ἀλλὰ φύσει· ἡ γὰρ ἐπιστήμη καὶ ἡ τέχνη διδακτικά εἰσι. τούτων δὲ τῶν ἀλόγων οὐδὲν οὐδὲν διδάσκεται· τὰ δὲ φύσει γινόμενα, ἐνεργείᾳ μὲν γίνεται καθο-

κτικῇ·

Ἑρμοῦ ἐν τῷ πρὸς Τάτ.

κτικῇ· τῇ δὲ ἐπιστήμῃ καὶ τέχνῃ εἰδόσι παραγίγνεται, οὐ πᾶσι γιγνόμενα, ὑπὸ φύσεως ἐνεργεῖται· οἷον οἱ ἄνθρωποι μουσικοί, οὐ δὲ πάντες τοξόται, ἢ κυνηγοί, οὐδὲ τὰ ἄλλα πάντα· ἀλλά τινες αὐτῶν τι ἔμαθον ἐπιστήμης καὶ τέχνης ἐνεργούσης. τὸν αὐτὸν τρόπον οἱ μέν τινες τῶν μυρμήκων τοῦτο ἔπραττον, οἱ δ' οὔ, καλῶς ἂν ἔλεγες ἐπιστήμῃ αὐτὸ τοῦτο πράττειν, καὶ τέχνῃ συνάγειν τὰς τροφάς. οἱ δὲ πάντες ὁμοίως ἄγονται ὑπὸ τῆς φύσεως ἐπὶ τοῦτο καὶ ἄκοντες, δηλονότι οὐκ ἐπιστήμῃ οὐδὲ τέχνῃ τοῦτο πράττουσιν. ἐνέργειαι γάρ, ὦ Τάτ, ἀσώματοι τυγχάνουσαι, ἐν σώμασίν εἰσι, καὶ διὰ τῶν σωμάτων ἐνεργοῦσι· διόπερ, ὦ Τάτ, καθότι ἀσώματοί εἰσι, καὶ ἀθανάτους αὐτὰς φὴς εἶναι· καθότι δὲ χωρὶς σωμάτων ἐνεργεῖν οὐ δύνανται, φημὶ αὐτὰς εἶναι ἀεὶ ἐν σώματι· τὰ γὰρ πρός τι ἢ ἕνεκά τινος γενόμενα προνοίᾳ καὶ ἀνάγκῃ ὑποπεπτωκότα, ἀδύνατα ἀργά ποτε μεῖναι τῆς ἰδίας ἐνεργείας. τὸ γὰρ ὂν ἀεὶ ἔσται, τοῦτο γὰρ αὐτοῦ καὶ σῶμα καὶ ζωή ἐστι· τούτῳ τῷ λόγῳ ἕπεται τὸ καὶ ἀεὶ τὰ σώματα εἶναι· διὸ καὶ αὐτὴν τὴν σωμάτωσιν φημὶ ἀεὶ δι' ἐνέργειαν εἶναι· εἰ γὰρ σώματα ἐπίγεια διαλυτά· σώματα δὲ δεῖ εἶναι, τόπους καὶ ὄργανα τῶν ἐνεργειῶν ταῦτα· αἱ δὲ ἐνέργειαι ἀθάνατοι, τὸ δὲ ἀθάνατον ἀεὶ ἐστιν ἐνέργεια. καὶ ἡ σωματοποίησις εἴ γε ἀεὶ ἐστί· παρέπονται δὲ τῇ ψυχῇ οὐκ ἀθρόως παραγιγνόμεναι, ἀλλὰ τινὲς μὲν αὐτῶν ἅμα τῷ γίγνεσθαι τὸν ἄνθρωπον ἐνεργοῦσιν ὁμοῦ τῇ ψυχῇ περὶ τὰ ἄλογα οὖσαι, αἱ δὲ καθαρώτεραι ἐνέργειαι κατὰ μεταβολὴν τῆς ἡλικίας τῷ λοξῷ μέρει τῆς ψυχῆς συνεργοῦσαι· αὗται δὲ αἱ ἐνέργειαι, τῶν σωμάτων εἰσὶν ἠρτημέναι. καὶ ἀπὸ μὲν τῶν θείων σωμάτων ἔρχονται εἰς τὰ θνητὰ αὗται αἱ σωματοποιοῦσαι, ἑκάστη δὲ αὐτῶν ἐνεργεῖ, ἢ περὶ τὸ σῶμα, καὶ τὴν ψυχήν, καὶ αὐτῇ μέντοι τῇ ψυχῇ συγγίνονται χωρὶς σώματος· ἀεὶ δὲ ἐνέργειαί εἰσιν, οὐκ ἀεὶ δὲ ἡ ψυχὴ ἐν σώματι θνητῷ ἐστι, δύναται γὰρ χωρὶς τοῦ σώματος εἶναι, αἱ δὲ ἐνέργειαι χωρὶς τῶν σωμάτων οὐ δύνανται εἶναι. ἱερὸς λόγος ἐστίν, ὦ τέκνον, οὗτος· συνεστάναι μὲν σῶμα χωρὶς ψυχῆς οὐ δύναται. πῶς τοῦτο λέγεις, ὦ πάτερ; οὕτω νόησον, ὦ Τάτ· τῆς ψυχῆς χωρισθείσης τοῦ σώματος, ἐπιμένει αὐτὸ τὸ σῶμα· τοῦτο δὲ τὸ σῶμα παρὰ τὸν τῆς ἐπιμονῆς τὸν χρόνον ἐνεργεῖται διαλυόμενον καὶ ἀειδὲς γιγνόμενον· ταῦτα δὲ οὐ δύναται πάσχειν τὸ σῶμα χωρὶς ἐνεργείας· ἐπιμένει οὖν τῷ σώματι ἡ ἐνέργεια αὕτη ψυχῆς χωρισθείσης· αὕτη οὖν ἡ διαφορὰ ἀθανάτου σώματος καὶ θνητοῦ· ὅτι τὸ μὲν ἀθάνατον ἐκ μιᾶς ὕλης συνέστηκε, τὸ δὲ οὔ· καὶ τὸ μὲν ποιεῖ, τὸ δὲ πάσχει· πᾶν γὰρ τὸ ἐνεργοῦν κρατεῖ, τὸ δὲ ἐνεργούμενον κρατεῖται· καὶ τὸ μὲν κρατοῦν ἐπιτακτικὸν καὶ ἐλεύθερον ἄγει, τὸ δὲ δοῦλον φέρεται. αἱ μὲν ἐνέργειαι οὐ μόνον τὰ ἔμψυχα ἐνεργοῦσι σώματα, καὶ τὰ ἄψυχα ξύλα, καὶ τοὺς λίθους, καὶ τὰ ἄλλ' ὅμοια αὔξουσαί τε καὶ καρποφοροῦσαι, καὶ πεπαίνουσαι, καὶ φθείρουσαι, καὶ τήκουσαι, καὶ σήπουσαι, καὶ θρύπτουσαι, καὶ τὰ ὅμοια ἐνεργοῦσαι, ὅσα δύναται σώματα ἄψυχα πάσχειν· ἐνέργεια γὰρ κέκληται, ὦ τέκνον, αὐτὸ τοῦτο, ὅ τι ποτέ ἐστι τὸ γιγνόμενον, ἀεὶ δὲ γίγνεσθαι καὶ πολλά, μᾶλλον δὲ πάντα· οὐδέποτε γὰρ χηρεύει τῶν ὄντων τινὸς ὁ κόσμος, ἀεὶ δὲ φερόμενος ἐν ἑαυτῷ κυΐσκει τὰ ὄντα οὐδέποτε ἀπολειφθησόμενα

*rùm vt ſcientiæ et artes in peritis dumtaxat cernuntur, ita hæc omnibus ex æquo cõueniunt. Itaq́; nec muſici ſunt omnes homines, nec funditores, nec venatores, nec aliarum artium periti, verùm nonnulli ſcientiam aut artem aliquam ſunt adepti. Eodem pacto ſi de formicis aliæ hoc facerent, aliæ neſcirẽt, rectè eas habere ſcientiam diceres, & arte victum corradere. Cùm verò omnes æquè ad hoc à natura vel inuitæ ducantur, profectò nec ſcientiam nec artem habent. Functiones enim hæ corporis expertes in corporibus verſantur, perq́; ea munere ſua funguntur. Quocirca, fili, quatenus quidem incorporeæ ſunt, immortales etiam ſunt: quatenus autem abſq. corporibus fungi nequeunt, ſemper in corpore cernuntur. Nam quæ vel aliquò referuntur, vel alicuius cauſa facta ſunt, prouidẽtiæ ac neceſsitati obnoxia, nunquam non ſuo poſſunt fungi munere. Quod enim eſt, erit ſemper, poſteaquam hoc eius corpus eſt ac vita. Ex quo efficitur, vt ſemper corpora ſint, adeoq́; corporum ipſa creatio per functionẽ ſemper exiſtat. Etenim ſi terrena corpora diſſolui poſſunt, corpora autem eſſe oportet, tanquam loca functionum & inſtrumenta, functiones verò ſunt immortales, et immortalia ſemper ſunt, per functionem etiam corporũ creatio, quandoquidẽ ſemper eſt, exiſtit. Sequuntur autem animam non omnes ſimul, verùm aliæ ſimul cum ortu hominis agũt, in parte animæ rationis experti conſtituta, aliæ puriores in *rationis compote parte cernuntur. Atq. hæ functiones à corporibus dependent, & vt à diuinis corporibus in humana deſcendunt corporum creationis cauſa, ita ſingulæ vel in corpore ſimul & anima, vel in anima ſeparatim agunt. cumq́; ſemper ſint functiones, anima non ſemper ineſt humano corpori, quoniam abſque illo poteſt conſiſtere, quod functionibus non contingit. Sacer hic eſt ſermo, fili. Abſq. anima enim nequit corpus conſiſtere. Quo pacto hoc ais, pater? Hoc pacto, fili. Anima è corpore diſcedente, remanet corpus. id interea diſſoluitur & ad nihilum perducitur. quod cùm ſine functione fieri nequeat, remanet ſanè hæc in corpore functio poſt animæ diſceſſum. Hoc igitur inter immortale corpus & mortale intereſt, quòd illud vna conſtat materia, hoc pluribus; illud agit, hoc patitur: quandoquidẽ quod munere ſuo fungitur, imperat; quod functionem recipit, paret; alterumq́; ducit, alterum ducitur. Functiones porrò non tantùm in animatis, verùm etiam anima carentibus cernuntur, vt lignis, lapidibus, ac ſimilibus, quæ ab illis augentur, frugifera redduntur, coquuntur, pereunt, comminuuntur, ac ſimiles inanimarum corporum proprietates conſequuntur. Quicquid enim fit, appellatur functio. ſemper autem multa fiunt, aut potius omnia. Nunquam enim rebus caret mundus, verùm eas perpetuò parit, motum ſuum nunquam deſerentes. Omnis igitur functio*

* λογικῷ pro λοξῷ.

ctio quocunq. in corpore tanquam semper immortalis est habenda. Functiones porrò aliæ diuinorũ sunt corporum, aliæ humanorum, et aliæ vniuersi, aliæ specierum, aliæq; generum, aliæ partium singularum. Ac diuinæ quidem sunt, quæ ad immortalia corpora pertinent, ac perfecta etiam dicuntur, vt perfectorum corporum; partium autẽ, quæ ad animalia singula; specierum verò, quæ ad rem quamlibet. Atq. hæc oratio fili, omnia colligit functionum esse plena. Etenim si requirũtur in corpore functiones, ac multa sunt in mundo corpora; plures aio corporibus esse functiones. siquidem nonnunquã vno in corpore tres functiones, præter consequentes vniuersales, apparent. Voco autem vniuersales, quæ verè corporeæ sunt, ac per sensus & motiones contingunt. nam absq. his nequit corpus consistere. Alia autem sunt specierum functiones, quæ animis humanis per artes, scientias, studia, & actiones contingunt. Nam consequuntur functiones etiam sensus, aut potius illarum sunt effectus. Hoc igitur differunt, quòd functio desuper immittitur, sensus in corpore positus, ab eoq; naturam suam consecutus, receptam functionem tanquã corpore vestitam reddit manifestam. Quopropter sensus & corporei sunt & mortales, nec diutiùs, quàm corpus, existunt. siquidem nascuntur cum corpore simul et moriuntur. At immortalia corpora sensu non sunt prædita, quãdoquidem alterius naturæ sunt. Sensus enim nihil aliud quàm accedens corpori malum aut bonum, vel rursum recedens à corpore malum aut bonum percipit. Aeternis autẽ corporibus cùm nihil nec accedat nec decedat, sensu non sunt illa prædita. In omni ergo corpore sentit sensus? In omni, fili, sicut & functiones agunt. Etiám ne in animo, pater? Etiam, fili. Sed quadã sunt sensuum differentiæ. nam in ratione quidẽ præditis, cùm ratione sunt coniunctæ, in brutis autem dumtaxat sunt corporea, in inanimis verò non nisi patiendo sentiunt, in crescendo ac decrescendo tantùm sitæ. Affectio porrò ac sensus ab vno capite descendentes, in idem à functionibus coguntur. Iam in animantibus aliæ duæ cernũtur functiones, sensuum & affectionum consequentes, dolor ac voluptas, citra quas animal quoduis, ac præcipuè rationis particeps, sensu frui nequit. Quapropter has affectionũ dicere possimus ideas, in ratione præditis maximè vigentes. Vt enim functiones munere suo funguntur, ita sensus eas produnt. hi verò, cùm sint corporei, ab rationis expertibus animæ partibus commouentur. Quocirca etiam noxiæ sunt ambæ dicendæ. siquidem et gaudium cum voluptate perceptũ, statim damni multum gauiso conciliat, & dolor mærores grauiores parit, ideoq; non iniuria noxiæ dicitur ambæ. Neq. alius animæ sit sensus. Nonne anima quidem corpore caret, pater: sensus autem corpus est, quandoquidem in corpore cernitur. Si eum in corpore collocemus, fili, similẽ animæ vel functio-

ἄλλα pro πάντα

αὐτὸ τῆς φθορᾶς. πᾶσα οὖν ἐνέργεια νοείσθω, ὡς ἀεὶ ἀθάνατος οὖσα, ἥ τις ἂν ἐν οἵῳ δή ποτε σώματι. τῶν δὲ ἐνεργειῶν αἱ μέν εἰσι τῶν θείων σωμάτων, αἱ δὲ τῶν φθαρτῶν, καὶ αἱ μὲν καθολικαὶ, αἱ δὲ ἰδικαὶ, καὶ αἱ μὲν τῶν γενῶν, αἱ δὲ τῶν μερῶν ἑνὸς ἑκάστου. θεῖαι μὲν οὖν εἰσὶν, καὶ εἰς τὰ ἴδια σώματα ἐνεργοῦσαι· αὗται δὲ καὶ τέλειαι εἰσὶν ὡς εἰς τέλεια σώματα· μερικαὶ δὲ αἱ δι' ἑνὸς ἑκάστου τῶν ζώων· ἰδικαὶ δὲ καὶ εἰς ἕκαστον τῶν ὄντων τι. συνάγει οὖν ὁ λόγος, ὦ τέκνον, σύναγε πάντα μεστὰ εἶναι ἐνεργειῶν. εἰ γὰρ ἀνάγκη τὰς ἐνεργείας ἐν σώματι εἶναι, πολλὰ δὲ σώματα ἐν κόσμῳ, πλείους φημὶ εἶναι τὰς ἐνεργείας τῶν σωμάτων. ἐν ἑνὶ γὰρ πολλάκις σώματι ἐστὶ μία, καὶ δευτέρα, καὶ τρίτη χωρὶς τῶν παρεπομένων καθολικῶν· καθολικὰς γὰρ ἐνεργείας φημὶ τὰς ὄντως σωματικὰς, διὰ δὲ τῶν αἰσθήσεων, καὶ τῶν κινήσεων γινομένας· χωρὶς γὰρ τούτων τῶν ἐνεργειῶν, τὸ σῶμα συστῆναι ἀδύνατον. ἕτεραι δέ εἰσιν ἰδικαὶ ἐνέργειαι τῶν ψυχαῖς τῶν ἀνθρώπων, διὰ τεχνῶν, καὶ ἐπιστημῶν, καὶ ἐπιτηδευμάτων, καὶ ἐνεργημάτων παρέπονται γὰρ ταῖς ἐνεργείαις καὶ αἰσθήσεις, μᾶλλον δὲ ἀποτελέσματα τῶν ἐνεργειῶν, αἰσθήσεις εἰσίν. νόησον οὖν, ὦ τέκνον, διαφορὰν ἐνεργείας, ἄνωθεν πέμπεται· ἡ δὲ αἴσθησις ἐν τῷ σώματι οὖσα, καὶ ἀπὸ τούτου τὴν οὐσίαν ἔχουσα δεξαμένη τὴν ἐνέργειαν, φανερὰν ποιεῖ, καθάπερ αὐτὴν σωματοποιήσασα. διόπερ τὰς αἰσθήσεις καὶ σωματικὰς, καὶ θνητὰς φημὶ εἶναι, τοσοῦτον συνεστώσας, ὅσον τὸ σῶμα· καὶ γὰρ συγγεννῶνται τῷ σώματι αἱ αἰσθήσεις, καὶ συναποθνήσκουσι· τὰ δὲ ἀθάνατα σώματα, αὐτὰ μὲν ἀθάνατον αἴσθησιν οὐκ ἔχει, ὡς ἐξουσίας τοιαύτης συνεστῶτα· ἡ γὰρ αἴσθησις, οὐδ' ὅλως ἄλλον ἐστὶ σωματική. ἢ τῆς προσγινομένης τῷ σώματι κακοῦ, ἢ τοῦ ἀγαθοῦ, ἢ τοῦ πάλιν αὖ ἀπογινομένου τῷ σώματι κακοῦ, ἢ τοῦ ἀγαθοῦ. τοῖς δὲ ἀϊδίοις σώμασιν οὔτε προσγίνεται, οὔτε ἀπογίνεται· διὸ αἴσθησις ἐν ἐκείνοις οὐ γίνεται. ἐν παντὶ οὖν σώματι αἴσθησιν αἰσθάνεται; ἐν παντὶ, ὦ τέκνον, καὶ ἐνέργεια πᾶσιν ἐνεργοῦσιν. καὶ τοῖς ἀψύχοις, ὦ πάτερ; καὶ ἀψύχοις, ὦ τέκνον. διαφοραὶ δὲ εἰσὶ τῶν αἰσθήσεων· αἱ μὲν τῶν λογικῶν μετὰ λόγου γίνονται· αἱ δὲ τῶν ἀλόγων σωματικοί εἰσι μόνον, αἱ δὲ τῶν ἀψύχων αἰσθήσεις μέν εἰσι παθητικαὶ δὲ, κατὰ αὔξησιν μόνον καὶ κατὰ μείωσιν γινόμεναι· τὸ δὲ πάθος καὶ αἴσθησις ἀπὸ μιᾶς κορυφῆς ἤρτηνται, εἰς δὲ τὸ αὐτὸ συνάγονται, ὑπὸ δὲ τῶν ἐνεργειῶν. τῶν δὲ ἐμψύχων ζώων εἰσὶ δύο ἄλλαι ἐνέργειαι, αἳ παρέπονται ταῖς αἰσθήσεσι καὶ τοῖς πάθεσι λύπη καὶ ἡδονή· χωρὶς τούτων, ζῶον ἔμψυχον καὶ μάλιστα λογικὸν αἰσθέσθαι ἀδύνατον· διὸ καὶ ἰδέας ταύτας εἶναί φημι τῶν παθῶν, ἰδέας τῶν λογικῶν, μᾶλλον ζώων ἐπικρατούσας· αἱ μὲν ἐνέργειαι ἐνεργοῦσιν· αἱ δὲ αἰσθήσεις τὰς ἐνεργείας ἀναφαίνουσιν· αὗται δὲ οὖσαι σωματικαὶ ἀνακινοῦνται ὑπὸ τῶν τῆς ψυχῆς ἀλόγων μερῶν· διὸ καὶ ἀμφοτέρας φημὶ κακωτικὰς εἶναι. τό τε γὰρ χαίρειν μεθ' ἡδονῆς τὴν αἴσθησιν παρέχον, πολλῶν κακῶν εὐθέως αἴτιον συμβαίνει τῷ παθόντι, ἥ τε λύπη ἀλγηδόνας, καὶ ὀδύνας ἰσχυροτέρας παρέχεται, διόπερ εἰκότως ἀμφότεραι κακωτικαὶ ἂν εἶεν, ἢ αὐτὴ ἂν εἴη αἴσθησις ψυχῆς αἴσθησιν· οὐχ ἡ μὲν ψυχὴ ἀσώματος. ἡ δὲ αἴσθησις σῶμα ἂν εἴη, ὦ πάτερ· ἡ αἴσθησις ἐν σώματι οὖσα τυγχάνει. ἐὰν ἐν σώματι αὐτὴν θῶμεν, ὦ τέκνον, ὁμοίαν τῇ ψυχῇ αὐτὴν ἀπο-

ἀποφαινόμεθα, ἢ τῶν ἐνεργειῶν· ταῦτα γὰρ ἀσώματα ὄντα φαίνεται ἐν σώμασι. ἡ δὲ αἴσθησις οὐδὲ ἐνέργειά ἐστιν, οὔτε ψυχή, οὔτε σώματός τι ἄλλο παρὰ τὰ προειρημένα, οὐκ ἂν οὖν εἴη ἀσώματον· εἰ δὲ οὐκ ἔστιν ἀσώματον, σῶμα ἂν εἴη. τῶν γὰρ ὄντων ἀεὶ τὰ μὲν σώματα εἶναι, τὰ δὲ ἀσώματα.

Ἑρμοῦ ἐκ τῶν πρὸς Ἄμμωνα.

Κινεῖται δὲ τὸ κινούμενον κατ' ἐνέργειαν τῆς κινήσεως, τῆς κινούσης τὸ πᾶν· ἡ γὰρ φύσις τοῦ παντὸς τῷ παντὶ παρέχει κινήσεις· μίαν μὲν τὴν κατὰ δύναμιν αὐτῆς, ἑτέραν δὲ τὴν κατ' ἐνέργειαν· καὶ ἡ μὲν διήκει διὰ τοῦ σύμπαντος κόσμου, καὶ ἐντὸς ἔχει· ἡ δὲ παρήκει, καὶ ἐκτὸς περιέχει. καὶ διὰ πάντων πεφοιτήκασι κοινῇ. καὶ ἡ φύσις πάντων φύουσα τὰ γινόμενα, φυὴν παρέχει τοῖς φυομένοις, σπείρουσα μὲν τὰ ἑαυτῆς σπέρματα, γενέσεις ἔχουσα ὕλην κινητήν, κινηθεῖσα δὲ θερμαίνεται καὶ γίνεται ὕλη, πῦρ καὶ ὕδωρ, τὸ μὲν σθεναρὸν καὶ ἰσχυρόν, τὸ δὲ πάσχον· τὸ δὲ πῦρ ἐναντιούμενον τῷ ὕδατι ἐξήρανε τοῦ ὕδατος, καὶ ἐγένετο ὀχουμένη ἐπὶ τοῦ ὕδατος. περὶ ξηραινομένης δὲ ἀτμὶς ἐγένετο ἐκ τῶν τριῶν, τοῦ τε ὕδατος, τῆς γῆς, καὶ τοῦ πυρός, καὶ ἐγένετο ἀήρ. ταῦτα συνῆλθον κατὰ τὸν τῆς ἁρμονίας λόγον, θερμὸν ψυχρῷ, ξηρὸν ὑγρῷ, καὶ ἐκ τῆς συμπνοίας τούτων ἐγένετο πνεῦμα, καὶ σπέρμα ἀνάλογον τῷ περιέχοντι πνεύματι. τοῦτο δὲ εἰς τὴν μήτραν ἐμπεσὸν οὐκ ἠρεμεῖ ἐν τῷ σπέρματι, οὐκ ἠρεμοῦν δὲ μεταβάλλει τὸ σπέρμα, μεταβαλλόμενον δὲ αὔξησιν ἔχει καὶ μέγεθος· ἐπὶ τῷ μεγέθει δὲ εἴδωλον ἐπισπᾶται σχήματος, καὶ σχηματίζεται, ὀχεῖται δὲ ἐπὶ τῷ σχήματι τὸ εἶδος δι' οὗ καὶ εἰδωλοποιεῖται τὸ εἰδωλοποιούμενον. ἐπεὶ τοίνυν τὸ πνεῦμα οὐκ εἶχεν ἐν τῇ νηδύι τὴν ζωτικὴν κίνησιν, τὴν δὲ βρασματικήν, καὶ ταύτην ἥρμοσεν ἁρμονία, ὑποδοχὴν οὖσαν τῆς διανοητικῆς ζωῆς. ἔστι δὲ αὕτη ἀμερὴς καὶ ἀμετάβλητος, οὐδέποτε ἐξισταμένη τῆς ἀμεταβλησίας· τὸ δ' ἐν τῇ νηδύι ἀριθμοῖς λοχεύει καὶ μαιοῦται, καὶ εἰς τὸν ἔξω ἀέρα ἄγει καὶ ἐγγυτάτω ψυχὴ οὖσα, οἰκειοῦται, οὐ κατὰ τὴν συγγενικὴν ἰδιότητα, ἀλλὰ τὴν καθ' εἱμαρμένην· οὐ γὰρ ἐρωτῶν ἐστιν αὕτη μετὰ σώματος εἶναι· διὰ τοῦτο καθ' εἱμαρμένην παρέχει τῷ γινομένῳ διανοητικὴν κίνησιν, καὶ νοερὰν ζωῆς αὐτῆς οὐσίαν· παρεισέρπει γὰρ τῷ πνεύματι καὶ κινεῖ ζωτικῶς.

Ἑρμοῦ ἐκ τῶν πρὸς Τάτ.

Καὶ ὁ μὲν κύριος καὶ πάντων δημιουργὸς τῶν ἀϊδίων σωμάτων, ὦ Τάτ, ἅπαξ ποιήσας οὐκ ἔτι ἐποίησεν οὐδὲ ποιεῖ· ταῦτα γὰρ ἑαυτοῖς παραδοὺς καὶ ἑνώσας ἀλλήλοις ἀφῆκε φέρεσθαι, μηδὲν ἐνδέοντα καὶ ἀΐδια· εἰ δέονταί τινα ἀλλήλων, δέονται· οὐδεμιᾶς δὲ τῆς ἔξωθεν ἐπιφορᾶς, ὡς ἀθάνατα· ἔδει γὰρ τὰ ὑπ' ἐκείνου σώματα γινόμενα, τοιαύτην ἔχειν καὶ τὴν φύσιν. ὁ δὲ ἡμέτερος δημιουργὸς ἐν σώματι ὢν ἐποίησεν ἡμᾶς καὶ ποιεῖ ἀεί, καὶ ποιήσει σώματα λυτὰ καὶ θνητά· οὐ γὰρ θέμις ἦν αὐτῷ μιμεῖσθαι τὸν ἑαυτοῦ δημιουργόν, ἄλλως τε καὶ ἀδύνατον· ὁ μὲν γὰρ ἐκ τῆς πρώτης οὐσίας ἐποίησεν οὔσης ἀσωμάτου, ὁ δὲ ἐκ τῆς γεγενημένης σωματώσεως ἐποίησεν ἡμᾶς. εἰκότως οὖν κατὰ τὸν ὀρθὸν λόγον, ἐκεῖνα μὲν τὰ σώματα, ὡς ἐξ ἀσωμάτου οὐσίας γεγεννημένα ἀθάνατά ἐστι· τὰ δὲ ἡμέτερα, διαλυτὰ καὶ θνητά, ὡς τῆς ὕλης ἡμῶν ἐκ σωμάτων συνεστώσης, διὰ τὸ ἀσθενῆ εἶναι καὶ πολλῆς ἐπικουρίας δεόμενα. πῶς γὰρ ἂν καὶ τὸ τυχὸν ἀντέσχεν ὁ συνδεσμὸς ἡμῶν τῶν σωμάτων, εἰ μή τινα εἶχεν ἐπεισερχομένην τροφὴν ἐκ τῶν ὁμοίων στοι-

ctionibus reddemus, quandoquidem hæ corporis expertes in corporibus ponuntur. At sensus cùm nec functio sit, nec anima, nec aliud quid à corpore diuersum, non est expers corporis, adeoq; corpus dicendus est. Etenim quæcunq; sunt, vel corpora sint, oportet, vel incorporea.

δεῖ pro ἀεί?

Mercur. ad Amm.

Mouetur autem res per motus functionem, Vniuersum mouentis. Nam Vniuersi natura motus Vniuerso suppeditat, alterum secundum vim suam, alterum secundum functionem: quorũ alter per totum mũdum intus penetrat, alter etiam extrà progreditur; cunctaq; cõmuniter peragrant. At natura communis, rerum genitrix, semẽ quidem suum spargens, mobili oblata materia ortum rebus donat; motu autem incalescit, & fit materia, nempe ignis & aqua, ille fortis, hæc patiens. Tum aduersatus aquæ ignis, partem eius aliquam arefecit, eaq; terra facta est aquæ incumbens. quæ cùm exaruisset, vapor de tribus illis extitit, aqua, terra, & igne, factusq; est aer. Ea porrò secundũ harmoniæ rationem commista, calidum cum frigido, siccum cum humido, spiritum procrearunt, ac semen spiritui continenti respondens. Is deinde in vterum illapsus, nõ quiescit in semine, quod ab illo mutatum, incrementum & magnitudinẽ accipit, pauloq; post figuræ simulacrum, cui incumbit forma, quam res accipit. Et quoniam spiritus in vtero vitalem vim non habebat, sed motum dumtaxat, hanc quoque concinnauit harmonia, vitæ intelligentis receptaculum. ea verò semper omni parte ac mutatione caret. Partum denique numeris componit, inq; aerem producit, & animæ proximæ, nõ cognatione sed fato, conciliat. Cùm enim ipsam non deceat cum corpore coniungi, secundum fatum partui vim intelligendi, vitæq; naturam suppeditat. siquidẽ cum spiritu irrepens, vim vitalem adfert.

Mercurij ad Tatum.

Ac dominus quidem & opifex immortalium corporum, fili, semel opere defunctus, nihil amplius efficit. siquidem illa sibi ipsis commendans, et inter se componens, ferri pro arbitrio permisit, nullius indiga vt æterna, nec externo casui obnoxia, vt immortalia. nec enim aliam ab illo creata corpora decebat habere naturam. At noster opifex in corpore positus nos procreauit, semperq; procreat ac procreabit mutabilia & mortalia corpora. Neque enim illum æquum erat suum imitari opificem, nec etiam fas. Nam vt ille de prima materia incorporea procreauit, ita hic de corporis natura genita nos progenuit. Quocirca meritò illa quidem corpora, vt ex incorporea materia procreata, sunt immortalia; nostra verò, vt è corporea, mutabilia & mortalia, quandoquidem infirma sunt, multiq; adiumenti indiga. Nam quo pacto vel tantillum nostrorum corporum subsisteret compago, nisi de similibus elementis alimen-

πνεῦμα pro πόνου

*tum succederet, nosq́ quotidie reficeret. Etenim terra & aqua, ignis & aer in nos influunt, ac nostra corpora recreando continent. Quapropter etiam ita sumus imbecilles, vt motiones vix vnū diem perferamus. Nisi enim nocte corpora nostra requiescerent, vix vnum illas diem perferremus. Quare bonus opifex, cùm hæc præsciret, ad salutem animalis somnum excogitauit, maximā laboris requiem, & æquali tempore, vel potius largiare donauit. Ac maximam considera, fili, somni functionē, vt animæ contrariam, ita haud minorem. Quemadmodum enim animæ motionis est functio, ita absq. somno corpus nequit viuere. siquidem is remissio est compactorum membrorum, intusq́ materiam succedētem componit, suum cuique tribuens, aquam sanguini, terram ossibus ac medullis, aerem neruis ac venis, ignem aspectui. Quamobrem etiā plurimùm somno corpus *delectatur, huius voluptatis auctore.*

*Λεπῶ pro ἀλείφω. Plat. Cratylo.

Nónne σῶμα nuncupas? Certè. Atqui videtur mihi in hoc nomine paulisper ab origine declinari. nempe corpus hoc animæ sepulcrum quidam esse tradunt: quasi ipsa præsenti in tempore sit sepulta. atque etiam quia anima per corpus significat, quæcunque significare potest, idcirco & σῆμα iure vocari. Videntur mihi præterea Orphei sectatores nomen hoc ob id potissimùm posuisse, quòd anima in corpore hoc delictorum det pœnas, & hoc circumsepto valloq́ claudatur, velut in carcere quodam seruetur. Esse itaque volunt hoc ita, vt nominatur animæ σῶμα seruandi gratia claustrum, quoad debita quæque expendat, neque literam aliquam adiiciendam putant.

Idem etiam Homerus indicauit. nam viuorū quidem semper δέμας vocat, vt in his versibus,

——— ἐπεὶ οὐχ ἔθεν ἐστὶ χερείων

οὐ δέμας, οὐδὲ φυήν.

mortuorum autem σῶμα,

σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με

Τρῶες, καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.

Idem siquidem & vinculum erat animæ præsentis, ac δέμας, & absentis fiebat σῶμα, siue signū & vestigium.

Mercurij.

Quæcunque sunt, ac re vera sunt, priùs dicuntur esse. siquidem per hoc substantia natura generalis simul intellectis re vera subsistentibus & subsistentibus per se intellectis tribuitur. Horum autem cōtraria rursum alio modo per se subsistunt. Natura est sub sensum cadens substantia. Alia ad intellectos deos referuntur, alia ad intelligentes, quæ in opinione consistunt. quæ quidē sunt intellectuum simulacra, quemadmodum Sol Dei cœlestis est simulacrum. Nam sicut Vniuersum ille creauit, sic Sol stirpes creat & animalia, ventosq́ regit.

χρείαν, καὶ ὑπισχνεῖται ἡμᾶς καθ' ἑκάστην τῆς ἡμέρας. καὶ γὰρ γῆς τι, καὶ ὕδατος, καὶ πυρὸς, καὶ ἀέρος ἐπιρροὴ ἡμῖν γίγνεται, ἥτις τὰ σώματα ἡμῶν νεοποιοῦσα συνέχει τὸ σκῆνος· ὥστε καὶ πρὸς τὰς κινήσεις ἐσμὲν ἀσθενέστεροι, φέροντες κινήσεις μηδὲ ἡμέρας μιᾶς. εἰ γὰρ ἴσθι, ὦ τέκνον, ὅτι εἰ μὴ ἐν τῇ νυξὶν ἡμῶν ἀνεπαύετο τὰ σώματα, οὐκ ἂν πρὸς μίαν ἡμέραν ἀντέχομεν. ὅθεν ἀγαθὸς ὢν ὁ δημιουργὸς πάντα προειδὼς ἀμύμως, εἰς διαμονὴν τοῦ ζώου ἐποίησεν τὸν ὕπνον, ὃν μέγιστον τῆς καμάτου τῆς κινήσεως, καὶ ἐπὶ ὅσα τῆς ἔταξεν ἑκάστῳ χρόνῳ, μᾶλλον δὲ τῇ ἀναπαύλῃ πλείονα. μέγιστον δὲ νόει, τέκνον, τοῦ ὕπνου τὴν ἐνέργειαν, ἐναντία τῆς ψυχῆς οὐκ ἔλαττον ἐκείνης. καθάπερ γὰρ ἡ ψυχὴ κινήσεως ἐστὶν ἐνέργεια, τὸν αὐτὸν τρόπον καὶ τὰ σώματα ζῆν οὐ δύναται χωρὶς τοῦ ὕπνου. ἄνεσις γὰρ καὶ ἄφεσίς ἐστι τῶν συνδέτων μελῶν, καὶ ἔσωθεν ἐνεργεῖ σωματοποιῶν τὴν ἐπηλθοῦσαν ὕλην, ἑκάστῳ τὸ οἰκεῖον διανέμων, τὸ μὲν ὕδωρ τῷ αἵματι, τὴν δὲ γῆν ὀστέοις καὶ μυελοῖς, τὸν δὲ ἀέρα τοῖς νεύροις καὶ φλεψὶ, τὸ δὲ πῦρ τῇ ὁράσει. διόπερ καὶ ἥδεται ἄκρως τὸ σῶμα τῷ ὕπνῳ ταύτην ἐνεργοῦντος τὴν ἡδονήν.

Τὸ σῶμα λέγεις. πολλαχῇ μοι δοκεῖ τοῦτό γε ἂν μὲν καὶ σμικρὸν τις παρακλίνῃ καὶ πάνυ, καὶ γὰρ σῆμά τινες φασὶν αὐτὸ εἶναι τῆς ψυχῆς, ὡς τεθαμμένης ἐν τῷ παρόντι καὶ νῦν, διό τι αὖ τούτῳ σημαίνει, ἃ ἂν σημαίνῃ ἡ ψυχὴ, καὶ ταύτῃ σῆμα ὀρθῶς καλεῖσθαι. δοκοῦσι μέντοι μάλιστα θέσθαι οἱ ἀμφὶ ὀρφέα τοῦτο τὸ ὄνομα, ὡς δίκην διδούσης τῆς ψυχῆς, ὧν δὴ ἕνεκα δίδωσι, τοῦτον δὲ περίβολον ἔχειν, ἵνα σώζηται δεσμωτηρίου εἰκόνα εἶναι οὖν τῆς ψυχῆς τοῦτο αὐτὸ, ὥσπερ ὀνομάζεται, ἕως ἂν ἐκτίσῃ τὰ ὀφειλόμενα σώματα, καὶ οὐδὲν δεῖν παράγειν οὐδὲν γράμμα.

πολλ. ἐν τῷ κρατύλῳ.

Ὡσαύτως δὲ καὶ ὅμηρος ἐδήλωσε. τὸ μὲν γὰρ τῶν ζώντων ἀεὶ δέμας προσαγορεύει, ὡς ἐν τούτοις,

ἐπεὶ οὔ θεν ἐστὶ χερείων,

οὐ δέμας, οὐδὲ φυήν.

τὸ δὲ ἀποβεβληκὸς τὴν ψυχὴν σῶμα καλεῖ·

Σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με

Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.

τὸ γὰρ αὐτὸ τῆς ψυχῆς δεσμὸς μὲν ἦν, καὶ δέμας κρατουμένης· σῶμα δὲ ἀπολείπεται, τουτέστι σῆμα καὶ ἴχνος ἀπελθούσης.

Ἑρμοῦ.

Ἔστι πρῶτον τὸ πρότερον ἐπὶ πάντων τῶν ὄντων καὶ τῶν ὄντως ὄντων περὶ ὅν. οὐ γάρ ἐστι δι' οὗ ἡ οὐσιότης καθόλη λεγομένη κοινὴ νοητῶν τῶν ὄντως ὄντων, καὶ τῶν ὄντων τῶν καθ' ἑαυτὰ νοημένων, τὰ δὲ ἐναντία τούτοις κατὰ τὸ ἕτερον πάλιν αὐτὰ καθ' ἑαυτά ἐστι φύσις οὐσία αἰσθητοὶ θεοί· τὰ μὲν μετέχοντα τοῦ νοητοῦ, τὰ δὲ δοξαστά, τὰ κοινωνοῦντα τῶν νοηματικῶν θεῶν· αὗται δὲ εἰκόνες εἰσὶν νοημάτων, οἷον ἥλιος εἰκών ἐστι τοῦ ἐπουρανίου θεοῦ δημιουργοῦ. καθάπερ γὰρ ἐκεῖνα τὸ ὅλον ἐδημιούργησεν, καὶ ὁ ἥλιος δημιουργεῖ τὰ ζῶα, καὶ γεννᾷ φυτὰ, καὶ τῶν πνευμάτων πρυτανεύει.

*Πλάτων καὶ θάλης καὶ τὰ φυτὰ ἔμψυχα ζῶα· φανερὸν δὲ καὶ ἀποσαλεύεσθαι, καὶ ἐντεταμένους ἔχειν τοὺς κλάδους, καὶ τῶν ἐπαγωγαῖς εἴκειν· καὶ πάλιν σφοδρῶς ἀναχαλᾶσθαι, ὥστε καὶ συναφέλκειν βάρη.

Hæc paulo pòst iisdem verbis repetuntur.

Ἀριστοτέλης ἔμψυχα μὲν, οὐ μὴν ζῶα· τὰ γὰρ ζῶα ὁρμητικὰ εἶναι καὶ αἰσθητικά, ἔνια δὲ καὶ λογικά.

Ἐπειδὴ

Ἐπειδὴ δὲ πάντα ἦν τὰ τοῦ θνητοῦ ζώου συμπεφυκότα μέρη καὶ μέλη, τὴν δὲ ζωὴν ἐν πυρὶ καὶ πνεύματι συνέβαινεν ἐξ ἀνάγκης ἔχειν αὐτῷ, καὶ διὰ ταῦτα ὑπὸ τούτων τηκόμενον κενούμενον ἔφθινε, βοήθειαν αὐτῷ θεοὶ μηχανῶνται· τῆς γὰρ ἀνθρωπίνης ξυγγενῆ φύσεως φύσιν ἄλλαις ἰδέαις, καὶ αἰσθήσεσι κεραννύντες, ὥσθ' ἕτερον ζῶον εἶναι φυτεύουσιν· ἃ δὴ νῦν ἥμερα δένδρα, καὶ φυτὰ, καὶ σπέρματα, παιδευθέντα ὑπὸ γεωργίας τιθασῶς πρὸς ἡμᾶς ἔσχε· πρὶν δὲ ἦν μόνα τὰ τῶν ἀγρίων γένη πρεσβύτερα τῶν ἡμερῶν ὄντα· πᾶν γὰρ οὖν ὅ τι περ ἂν μετέχῃ τοῦ ζῆν, ζῶον μὲν ἂν ἐν δίκῃ λέγοιτο ὀρθότατα· μετέχει γε μὴν τοῦτο, ὃ νῦν λέγομεν, τοῦ τρίτου ψυχῆς εἴδους ὃ μεταξὺ φρενῶν ὀμφαλοῦ τε ἱδρῦσθαι λόγος· ᾧ δόξης μὲν, λογισμοῦ τε καὶ νοῦ, μέτεστι τὸ μηδέν· αἰσθήσεως δὲ ἡδείας, καὶ ἀλγεινῆς μετ' ἐπιθυμιῶν· πάσχον γὰρ διατελεῖ πάντα· στραφέντι δὲ αὐτῷ ἐν ἑαυτῷ περὶ αὐτὸ τὴν μὲν ἔξωθεν ἀπωσαμένῳ κίνησιν, τῇ δὲ οἰκείᾳ χρησαμένῳ, τῶν αὐτοῦ τι λογίσασθαι κατιδόντι φύσει οὐ παραδέδωκεν ἡ γένεσις· διὸ δὴ ζῇ μὲν, ἔστι τε οὐχ ἕτερον ζώου, μόνιμον δὲ καὶ κατερριζωμένον πέπηγε, διὰ τὸ τῆς ὑφ' ἑαυτοῦ κινήσεως ἐστερῆσθαι.

Quoniam verò partes & mẽbra omnia mortalis animantis in mutua quadam cognatione genita erant, vitamq; necessariò in igne ac spiritu possidebãt, ne animal ipsum ab his resolutum exhaustumq; citò deficeret, hoc dij consilio prouidere. Quippe humani generis naturam quandam cognatã aliis formis sensibusq; miscentes, quasi animal quoddam aliud plantauerunt. Talia sunt domesticæ arbores, plantæ, semina, quæ consita nunc cultaq; ab arte mitia nobis sunt: quondam verò sine cultura, agrestia. Quicquid enim vitæ est particeps, iure animal nominabitur. Quod autem nunc dicimus, tertiæ animæ speciei est particeps, quam inter diaphragma & vmbilicum locauimus. cui opinio, ratio, mens nulla penitus inest. Sensus verò suauis & tristis vnà cum cupiditatibus conuenit. Omnia siquidem cõtinuè patitur. Cùm verò in seipso ad semet conuertatur, externumq; respuat motum, & proprio motu domesticoq; vtatur, idcirco huic natura non tribuit, vt quicquam pensi habens, suorum aliquid consideraret. Quapropter vita quidem fungitur, nec est ab animali diuersum: quia verò illa vi, qua quid seipsum transfert, orbatum fuit, stetit rigens, & fixum radicibus hæsit.

Plat. Tim.

Παρὰ τί δὲ τὰ βρέφη ὅμοια τοῖς γονεῦσι γίνεται, ἢ συγγενείαις ἀποδίδοται, ἐκθήσω λόγον· ὅταν τοῦ ἱεροῦ αἵματος ἐξαφριζομένου, ἡ γένεσις ἀποθησαυρίζει γόνον, συμβαίνει πως εἰσπνεῖν ἐκ τοῦ σώματος ὅλων μελῶν οὐσίαν τινὰ κατὰ θείαν ἐνέργειαν, ὡς τοῦ αὐτοῦ ἀνθρώπου γινομένου· τὸ δ' αὐτὸ καὶ ἐπὶ τῆς γυναικὸς εἰς τὸ γίγνεσθαι· ὅταν καθυπερτερήσῃ τὸ ῥεῦμα ἀπὸ τοῦ ἀνδρὸς, καὶ ἄθικτον γένηται, τῷ πατρὶ ὁμοιούμενον τὸ βρέφος ἀποδειχθήσεται, ὡς τὸ ἀνάπαλιν τὸν αὐτὸν τρόπον τῇ μητέρι. ἐὰν τινος μέρους καθυπέρθεσις γένηται πρὸς ἐκεῖνο τὸ μέρος ἀφομοιοῦται· ἔσθ' ὅτε δὲ καὶ εἰς μακρὰς γενεὰς παραβάλλει τὸ βρέφος τῇ μορφῇ τοῦ γενήσαντος, ἐκείνου δὲ κατὰ λόγον ἔχοντος πρὸς τὴν ὥραν, ἐν ᾗ ἡ γυνὴ ἐπαιδοποίει.

De causa similitudinis parentũ & maiorũ.

Qua verò de causa parentibus vel cognatis similes nascãtur infantes, rationem reddam. Cùm erumpente purissimo sanguine, ortus prolem componit, pariter ex totius corporis membris natura quadam vi diuina influit, vt in hominis ortu. neq. aliter in muliere contingere fit verisimile. Ergò cùm viri fluxio præstantior fuerit, & intacta manserit, patri similis infans nascitur: cùm contrà se res habuerit, matri. Quòd si etiã membrum aliquod præstantius fuerit, illud quoque exprimitur. Interdum etiam maiorum alicuius refert effigiem puer, cùm ille conceptus hora fuerit præfectus.

Mercur. Veneta.

Οἱ δὲ περὶ τὸν Ἀριστοτέλην καὶ Ἱπποκράτην, φασὶν, ἐὰν μὲν ἐκπληρωθῇ ἡ ἡμέρα ἑπτὰ μησὶ, τότε προκύπτειν καὶ γίνεσθαι γόνιμα· ἐὰν δὲ προκύψῃ μὲν, μὴ τρέφηται δὲ, ἀσθενήσαντος δὲ τοῦ ὀμφαλοῦ διὰ τὸ ἐπίπονον αὐτὸ γίνεσθαι, τὸ ἔμβρυον ἄτροφον εἶναι. ἐὰν δὲ μεῖναι τοὺς ἐννέα μῆνας ἐν τῇ μήτρᾳ προκύψαι, τότε ὁλόκληρον εἶναι.

Quare septimestres partus vitales.

Aristoteles et Hippocrates aiunt, siquidẽ mense septimo perficiatur vterus, tũ prominere partum, ac vitalẽ esse: sin promineat nec alatur, tum languescente vmbilico fœtum præ labore deficere. verùm si nouem in vtero menses manserit, perfectum prodire.

Plut.

Πόσα γένη ζώων, καὶ εἰ πάντα λογικὰ καὶ αἰσθητικά.

Πλάτων καὶ Ἀριστοτέλης, τέτταρα γένη ζώων, χερσαῖα, ἔνυδρα, πτηνὰ, οὐράνια· καὶ γὰρ τὰ ἄστρα ζῷα λέγεσθαι, τὸν κόσμον καὶ τὸ ἔνθεον ζῷον λογικὸν ἀθάνατον.

Quot animaliũm genera sint, anq; omnia ratione ac sensu prædita.

Plato & Aristoteles quatuor ponunt animalium genera, terrena, aquea, volucria, & cælestia. nam & stellas animalia dici, & mundũ animal esse rationis particeps immortale.

Πῶς ηὐξήθη τὰ φυτὰ, καὶ εἰ ζῷα.

Πλάτων καὶ τὰ φυτὰ ἔμψυχα ζῷα· φανερὸν δὲ ἀπὸ τοῦ σαλεύεσθαι, καὶ ἐντεταμένους ἔχειν τοὺς κλάδους, καὶ ἐν ταῖς ὑπαγωγαῖς εἴκειν, καὶ πάλιν σφοδρῶς ἀναχαλᾶσθαι· καὶ αἰσθητικὰ, ἔνια δὲ καὶ λογικά.

Quomodo stirpes alãtur, & an animalia.

Plato stirpibus quoq. vitam tribuit, quoniam concutiantur, & ramos arrigant, ac tum abducantur tum reducantur. Aristoteles animam tribuit, vitam aufert: nam quæ viuant, appetitiones ac sensus, & rationem interdum habere.

Καὶ δὴ καὶ τὰ νῦν ἡμῖν ἐξ ἀρχῆς παραγγελθέν-

Sed iam disputatio illa de Vniuerso vsq. ad generatio-

Plat. Tim. Hæc a tergo quæ...

-nerationem hominum nobis proposita ete. ita deniq. factus est visibile visibilia comprehendens animal, intelligibilis Dei imago, sensibilis, maximus, interminatus, pulcerrimus, perfectissimus cælum vnum hoc atq. vnigenitum.

(pta proxima videtur ponenda.)

Necesse erat sensum existere vnum communemq́; omnium, vehementiore motu excitatum coniunctumq́; naturæ: deinde voluptate & molestia mixtum amorem: post iram & metum, & reliquos motus animi, comites superiorum, et his etiam contrarios dissidentes.

(Plat. de Leg. quinto.)

Nec enim illud, ô Clinia, & Megille, nos fugiat, magnam esse locorum ad ferendos meliores peioresq́; homines differentiam: quibus diuersa prout expedit legibus sancienda sunt. Quippe alij varietate ventorum et turbine, difficiles & proterui sunt: alij propter aquas: alij propter cibos, qui ex terra non solùm corporibus commodi aut incommodi oriuntur, verùm animis quoque non minùs.

(Arist. Physiognomon. N. interpret.)

Quòd animæ sequuntur corpora, & ipsæ secundum seipsas non sunt impatibiles à motibus corporis, id manifestum fit valdè in ebrietatibus & ægritudinibus. multum namque animæ mutatæ videntur à passionibus corporis. Et è contrario quod corpus compatitur passionibus animæ, manifestum circa amores, & timores, & tristitias, & delectationes. Amplius autem & in iis quæ natura fiunt, magis vtique aliquis cōspiciet, quòd corpus & anima ita se habent connaturalia, vt fiant causa plurimarum passionum ad inuicem. Nunquam enim animal factum vel generatum est tale, quod formā haberet alterius animalis, animam verò alterius: sed semper eiusdem corpus & animam. Quare necessarium est consequi tali corpori talem formam. Amplius autem & scientes circa vnumquodque animalium ex forma possunt considerare, equites equos, & venatores canes. Si autem hæc vera fuerint, semper autem hæc vera sunt, erit sanè ars quæpiam physiognomia.

(Plat. de Leg. 7.)

Mutationem aio omnibus in rebus præterquam malis esse periculosissimam. in temporibus omnibus, in ventis, in diæta corporum, in moribus animorū, in omnibus simpliciter præterquam in malis, vt modò dicebam. Corpora quidem cùm primis cibis aliquibus & potibus laboribusq́; vtuntur, turbantur quodammodo, deinde ex diuturno harum rerum vsu cōcrescunt, pinguiaq́; redduntur: atque huiusmodi victu vtpote iam consueto, familiari & amico, delectantur admodum, & optimè valent. at si ex probabili aliqua causa ad aliam cogantur transire diætam, in morbos initio conturbata incidunt, antequam nouo victui consuescant. Idem quoque in cogitationibus hominum animorumq́; naturis fieri cogitandum. Omnes enim eas leges colunt, & innouare formidant, in quibus educati sunt, si illæ diuina quadā fortuna longis temporibus stabilitæ fuerint: adeò

τα διεξῆλθεν περὶ τοῦ παντὸς μέχρι γενέσεως ἀνθρωπίνης· οὕτω ζῶον ὁρατὸν τὰ ὁρατὰ περιέχον, εἰκὼν τοῦ ποιητοῦ θεοῦ, αἰσθητὸς, μέγιστος τε ἄριστος, καλλιστός τε, καὶ τελεώτατος γέγονεν εἷς οὐρανὸς, ὅδε μονογενὴς ὤν.

(τῶ)

Πρῶτον μὲν οὖν αἴσθησιν ἀναγκαῖον εἴη πᾶσιν ἐκ βιαίων παθημάτων σύμφυτον γίγνεσθαι. δεύτερον δὲ ἡδονῇ καὶ λύπῃ μεμιγμένον ἔρωτα. πρὸς δὲ τούτοις φόβον τε καὶ θυμὸν, ὅσα τε ἑπόμενα αὐτοῖς καὶ ὁπόσα ἐναντίως πέφυκε διεστηκότα.

(πλάτ. ἐν τῷ τιμαίῳ.)

Ὀρθῶς ὁ ἄνθρωπος ὠνομάσθη, ἀναθρῶν ἃ ὄπωπε.

(πλάτ. ἐν τῷ κρατύλῳ.)

Τοὺς μὲν χρηστοὺς καὶ πονηροὺς σφόδρα ὀλίγους εἶναι, ἑκατέρους, τοὺς μεταξὺ πλείστους.

(πλάτ. ἐν τῷ φαίδωνι.)

Καὶ γὰρ, ὦ Μέγιλλε, καὶ Κλεινία, μηδὲ τοῦτο θ᾽ ἡμᾶς λανθανέτω περὶ τόπων, ὡς οὐκ εἰσί τινες ἄλλοι διαφέροντες ἄλλων τόπων πρὸς τὸ γεννᾶν ἀνθρώπους ἀμείνους καὶ χείρους, οἷς οὐκ ἐναντία νομοθετητέον. οἱ μέν γέ που διὰ πνεύματα παντοῖα καὶ διὰ εἱλήσεις, ἀλλόκοτοί τέ εἰσι καὶ ἐναίσιοι αὐτῶν· οἱ δὲ δι᾽ ὕδατα, οἱ δὲ δι᾽ αὐτὴν ἐκ τῆς γῆς τροφὴν ἀναδιδοῦσαν οὐ μόνον τοῖς σώμασιν ἀμείνω καὶ χείρω, ταῖς ψυχαῖς δὲ οὐχ ἧττον δυναμένη πάντα τὰ τοιαῦτα.

(πλάτ. νόμ. ε.)

Ὅτι καὶ διάνοιαι ἕπονται τοῖς ἀνθρώποις, καὶ οὐκ εἰσὶν αὐταὶ καθ᾽ αὑτὰς ἀπαθεῖς γενόμεναι τῶν τοῦ σώματος κινήσεων. τοῦτο δῆλον γίνεται ἐν τε μέθαις καὶ ἀρρωστίαις. πολὺ γὰρ ἐξαλλάττουσαι φαίνονται αἱ διάνοιαι ὑπὸ τῶν τοῦ σώματος παθημάτων· καὶ τοὐναντίον δὴ τοῖς τῆς ψυχῆς παθήμασι τὸ σῶμα συμπάσχειν, φανερὸν ἐπὶ περί τε τοὺς ἔρωτας καὶ τοὺς φόβους, καὶ τὰς λύπας, καὶ τὰς ἡδονάς. ἔτι δὲ ἐν τοῖς φύσει γινομένοις μᾶλλον ἄν τις συνίδοι, ὅτι οὕτως ἔχει πρὸς ἄλληλα σῶμά τε καὶ ψυχὴ συμφυῆ, ὥστε τῶν πλείστων ἀλλήλοις αἴτια γίγνεσθαι παθημάτων. οὐδὲν γὰρ πώποτε ζῶον γεγένηται τοιοῦτον· ὃ τὸ μὲν εἶδος ἔσχηκε ἑτέρου ζώου· τὴν δὲ διάνοιαν ἄλλην, ἀλλ᾽ ἀεὶ τοῦ αὐτοῦ τό τε σῶμα καὶ ἡ ψυχή. ὡς ἀναγκαῖον ἕπεσθαι, τῷ τοιῷδε σώματι τοιάνδε διάνοιαν. ἔτι δὲ καὶ τῶν ἄλλων ζώων, οἱ περὶ ἕκαστον ἐπιστήμονες, ἐκ τῆς ἰδέας δύνανται θεωρεῖν, ἱππικοί τε ἵππους, καὶ κυνηγετικοὶ θήρας. εἰ δὴ ταῦτα ἐστὶν ἀληθῆ, εἴη ἂν ἡ φυσιογνωμονία.

(ἐκ τοῦ ἀριστοτέλους φυσιογνώμ.)

Μεταβολὴν γὰρ δὴ πάντων πλὴν κακῶν, πολὺ σφαλερώτατον εὑρήσομεν, ἐν ὥραις πάσαις, ἐν πνεύμασι καὶ διαίταις σωμάτων, ἐν τρόποις ψυχῶν, οὐχ ὡς ἔπος εἰπεῖν οὐ τοῖς μὲν, τοῖς δ᾽ οὔ, πλὴν ὅπερ εἶπον νῦν δὴ κακοῖς· ὥστε εἴ τις ἀποβλέψει πρὸς σώματα, ὡς πᾶσι μὲν σιτίοις, πᾶσι δὲ πότοις καὶ πόνοις ξυνήθη γιγνόμενα, καὶ τὸ πρῶτον ταραχθέντα ὑπ᾽ αὐτῶν· ἔπειτα ἐξ αὐτῶν τούτων ὑπὸ χρόνου σάρκα φύσαντα, οἰκείας τούτοις φυλάττει, καὶ ξυνήθη καὶ γνώριμα γενόμενα, πάσῃ ταύτῃ τῇ διαίτῃ πρὸς ἡδονὴν καὶ ὑγείαν ἄριστα συνάγει· καὶ ἐάν ποτ᾽ ἄρα ἀναγκασθῇ μεταβάλλειν αὖθις ἡντινοῦν τῶν εὐδοκίμων διαιτῶν, τότε κατ᾽ ἀρχὰς συνταραχθεὶς ὑπὸ νόσων μόγις ποτὲ κατέστη τὴν συνήθειαν τῇ τροφῇ πάλιν ἀπολαβών· ταυτὸν δὴ δεῖ νομίζειν τοῦτο γίγνεσθαι καὶ περὶ τὰς τῶν ἀνθρώπων διανοίας τε ἅμα καὶ τὰς τῶν ψυχῶν φύσεις. οἷς γὰρ ἂν ἐντραφῶσι νόμοις, καὶ κατά τινα θείαν εὐτυχίαν ἀκίνητοι γένωνται μακρῶν καὶ πολλῶν χρόνων, ὡς μηδένα ἔχειν μνείαν, μηδὲ ἀκοὴν τοῦ ποτὲ ἄλλως αὐτὰ σχεῖν, ἢ καθάπερ

(πλάτ. νόμ. ζ.)

νῦν

νοῦ ἐξαισίως σέβεται καὶ φοβεῖται πᾶσα ἡ ψυχή, τῶν τι κινεῖν τῶν τότε καθεστώτων.

Κοινωνία δέ ἐστι ψυχῶν· καὶ κοινωνοῦσι μὲν αἱ τῶν θεῶν ταῖς τῶν ἀνθρώπων, αἱ δὲ τῶν ἀνθρώπων ταῖς τῶν ἀλόγων. ἐπιμελοῦνται δὲ οἱ κρείττονες τῶν ἐλαττόνων, θεοὶ μὲν ἀνθρώπων, ἄνθρωποι δὲ τῶν ἀλόγων ζώων, ὁ δὲ θεὸς πάντων· ὁ μὲν οὖν κόσμος ὑπόκειται τῷ θεῷ, ὁ δὲ ἄνθρωπος τῷ κόσμῳ, τὰ δὲ ἄλογα τῷ ἀνθρώπῳ, ὁ δὲ θεὸς ὑπὲρ ἅπαντα, καὶ περὶ πάντα· καὶ τοῦ μὲν θεοῦ καθάπερ αἱ ἀκτῖνες, αἱ ἐνέργειαι· τοῦ δὲ κόσμου αἱ ἀκτῖνες, αἱ φύσεις· τοῦ δὲ ἀνθρώπου αἱ τέχναι, καὶ αἱ ἐπιστῆμαι. καὶ αἱ μὲν ἐνέργειαι διὰ τοῦ κόσμου ἐνεργοῦσι, καὶ ἐπὶ τὸν ἄνθρωπον διὰ τῶν τοῦ κόσμου φυσικῶν ἀκτίνων· αἱ δὲ φύσεις διὰ τῶν στοιχείων, οἱ δὲ ἄνθρωποι διὰ τῶν τεχνῶν καὶ ἐπιστημῶν. καὶ αὕτη ἡ τοῦ παντὸς διοίκησις ἠρτημένη ἐκ τῆς ἑνὸς φύσεως, καὶ ἡ διοικοῦσα τοῦ ἑνὸς τοῦ νοῦ· ὁ δὲ νοῦς ἐστι θειότερον καὶ ἐνεργέστερον, καὶ ἑνωτικώτερον, ἀνθρώπων μὲν πρὸς θεούς, θεῶν δὲ πρὸς ἀνθρώπους. οὗτός ἐστιν ὁ ἀγαθὸς δαίμων, ἣ ἂν μακαρία ψυχὴ ἡ τούτου πληρεστάτη· κακοδαίμων ψυχὴ ἡ τούτου κενωτάτη. πῶς τοῦτο πάλιν λέγεις, ὦ πάτερ; οἶδ᾽ οὖν, ὦ τέκνον, ὅτι πᾶσα ψυχὴ νοῦν ἔχει τὸν ἀγαθόν· περὶ γὰρ τούτου ὁ νῦν λόγος, οὐ τοῦ ὑπηρετικοῦ, περὶ οὗ ἔμπροσθεν εἰρήκαμεν τοῦ καταπεμπομένου ὑπὸ τῆς δίκης· ψυχὴ γὰρ χωρὶς νοῦ, οὔτε τι εἰπεῖν, οὔτ᾽ ἔρξαι δύναται. πολλάκις γὰρ ἐξίπταται ὁ νοῦς τῆς ψυχῆς, καὶ ἐν ἐκείνῃ τῇ ὥρᾳ οὔτε βλέπει ἡ ψυχή, οὔτε ἀκούει, ἀλλὰ λόγῳ ζώῳ ἔοικε. τηλικαύτη δύναμίς ἐστι τοῦ νοῦ, ἀλλ᾽ οὐ νωθεστέρας ψυχῆς ἀνέχεται, ἀλλὰ καταλείπει τὴν ἐν τῷ σώματι προσηρτημένην καὶ πάντα ἀγχομένην κάτω. ἡ τοιαύτη δὲ ψυχή, ὦ τέκνον, νοῦν οὐκ ἔχει· ὅθεν οὐδ᾽ ἄνθρωπον ἡγεῖσθαι δεῖ τὸν τοιοῦτον· ὁ γὰρ ἄνθρωπος θεῖον ζῶόν ἐστι, καὶ οὐδὲ τοῖς ἄλλοις ζώοις συγκρινόμενον τῶν ἐπιγείων τισίν, ἀλλὰ τοῖς ἄνω ἐν οὐρανῷ λεγομένοις θεοῖς. μᾶλλον δὲ εἰ χρὴ τολμήσαντας εἰπεῖν τὸ ἀληθές, ὑπὲρ ἐκείνους ἐστὶν ὁ ὄντως ἄνθρωπος, ἢ πάντως ἰσοδυναμοῦσιν ἀλλήλοις. οὐδεὶς μὲν γὰρ τῶν οὐρανίων ἐπὶ γῆς κατελεύσεται, οὐρανοῦ τὸν ὅρον καταλιπών. ὁ δὲ ἄνθρωπος καὶ εἰς τὸν οὐρανὸν ἀναβαίνει, καὶ μετρεῖ αὐτόν, καὶ τὸ πάντων μεῖζον, οὐδὲ τὴν γῆν καταλιπών, ἄνω γίγνεται· τοσοῦτον τὸ μέγεθός ἐστιν αὐτῷ τῆς ἐκστάσεως· διὸ τολμητέον εἰπεῖν τὸν ἄνθρωπον ἐπίγειον εἶναι θνητὸν θεόν, τὸν δὲ οὐρανὸν θεὸν ἀθάνατον ἄνθρωπον. διόπερ διὰ τούτων τὰ πάντα τῶν δύο, κόσμου καὶ ἀνθρώπου, ὑπὸ δὲ τοῦ ἑνὸς πάντα.

Ὁ μὲν ἄνθρωπος τὸ δεύτερον ζῶον μετὰ κόσμον, πρῶτον δὲ τῶν θνητῶν.

Ψυχὴ δὲ ἀνθρώπου ὀχεῖται τὸν τρόπον τοῦτον, ὁ νοῦς ἐν τῷ λόγῳ, ὁ λόγος ἐν τῇ ψυχῇ. ἡ δὲ ψυχὴ ἐν τῷ πνεύματι, τὸ πνεῦμα διῆκον διὰ φλεβῶν, καὶ ἀρτηριῶν, καὶ αἵματος, κινεῖ τὸ ζῶον, καὶ ὥσπερ τρόπον τινὰ βαστάζει· διὸ καί τινες τὴν ψυχήν, αἷμα νομίζουσιν εἶναι, σφαλλόμενοι, τὴν φύσιν οὐκ εἰδότες· ὅτι πρῶτον δεῖ τοῦ πνεύματος ἀναχωρήσαντος εἰς τὴν ψυχὴν τὸ σῶμα παγῆναι, καὶ τὰς φλέβας, καὶ τὰς ἀρτηρίας κενω-

vt nullus aut recordetur, aut audiuerit eas vnquam se aliter habuisse.

Est etiam animarum communio quadã. Deorum animæ cõmunicant hominum animis. Deus se communem singulis exhibet. præstantior enim cunctis ille: cuncta autem illo sunt imbecilliora. Mundus Deo, homo mundo, homini brutũ subiiciatur. Deus super omnia est, & circa omnia. Dei radij, actus existunt: mundi radij, sunt natura: radij verò hominis artes, atq. scientiæ. Per mundum exercentur actus, iiq; in hominem per mũdi radios naturales descendunt: natura per elementa: hominis per artes, atque scientias. Hæc vtique mundi totius administratio, ex vnius natura dependens, perq; vnam materiam rectè discurrens, qua nihil validius, nihil diuinius, nihil denique magis vnitum. Hominum ad deos, ad homines deorum communio. Iste bonus est dæmon. anima, quæ hoc plena est, beata est; misera verò vacua. Quánam ratione id ais, ô pater? Scito, mi fili, quia anima omnis habet ipsum bonum pro mente. de hac enim præsens nobis est sermo, non de ministro huius, quem suprà diximus ex iudicio demissum ad inferos. Anima mentis præsentia destituta, nec agere quicquam, nec dicere potis est. Sæpe verò mens extra animam, quo quidem in tempore nec audit, nec videt anima, sed animali similis est ratione carenti. Tanta est potentia mentis, quæ animam huiusmodi deserit implicitam corpori, et ab eodem tractam ad infera. Talis anima, fili mi, mentem nullam habet, ideoq; nec hominem hunc appellare fas est. Homo siquidem animal est diuinum, nec est cum terrenis brutis, sed cum diis cælestibus comparandus. Quinimo si audendum est verum fateri, homo verus vel cælicolis est præstãtior, vel saltem pari sorte potitur. Etenim quicunq. cælitum descendit ad terram, cæli limitem deserit: homo autẽ ascendit in cælum, illudq; metitur: nec eum fugit, quæ ima sunt, quæve sublimia, ac reliqua omnia diligenter inquirit; quodq; maius est, terram quidem haud dimittens in cælum attollitur. tam ampla est humanæ naturæ potestas. Quamobrem audendum est dicere, hominẽ quidem terrenũ, deum esse mortalem: Deum verò cælestem, immortalem hominẽ. Itaq. horũ virtute duorũ, hominis scilicet ac mundi, gubernantur singula. vni demum cuncta subiiciuntur.

Mundus, animal primum, homo secundũ post mundum animal, primum autem animalium reliquorum.

Anima hominis in hunc vehitur modũ. Mens in ratione, ratio in anima, anima in spiritu, spiritus in corpore. Spiritus per venas, arterias, sanguinemq; diffusus, animal vndique ciet, molemq; corporis suspensam sustinet, atque circumfert. Vnde decepti quidam humorem sanguinis animã existimarunt. Hos planè latuit, quia inprimis oportuit spiritum ad animam vsq. manare, deinde sanguinẽ coalescere, venasq; & arterias cauas extendi,

Mercurij Clauc, Ficino interp.

Plat. de Repub. 4.

extendi, demum resolui animal, eamq́; mortē corporis esse.

Profectò nobis necesse est confiteri, easdem in nobis species atque mores inesse, quas & in ciuitate. Neq. enim aliunde in ciuitatem hæc deuenerunt. Ridiculum quippe esset, si quis iracundam animositatem existimaret nequaquam ex priuatis hominibus in ciuitatibus inuectam esse, quorū idem est captus, qui & Thracum, Scytharum, superiorumq́; gentium: aut sapientiæ studium nō ex tali priuatorum instinctu, qualis natura nostris hominibus est tributus: aut quæstus auiditatem non ex ea singulorum hominum cupiditate, quæ affecti apprimè dicuntur Phœnicij, Aegyptijq́; nonnihil.

Locus hic eo libro, qui Græcus codex indicat, non extat.

Plat. Tim.

Sed earum passionum, quæ circa totum corpus communiter accidunt, ea restat maxima, quæ voluptatis dolorisq́; est causa in his quæ diximus. similiter quæcunq. per corporis partes sensibus patent, &c. cui quidem corpus nostrum cognatum fieri in die suprà narrauimus.

Plat. Philebo.

Harmonia soluta in animantibus, vna naturæ solutionem generationemq́; dolorum eo in tempore fieri dico. Consentaneum. Rursus harmonia contemperata, & in sui naturam protinus restituta, &c. & animam absq. corpore, & absque anima corpus, & mutuum etiam vtrorumq. congressum, in omnibus perturbationibus habere voluptatis & doloris concursum.

Plat. Phæd.

Dic agè per Iouem precor, num animam dicimus aliam quidem habere mentē virtutemq́; atq. esse bonam: aliam verò dementiam & prauitatē, malamq́; esse. hæcne, inquam, verè dicuntur?

Mercurij Tiane.

Quónam pacto id ais, ô pater? Mens quidem ab anima, anima verò à spiritu separatur. Indumentum mentis anima: indumentum animæ spiritus. Cointelligere oportet, ô fili, cum dicente auditorem, atq. conspirare, auditumq́; acutiorem voce dicentis habere. Harū, ô fili, vestium conuolutio in corpore terreno conficitur. siquidem nudam secundum se mentem in terrena sistere mole penitus impossibile. neque enim potis est terrea fæx mentem adeò diuinam suscipere, neque tantū numen patibili confirmatum corpore sustinere. Assumsit ergo mens animam velut amictū. Quinetiā anima diuina existens, vehiculo spiritus vtitur. Spiritus animal totum percurrit. Itaq. cùm primùm mens à terreno corpore soluitur, propriū mox subit amictum, igneum videlicet corpus, quo sanè quamdiu circumtecta est, in terreum corpus turgescere nequit. Terra namque ignem minimè sustinet, tota siquidem ab exigua scintilla cremaretur. Qua de causa terrena moli circumfusus est humor, quasi quoddam ad combustionem ignis obstaculum: qui cùm acutissimus, ac velocissimus sit omnium diuinorum conceptuum, singulorum comprehendit elementorum corpora. etenim ipse

θείσας τὸ ζῷον καταλείπειν· καὶ τοῦτό ἐστιν ὁ θάνατος τοῦ σώματος.

πλάτ. πολιτ. δ.

Ἆρ' οὖν, ἦν δ' ἐγώ, πολλὴ ἀνάγκη ὁμολογεῖν, ὅτι γε τὰ αὐτὰ ἐν ἑκάστῳ ἐστὶν ἡμῶν εἴδη τε καὶ ἤθη, ἅπερ ἐν τῇ πόλει. οὐ γάρ που ἄλλοθεν ἐκεῖσε ἀφῖκται. γελοῖον ἂν εἴη, εἴ τις οἰηθείη τὸ θυμοειδὲς, μὴ ἐκ τῶν ἰδιωτῶν ἐν ταῖς πόλεσιν ἐγγεγονέναι, οἳ δὴ καὶ ἔχουσι ταύτην τὴν αἰτίαν, οἷον οἱ κατὰ τὴν Θρᾴκην, καὶ σχεδόν τι κατὰ τὸν ἄνω τόπον· ἢ τὸ φιλομαθὲς, ὃ δὴ τὸν παρ' ἡμῖν μάλιστ' ἄν τις αἰτιάσαιτο τόπον· καὶ τὸ φιλοχρήματον, τὸ περί τε τοὺς φοίνικας εἶναι, καὶ τοὺς κατ' αἴγυπτον φαίη τις ἂν οὐχ ἥκιστα.

πλάτ. πολιτ. ᾳ.

Ἴθι δὴ φήσομεν πρὸς αὐτὸν, ἀπόκριναι· ἆρα οὕτως ἔλεγες, τὸν μὲν εὐφυῆ πρός τι εἶναι, τὸν δ' ἀφυῆ, ἐν ᾧ ὁ μὲν ῥᾳδίως τι μανθάνοι· ὁ δὲ, χαλεπῶς· καὶ ὁ μὲν ἀπὸ βραχείας μαθήσεως ἐπὶ πολὺ εὑρετικὸς εἴη, οὗ ἔμαθεν· ὁ δὲ πολλῆς μαθήσεως τυχὼν καὶ μελέτης, μηδὲ ἃ ἔμαθε σῴζοιτο· καὶ τῷ μὲν, τὰ τοῦ σώματος, ἱκανῶς ὑπηρετοῖ τῇ διανοίᾳ, τῷ δ' ἐναντιοῖτο. ἆρ' ἄλλα ἄττα ἐστὶν, ἢ ταῦτα εἰς τὸν εὐφυῆ πρὸς ἕκαστα καὶ τὸν μὴ ὡρίζου, οὐδεὶς ἦ δ' ὃς ἄλλα φήσει.

πλάτ. τιμ.

Μέγιστον δὲ καὶ λοιπὸν τῶν κοινῶν περὶ ὅλον τὸ σῶμα παθημάτων, τὸ τῶν ἡδέων, καὶ τὸ τῶν ἀλγεινῶν αἴτιον ἐν οἷς διεληλύθαμεν· καὶ ὅσα διὰ τῶν τοῦ σώματος μορίων αἰσθήσεις κεκτημένα. ἤδη σῶμα ἐν τοῖς ἔμπροσθεν ἐρρήθη καθ' ἡμέραν ξυμφυὲς ἡμῖν γίγνεσθαι.

πλάτ. ἐν φιλήβῳ.

Λέγω τοίνυν τῆς ἁρμονίας μὲν, λυομένης μὲν ἡμῖν ἐν τοῖς ζώοις ἅμα λύσιν τῆς φύσεως καὶ γένεσιν ἀλγηδόνων τῷ ποτε γίγνεσθαι χρόνῳ· πάνυ λέγεις εἰκός. πάλιν δὲ ἁρμοττομένης τε καὶ εἰς τὴν αὐτὴν φύσιν ἀπιᾷ. ὅτι καὶ σῶμα ἄνευ ψυχῆς, καὶ ψυχὴ ἄνευ σώματος, καὶ κοινῇ μετ' ἀλλήλων ἐν τοῖς παθήμασι, μετά ἐστι συγκεκραμένης ἡδονῆς λύπαις.

πλάτ. ἐν φαίδωνι.

Ἐάν γε ἐγγένηται οἶμαι ξύμπαντας ὅσοις τοῦ καὶ σμικρὸν προσηρτῆται, μακρὰν ἀληθὲς αὐτὴν εἶναι γνῶσιν.

πλάτ. ἐν φαίδωνι.

Φέρε δὴ πρὸς Διὸς λέγεται ψυχὴ, ἡ μὲν νοῦν τε ἔχειν καὶ ἀρετὴν, καὶ εἶναι ἀγαθὴ, ἡ δὲ ἄνοιάν τε καὶ μοχθηρίαν, καὶ εἶναι κακὴ, καὶ ταῦτα ἀληθῶς λέγεται.

ἑρμοῦ.

Πῶς τοῦτο λέγεις, ὦ πάτερ; ὁ νοῦς τῆς ψυχῆς χωρίζεται, καὶ ἡ ψυχὴ τοῦ ἐνδύματος· σοῦ εἰπόντος δύναμιν εἶναι, τοῦ μὲν νοῦ τὴν ψυχὴν, τῆς δὲ ψυχῆς τὸ πνεῦμα. συννοεῖν δὲ, τέκνον, τὸν ἀκούοντα τῷ λέγοντι καὶ συμπνεῖν, καὶ ὀξυτέραν ἔχειν τὴν ἀκοὴν τῆς τοῦ λέγοντος φωνῆς· ἡ σύνθεσις τῶν ἐνδυμάτων ἐν σώματι γηΐνῳ γίγνεται· ἀδύνατον γὰρ τὸν νοῦν ἐν γηΐνῳ σώματι γυμνὸν αὐτὸν καθ' ἑαυτὸν ἑδρᾶσαι. οὔτε γὰρ τὸ γήϊνον σῶμα δυνατόν ἐστι τὴν τηλικαύτην ἀθανασίαν ἐνεγκεῖν, οὔτε τὴν τοσαύτην ἀρετὴν ἀνέχεσθαι συγχρωτιζόμενον αὐτῇ παθητὸν σῶμα. ἔλαβεν ὥσπερ περιβόλαιον τὴν ψυχήν· ἡ δὲ ψυχὴ καὶ αὐτή τις θεία οὖσα καθάπερ ὑπηρέτῃ τῷ ἐνδύματι χρῆται· τὸ δὲ πνεῦμα τὸ ζῷον διοικεῖ· ὅταν ὁ νοῦς ἀπαλλαγῇ τοῦ γηΐνου σώματος, τὸν ἴδιον εὐθὺς ἐνεδύσατο χιτῶνα τὸν πύρινον, ὃν οὐκ ἠδύνατο ἔχων εἰς τὸ γήϊνον σῶμα κατοικῆσαι· γῆ γὰρ πῦρ οὐ βαστάζει· πᾶσα γὰρ γῆ φλέγεται καὶ ὑπὸ ὀλίγου σπινθῆρος. διὰ τοῦτο καὶ τὸ ὕδωρ περικέχυται τῇ γῇ, ὥσπερ ἔρυμα καὶ τεῖχος ἀντέχον πρὸς τὴν τοῦ πυρὸς φλόγα. νοῦς δὲ ὀξύτατος πάντων τῶν θείων νοημάτων, καὶ ὀξύτατον πάντων τῶν στοιχείων ἔχει τὸ πῦρ σῶμα.

δημιουρ-

δημιουργὸς γὰρ ὢν ὁ νοῦς τῶν πάντων ὀργάνῳ τῷ πυρὶ πρὸς τὴν δημιουργίαν χρῆται. καὶ ὁ μὲν τοῦ παντὸς τῶν πάντων, ὁ δὲ τοῦ ἀνθρώπου, τῶν ἐπὶ γῆς μόνον. γυμνὸς γὰρ ὢν τοῦ πυρὸς ὁ ἐν ἀνθρώποις νοῦς ἀδυνατεῖ τὰ θεῖα δημιουργεῖν, ἀνθρώπου ὢν τῇ οἰκήσει.

calorum artifex, igne potissimùm ad suam fabricam utitur. Opifex quidem totius utitur omnibus, omnis autem faber iis, quæ sunt circa terrā. Orba namq. igni mens hominis, ad humanamq; dispositionem dumtaxat idonea, diuina construere nequit.

Πᾶν γεννητὸν ἀπ' ἄλλου τινὸς αἰτίαν τῆς γενέσεως ἔχει, εἴγε μηδὲν ἀναιτίως γίγνεται. ἀλλὰ τῶν γε γεννητῶν ὅσα μὲν διὰ συνθέσεως κέκτηται τὸ εἶναι, αὐτὰ ἂν εἴη καὶ διὰ τοῦτο φθαρτά· ὅσα δὲ ἁπλᾶ καὶ ἀσύνθετα ὄντα ἐν τῷ ἁπλῷ τῆς ὑποστάσεως κέκτηται τὸ εἶναι, ἄλυτα ὄντα, ἔστι μὲν ἄφθαρτα, γεννητὰ δὲ λέγεται, οὐ τῷ σύνθετα εἶναι, ἀλλὰ τῷ ἀπ' αἰτίου τινὸς ἀνηρτῆσθαι. τὰ μὲν οὖν σώματα διχῶς γεννητά, καὶ ὡς ἀπ' αἰτίας ἠρτημένα τῆς παραγούσης, καὶ ὡς σύνθετα, ψυχὴ δὲ καὶ νοῦς γεννητά, ὡς ἀπ' αἰτίας ἠρτημένα μόνον, οὐ μὴν καὶ ὡς σύνθετα. τὰ μὲν ἄρα σώματα γεννητὰ καὶ λυτὰ, καὶ φθαρτά, τὰ δὲ ἀγέννητα μέν, ὡς ἀσύνθετα, καὶ ταύτῃ καὶ ἄλυτα καὶ ἄφθαρτα, γεννητὰ δὲ ὡς αἰτίου ἠρτημένα.

Quicquid ortum est, aliundè causam ortus habet, quandoquidem absq. causa nihil existit. Horū autem quæ quidem per compositionem existunt, eadem de causa sunt interitui obnoxia: quæ verò simplicia simpliciter existūt, quanquam nec solui nec interire possunt, orta tamen dicuntur, non quòd sint composita, sed quòd causam habeant. Et corpora quidem bifariam sunt orta, tum ut à causa præcedente dependentia, tum ut composita: anima verò ac mens uno pacto dumtaxat, ut causam habentes, non etiam ut composita & illa quidem orta sunt, ac solutioni & interitui obnoxia, hæc verò ut composita quidem, non orta, nec vel soluenda vel interitura, ut autem causam habentia, orta.

Ὁ νοῦς οὐκ ἔστιν ἀρχὴ πάντων· πολλὰ γάρ ἐστιν ὁ νοῦς, πρὸ δὲ τῶν πολλῶν ἀνάγκη εἶναι τὸ ἕν. ὅτι δὲ πολλὰ ὁ νοῦς δῆλον, νοεῖ γὰρ αἰεὶ τὰ νοήματα οὐχ ἓν ὄντα, ἀλλὰ πολλὰ καὶ οὐκ ἄλλα ὄντα παρ' ἐκεῖνο. εἰ οὖν αὐτὸς ἐστὶν αὐτοῖς, ἐκεῖνα δὲ πολλά, πολλὰ ἂν εἴη καὶ ὁ νοῦς. ὅτι δὲ ὁ αὐτός ἐστι τοῖς νοητοῖς οὕτως δείκνυται· εἰ γάρ τι ἐστὶν ὃ θεωρεῖ, ἢ τὸ ἐν αὐτῷ ἔχει, τοῦτο θεωρήσει, ἢ ἐν ἄλλῳ κείμενον. καὶ ὅτι μὲν θεωρεῖ δῆλον, σὺν γὰρ τῷ νοεῖν εἴη ἂν ὁ νοῦς· ἀφαιρεθεὶς γὰρ τοῦ νοεῖν, ἀφῄρηται τῆς οὐσίας. δεῖ τοίνυν ἐπιστήσαντας τοῖς πάθεσιν ἃ συμβαίνει περὶ τὰς γνώσεις, ἀνιχνεῦσαι τὴν ἐκείνου θεωρίαν. γνωστικαὶ δὲ δυνάμεις ἐν ἡμῖν ἀθρόον, αἴσθησις, φαντασία, νοῦς. πάντα δὲ τὸ αἰσθήσει προσχρώμενον τῆς ἔξω ἐπιβάλλον θεωρεῖ, οὐ χωρούμενον ἐκείνοις ἃ θεωρεῖ, ἀλλὰ μόνον τύπον αὐτῶν ἐκ τῆς πρὸς αὐτὰ προσβολῆς λαμβάνον. ὅταν οὖν ἴδῃ ὀφθαλμὸς τὸ ὁρώμενον, ἀδύνατον ἐν ταυτότητι γενέσθαι τοῦ ὁρωμένου· οὐ γὰρ ἂν ἴδοι, εἰ μὴ ἐν διαστάσει γένοιτο. ὡσαύτως δὲ καὶ τὸ ἁπτόμενον ἐν ταυτότητι γενόμενον φθαρήσεται. ἐξ ὧν δῆλον, ὅτι ἀεὶ ἥ τε αἴσθησις καὶ τὸ αἰσθήσει προσχρώμενον, εἰς τὸ ἔξω φέρεται, εἰ μέλλει τὸ αἰσθητὸν καταλήψεσθαι. ὡσαύτως δὲ καὶ ἡ φαντασία ἀεὶ ἐπὶ τὸ ἔξω φέρεται, καὶ τῇ τάσει αὐτῆς τὸ εἰκόνισμα παρυφίσταται, ἤτοι καὶ παρασκευάζει ἔξωθεν ἢ αὐτὴ πρὸς τὸ ἔξω τάσει τὴν ὡς ἔξω ὄντος εἰκονίσματος ἐνδεικνυμένη. καὶ τούτων μὲν κατάληψις τοιαύτη, ὧν οὐδεμία εἰς ἑαυτὴν συννεύουσα καὶ συναγομένη ἐντύχοι ἄν, ἢ τῷ αἰσθητῷ, ἢ τῷ ἀναισθήτῳ εἴδει, ἐπὶ δὲ τοῦ νοῦ, οὐ τοῦτον τὸν τρόπον ἡ κατάληψις, ἀλλὰ συννεύοντος εἰς ἑαυτόν, καὶ ἑαυτὸν θεωροῦντος. παρεξελθὼν γὰρ τοῦ θεάσασθαι τὰς ἑαυτοῦ ἐνεργείας, καὶ ὄμμα εἶναι τῶν αὐτοῦ ἐνεργειῶν ὥσπερ τὸ ὅραμα, οὐδὲν ἂν νοήσειεν. ὡς μὲν οὖν ἦν αἴσθησίς τε καὶ τὸ αἰσθητόν, οὕτως ἐστὶ νοῦς τε καὶ νοητόν. θεωρεῖ δὲ ἡ μὲν ἐκτεινομένη εἰς τὸ ἔξω, διευρίσκουσα τὸ αἰσθητὸν τῇ ὕλῃ κείμενον· ὁ δὲ νοῦς εἰς αὐτὸν συναγόμενος, εἰ δὲ μὴ ἔξω ἐκτεινόμενος, ὅπερ ἐδόκει τισὶν ὀνόματος διαφορᾶς προστιθείσης τῇ τοῦ νοῦ ὑποστάσει, καὶ τῆς φαντασίας. ἡ γὰρ ἐν λογικῷ ζώῳ φαντασία ἐδόκει αὐτοῖς νόη-

Mens haud est omnium principium. siquidem multa mens est, cùm unum necesse sit multa præcedere. Multa verò mentem esse constat, quòd res percipiat, quæ multa sint, non unum, nec præter ipsum aliud. Quare si idem est, quod illa, multa verò sunt illa, multa quoq. mens erit. Idem porrò esse mentem sic ostenditur. Etenim si quid considerat, id vel in se positum, vel in alio considerat. Ac res quidem considerare clarū est, quandoquidē semper mens aliquid percipit, nec aliter posset subsistere: rationem autem considerationis ex iis, quæ cognitioni accidūt, oportet elicere. Et cognoscendi quidē facultates in nobis ponuntur sensus, imaginatio, ac mens: horū verò quod sensu utitur, externa progrediens considerat, non quidem cum illis permistū, verùm imagine dumtaxat ex progressu sumta. Quare cùm oculus aliquid videt, non potest idem esse, quoniam citra interuallū spectare non posset. similiter tactus idem factus periret. Ex quo efficitur, sensum & quod sensu utitur, extrà semper progredi, ut aliquid percipiat. Neq. aliter imaginatio semper extrà progreditur, ex eoq; progressu simulacrū existit, vel aliud quid exterius præparans, vel ipso progressu simulacrum foris cerni demonstrans. Atq. hæc quidem hoc pacto comprehendūtur, sic ut neutra facultas in se respiciens sensus vel subiecta vel non subiectæ rei incidat: mens autē non eadem ratione, sed in seipsam respiciens res comprehendit. Etenim si suas functiones considerare desistat, nihil prorsus intelliget. Quo igitur pacto ponitur sensus et quod sentitur, eodem mens & quod intelligitur. verùm ille quidē extra progressus cōsiderat, quoniam in materia, quod sentitur, est positum: mens autē in se respiciens, nequaquā foras progressa, ut voluerunt quidā, qui solo nomine mentem & imaginationem differre crediderunt. siquidē rationis capacium animalium imaginationem pro

mente ducebant. Atq. illis quidem à materia naturaq; corporea cuncta deducentibus mentē quoq. eodem referre erat cōsentaneum: nostra verò corpora reliquasq; naturas cùm cōsideret, quo loco eas comprehēdet: extra in materia? nequaquā. Quocirca mens cum iis quæ intelliguntur est coniungenda. quæ si ad mentem referantur, & seipsam considerabit mens & illa, cum illa percipiet; ad seseq; respiciēs illa simul percipiet. At si multa sub intellectum cadunt, quoniam non vnū, sed multa mens considerat, multa quoq. necessariò erit ipsa. cumq; vnum præcedat multa, necessariò menti vnum præponetur.

Archytæ de Mente & sensu.

*Sensus quidem in corpore ponitur, mens autem in anima. nam vt ille eorum, quæ sub sensum cadunt, ponitur principium, ita hæc eorum, quæ sub intellectum. Etenim multitudinis quidē est numerus mensura, longitudinis autem pes, ponderis verò trutina, rectitudinis denique norma. eodem pacto corporum quidem sensus est mensura, rerū autem intelligēdarum mens principium ac mensura. Præterea mens quidem rerum naturæ primum intelligendarum est principium, sensus autē *nobis. siquidem vt illa principium est animæ, ita hic corporis. Mens porrò de præstantissimis indicat, sensus de vtilissimis. siquidem vt sensus corporis ministerij causa procreatus est, ita mens amplioris eiusdem curæ. Præterea mens scientiæ principium est, sensus opinionis. siquidem vt hic sub sensum cadentium habet functionem, ita sub intellectum cadentium illa. Iam quæ quidē sentiuntur, mouentur, ac sunt communia; quæ autē intelliguntur, consistunt, ac sunt singularia. Similiter quoq. sensus ac mens se habēt. Etenim sensus quidem ad id, quod sentiri potest, refertur: hoc autem & mouetur, & mutatur, nec vnquam quiescit, ideoq; tum magis ac minus, tum melius ac peius sentitur: mens verò ad id, quod intelligi potest, refertur; hoc autem nunquam mouetur, ideoq; nec magis ac minus, nec melius ac peius intelligitur. Iam quemadmodum mens primum & exemplū conspicit, ita sensus imaginem & secundū. (siquidem vt mens non simpliciter hominem cōsiderat, ita simpliciter sensus orbem Solis, vel fabri. Præterea mens quidem diuidi nequit, velut monas ac punctum; similiter nec quod intelligitur, quoniam forma nec finis est, nec terminus corporis, sed rei tantum descriptio, quatenus res est: sensus autem diuidi potest. Eorum enim quæ sunt, alia sensu, alia opinione, alia scientia, alia deniq. intellectu comprehenduntur. Et corpora quidem, quæ resistunt, sensu comprehenduntur; opinione autē, quæ formas habēt, vt imagines, velut homo quidam hominis, ac triangulum quoddam trianguli; scientia verò, quæ necessariò formis eueniunt, vt in Geometria figuris; intellectu deniq. cùm ipsa forma, tum scientiarum principia, vt ipse circulus, ipsum triangulum, ipse orbis. Iam in anima quoq. nostra quatuor cernuntur cognoscendi fa-*

* ἁμῖν pro ἁμῶν.

σις· ἀλλ' ἐκείνοις μὲν πάντα ἀπαρτίσασιν ἀπὸ τῆς ὕλας καὶ τῆς σωματικῆς φύσιος ἀκόλουθον ἦν καὶ τὸν νοῦν τούτων ἀναρτᾶν· ὁ δ' ἁμέτερος σωμάτων καὶ ἑτέρων θεωρὸς ἐὼν, πᾶ τοίνυν κειμένας καταλάψεται αὐτὰς ἔξω ἐόντων ὕλας; οὐδαμᾶ ἂν εἴη ταῦτα. δῆλον, ὡς νοερὰ καὶ νοατῷ συναχθήσεται, καὶ τοίνυν εἰ νοερὰ εἰς τὸν νοῦν, καὶ τὸ νοητὸν, καὶ ἑαυτὴν θεωρήσει νοῶν τὰ νοητὰ, χωρῶν εἰς αὐτὸν, νοεῖ δ' ἐκεῖ τὰ εἰς ἐκεῖνα χωρεῖς· εἰ δὲ πολλὰ καὶ τὰ νοητὰ, πολλὰ γὰρ ὁ νοῦς νοεῖ καὶ οὐχ ἕν, πολλὰ ἂν εἴη καὶ ἐξ ἀνάγκης καὶ αὐτός· κεῖται δὲ πρὸ τῶν πολλῶν τὸ ἕν, ὥστε ἀνάγκη πρὸ τοῦ νοῦ εἶναι τὸ ἕν.

Αἴσθησις μὲν ἐν σώματι γίγνεται, νοῦς δ' ἐν ψυχᾷ. τὸ μὲν γὰρ ἀρχὰ τῶν αἰσθητῶν ὑπάρχει, τὸ δὲ τῶν νοατῶν. πλάθεος μὲν γὰρ μέτρον ἀριθμὸς, μάκεος δὲ πούς, ῥοπᾶς δὲ καὶ σταθμοῦ ζυγὸν, ὀρθότατος δὲ καὶ εὐθύτατος κανὼν καὶ στάθμα ὀρθαγωνία. οὕτως δὲ καὶ τῶν μὲν σωμάτων αἴσθησις μέτρον, τῶν δὲ νοατῶν νόος ἀρχὰ καὶ μέτρον ἐστί. καὶ ὁ μὲν νόος ἀρχὰ νοατῶν τᾶ φύσει πρῶτον· ἁ δὲ αἴσθησις ἁμῖν· μὲν γὰρ ἐστὶν ἀρχὰ τᾶς ψυχᾶς, ἁ δὲ τοῦ σώματος· καὶ ὁ μὲν νόος τῶν τιμιωτάτων ἐστὶ κριτὰς, ἁ δ' αἴσθησις τῶν χρησιμωτάτων, ἁ μὲν γὰρ αἴσθησις τοῦ σώματος ἕνεκα συνέστηκε, καὶ τᾶς εἰς τοῦτο λειτουργίας· ὁ δὲ νόος καὶ τὰν ἐς ταύτας πολυφραδμοσύνας. καὶ ὁ μὲν νόος ἐστὶν ἀρχὰ τᾶς ἐπιστήμας, ἁ δ' αἴσθασις τᾶς δόξας. ἁ μὲν γὰρ ἔχει τὰν ἐκ τῶν αἰσθατῶν ἐνέργειαν, ὁ δὲ τὰν ἐκ τῶν νοατῶν· τυγχάνοντι δὲ τὰ μὲν αἰσθητὰ τῶν πραγμάτων κινάσιος μεταλαμβάνοντα κοινὰ ἐόντα, τὰ δὲ νοατὰ στάσιος καὶ ἰδιότητος· παραπλησίως δὲ καὶ ἁ αἴσθησις καὶ ὁ νόος ἔχοντι· ἁ μὲν γὰρ αἴσθασις τῶν αἰσθατῶν, τὸ δ' αἰσθατὸν καὶ κινεῖται καὶ μεταβάλλει, καὶ οὐδέποτε ἐν ταὐτῷ ἀτρεμεῖ· διὸ καὶ μᾶλλον καὶ ἧττον, καὶ βέλτιον, καὶ χεῖρον γίνεται ὁρῶν· ὁ δὲ νόος τῶν νοατῶν, τὸ δὲ νοατὸν ἀκίνητον ἐξουσίας· διὸ οὔτε μᾶλλον, οὔτε ἧττον, οὔτε βέλτιον, οὔτε χεῖρον ἐστι νοεῖν τὸ νοατὸν, καθάπερ νόος τὸ πρᾶτον βλέπει καὶ τὸ παράδειγμα, οὕτως ἁ αἴσθασις τὰν εἰκόνα καὶ τὸ δεύτερον· ὁ μὲν γὰρ νόος οὐκ ἄνθρωπον ἁπλῶς, ἁ δ' αἴσθασις ἁπλῶς τὰν τοῦ ἡλίω σφαῖραν, ἢ τὰς χειροτεχνατῶν. ἔτι μὲν νόος ἀμερὴς καὶ ἀδιαίρετος καθάπερ μονὰς καὶ στιγμή· παραπλησίως δὲ καὶ τὸ νοατόν. τὸ γὰρ εἶδος οὔτε πέρας σώματός ἐστιν, οὔτε ὅρος, ἀλλὰ μόνον τύπωσις τοῦ ὄντος, ᾗ ὄν ἐστιν· ἁ δ' αἴσθησις μεριστὰ καὶ διαιρετά. τῶν γὰρ ὄντων ἐστὶ τὰ μὲν αἰσθητὰ, τὰ δὲ δοξαστὰ, τὰ δ' ἐπιστατὰ, τὰ δὲ νοατά· καὶ τὰ μὲν σώματα ὡς ἔστι τις ἀντιτυπία, αἰσθατά· δοξαστὰ δὲ τὰ μετέχοντα τῶν ἰδεῶν ὡς αἱ εἰκόνες, οἷον ὁ τὶς ἄνθρωπος τοῦ ἀνθρώπου, καὶ τὸ τρίγωνον τοῦ τριγώνου· ἐπιστατὰ δὲ τὰ τοῖς εἴδεσι συμβεβηκότα ἐξ ἀνάγκας, ὡς ἐν γεωμετρίᾳ τὰ τοῖς σχήμασι· νοατὰ δὲ καὶ αὐτὰ τὰ εἴδεα, καὶ αἱ ἀρχαὶ τῶν ἐπιστατῶν· οἷον ὁ αὐτὸς ὁ κύκλος, καὶ τρίγωνον, καὶ σφαῖρα. τυγχάνοντι δὲ καὶ ἐν ἁμῖν αὐτοῖς κατὰ ψυχὰν γνώμας

Ἀρχύτα ἐκ τοῦ περὶ νῶ καὶ αἰσθήσιος.

γνώμας τέτταρας, νόος, ἐπιστήμη, δόξα, αἴσθησις· ὧν αἱ μὲν δύο τοῦ λόγου ἀρχαί ἐστι, οἷον νόος καὶ αἴσθησις· τὰ δὲ δύο τέλη, οἷον ἐπιστήμη καὶ δόξα· τὸ δ' ὅμοιον ἀεὶ τοῦ ὁμοίου γνωστικὸν, φανερὸν, ὅτι ὁ μὲν νόος ἐν ἄμῳ τῶν νοατῶν γνωστικὸς, ἁ δὲ ἐπιστήμα τῶν ἐπιστατῶν, ἁ δὲ αἴσθησις τῶν αἰσθατῶν.

Πυθαγόρας, ἀναξαγόρας, πλάτων, ξενοκράτης, κλεάνθης, θύραθεν εἰσκρίνεσθαι τὸν νοῦν· παρμενίδης καὶ ἐμπεδοκλῆς, καὶ δημόκριτος ταυτὸν νοῦς καὶ ψυχὴν, καθ' οὓς οὐδὲν ἂν εἴη ζώων ἄλογον κυρίως.

Iamblichus περὶ ψυχῆς.

Πάλιν τοίνυν περὶ τοῦ νοῦ, καὶ πασῶν τῶν κρειττόνων δυνάμεων τῆς ψυχῆς, οἱ μὲν στωϊκοὶ λέγουσιν, μὴ εὐθὺς ἐμφύεσθαι τὸν λόγον, ὕστερον δὲ συναθροίζεσθαι ἀπὸ τῶν αἰσθήσεων, καὶ φαντασιῶν, περὶ δεκατέσσαρα ἔτη. οἱ δ' ἀπὸ πλάτωνος καὶ πυθαγόρου, παρεῖναι μὲν καὶ ἐν τοῖς ἀρτιγενέσι τὸν λόγον φασὶ, ἐπισκοτεῖσθαι γε μὴν ἐν τοῖς ἔξωθεν, καὶ μὴ ἐνεργεῖν τὴν οἰκείαν ἐνέργειαν, ἀλλ' ἡσυχάζειν. ἤδη τοίνυν περὶ τούτου πολλοὶ μὲν περιπατητικοὶ τὸν ἐκ σπέρματος καὶ τὸν ἀπὸ τῆς φύσεως ἄλλον νοῦν ὑποθέμενοι, ὡς αὐτίκα μάλα ἀποβλαστάνοντα ἀπὸ τῆς πρώτης γενέσεως, καὶ χωριστὸν θύραθεν ἐπικαλούμενοι, ὕστερον παραγίγνεσθαι λέγουσιν ὀψιαίτατα, ἐπειδὰν τελειωθῇ μὲν ὁ κατὰ δύναμιν νοῦς, ἐπιτηδείως μετέχουσι τῆς κατ' ἐνέργειαν νοήσεως· πολλοὶ δὲ αὖ τῶν πλατωνικῶν καὶ τὸν νοῦν τῆς ψυχῆς ἅμα τῇ πρώτῃ εἰσόδῳ αὐτῆς εἰς τὸ σῶμα συνεισάγουσιν, οὐδὲ ἔστιν ὅλως ἕτερον μὲν αὐτὴν, ἕτερον δὲ αὐτῆς τὸν νοῦν.

Idem ex Plut.

Θαλῆς ἀπεφήνατο πρῶτος τὴν ψυχὴν ἀεικίνητον, ἢ αὐτοκίνητον· πυθαγόρας ἀριθμὸν αὐτὸν κινοῦντα, τὸν δὲ ἀριθμὸν ἀντὶ τοῦ νοῦ παραλαμβάνει· ὁμοίως δὲ καὶ ξεναγόρας· ἀλκμαίων φύσιν αὐτοκίνητον κατ' ἀΐδιον κίνησιν, καὶ διὰ τοῦτο ἀθάνατον αὐτὸν καὶ προσεμφερῆ τοῖς θείοις ὑπολαμβάνει· δικαίαρχος ἁρμονίαν τῶν τεττάρων στοιχείων· ἀσκληπιάδης ὁ ἰατρὸς συγγυμνασίαν τῶν αἰσθήσεων.

Πόσα καὶ τίνα περὶ ψυχῆς προβλήματα. περὶ οὐσίας· περὶ δυνάμεων· περὶ ἐνεργειῶν· περὶ ἔργων· περὶ μίξεως· περὶ καθόδου· περὶ διακληρώσεως· περὶ τοῦ ἐν τῷ σώματι βίου· περὶ ἀποκαταστάσεως· περὶ πολυμερείας· περὶ μετεμψυχώσεως.

Aristoteles.

Ἐντελέχειαν πρώτην σώματος φυσικοῦ, ὀργανικοῦ, δύναμιν ζωὴν ἔχοντος· τὴν δὲ ἐντελέχειαν ἀκουστέον ἀντὶ τοῦ εἴδους, καὶ τῆς ἐνεργείας.

Ἀναξαγόρας, ἀναξιμένης, ἀρχέλαος, διογένης ἀεροειδῆ· οἱ στωϊκοὶ πνεῦμα νοερὸν, θερμόν· παρμενίδης δὲ καὶ λεύκιππος, πυρώδη· δημόκριτος πυρῶδες σύγκριμα ἐκ τῶν λόγων θεωρητῶν, σφαιρικὰς μὲν ἐχόντων τὰς ἰδέας, πυρίνην δὲ τὴν δύναμιν, ὅπερ σῶμα ἐστί. ἡρακλείδης φωτοειδῆ τὴν ψυχὴν ὡρίσατο· λεύκιππος ἐκ πυρὸς εἶναι τὴν ψυχὴν ἀπεφήνατο· διογένης ὁ ἀπολλωνιάτης ἐξ ἀέρος τὴν ψυχήν· ἵππων ἐξ ὕδατος τὴν ψυχήν· ξέναρχος ὁ περιπατητικὸς, καί τινες ἕτεροι τῆς αὐτῆς αἱρέσεως, τὴν κατὰ τὸ εἶδος τελειότητα, καὶ ἐντελέχειαν, καθ' ἑαυτὴν οὖσαν ἅμα καὶ μετὰ τοῦ σώματος συντεταγμένην· κρᾶμα ἐκ τεττάρων, ἐκ ποιοῦ πυρώδους, ἐκ ποιοῦ πνευματικοῦ, ἐκ τετάρτου τινὸς ἀκατονομάστου· τοῦτο δ' ἦν αὐτῇ τὸ αἰσθητικὸν, ὧν τὸ μὲν πνεῦμα κίνησιν, τὸν δὲ ἀέρα ἠρεμίαν, τὸ δὲ θερμὸν τὴν

[Margin notes: Idem περὶ [illegible]. Plut.; [illegible] Plut. [illegible]]

cultates, mens, scientia, opinio, sensus: quorū duo rationis principia sunt, mens ac sensus; duo fines, scientia & opinio. Cùm porrò simile semper à simili cognoscatur, efficitur, vt mens, quæ sub intellectum cadunt, cognoscat; scientia, quæ sub scientiam; opinio, quæ sub opinionem; sensus, quæ sub sensum.

Pythagoras, Anaxagoras, Plato, Xenocrates, Cleanthes extrinsecus inseri mentem putarunt: Parmenides, Empedocles, Democritus eandem animam & mentem; de quorum sententia nullum animal ratione careat.

Iamblichi de anima.

Rursum autem de mente & omnibus præstantioribus animæ facultatibus, Stoici quidem non statim rationem credūt inseri, verùm pòst à sensibus & imaginationibus circa annum decimum quartum colligi: Platonici autem & Pythagorei etiam infantibus eam tribuunt, tamē vt exteriùs obscuretur, nec munere suo fungatur, verū quiescat. De mente quoque Peripatetici quidem seminis ac naturæ mentem separantes, quasi illa simul cum fœtu prodeat, hanc serò admodum extrinsecus putant accedere, cùm illa perfecta huius functiones locum habere cœperint; Platonici verò hanc quoque simul cum anima corpori tribuunt, nec ab illa vnquam separant.

De anima.

Thales primus animam semper mobilem, vel per se mobilem dixit: Pythagoras numerum sese mouentem (numero pro mente sumto) nec non Anaxagoras: Alcmæo naturam per se mobilem æterno motu, ideoq; immortalem ac diis proximam: Dicæarchus quatuor elementorum harmoniam: Asclepiades medicus exercitationem sensuum: Aristoteles perfectionem primam naturalis organici corporis, vita facultate praditi. ac perfectionem vocat formam & functionem.

De animæ natura.

Anaxagoras, Anaximenes, Archelaus, Diogenes Apolloniates aeris naturam animæ tribuunt: Stoici spiritum intelligentem & calidum dicunt: Parmenides & Leucippus igneæ naturæ: Democritus igneā misturam rerum ratione percipiendarum, quæ globosas quidem formas habeāt, vim autem igneam, id quod sit corpus: Heraclitus lucis naturæ: Hippo aquæ: Xenarchus Peripateticus cum aliis aliquot eiusdem sectæ, formæ perfectionem, simul per se & cum corpore subsistentem: Epicurus quatuor rerum mixtionē, igneæ, aereæ, spiritalis, & quartæ nomine carentis, quæ sentiendi vim indicat. harū enim spiritum quidem motum, aerem autem quietem, ignem verò calorem

rem corporis, quartum deniq. sensum gignere, qui in reliquarum nulla cernatur.

Mercurij ad Ammon.

Anima igitur natura est incorporea. nam si haberet corpus, vita careret. Omne enim corpus natura & vita indiget: omneq́ue ortū habens mutatio pariter consequitur. siquidem quicquid oritur, magnitudinem habet, quoniam incremētum suscipit. quod autem crescit, etiam decrescit, ac tandem interit. Vita autem accepta viuit, vnaq́ue cum anima subsistit. Finis enim hic est siderum harmoniæ, vt mutuum consensum secundum fatum procreent.*

* οἱ pro ἡ.

Anima igitur, Ammo, natura est perfecta, quæ initio vitam fatalem sumsit, ac rationem sibi tanquā materiam asciuit, ira & cupiditate praditā.

Conuenit autem ira & cupiditati cum ratione, sic vt inter se attrahant, & circularem cogitationem efficiant.

Anima quæuis immortalis est ac semper mobilis. Nam in Generalibus diximus motiones alias à functionibus, alias à corporibus procedere. & animam diximus ex natura quadā, haud ex materia ortam esse. Hoc igitur pacto anima quæuis immortalis est ac semper mobilis, functionem suā habens pro motu. Formæ autem animarum tres sunt, diuina, humana, bruta.

*Ac diuina quidem diuini corporis est functio, in quo à se mouetur. Cùm * autem à mortalibus recesserit, relictis brutis sui partibus, in diuinum corpus egressa, tanquam immobilis simul cū Vniuerso mouetur.*

* οἱ pro ἡ.

Quartam intelliges brutorum animam, quæ extra corpora motionis sua munere fungitur. ea verò videri possit, quæ in diuino corpore mouetur, & hæc velut obiter mouet.

Anima igitur natura est immortalis atq. intelligens, ratione sua pro intellectu vtēs. Ea corpori quidem coniuncta, harmoniæ intellectum sibi asciscit: eo autem liberata, per se in intellectus mundo subsistit, suaq́ue rationi imperat, intellectui suo in vitam progresso similem motionem vitalē adferens.

Nam corporis quidem est capacitas cunctorū, rationis autem prudentia. Ac rationi quidem coniuncta est rerum præstātium cognitio, spiritui autem opinio. siquidem vt hic à mundo cōtinenti functionem accipit, ita illa de seipsa.

De motione animæ, & immortalitate.

Aristoteles immobilem dixit animam, omni motu priorem, nisi ex euentu moueatur, quemadmodum figura, termini, omnesq́ue corporū formæ. Plato immortalem ac semper mobilem. sic enim ait in Phædone: Cùm hæc Socrates dixisset, suscipiens sermonem Cebes, sic inquit, Cætera quidem, ô Socrates, rectè dicta videntur: quantum verò ad ipsam animam spectat, valde ambigunt homines, ne anima à corpore separata nusquam sit vlterius, sed ea ipsa die qua homo mortem obierit,

φαινομένην θερμότητα τοῦ σώματος, τὸ δ' ἀκατονόμαστον, τὴν ἐν ἡμῖν ἐμπεσεῖν αἴσθησιν, ἣν οὐδενὶ γὰρ τῶν ὀνομαζομένων στοιχείων αἴσθησιν.

Ψυχὴ τοίνυν ἐστὶν οὐσία ἀΐδιος νοητική, νόημα ἔχουσα τὸν ἑαυτῆς λόγον.

ἴσως. Hæc paulo post iisdem verbis repetuntur πλὴν ... ἴσως.

Ἡ γὰρ ἀχρώματός τε καὶ ἀσχημάτιστος, καὶ ἀναφὴς οὐσία ὄντως ψυχῆς.

Ἔστι τοίνυν ἡ ψυχὴ ἀσώματος οὐσία· εἰ γὰρ ἔχει σῶμα, οὐκ ἔσται μετ' αὐτῆς σωματική. πᾶν γὰρ σῶμα δεῖται τοῦ εἶναι, δεῖται καὶ ζωῆς τῆς ἐν τάξει κειμένης· παντὶ γὰρ τῷ γένεσιν ἔχοντι καὶ μεταβολὴν δεῖ ἐπακολουθεῖν· τὸ γὰρ γινόμενον γίνεται ἐν μεγέθει· γινόμενον αὔξησιν ἔχει· παντὶ γὰρ τῷ αὐξανομένῳ ἐπακολουθεῖ μείωσις, μειώσει φθορά· μετειληφὸς δὲ εἴδους ζωῆς, ζῇ, καὶ κοινωνεῖ τοῦ εἶναι τῇ ψυχῇ. τέλος γὰρ τῆς τῶν ἀστέρων ἁρμονίας τὸ γεννᾶν συμπαθεῖς καθ' εἱμαρμένην αὐτούς.

Ψυχὴ τοίνυν ἐστίν, ὦ Ἄμμων, οὐσία αὐτοτελὴς ἐν ἀρχῇ ἑλομένη βίον, τὸν καθ' εἱμαρμένην· καὶ ἐπισπᾶται ἑαυτῇ λόγον ὅμοιον τῇ ὕλῃ, ἔχοντα θυμὸν καὶ ἐπιθυμίαν. Ἥρμοσται δὲ θυμὸς καὶ ἐπιθυμία πρός τινα λογισμὸν καὶ ἀνθέλκει ἄλληλα καὶ ἐπιστᾶται ἐν ἑαυτοῖς κυκλικὴν διάνοιαν.

Ψυχὴ πᾶσα ἀθάνατος, καὶ ἀεικίνητος· εἴπομεν γὰρ ἐν τοῖς γενικοῖς κινήσεις τὰς μὲν ὑπὸ τῶν ἐνεργειῶν, τὰς δὲ ὑπὸ τῶν σωμάτων· φαμὲν δὲ τὴν ψυχὴν ἐξ οὐσίας τινός, οὐχ ὕλης γεγενῆσθαι. κατὰ τοῦτον οὖν τὸν λόγον ἐστὶ ψυχὴ πᾶσα ἀθάνατος, καὶ ἀεικίνητος, ἔχουσα κίνησιν τὴν αὐτῆς ἐνέργειαν· ἰδέαι δὲ ψυχῶν, θεία, ἀνθρωπίνη, ἄλογος.

Ἡ μὲν οὖν θεία τοῦ θείου σώματος αὐτῆς ἐνέργεια, ἐν μὲν γὰρ αὐτῷ κινεῖται, καὶ ἑαυτὴν κινεῖ· ἐπὰν γὰρ θνητῶν ζώων ἀπαλλαγῇ, χωρισθεῖσα τῶν ἀλόγων ἑαυτῆς μερῶν, ἐξελθοῦσα εἰς τὸ θεῖον σῶμα, ὡς ἀκίνητος ἐν ἑαυτῷ κινεῖται συμπεριφερομένη τῷ παντί.

Τετάρτην δὲ νοεῖ τὴν τῶν ἀψύχων, ἥ τις ἔξωθεν οὖσα τῶν σωμάτων ἐνεργεῖ κινοῦσα· αὕτη ἂν εἴη ἐν τῷ θείῳ σώματι κινουμένη, καὶ ὥσπερ κατὰ πάροδον ταῦτα κινοῦσα.

Ψυχὴ τοίνυν ἐστὶ ἀΐδιος νοητικὴ οὖσα, νόημα ἔχουσα τὸν ἑαυτῆς λόγον, συνοῦσα δέ, διάνοιαν τῆς ἁρμονίας ἐπισπᾶται· ἀπαλλαγεῖσα δὲ τοῦ φυσικοῦ σώματος, αὐτὴ καθ' αὑτὴν μένει, αὐτὴ ἑαυτῆς οὖσα ἐν τῷ νοητῷ κόσμῳ, ἄρχει δὲ τοῦ ἑαυτῆς λόγου, φέρουσα ὁμοίαν κίνησιν τῷ ἑαυτῆς νοήματι, ὀνόματι ζωήν, τῷ εἰς ζωὴν ἐρχομένῳ. Τοῦ γὰρ σώματός ἐστι καὶ δεκτικὸν πάντων· ὁ δὲ λόγος τῆς οὐσίας ἐστὶ φρονεῖν· συνυπάρχει δὲ τῷ λόγῳ ἡ τῶν τιμίων γνῶσις, τῷ δὲ πνεύματι ἡ δόξα· τὸ μὲν γὰρ ἀπὸ τοῦ περιέχοντος κόσμου τὴν ἐνέργειαν, ἡ δὲ ἀφ' ἑαυτῆς.

Περὶ κινήσεως καὶ ἀφθαρσίας ψυχῆς.

Ἀριστοτέλης ἀκίνητον τὴν ψυχήν, πάσης κινήσεως προηγουμένην, τῆς δὲ κατὰ συμβεβηκὸς μετέχειν, καθάπερ σχήματα, καὶ τὰ πέρατα, καθ' ἅπαξ τὰ περὶ τοῖς σώμασιν εἴδη. Πλάτων ἄφθαρτον καὶ ἀκίνητον λέγει γοῦν ἐν Φαίδωνι· εἰπόντος δὲ τοῦ Σωκράτους ταῦτα, ὑπολαβὼν ὁ Κέβης ἔφη, ὦ Σώκρατες, τὰ μὲν ἄλλα ἔμοιγε δοκεῖ λέγεσθαι καλῶς· τὰ δὲ περὶ τῆς ψυχῆς πολλὴν ἀπιστίαν παρέχει τοῖς ἀνθρώποις μὴ ἐπειδὰν ἀπαλλαγῇ τοῦ σώματος, οὐδαμοῦ ᾖ, ἀλλ' ἐκείνῃ

ἀεικίνητον Plat.

τῇ

τῇ ἡμέρᾳ διαφθείρηταί τε καὶ ἀπόλλυται, ᾗ ἂν ὁ ἄνθρωπος ἀποθνήσκῃ, εὐθὺς ἀπαλλαττομένη τοῦ σώματος, καὶ ἐκβαίνουσα ὥσπερ πνεῦμα, ἢ καπνὸς, διασκεδασθεῖσα, οἴχεται διαπταμένη, καὶ οὐδὲν ἔτι οὐδαμοῦ ᾖ. ἐπεὶ εἴπερ εἴη που αὐτὴ καθ' αὑτὴν συνηθροισμένη, καὶ ἀπηλλαγμένη τούτων τῶν κακῶν ὧν νῦν σὺ διῆλθες, πολλὴ ἂν εἴη ἐλπὶς καὶ καλὴ, ὦ σώκρατες, ὡς ἀληθῆ ἐστὶν ἃ σὺ λέγεις· ἀλλὰ τοῦτο δὴ ἴσως οὐκ ὀλίγης παραμυθίας δεῖται καὶ πίστεως, ὡς ἔστι τε ἡ ψυχὴ ἀποθανόντος τοῦ ἀνθρώπου, καί τινα δύναμιν ἔχει καὶ φρόνησιν. ἀληθῆ λέγεις ἔφη ὁ σωκράτης, ὦ κέβης· ἀλλὰ τί δὴ ποιῶμεν; ἢ περὶ αὐτῶν τούτων βούλει διαμυθολογῶμεν, εἴτε εἰκὸς οὕτως ἔχειν, εἴτε μή. ἐγὼ γοῦν ἔφη ὁ κέβης, ἡδέως ἂν ἀκούσαιμι τίνα δόξαν ἔχεις περὶ αὐτῶν.

ὁ ταυτ. Παλαιὸς μὲν οὖν ἐστί τις λόγος οὗ μεμνήμεθα, ὡς εἰσὶν ἐνθένδε ἀφικόμεναι, ἐκεῖ καὶ πάλιν γε δεῦρο ἀφικνοῦνται καὶ γίγνονται ἐκ τῶν τεθνεώτων. καὶ εἰ τοῦθ' οὕτως ἔχει, πάλιν γίγνεσθαι ἐκ τῶν ἀποθανόντων τοὺς ζῶντας, ἄλλο τι ἢ, εἶεν ἡμῶν αἱ ψυχαὶ ἐκεῖ. οὐ γὰρ ἄν που πάλιν ἐγίγνοντο μὴ οὖσαι· καὶ τοῦτο ἱκανὸν τεκμήριον τοῦ ταῦτ' εἶναι, εἰ τῷ ὄντι φανερὸν γίγνοιτο, ὅτι οὐδαμόθεν ἄλλοθεν γίγνονται οἱ ζῶντες, ἢ ἐκ τῶν τεθνεώτων. εἰ δὲ μὴ ἔστι τοῦτο, ἄλλου ἄν του δέοι λόγου. πάνυ μὲν οὖν, ἔφη ὁ κέβης. μὴ τοίνυν κατ' ἀνθρώπων εἶδος σκόπει μόνον τοῦτο εἰ βούλει ῥᾷον μαθεῖν, ἀλλὰ καὶ κατὰ ζώων πάντων καὶ φυτῶν, καὶ ξυλλήβδην, ὅσα περ ἔχει γένεσιν, περὶ πάντων ἴδωμεν ἆρ' οὑτωσὶ γίγνεται ἅπαντα οὐκ ἄλλοθεν, ἢ ἐκ τῶν ἐναντίων τὰ ἐναντία, ὅσοις τυγχάνει ὂν τοιοῦτόν τι, οἷον τὸ καλὸν τῷ αἰσχρῷ ἐναντίον που, καὶ δίκαιον ἀδίκῳ, καὶ ἄλλα δὴ μυρία, οὕτως ἔχει. τοῦτο οὖν σκεψώμεθα ἆρα ἀναγκαῖον, ὅσοις ἔστι τι ἐναντίον, μηδαμόθεν ἄλλοθεν αὐτὸ γίγνεσθαι, ἢ ἐκ τοῦ αὐτοῦ ἐναντίου, οἷον ὅταν μεῖζόν τι γίγνηται, ἀνάγκη που ἐξ ἐλάττονος ὄντος πρότερον, ἔπειτα μεῖζον γίγνεσθαι. οὐκοῦν κἂν ἔλαττον γίγνηται ἐκ μείζονος ὄντος πρότερον ὕστερον ἔλαττον γενήσεται. ἔστιν ἔφη οὕτω. καὶ μὴν ἐξ ἰσχυροτέρου γε τὸ ἀσθενέστερον, καὶ βραδυτέρου τὸ θᾶττον. πάνυ γε. τί δ', ἄν τι χεῖρον γίγνηται, οὐκ ἐξ ἀμείνονος· καὶ ἐὰν δικαιότερον, οὐκ ἐξ ἀδικωτέρου; πῶς γὰρ οὔ; ἱκανῶς οὖν ἔφη ἔχομεν τοῦτο, ὅτι πάντα οὕτω γίγνεται ἐξ ἐναντίων τὰ ἐναντία πράγματα. πάνυ γε. τί οὖν, ἔφη, τὸ ζῆν ἔστι τι ἐναντίον, ὥσπερ τὸ ἐγρηγορέναι τὸ καθεύδειν; πάνυ μὲν οὖν ἔφη. τί τὸ τεθνάναι ἔφη· οὐκ οὖν ἐξ ἀλλήλων τε γίγνεται ταῦτα, εἴπερ ἐναντία ἐστὶ καὶ αἱ γενέσεις εἰσὶν αὐτῶν μεταξὺ δύο δυοῖν ὄντοιν· πῶς γὰρ οὔ; τὴν μὲν τοίνυν ἑτέραν συζυγίαν ὧν νῦν δὴ ἔλεγον, ἐγώ σοι ἔφη ἐρῶ ὁ σωκράτης, καὶ αὐτὴν, καὶ τὰς γενέσεις· σὺ δέ μοι τὴν ἑτέραν. λέγω δὲ τὸ μὲν καθεύδειν, τὸ δὲ ἐγρηγορηκέναι, καὶ ἐκ τοῦ καθεύδειν τὸ ἐγρηγορηκέναι γίγνεσθαι, καὶ ἐκ τοῦ ἐγρηγορέναι τὸ καθεύδειν, καὶ τὰς γενέσεις αὐτοῖν, τὴν μὲν καταδαρθάνειν εἶναι, τὴν δὲ ἀνεγείρεσθαι· ἱκανῶς σοι ἔφην, ἢ οὔ; πάνυ μὲν οὖν. λέγε δὴ καὶ σύ μοι, ἔφη, οὕτω περὶ ζωῆς καὶ θανάτου· οὐκ ἐναντίον μὲν φῂς

intereat, statimq́ seiuncta à corpore dissoluatur, atq. exhalans quasi ventus, aut fumus dissipetur atq. euanescat, neq. vsquã vlterius omnino sit aliquid. Profectò si esset alicubi collecta in semetipsam, & ab his malis quæ tu modò narrabas liberata, multa nimirum bonaq́ spes esset, ô Socrates, vera quæ dicebas fore. Cæterùm ad id fortasse persuasione fideq́ non parua opus est, vt credatur superesse animam post interitũ hominis, atq. aliquam vim intelligentiamq́ habere. Vera, ô Cebes, loqueris, inquit Socrates. Verùm quid agendum censes? an fortè de his ipsis confabulandũ, vtrùm ita fore, an aliter probabile sit? Libenter equidem, inquit Cebes, audirem de his rebus quid sentias.

Vetus quidem hic extat sermo, cuius memores sumus, abire quidẽ illuc animas defunctorũ, rursusq́ huc reuerti fieriq́ ex mortuis. Atqui si hoc verum est, vt ex mortuis iterum viuentes fiant, essent animæ illic nostræ. Neq. enim rursus fierẽt, si alicubi nõ essent. Atq. hæc sufficiens coniectura est, ita esse, si re vera constet haud aliunde viuentes fieri quàm ex mortuis. At verò nisi id sit, alia opus erit ratione. Omnino, inquit Cebes. Neq. verò id in hominibus solùm, inquit, si planiùs intelligere vis, consideres, sed in animalibus omnibus, & plantis, atq. vt summatim dicam, in omnibus quæ gignuntur. in his, inquam, omnibus consideremus nũquid omnia sic fiant, neq. aliunde quàm ex contrariis contraria, quibuscunq. tale aliquid contingit: quemadmodũ pulcrum turpi quodammodo contrariũ est, & iustum iniusto, aliaq́ eiusmodi quamplurima videmus. Ergo ĩ trũ necessarium sit, cuicunq. aliquid est cõtrarium, nullomodo aliundè id quàm ex suo contrario fieri? veluti quando quid maius efficitur, necesse est eo quod fuerat antè minus, postea maius euadere. Ita est, inquit Cebes. Nónne & si minus aliquid fiat, ex eo quod antè maius erat, postea fiet minus? Sic omnino, inquit Cebes. Quinetiam ex robustiori debilius, ex tardiori velocius? Prorsus. Quid verò? Si quid euadat deterius, nónne ex meliori? & si iustius, ex iniustiori? Quid ni? In omnibus igitur satis id exploratum habemus, omnia ita fieri, contraria videlicet ex contrariis. Prorsus, inquit Cebes. Quid verò? ei quod est viuere, éstne aliquid contrarium? quemadmodũ ei quod vigilare est, dormire cõtrarium? Sic est omnino, inquit Cebes. Quidnam? Mori. An non ex se inuicẽ hæc fiunt? siquidem cõtraria sunt. cumq́ duo sint, duæ quoq. inter hæc generationes mutuæ, siue progressiones? Nihil prohibet. Alteram quidẽ coniugationem eorũ, quæ modò dicebam, ego tibi dicam, tam ipsam, quàm generationes eorum. Tu verò mihi aperies alteram. Dico autem illud quidem dormire, illud autẽ vigilare, atq. ex somno vigiliam fieri, & ex vigilia somnum: horumq́ generationes hanc quidem cõniuere, illam verò expergisci. Satisfeci tibi nécne? Satisfecisti certè, inquit Cebes. Dic tu mihi quoq. similiter de vita atq. morte. An nõ contrarium

trarium viuere dicis esse atq. mori? Equidem. Et ex se inuicem fieri? Ita. Ergo ex viuente quidnã fiet? Mortuum. Quid autẽ ex mortuo? Necesse est confiteri viuens. Igitur ex mortuis, ô Cebes, viuẽtia fiunt atq. viuentes. Apparet. Sunt igitur apud inferos animæ nostræ. Videtur. Nónne ergo & generationum quæ circa hæc sunt, altera quidem manifesta est? Mori enim manifestum est, nónne? Ita prorsus. Quidnam igitur faciemus? Nõ reddemus vicissim generationem huic cõtrariam, sed hac in re dumtaxat mancam dicemus naturam esse? An verò necesse est reddere ei quod mori est contrariam quandam generationem? Omnino. Quam verò istam? Reuiuiscere. Nonne igitur, si reuiuiscentia est, progressio quadã hæc est ex mortuis ad viuentes? Est vtiq. Conuenit ergo nobis hac insuper ratione, viuentes ex mortuis fieri nihilo minùs quàm mortuos ex viuentibus. quod cùm ita sit, sufficientẽ coniecturam hinc haberi, animas mortuorum necessariò alicubi esse, vnde iterum reuertantur. Videtur mihi, ô Socrates, hoc ex his, quæ concessa sunt, necessariò sequi.

Nónne igitur ei quod componitur, iamq́ compositum est, natura id pati conuenit, vt quatenus est compositum, dissoluatur? si quid verò non sit compositum, huic soli potissimùm nulla accidit dissolutio? Mihi quidem sic apparet, inquit Cebes. An non quæ semper secundũ eadem eodemq́ modo se habent, inquit, hæc maximè esse conuenit simplicia? quæ verò aliàs aliter, nec vnquam secundum eadem, hæc esse composita? Ita ea quidem opinor. Vis ergo duas rerum species ponamus, alteram visibilium, inuisibilium alterã? Ponamus, inquit. Et inuisibile quidem modo semper eodem esse, visibile verò nunquam eodem? Hoc quoq. ponamus, inquit. Age iam, aliúdne in nobis est, quàm hinc quidẽ corpus, inde verò anima? Nihil aliud, inquit. Vtrinam speciei corpus esse similius cognatiusq́ dicimus? Nemini dubium, inquit, quin visibili. Quid verò anima? visibiléne aliquid est, an contrà? Non hominibus quidẽ, ô Socrates, inquit. Atqui nos de iis dumtaxat, quæ ab hominũ natura videri, vel non videri possunt, loquebamur. an de iis quæ ad aliam naturam spectant, tractabamus? De iis dumtaxat quæ ad humanã, inquit. Quid ergo de anima dicebamus? nunquid visibilem esse? Nõ visibilem. Inuisibilem ergo? Ita. Anima igitur inuisibili speciei similior est, quàm corpus, corpus verò visibili. Necessariũ id est omnino. An nõ et hoc euenire in superioribus dicebamus? vt cùm anima ad aliquid considerandum societatem sibi corpus assumit, vel per visum, vel per auditũ, vel per alium sensum (hoc enim est per corpus considerare, quia per sensus id agitur) tunc quidem à corpore trahatur ad ea quæ nunquam eodem modo sunt, atque ipsa aberret, perturbeturq́, quasi ebria vacillet, vtpote quæ talia quadam attigerit. Prorsus. At verò quoties ipse animus per seipsum excogitat, illuc se confert ad purum, sempiternum, immortale, semper eodem modo se habens: & tanquã ipsius cognatus semper inhæret illi, quoties ipse redierit in seipsum, eiq́ liceat, cessetq́ ab errore: & circa

τῷ ζῆν τὸ τεθνάναι εἶναι; ἔγωγε. γίγνεσθαι δὲ ἐξ ἀλλήλων; ναί. ἐξ οὖν τοῦ ζῶντος τί τὸ γιγνόμενον; τὸ τεθνηκὸς, ἔφη, ὅτι τὸ ζῆν. ἐκ τῶν τεθνεώτων ἄρα, ὦ Κέβης, τὰ ζῶντά τε καὶ οἱ ζῶντες γίγνονται. φαίνεται, ἔφη. εἰσὶν ἄρα ἔφη αἱ ψυχαὶ ἡμῶν ἐν ᾅδου. ἔοικεν. οὐκοῦν καὶ τοῖν γενέσεοιν τοῖν περὶ ταῦτα, ἥ γ' ἑτέρα σαφὴς οὖσα τυγχάνει. τὸ γὰρ ἀποθνήσκειν σαφὲς δή που, ἢ οὔ; πάνυ μὲν οὖν, ἔφη. πῶς οὖν, ἦ δ' ὅς, ποιήσομεν; τὴν ἐναντίαν γένεσιν, ἀλλὰ ταύτῃ χωλὴ ἔσται ἡ φύσις; ἢ ἀνάγκη ἀποδοῦναι τῷ ἀποθνήσκειν ἐναντίαν γένεσιν, πάντως που, ἔφη. τίνα ταύτην; τὸ ἀναβιώσκεσθαι. οὐκοῦν, ἦ δ' ὅς, εἴπερ τι ἀναβιώσκεσθαι, ἐκ τῶν τεθνεώτων γεγονέναι, οὐδὲν ἧττον, ἢ τοὺς τεθνεῶτας ἐκ τῶν ζώντων. τούτου δὲ ὄντος, ἱκανόν που ἐδόκει τεκμήριον εἶναι, ὅτι ἀναγκαῖον, τὰς τῶν τεθνεώτων ψυχὰς εἶναί που, ὅθεν δὴ πάλιν γίγνεσθαι. δοκεῖ μοι ἔφη ὦ Σώκρατες, ἐκ τῶν ὡμολογημένων ἀναγκαῖον οὕτως ἔχειν.

Ἆρ' οὖν τῷ συντεθέντι τε καὶ συνθέτῳ ὄντι φύσει προσήκει τοῦτο πάσχειν, διαιρεθῆναι ταύτῃ ᾗπερ συνετέθη· εἰ δέ τι τυγχάνει ὂν ἀσύνθετον, τούτῳ μόνῳ προσήκει τοῦτο πάσχειν, ταῦτα εἴπερ τῳ ἄλλῳ· δοκεῖ μοι οὕτως ἔχειν, ἔφη ὁ Κέβης. οὐκοῦν ἅπερ ἀεὶ, κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχει, ταῦτα μάλιστα εἰκὸς εἶναι τὰ ἀσύνθετα· τὰ δ' ἄλλοτ' ἄλλως καὶ μηδέποτε κατὰ ταὐτὰ σύνθετα; ἐμοί γε δοκεῖ οὕτως. θῶμεν οὖν βούλει, ἔφη, δύο εἴδη τῶν ὄντων, τὸ μὲν ὁρατὸν, τὸ δὲ ἀειδές; θῶμεν, ἔφη καὶ τὸ μὲν ἀειδὲς, κατὰ ταὐτὰ ἔχον· τὸ δὲ ὁρατὸν, μηδέποτε κατὰ ταὐτά· καὶ τοῦτο ἔφη θῶμεν. φέρε δὴ ἦ δ' ὅς. ἄλλο τι ἡμῶν αὐτῶν, ἢ τὸ μὲν σῶμά ἐστι, τὸ δὲ ψυχή; οὐδὲν ἄλλο ἔφη. ποτέρῳ οὖν ὁμοιότερον τῷ εἴδει φαμὲν ἂν εἶναι, καὶ ξυγγενέστερον τὸ σῶμα; παντὶ, ἔφη, τοῦτό γε δῆλον, ὅτι τῷ ὁρατῷ. τί δὲ ἡ ψυχὴ, ὁρατὸν ἢ ἀειδές; οὐχ ὑπ' ἀνθρώπων γε ἔφη, ὦ Σώκρατες. ἀλλὰ μὴν ἡμεῖς γε τὰ ὁρατὰ, καὶ τὰ μὴ τῇ τῶν ἀνθρώπων φύσει ἐλέγομεν, ἢ ἄλλῃ τινὶ οἴει; τῇ τῶν ἀνθρώπων. τί οὖν περὶ ψυχῆς λέγομεν; ὁρατὸν εἶναι; οὐχ ὁρατόν. ἀειδὲς ἄρα; ναί. ὁμοιότερον ἄρα ψυχὴ σώματός ἐστι τῷ ἀειδεῖ, τὸ δὲ τῷ ὁρατῷ, πᾶσα ἀνάγκη, ὦ Σώκρατες. οὐκοῦν καὶ τόδε πάλαι ἐλέγομεν, ὅτι ἡ ψυχὴ, ὅταν μὲν τῷ σώματι προσχρῆται εἰς τὸ σκοπεῖν τι ἢ διὰ τοῦ ὁρᾶν, ἢ διὰ τοῦ ἀκούειν, ἢ δι' ἄλλης τινὸς αἰσθήσεως· τοῦτο γάρ ἐστι τὸ διὰ τοῦ σώματος τὸ δι' αἰσθήσεως σκοπεῖν· τὸ μὲν ἕλκεται ὑπὸ τοῦ σώματος εἰς τὰ οὐδέποτε κατὰ ταὐτὰ ἔχοντα, καὶ αὐτὴ πλανᾶται καὶ ταράττεται, καὶ ἰλιγγιᾷ, ὥσπερ μεθύουσα, ἅτε τοιούτων ἐφαπτομένη· πάνυ γε. ὅταν δὲ αὐτὴ καθ' αὑτὴν σκοπῇ, ἐκεῖσε οἴχεται εἰς τὸ καθαρόν τε καὶ ἀεὶ ὂν, καὶ ἀθάνατον, καὶ ὡσαύτως ἔχον, καὶ συγγενὴς αὐτοῦ οὖσα, ἀεὶ μετ' ἐκείνου γίγνεται, ὅταν περ αὐτὴ καθ' αὑτὴν γένηται, καὶ ἐξῇ αὐτῇ, καὶ πέπαυταί τε

τοῦ

τοῦ πλάνου, καὶ περὶ ἐκεῖνα ἀεὶ κατὰ ταῦτα ὡσαύτως ἔχει ἅτε τοιούτων ἐφαπτομένη· καὶ τοῦτο αὐτῆς τὸ πάθημα φρόνησις κέκληται. παντάπασιν ἔφη καλῶς, καὶ ἀληθῆ λέγεις, ὦ σώκρατες. ποτέρῳ οὖν αὖ σοι δοκεῖ τῷ εἴδει, καὶ ἐκ τῶν πρόσθεν καὶ ἐκ τῶν νῦν λεγομένων, ψυχὴ ὁμοιότερον εἶναι, καὶ ξυγγενέστερον; πᾶς ἄν, ἔμοιγε δοκεῖ, ἦ δ' ὅς, συγχωρῆσαι, ὦ σώκρατες, ἐκ ταύτης τῆς μεθόδου καὶ ὁ δυσμαθέστατος, ὅτι ὅλῳ καὶ παντὶ ὁμοιότερόν ἐστι ψυχὴ τῷ ἀεὶ ὡσαύτως ἔχοντι μᾶλλον, ἢ τῷ μή. τί δὲ τὸ σῶμα; τῷ ἑτέρῳ. ὅρα δὲ καὶ τῇδε ὅτι ἐπειδὰν ἐν τῷ αὐτῷ ὦσι ψυχὴ καὶ σῶμα, τῷ μὲν δουλεύειν καὶ ἄρχεσθαι ἡ φύσις προστάττει, τῇ δὲ ἄρχειν καὶ δεσπόζειν. καὶ κατὰ ταῦτα αὖ πότερόν σοι δοκεῖ ὅμοιον τῷ θείῳ εἶναι, ἢ πότερον τῷ θνητῷ; ἢ οὐ δοκεῖ σοι τὸ μὲν θεῖον οἷον ἄρχειν τε καὶ ἡγεμονεύειν πεφυκέναι, τὸ δὲ θνητὸν ἄρχεσθαί τε καὶ δουλεύειν; ἔοικε. πότερον οὖν ἡ ψυχή; ἔοικεν, ὦ σώκρατες, ὅτι ἡ μὲν ψυχὴ τῷ θείῳ, τὸ δὲ σῶμα τῷ θνητῷ. σκόπει δέ, ἔφη, ὦ κέβης, εἰ ἐκ πάντων τῶν εἰρημένων τάδε ξυμβαίνει εἶναι· τῷ μὲν θείῳ καὶ ἀθανάτῳ, καὶ νοητῷ καὶ μονοειδεῖ πέφυκεν εἶναι ἑκάστη ἁρμονία, ὡς ἂν ἁρμοσθῇ; οὐ μανθάνω, ἔφη. ἢ οὐχί, ἦ δ' ὅς, ἐὰν μὲν μᾶλλον ἁρμοσθῇ, καὶ ἐπὶ πλέον, εἴπερ ἐνδέχεται τοῦτο γίγνεσθαι, μᾶλλόν τε ἂν ἁρμονία εἴη καὶ πλείων· εἰ δ' ἧττόν τε καὶ ἐπὶ ἔλαττον, ἥττων τε καὶ ἐλάττων; πάνυ γε. ἦ οὖν ἔστι τοῦτο περὶ ψυχὴν ὥστε κατὰ σμικρότατον μᾶλλον ἑτέραν ἑτέρας ψυχὴν ἐπὶ πλέον καὶ μᾶλλον, ἢ ἐπὶ ἔλαττον καὶ ἧττον αὐτὸ τοῦτ' εἶναι ψυχήν; οὐδ' ὁπωστιοῦν ἔφη· φέρε δή ἔφη πρὸς Διός, λέγεται ψυχὴ ἡ μὲν νοῦν τε ἔχειν ἢ ἀρετήν, ἢ εἶναι ἀγαθήν· ἡ δὲ ἄνοιάν τε καὶ μοχθηρίαν, καὶ εἶναι κακήν· καὶ ταῦτα ἀληθῶς λέγεται; ἀληθῶς μέντοι. τῶν οὖν θεμένων ψυχὴν ἁρμονίαν εἶναι, τί τις φήσει ταῦτα ὄντα εἶναι ἐν ταῖς ψυχαῖς; τήν τε ἀρετήν, καὶ τὴν κακίαν; πότερα ἁρμονίαν αὖ τιν' ἄλλην, καὶ ἀναρμοστίαν; καὶ τὴν μὲν ἡρμόσθαι τὴν ἀγαθήν, καὶ ἔχειν ἐν αὐτῇ τῇ ἁρμονίᾳ οὔσῃ ἄλλην ἁρμονίαν· τὴν δέ, ἀνάρμοστον αὐτήν τε εἶναι, καὶ οὐκ ἔχειν ἐν αὐτῇ ἄλλην; οὐκ ἔχω ἔγωγε, φησὶν ὁ σιμμίας, εἰπεῖν· δῆλον δὲ ὅτι τοιαῦτ' ἄττ' ἂν λέγοι ὁ ἐκεῖνο ὑποθέμενος. ἀλλὰ προσομολογεῖται, ἔφη, μηδὲν μᾶλλον, μηδ' ἧττον, ἑτέραν ἑτέρας ψυχὴν ψυχῆς εἶναι. τοῦτο δ' ἐστὶ τὸ ὁμολόγημα μηδὲν μᾶλλον μηδ' ἐπὶ πλέον, μηδὲ ἧττον, μηδ' ἐπὶ ἔλαττον ἑτέραν ἑτέρας ἁρμονίας εἶναι; ἦ γάρ; πάνυ γε. τὴν δέ γε μηδὲν μᾶλλον, μηδὲ ἧττον ἁρμονίαν οὖσαν, μηδὲ μᾶλλον, μηδὲ ἧττον ἡρμόσθαι, ἔστιν οὕτως; ἔστιν. ἡ δὲ μήτε μᾶλλον μήτε ἧττον ἡρμοσμένη ἔστιν, ὅτι πλέον, ἢ ἔλαττον ἁρμονίας μετέχει, ἢ τὸ ἴσον; οὐκ οὖν ψυχὴ οὐδὲν μᾶλλον, οὐδὲ ἧττον ἥρμοσται; οὕτω. τοῦτο δέ γε πεπονθυῖα οὐδὲν πλέον ἀναρμοστίας, οὐδὲ ἁρμονίας ἄν. οὐ γὰρ οὖν. τοῦτο δ' ἂν πε-

illa semper secundum eadem eodem modo se habet, vtpote qui talia iam attigerit. Atq. hac eius affectio sapientia, siue prudentia nominatur. Praeclarè, inquit, ac verè omnino loqueris, ô Socrates. Vtri igitur speciei rursus tibi videtur, ex his quae & in superioribus & modo dicta sunt, anima esse similior atque cognatior? Arbitror equidem, ô Socrates, quemlibet, inquit, vel indocilem prorsus, & pertinacem ex hac discursione concessurum, animam & per totū atq. per omne, similiorem esse ei quod semper eodē modo est, quàm opposito. Quid autem corpus? Alteri speciei. Considera rursus hoc pacto. Quamdiu in eodem sunt anima atq. corpus, hoc quidem seruire atq. subesse natura iubet, hanc verò praeesse atq. dominari. Secundū hac rursus vtrum tibi videtur simile esse diuino, vtrum mortali? An non putas diuinū quidē tale esse natura, vt praesit & ducat: mortale verò, vt subiiciatur ac seruiat? Puto equidē. Vtri igitur horū est anima similis? Constat, ô Socrates, animam quidem similem esse diuino, corpus verò mortali. Animaduerte iam, ô Cebes, num haec ex omnibus quae dicta sunt, consequantur: videlicet ipsi diuino, immortali, intelligibili, vniformi, & pro natura sua consonantia est, quatenus temperatur? Haud satis intelligo. Nónne si magis plusq. contemperetur, si modo id admittit, magis plusq. consonantia est: sin verò minus atq. perpaucum, minus perpaucumq. similiter? Omnino. Nunquid de anima id dici potest, vt vel in minima quadam re alia anima hoc ipsum quod est anima, vel magis, vel plus, aut contrà sit quàm alia? Minimè. Dic age per Iouem precor, num animam dicimus aliam quidē habere mentem virtutemq. atq. esse bonam: aliam verò dementiam & prauitatem, malamq. esse. haecne, inquā, verè dicuntur? Verè quidem. Eorum ergo qui animam esse asseruunt harmoniam, quis quidnam dicet esse in animabus? haec scilicet, vitium & virtutem? an aliam quandam consonantiam atq. dissonantiam? & bonam quidem esse consonantem, & cùm ipsa consonantia sit, alteram in se consonātiam possidere: malam verò dissonantem & ipsam esse, nec aliam in se habere? Quid respondeam, non habeo. Constat tamē eum, qui animam esse consonantiam posuisset, talia quaedam responsurum. At verò iam concessum est nihilo magis aut minus aliam alia animam esse. Eiusmodi verò concessio est, neq. magis, neq. plus, neq. minus, neq. sub paucioribus gradibus aliam alia consonantiam esse. Nónne? Prorsus. Eam verò quae neque magis, neq. minùs consonantia est, nimirum neque magis neq. minùs esse contemperatam. Est ita? Est. Quae verò neq. magis neq. minùs temperata est, potéstne pluribus paucioribusue gradibus particeps consonantia esse? an potiùs aequè? Aequè potius. Quapropter anima, si quidem neq. magis neq. minùs alia quàm alia secundū animae naturam anima est, consequenter neq. magis neq. minùs est temperata. Est vt dicis. Cùm verò sic affecta sit, nihilo magis consonantia est, vel dissonantia particeps. Nihilo magis. Praeterea cùm ita comparata sit, num plus aliquid

 prauitatis

prauitatis, vel virtutis alia quàm alia possidet? siquidem prauitas quidem dissonãtia est, virtus verò consonantia. Certè plus nihil. Quinimo secundum rectam, Simmia, rationẽ nulla vsquam anima prauitate erit affecta, si fuerit consonantia. quandoquidem consonantia vera, secundum id quod consonantia est, nunquam fit dissonantia particeps. Nunquã certè. Neque igitur anima, quæ omnino sit anima, prauitate inficietur. Quo enim modo, per ea quæ dicta sunt, id fieri posset? Hac igitur ratione omnes animalium omnium animæ bonæ similiter erunt, si secundum animæ ipsius naturam similiter animæ sint. Mihi quidem, Socrates, ita videtur. Nunquid rectè sic tibi dici videtur, atq. hæc sequi, si vera esset illa positio, animam consonantiam esse? Nullo modo. Quid verò? ex omnibus, quæ in homine sunt, aliud ne præter animam asseris dominari, præcipuè prudentem? Nihil aliud. Vtrùm corporis perturbationibus indulgentem, an potius repugnantem? Dico autẽ tale quiddam, veluti si sub æstu sitis angat, interea tamen aduersatur animus, retrahitq́; in contrarium ne bibat: similiterq́; si premat fames, ne edat: in aliisq́; quamplurimis videmus corporis affectibus repugnantem. nónne? Et quidem maximè. Nónne in superioribus confessi sumus, animam si consonantia fuerit, nunquam dissonaturam his quibus intenditur, vel remittitur, vel euibratur, vel quodcunque aliud patiantur illa, ex quibus ipsa conflatur: sed secuturam illa, nunquam verò ducturam? Confessi sumus. Quid verò nunc? nónne contrà omnino videtur agere, quatenus ea ducit omnia, ex quibus dixerit aliquis ipsam constitui? atque fermè omnibus per omnẽ vitam repugnat, multisq́; dominatur modis, interdum rigidiùs quodam cũ supplicio puniens per gymnasticam atque medicinam, interdum verò mitiùs castigans comminãdo, aut monendo aduersus cupiditates, & iras, atque timores, tanquam altera quædam res contra alteram loquens, quemadmodum Homerus tradidit in Odyssea:

Tum pectus pulsans, cor sic affatur Vlysses:
Hoc quoq. cor perfer, namq. & grauiora tulisti.

An putas Homerum hæc dixisse tanquam harmonia quædam sit, ac talis vt corporis passionibus subiiciatur, non autem ducat atque dominetur? an potius quasi quiddam longè diuinius, quàm harmonia sit animus? Diuinius, per Iouem, mihi videtur significasse. Non ergo, vir optime, rectè harmoniam esse animam diceremus. Sic enim, vt apparet, neq. Homero diuino poetæ, neque nobis ipsis consentiremus. Sic est. Agè harmoniam Thebanam satis, vt videtur, iam placauimus. Rationem verò Cadmeam, ô Cebes, quónam pacto, et qua ratione placabimus? Tu mihi, ô Socrates, viam, inquit Cebes, inuenturus videris.

Tum Socrates, cùm aliquantum se recepisset, ad se conuersus, haud leue quiddam requiris, inquit, ô Cebes, sed cuius gratia oporteat generationis corruptionisq́; causã pertractare. Ego igitur, si vis, ea tibi quæ mihi euenerunt, enarrabo. Deinde si quid corũ

πεφυκυῖα, ἆρ' ἄν τι πλέον κακίας ἢ ἀρετῆς μετέχοι ἑτέρας; εἴπερ ἡ μὲν κακία ἀναρμοστία, ἡ δὲ ἀρετὴ ἁρμονία εἴη. οὐδὲν πλέον. μᾶλλον δέ γε που, ὦ σιμμία, κατὰ τὸν ὀρθὸν λόγον κακίας οὐδεμία ψυχὴ μεθέξει, εἴπερ ἁρμονία ἐστίν· ἁρμονία γὰρ δή που παντελῶς αὐτὸ τοῦτο οὖσα ἀναρμοστίας οὔποτ' ἂν μετέχοι. οὐ μέν τοι. οὐδέ γε δή που ψυχὴ οὖσα παντελῶς ψυχὴ κακίας. πῶς γὰρ ἔκ γε τῶν προειρημένων; ἐκ τούτου ἄρα τοῦ λόγου ἡμῖν πᾶσαι ψυχαὶ πάντων ζώων ὁμοίως ἀγαθαὶ ἔσονται, εἴπερ ὁμοίως ψυχαὶ πεφύκασιν αὐτὸ τοῦτο εἶναι ψυχαί. ἔμοιγε δοκεῖ, ἔφη, ὦ σώκρατες. ἦ καὶ καλῶς δοκεῖ, ἦ δ' ὅς, οὕτω λέγεσθαι, καὶ πάσχειν ἂν ταῦτα ὁ λόγος, εἰ ὀρθὴ ἡ ὑπόθεσις ἦν, τὸ ψυχὴν ἁρμονίαν εἶναι. οὐδ' ὁπωστιοῦν ἔφη. τί δαὶ ἦ δ' ὅς, τῶν ἐν ἀνθρώπῳ πάντων, ἔσθ' ὅ τι ἄλλο λέγεις ἄρχειν ἢ ψυχὴν, ἄλλως τε καὶ φρόνιμον; οὐκ ἔγωγε. πότερον συγχωροῦσαν τοῖς κατὰ τὸ σῶμα παθήμασιν, ἢ καὶ ἐναντιουμένην· λέγω δὲ τὸ τοιόνδε· οἷον καύματος ἐνόντος καὶ δίψους, ἐπὶ τοὐναντίον ἕλκειν τὸ μὴ πίνειν, καὶ πείνης ἐνούσης, ἐπὶ τὸ μὴ ἐσθίειν, καὶ ἄλλα που μυρία ὁρῶμεν ἐναντιουμένην τὴν ψυχὴν τοῖς κατὰ τὸ σῶμα, ἢ οὔ; πάνυ μὲν οὖν. οὐκ οὖν αὖ ὡμολογήσαμεν ἐν τοῖς πρόσθεν μήποτε ταύτην ἁρμονίαν γε οὖσαν ἐναντία ᾄδειν οἷς ἐπιτείνοιτο, καὶ χαλῷτο, καὶ ψάλλοιτο, καὶ ἄλλο ὁτιοῦν πάθος πάσχοι ἐκεῖνα ἐξ ὧν τυγχάνει οὖσα, ἀλλ' ἕπεσθαι ἐκείνοις, καὶ οὔποτ' ἂν ἡγεμονεύειν· ὡμολογήσαμεν ἔφη. πῶς γὰρ οὔ. τί οὖν νῦν; οὐ πᾶν τοὐναντίον φαίνεται ἡμῖν ἐργαζομένη, ἡγεμονεύουσά τε ἐκείνων πάντων, ἐξ ὧν φησί τις αὐτὴν εἶναι, καὶ ἐναντιουμένη ὀλίγου πάντα διὰ παντὸς τοῦ βίου, καὶ δεσπόζουσα πάντας τρόπους, τὰ μὲν χαλεπώτερον κολάζουσα καὶ μετ' ἀλγηδόνων, τά τε κατὰ τὴν γυμναστικὴν καὶ τὴν ἰατρικὴν, τὰ δὲ πρᾳότερον, καὶ τὰ μὲν ἀπειλοῦσα, τὰ δὲ νουθετοῦσα ταῖς ἐπιθυμίαις, καὶ ὀργαῖς, καὶ φόβοις, ὡς ἄλλη οὖσα ἄλλῳ πράγματι διαλεγομένη, οἷόν που καὶ ὅμηρος ἐν ὀδυσσείᾳ πεποίηκεν, οὗ λέγει τὸν ὀδυσσέα·

στῆθος δὲ πλήξας, κραδίην ἠνίπαπε μύθῳ·
τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης.

ἆρ' οἴει αὐτὸν ταῦτα ποιῆσαι διανοούμενον, ὡς ἁρμονίας αὐτῆς οὔσης, καὶ οἵας ἄγεσθαι ὑπὸ τῶν τοῦ σώματος παθημάτων, ἀλλ' οὐχ οἵας ἄγειν τε ταῦτας καὶ δεσπόζειν, καὶ οὔσης αὐτῆς πολὺ θειοτέρου τινὸς, ἢ καθ' ἁρμονίαν, νὴ δία, ὦ σώκρατες, ἔμοιγε δοκεῖ. οὐκ ἄρ' ὦ ἄριστε, ἡμῖν οὐδαμῇ καλῶς ἔχει, ψυχὴν ἁρμονίαν τινὰ φάναι· οὔτε γὰρ ἂν ὡς ἔοικεν ὁμήρῳ θείῳ ποιητῇ ὁμολογοῖμεν, οὔτε αὐτοὶ ἡμῖν αὐτοῖς. ἔχει οὕτως ἔφη. εἶν δὴ, ἦ δ' ὅς, ὦ σώκρατες, τὰ μὲν ἁρμονίας ἡμῖν τῆς θηβαϊκῆς ἵλεά πως ὡς ἔοικε μετρίως γέγονεν· τί δὲ δὴ τὰ κάδμου, ἔφη, ὦ κέβης, πῶς ἱλασόμεθα, καὶ τίνι λόγῳ, σύ μοι δοκεῖς, ἔφη ὁ κέβης, ἐξευρήσειν.

Ο' οὖν σωκράτης συχνὸν χρόνον ἐπισχὼν καὶ πρὸς αὐτόν τι σκεψάμενος, οὐ φαῦλον πρᾶγμα, ἔφη, ὦ κέβης, ζητεῖς· ὅλως γὰρ δεῖ περὶ γενέσεως καὶ φθορᾶς τὴν αἰτίαν διαπραγματεύσασθαι· ἐγὼ οὖν δίειμι περὶ αὐτῶν ἂν βούλει τά γ' ἐμὰ πάθη. ἔπειτα

ἐάν τι

ἐάν τι σοι χρήσιμον φαίνηται ὧν ἂν λέγω, πρὸς τὴν πειθὼ περὶ ὧν λέγεις χρήσῃ. ἀλλὰ μὴν, ἔφη ὁ κέβης, βούλομαί γε. ἄκουε τοίνυν ὡς ἐροῦντος. ἐγὼ γὰρ, ἔφη, ὦ κέβης, νέος ὢν θαυμαστῶς ὡς ἐπεθύμησα ταύτης τῆς σοφίας, ἣν δὴ καλοῦσι περὶ φύσεως ἱστορίαν· ὑπερήφανον γάρ μοι ἐδόκει εἰδέναι εἶναι τὰς αἰτίας ἑκάστου, διὰ τί γίγνεται ἕκαστον καὶ διὰ τί ἀπόλλυται, καὶ διὰ τί ἔστι· καὶ πολλάκις ἄνω κάτω μετέβαλλον, σκοπῶν πρῶτον τὰ τοιάδε· ἆρ' ἐπειδὰν τὸ θερμὸν καὶ τὸ ψυχρὸν σηπεδόνα τινὰ λάβῃ, ὥς τινες ἔλεγον, τότε δὴ τὰ ζῶα συντρέφεται; καὶ πότερον τὸ αἷμά ἐστιν, ᾧ φρονοῦμεν, ἢ ὁ ἀὴρ, ἢ τὸ πῦρ· ἢ τούτων μὲν οὐδὲν, ὁ δὲ ἐγκέφαλός ἐστιν ὁ τὰς αἰσθήσεις παρέχων, τοῦ ἀκούειν καὶ τοῦ ὁρᾶν, καὶ ὀσφραίνεσθαι, ἐκ τούτων δὲ γίγνοιτο μνήμη καὶ δόξα, ἐκ δὲ μνήμης καὶ δόξης λαβούσης τὸ ἠρεμεῖν, κατὰ ταῦτα γίγνεσθαι ἐπιστήμην· καὶ αὖ τούτων τὰς φθορὰς σκοπῶν, καὶ τὰ περὶ τὸν οὐρανόν τε καὶ τὴν γῆν πάθη, τελευτῶν, οὕτως ἐμαυτῷ ἔδοξα πρὸς ταύτην τὴν σκέψιν ἀφυὴς εἶναι, ὡς οὐδὲν χρῆμα.

Τὸ γὰρ μὴ διελέσθαι οἷόν τε εἶναι ὅτι ἄλλο μέν τί ἐστι τὸ αἴτιον τῷ ὄντι, ἄλλο δὲ ἐκεῖνο ἄνευ οὗ τὸ αἴτιον οὐκ ἄν ποτ' εἴη αἴτιον. ὃ δή μοι φαίνονται ψηλαφῶντες οἱ πολλοὶ, ὥσπερ ἐν σκότει, ἀλλοτρίῳ ὀνόματι προσχρώμενοι, ὡς αἴτιον αὐτὸ προσαγορεύειν· διὸ δὴ καὶ ὁ μέν τις δίνην περιτιθεὶς τῇ γῇ ὑπὸ τοῦ οὐρανοῦ μένειν δὴ ποιεῖ τὴν γῆν· ὁ δὲ ὥσπερ καρδόπῳ πλατείᾳ βάθρον τὸν ἀέρα ὑπερείδει. καὶ περὶ αἰτίας, καὶ περὶ τῶν ἄλλων πάντων· ἃ δ' ἂν μὴ, ὡς οὐκ ἀληθῆ, βούλομαι δέ σοι σαφέστερον εἰπεῖν ἃ λέγω· οἶμαι γάρ σε νῦν οὐ μανθάνειν. οὐ μὰ τὸν δί' ἔφη ὁ κέβης.

Ἀποκρίνου δὴ, ἦ δ' ὅς, ᾧ ἂν τί ἐγγένηται σώματι ζῶν ἔσται; ᾧ ἂν ψυχὴ ἔφη. οὐκοῦν ἀεὶ τοῦτο οὕτως ἔχει; πῶς γὰρ οὐχὶ, ἦ δ' ὅς; ἡ ψυχὴ ἄρα ὅ τι ἂν αὐτὴ κατάσχῃ ἀεὶ ἥκει ἐπ' ἐκεῖνο φέρουσα ζωήν; ἥκει μέντοι ἔφη. πότερον δέ ἐστι καὶ ζωῇ ἐναντίον, ἢ οὐδέν; ἔστιν ἔφη. τί; θάνατος. οὐκοῦν ψυχὴ τὸ ἐναντίον, ᾧ αὐτὴ ἐπιφέρει ἀεὶ, οὐ μήποτε δέξηται, ὡς ἐκ τῶν πρόσθεν ὡμολόγηται· καὶ μάλιστα σφόδρα, ἔφη ὁ κέβης. τί οὖν, τὸ μὴ δεχόμενον τὴν τοῦ ἀρτίου ἰδέαν, τί νῦν δὴ ὀνομάζομεν; ἀνάρτιον ἔφη. τὸ δίκαιον μὴ δεχόμενον, καὶ ὃ ἂν μουσικὸν μὴ δέχηται; ἄμουσον ἔφη, τὸ δὲ ἄδικον. εἶεν, ὃ δὲ ἂν θάνατον μὴ δέχηται θάνατον; οὐ. ἀθάνατον ἄρα ψυχή; ἀθάνατον, εἶεν ἔφη· τοῦτο μὲν δὴ ἀποδεδεῖχθαι φῶμεν, ἢ πῶς δοκεῖ; καὶ μάλα γε ἱκανῶς, ὦ σώκρατες. τί οὖν ἦ δ' ὅς, ὦ κέβης; εἰ τῷ ἀρτίῳ ἀναγκαῖον ἦν ἀνωλέθρῳ εἶναι, ἄλλο τι, ἢ τὰ τρία ἀνώλεθρα ἂν ἦν; πῶς γὰρ οὔ; οὐκοῦν εἰ καὶ τὸ ἄθερμον ἀναγκαῖον ἦν ἀνώλεθρον εἶναι· ὁπότε τις ἐπὶ χιόνα θερμὸν ἐπάγοι, ὑπεξῄει ἂν ἡ χιὼν οὖσα σῶς καὶ ἄτηκτος· οὐ γὰρ ἂν ἀπώλετό γε, οὐδ' αὖ ὑπομένουσα ἐδέξατ' ἂν τὴν θερμότητα. ἀληθῆ, ἔφη, λέγεις. ὡς δ' αὔτως οἶμαι κἂν εἰ τὸ ἄψυχρον ἀνώλεθρον ἦν, ὁπότε ἐπὶ τὸ πῦρ ψυχρόν τι ἐπῄει, οὔποτ' ἂν

quæ dixero, ad quæstionis tuæ veritatem aperiendā cōducere putabis, utere. Volo equidem, inquit. Audi igitur iam narrantem. Equidem, ô Cebes, cùm essem iuuenis, mira quadam eius sapientiæ cupiditate flagrabam, quam naturæ vocant historiam. Præclarissimum enim esse censebā, causas intelligere, per quas singula fiant atq. intereant, & quæ sint ratione: sæpiusq; me sursum deorsumq; iactaui, talia quadam primò considerans, nunquid, postquam calidum & frigidum putrefactionem aliquā acceperint, quemadmodum nonnulli dixerunt, tunc animalia conualescant. præterea vtrùm sanguis sit quo sapimus, vel aer, vel ignis: an nihil horum sit, sed cerebrum, quod præbeat sensus audiendi, videndi, olfaciendi, ex his autem memoria & opinio fiat, ex memoria verò, et opinione quietē accipiente, per hæc scientia oriatur. Proinde horū corruptiones considerans, atq. eas quæ circa cælum terramq; passiones contingant, tandem adeò mihi ad hæc consideranda visus sum hebes, vt nihil magis.

Nam qui sic est affectus, nequit discernere aliam quidē esse veram rei alicuius causam, aliud verò illud sine quo ipsa causa esse non potest causa. Quod quidem multi mihi videtur, quasi in tenebris attrectantes alieno appellare nomine, dum causam nuncupant. Quapropter nonnulli vertiginem circūponentes terræ, sub cælo eam stabilem faciunt. Alij verò tanquam latum pistoris alueum aere velut base suffulciunt, &c. & circa rerum causas, et circa reliqua omnia: quæ verò dissonans, vera esse nego. Volo equidē quæ dico, tibi apertiùs explanare. Puto enim te nondum intelligere. Per Iouem haud multum, inquit Cebes.

Responde igitur: quidnam si in corpore sit, erit viuū? Si anima. Nónne id semper ita se habet? Semper. Anima igitur quicquid occupat, semper ad illud vitam affert? Affert procul dubio. An est aliquid vitæ contrarium, nec ne? Est vtiq. Quid illud? Mors. Anima verò contrarium eius quod ipsa semper adducit, subibit nunquam, quemadmodū ex superioribus est concessum. Sic est omnino. Quid verò? quod paris ideam nō accipit, quónam modo paulo antè nominabamus? Impar omnino. Quod verò non accipit iustitiam, quódve nō capit musicā? Iniustū dicimus & immusicū. Age iam, quod non subit mortē, quomodo appellabamus? Immortale. Et anima quidem mortē non suscipit. Nequaquam. Est igitur anima immortalis. Immortalis quidē. Age vtiq. hócne iam demonstratū dicemus? an aliter tibi videtur? Et sufficientissimè quidem, ô Socrates. Quid ergo Cebes? si necesse foret quod omnino est impar, & interitus nescium fore, nónne tria interitus nescia forent? Quidni? Præterea, si quod incalescere nescit, necesse foret interitus nesciū esse, quando quis ad niuem calidū admoueret, nix quidem incolumis illiquefactaq; subterfugeret: neque enim vel periret, vel permanens calorem admitteret. Vera narras. Simili, vt arbitror, ratione, si quod frigescere nescium etiam interitus nescium esset, quando in ignem

aduentaret frigus, nō extingueretur & euanesceret ignis, sed abiret incolumis. Ita necesse foret. Eodem pacto de immortali quoque necesse est dicamus. Si enim quod est immortale, interire nequit, impossibile est animam imminente morte perire. Nam mortem quidem, quemadmodum ex superioribus constat, non recipiet, neq. interierit: quemadmodū ternarius nūquam, vt diximus, par erit, neq. rursus impar erit par, neq. ignis frigidus, neq. caliditas quæ inest igni, frigiditas vnquam erit. Caeterùm dicet quispiam, quidnā prohibet, quo minùs ipsum impar, par quidē non fiat aduemente pari, quemadmodum inter nos conuenit, attamē eo dissoluto, par pro ipso succedat? Ita dicenti repugnare nō valeremus, quin sit destructum. quippe enim non idem sit impar atq. indissolubile. Alioquin si nobis id constitisset, facilè obtineremus, inuadente pari, impar ternariumq́. saluū discedere. similiterq́. de igne & calido caterisq́. assereremus nónne ita? Prorsus. Iā verò de immortali, si nobis id cōstat quod est immortale, esse etiam interitus nescium, consequens est, animā præter id quòd est immortalis, interitus quoq. nesciam esse. Sin verò minùs id concedatur, ratione alia opus erit. Sed nihil opus est, quantū ad id spectat, alia ratione. Siquidē quidnam aliud indissolubile posset esse, si immortale ipsum sempiternū dissolueretur? Deū verò, & ipsam vitæ speciem, & si quid aliud est immortale, indissolubile quoq. esse omnes confiterentur. Vniuersi per Iouem homines, et multo magis ipsi, vt arbitror, dij. Cùm igitur quod immortale est, etiam incorruptibile sit, quidnam prohibet animā, si fuerit immortalis, incorruptibilem quoq. fore? Necessariò sequitur. Imminēte igitur homini morte, quod mortale quidem in eo est, interit: quod verò immortale, incorruptum, sospesq́. morti se subtrahit. Manifestū est. Itaque maximè omnium, ô Cebes, anima immortalis incorruptibilisq́. est, eruntq́. apud manes anima nostra.

ἀπεσβέννυτο, οὐδ' ἀπώλλυτο, ἀλλὰ σῶον ἂν ἀπελθὸν ᾤχετο. ἀνάγκη ἔφη. οὐκοῦν καὶ ὧδε ἀνάγκη περὶ τοῦ ἀθανάτου. εἰ μὲν τὸ ἀθάνατον καὶ ἀνώλεθρόν ἐστι, ἀδύνατον ψυχήν, ὅταν ὁ θάνατος ἐπ' αὐτὴν ἴῃ, ἀπόλλυσθαι. θάνατον μὲν γὰρ δὴ ἐκ τῶν προειρημένων οὐ δέξεται, οὐδ' ἔσται τεθνηκυῖα, ὥσπερ τὰ τρία οὐκ ἔσται, ἔφαμεν, ἄρτιον, οὐδέ γε αὖ τὸ περιττόν, οὐδὲ δὴ τὸ πῦρ ψυχρόν, οὐδέ γε ἡ ἐν τῷ πυρὶ θερμότης· ἀλλὰ τί κωλύει, φαίη ἄν τις, ἄρτιον μὲν τὸ περιττὸν μὴ γίγνεσθαι, ἐπιόντος τοῦ ἀρτίου, ὥσπερ ὡμολόγηται, ἀπολλυμένου δ' αὐτοῦ ἀντ' ἐκείνου ἄρτιον γεγονέναι. τῷ ταῦτα λέγοντι οὐκ ἂν ἔχοιμεν διαμάχεσθαι, ὅτι οὐκ ἀπόλλυται· τὸ γὰρ ἀνάρτιον οὐκ ἀνώλεθρόν ἐστι. ἐπεὶ εἰ τοῦτο ὡμολογεῖτο ἡμῖν, ῥᾳδίως ἂν διεμαχόμεθα· ὅτι ἐπελθόντος τοῦ ἀρτίου τὸ περιττὸν, καὶ τρία οἴχεται ἀπιόντα· καὶ περὶ πυρὸς καὶ θερμοῦ, καὶ τῶν ἄλλων, οὕτως ἂν διεμαχόμεθα. ἢ οὔ; πάνυ μὲν οὖν· οὐκοῦν καὶ νῦν περὶ τοῦ ἀθανάτου, εἰ μὲν ἡμῖν ὁμολογεῖται καὶ ἀνώλεθρον εἶναι, ψυχὴ ἂν εἴη πρὸς τὸ ἀθάνατον εἶναι, καὶ ἀνώλεθρος· εἰ δὲ μή, ἄλλου ἂν δέοι λόγου· ἀλλ' οὐδὲν δεῖ, ἔφη, τούτου γε ἕνεκα· σχολῇ γὰρ ἄν τι ἄλλο φθορὰν μὴ δέχοιτο· εἰ τό γε ἀθάνατον ἀΐδιον ὂν φθορὰν δέξεται· ὁ δέ γε θεὸς οἶμαι, ἔφη ὁ Σωκράτης, καὶ αὐτὸ τὸ τῆς ζωῆς εἶδος, καὶ εἴ τι ἄλλο ἀθάνατόν ἐστι, παρὰ πάντων ἂν ὁμολογηθείη μηδέποτε ἀπόλλυσθαι· παρὰ πάντων μέντοι νὴ Δί' ἔφη, ἀνθρώπων τέ γε καὶ ἔτι μᾶλλον ὡς ἐγᾦμαι παρὰ θεῶν. ὁπότε δὴ τὸ ἀθάνατον καὶ ἀδιάφθορόν ἐστιν, ἄλλο τι, ἢ ψυχή, εἰ ἀθάνατος τυγχάνει οὖσα, καὶ ἀνώλεθρος ἂν εἴη; πολλὴ ἀνάγκη. ἐπιόντος ἄρα θανάτου ἐπὶ τὸν ἄνθρωπον, τὸ μὲν θνητὸν ὡς ἔοικεν αὐτοῦ ἀποθνήσκει· τὸ δ' ἀθάνατον, σῶον καὶ ἀδιάφθορον οἴχεται ἀπιόν, ὑποχωρῆσαν τῷ θανάτῳ. φαίνεται. παντὸς μᾶλλον ἄρα, ἔφη, ὦ Κέβης, ἔσονται ἡμῶν αἱ ψυχαὶ ἐν ᾅδου.

Porphyrij Gradibus Ficino interpr.

Anima quidem medium quiddam est inter essentiam indiuiduā, atq. essentiam circa corpora diuisibilem: intellectus autem essentia est indiuidua solùm. Sed qualitates, materialesq́. formæ, secūdum corpora sunt diuisibiles.

Anima corpori alligatur conuersione quadam ad passiones prouenientes à corpore, rursumq́. soluitur quatenus à corpore nihil patitur.

Anima quidem habet omniū rationes, agit autem secundum eas, vel ab alio ad expeditionem eiusmodi prouocata, vel ipsa seipsam intus conuertens ad rationes. Et cùm ab alio prouocatur, tanquam ad externa cōmittit introducere sensus: cùm verò ingreditur in seipsam, ad intelligentias peruenit. Neque igitur sensus extra imaginationem sunt, neq. vt dixerit aliquis, intelligentia quatenus competunt animali: neq. rursus absq. instrumentorum sensualium passione sunt sensus. sic & intelligentia non absque imaginatione, nisi analoga cōditio sit. Quemadmodum figura consequens quiddam est ad animal sensuale, sic phantasma aliquid consequens ad intelli-

Ἡ μὲν γὰρ ψυχὴ τῆς ἀμερίστου καὶ περὶ τὰ σώματα μεριστῆς οὐσίας, μέσον τι· ὁ δὲ νοῦς ἀμέριστος οὐσία μόνον, τὰ δὲ σώματα μεριστὰ μόνον· αἱ δὲ ποιότητες καὶ τὰ ἔνυλα εἴδη, περὶ τὰ σώματα μεριστά.

Ψυχὴ καταδεῖται πρὸς σῶμα τῇ ἐπιστροφῇ τῇ πρὸς τὰ πάθη τὰ ὑπ' αὐτό, καὶ λύεται διὰ τῆς ἀπαθείας.

Ἡ ψυχὴ ἔχει μὲν πάντων τοὺς λόγους, ἐνεργεῖ δὲ κατ' αὐτούς, ἢ ὑπ' ἄλλου εἰς τὴν προχείρησιν ἐκκαλουμένη, ἢ ἑαυτὴν εἰς αὐτοὺς ἐπιστρέφουσα εἰς τὸ εἴσω· καὶ ὑπ' ἄλλου μὲν ἐκκαλουμένου ὡς πρὸς τὰ ἔξω τὰς αἰσθήσεις ἀποδίδωσιν, εἰς δὲ ἑαυτὴν εἰσιοῦσα πρὸς τὸν νοῦν ἐν ταῖς νοήσεσι γίγνεται, καὶ οὔτε αἴσθησις ἔξωθεν, οὔτε νόησις ἄλλη ποτὲ δὲ ὡς τῷ ζώῳ οὐκ ἄνευ πάθους τοῦ αἰσθητικοῦ ὀργάνου αἱ αἰσθήσεις, οὕτω καὶ αἱ νοήσεις οὐκ ἄνευ φαντασίας· ἵν' ᾖ τὸ ἀνάλογον, ὡς τύπος, παρακολούθημα αἰσθητικοῦ, οὕτω τὸ φάντασμα ψυχῆς

ζώου

ζωὴν ἑπόμενον νοητόν. ἡ ψυχὴ οὐσία ἀμεγέθης, ἄϋλος, ἄφθαρτος, ἐν ζωῇ παρ' ἑαυτῆς ἐχούσης τὸ ζῆν κεκτημένη τὸ εἶναι.

Ἄλλο τὸ πάσχειν τῶν σωμάτων, ἄλλο τῶν ἀσωμάτων· τὸ μὲν γὰρ τῶν ἀσωμάτων σὺν τροπῇ τὸ πάσχειν· τῆς δὲ ψυχῆς αἱ οἰκειώσεις καὶ τὰ πάθη, ἐνέργειαι οὐδὲν ἐοικυῖαι θερμάνσεσι καὶ ψύξεσι σωμάτων. διὸ εἴπερ τὸ πάσχειν πάντως σὺν τροπῇ, ἀπαθῆ ῥητέον παντελῶς τὰ ἀσώματα· τὰ μὲν γὰρ ὕλης κεχωρισμένα καὶ σωμάτων ἐνεργείᾳ ἐστὶ τὰ αὐτά· τὰ δ' ὕλῃ πλησιάζοντα καὶ σώμασιν, αὐτὰ μὲν ἀπαθῆ, τὰ δὲ ἐφ' ὧν θεωρεῖται πάσχει. ὅταν γὰρ τὸ ζῷον αἰσθάνηται, ἔοικεν ἡ μὲν ψυχὴ ἁρμονίᾳ χωριστῇ ἐξ αὐτῆς τὰς χορδὰς κινούσῃ ἡρμοσμένας, ἁρμονίᾳ ἀχωρίστῳ· τὸ δ' αἴτιον τοῦ κινεῖσθαι τὸ ζῷον διὰ τὸ εἶναι ἔμψυχον, ἀνάλογον τῷ μουσικῷ διὰ τὸ εἶναι ἐναρμόνιον. τὰ δὲ πληγέντα σώματα διὰ πάθος αἰσθητικὸν ταῖς ἡρμοσμέναις χορδαῖς. καὶ γὰρ ἐκεῖ οὐχ ἡ ἁρμονία πέπονθεν ἡ χωριστή, ἀλλ' ἡ χορδή· καὶ κινεῖ μὲν ὁ μουσικὸς κατὰ τὴν ἐν αὐτῷ ἁρμονίαν· οὐ μὴν ἐκινήθη ἂν ἡ χορδὴ μουσικῶς, εἰ καὶ ὁ μουσικὸς ἐβούλετο, μὴ τῆς ἁρμονίας τοῦτο λεγούσης.

Τῆς οὐσίας ἡ ζωὴ τὸ εἶναι, καὶ ἧς τὰ πάθη ζωαί, ταύτης καὶ ὁ θάνατος ἐν ποιᾷ ζωῇ κεῖται, οὐκ ἐν ζωῆς καθάπερ στερήσει· ὅτι μηδὲ τὸ πάθος ἦν ὁδὸς εἰς τὴν τελέαν ἀζωΐαν ἐπ' αὐτῆς.

Οὐ διὰ τὸ πλῆθος τῶν σωμάτων δεῖ νομίζειν πλῆθος τῶν ψυχῶν γενέσθαι, πρὸ δὲ τῶν σωμάτων εἶναι καὶ πολλὰς καὶ μίαν, οὔτε τῆς μιᾶς ὅλης κωλυούσης τὰς πολλὰς ἐν ἑαυτῇ εἶναι, οὔτε τῶν πολλῶν τὴν μίαν εἰς αὐτὰς μεριζουσῶν. διέστησαν γὰρ οὐκ ἀποκοπεῖσαι, οὐδ' ἀποκερματίσασαι εἰς αὐτὰς τὴν ὅλην, καὶ πάρεισιν ἀλλήλαις, οὐ συγκεχυμέναι, οὐδὲ σωρὸν ποιοῦσαι τὴν ὅλην· οὔτε γὰρ πέρασιν εἰσὶ διειλημμέναι, οὔτε πάλιν ἀλλήλαις συγκεχυμέναι, ὥσπερ οὐδὲ ἐπιστῆμαι συνεχύθησαν αἱ πολλαὶ ἐν ψυχῇ μιᾷ, καὶ πάλιν οὐκ ἔγκεινται, ὡς τὰ σώματα τῇ ψυχῇ ἐπεισουσίως, ἀλλὰ τῆς ψυχῆς ποιαὶ ἦσαν ἐνέργειαι.

Ἀπειροδύναμος ἡ τῆς ψυχῆς φύσις, καὶ καθ' ἕκαστον τὸ τυχὸν αὐτῆς ψυχὴ καὶ πᾶσαι μία, καὶ πάλιν ἡ ἄλλη ὅλη παρὰ πάσας. ὡς γὰρ τὰ σώματα ἐπ' ἄπειρον τεμνόμενα οὐ καταλήγει εἰς ἀσώματα κατ' ὄγκον λαμβανόντων τῶν τμημάτων τὴν διαφοράν, οὕτως ψυχὴ οὖσα ζωτικὸν εἶδος ἐπ' ἄπειρον κατὰ τὰ εἴδη συνείληπται, παραλλαγὰς ἔχουσα εἰδητικάς, καὶ ὅλη σὺν ταύταις οὖσα, καὶ ἄνευ τούτων. εἰ γὰρ ἐπ' αὐτῆς οἷόν τε ἡ ἑτερότης σημαινούσης τῆς ταυτότητος, οὐδὲν ἐπεισελθὸν ἀσώματον διέκοψε τὴν ἕνωσιν, μένει δὲ τὰ πάντα ἡνωμένα μὲν κατὰ τὴν οὐσίαν, ταῖς δὲ ποιότησι καὶ τοῖς ἄλλοις εἴδεσι διειλημμένα· τί χρὴ ὑπονοεῖν ἐπὶ τῆς ἰδίως ἀσωμάτου ζωῆς, ἐφ' ἧς ἡ ταυτότης μᾶλλον κεκράτηκε τῆς ἑτερότητος, καὶ οὐδὲν ὑπόκειται ἀλλοῖον παρὰ τὸ εἶδος, ἀφ' ἧς καὶ τοῖς σώμασιν ἡ ἑνότης, οὐδὲ σῶμα παρεμπεσὸν ἀποκόπτει τὴν ἕνωσιν, καίπερ πρὸς τὰς ἐνεργείας ἐν πολλοῖς ἐμποδίζον αὐτῇ· δι' αὐτῆς ἡ ταυτότης αὐτὴ πάντα ποιεῖ, καὶ διεξόδους διὰ ἐπα-

gentium anima intelligentis in animali. Anima est essentia inextensa, immaterialis, immortalis, in vita habente à seipsa viuere, atq. esse similiter possidente.

Aliud est pati corpora, aliud incorporea. Passio enim corporũ cum transmutatione contingit: passio verò animæ est accommodatio quadam, & affectio ad rem ipsam, et actio quadã, nullo modo similis calefactioni, frigefactioniq́; corporũ. Quamobrẽ si passio corporũ cum transmutatione fit, dicendũ est, omnia incorporea esse passionis expertia. Quæ enim à materia, corporibusq́; separata sunt actu, eadem permanẽt: quæ verò materiæ, corporibusq́; propinquãt, ipsa quidem non sunt passiua, sed illa, in quibus hæc apparent, patiuntur. Quando enim animal sentit, anima quidẽ similis esse videtur harmoniæ cuidam separatæ, ex seipsa chordas mouenti contemperatas: corpus autẽ simile harmoniæ, quæ inseparabilis inest chordis. Sed causa mouẽdi esse videtur animal, propterea quòd sit animatũ, quod quidẽ simile est musico, ex eo quod sit concinnum. Corpora verò, quæ per passionem sensualem pulsantur, similia cõtemperatis chordis apparent. Etenim ibi non harmonia quidem separata patitur, sed chorda: & mouet sanè musicus per ipsam, quæ sibi inest, harmoniam; neque tamen chorda ratione musica moueretur etiã, si vellet musicus, nisi harmonia ipsa id dixit.

Circa essentiã, cuius esse consistit in vita, & cuius passiones vita quadam sunt, nimirum & mors in quali aliqua vita versatur, non in priuatione vitæ simul tota: quoniam neq. passio, seu vita est omnino illic ad non viuendum, ipsaq́; illic accidit orbitas.

Non oportet propter corporũ multitudinẽ animarum multitudinem ponere, verùm ante illa has & plures esse & vnum credere, nec vna tota vetante multas in se poni, nec multis vnam in sese tribuentibus. Nam & inter se distant, neq. desectæ, neq. tota in sese tributa: & inter se coniũguntur, neq. confusa, neq. cumulum tatum reddentes. siquidẽ nec terminis definita sunt, nec rursum inter se confusa; quemadmodum nec scientia aut in anima multa confunduntur, aut vt corpora in anima subsistunt, sed quadam sunt animæ functiones.

Hactenus Plotinus.

Infinita potentia est animæ natura, eiusq́; pars quæuis est anima, & omnis vna, rursumq́; alia præter omnes tota. Etenim sicut in infinitum secta corpora non desinunt in incorporea, mole distantibus segmentis: sic anima vitalis in infinitum per species diffunditur, formarũ [illegible]bens discrimina, cumq́; illis & absq. illis tota subsistens. Si enim illic, vbi diuersitas similitudinẽ superat, nihil obrepens incorporeã compagem dissoluit, verùm per naturam quidẽ omnia coniunguntur, qualitatibus autẽ ac formis aliis separantur: quid de vita incorporea sentiendũ erit, vbi similitudo diuersitatem superat, nec diuersum à forma quicquã subest; à qua etiam corpora compagẽ sortiuntur, quam corpus nullum dissoluit, quamuis eius functiones non rarò impediat. Per hanc omnia similitudo efficit, & in infinitũ progreditur, formæ

functionis quauis parte, cùm corpore vacauerit, omnia valente.

Quemadmodum seminis quæuis pars totius vires habet, ac proinde semen toti subiectum singulis rationibus totius partibus subiicitur; rursumque seminis vires nactum singulis in partibus totius vim habet: sic etiam materia carentis animæ pars totius vires habet; quod autem in materiam incidit, subiicitur quidem formæ ratione, verùm totius iam vires habet, eamque in se continet, cùm ad materiam accesserit.

Et quoniam in materiam quidem incidenti omnium rerum inopia, virtumque propriarum imbecillitas, ad mentem autem subductæ perfectio tota meritò tribuebatur; illam rectè paupertatem, hanc satietatem tectis vocibus appellarunt, qui primùm sunt animæ qualitates perscrutati.

Porph. de Animæ viribus.

Animæ vires describere statuimus, ac primùm historiam tum antiquorum tum recentiorum referre. Aristo facultatem animæ ponens apprehendentem, bifariam eam diuidit, alteram inquiens partem cum aliqua ferè sentiendi vi moueri, quam sentientem vocat, fontem ac principium sensuum singulorum; alteram per se semper absque instrumentis, quæ in aliis quidem nomine careat, in quibus aut omnino non cernatur, aut valde tenuiter, in ratione præditis autem, quibus insit solis, mens vocetur. Instrumenta porrò cùm separat, non eadem esse animam indicat, quandoquidem ad idem apprehendentis animæ genus pars vtraque, tam quæ instrumentis vtitur, quàm quæ caret, refertur; quarum illa formas rerũ apprehendit, hæc naturas. Sensus enim naturam non apprehendit, sed formam. siquidem apprehensio altera imprimi videtur, & ad formam protrahi, altera hoc vacare. Sic igitur illi diuidebant, ac ratiocinationem quidem imaginationis expertem, & à mente pendẽtem, intellectum ac mentem vocabant, cum imaginatione autem sensúve coniunctam, opinionem. eumque neutram naturam ratione præditam ponerent, diuersas eius faciebant functiones. Sed hac posita differentia, videtur absurdum vires eodem referre (neque enim de eadem natura mens ac sensus proficiscuntur; & si quis apprehensionem vocet mentis functionem, idem dicet) & aliam quidem ponere mentis facultatem, ac post eam intellectus, quarum illa subita sit functio, hæc cum ratiocinatione coniuncta; aliam autem sentiendi, eamque vel instrumentis vtentem, vel carentem, quarum illa sit sensus, hæc imaginationis. Atqui hæc eiusdem est generis, nisi quòd ratiocinationem opinionis antecellit. siquidem hæc intellectus species illa prior est, quæ sensum quidem et imaginationem antecellit, menti autem postponitur.

περὶ τῆς αἰσθητικῆς ἐνεργείας τοῦ τυχόντος μέρους πάντα δυναμένη, ὅταν σωμάτων καθαρεύῃ.

Ὡς τὸ τυχὸν μέρος τοῦ σπέρματος, τὴν τοῦ παντὸς σπέρματος ἔχει δύναμιν, ὥσπερ δὲ κρατηθὲν ἐν ὅλῃ τὶ σπέρμα καθ' ἕκαστον ἂν ἰδιάζοι λόγον ἐν τοῖς μέρεσι τῆς ὅλης κρατεῖται)· καὶ πάλιν συναχθὲν εἰς τὴν τοῦ σπέρματος δύναμιν, καθ' ἕκαστον τῶν μερῶν ἔχει τὴν πᾶσαν δύναμιν, οὕτω καὶ ψυχῆς ἄϋλον τὸ ὡς μέρος ἐπινοούμενον, τῆς πάσης ψυχῆς ἔχει τὴν δύναμιν· τὸ δὲ πρὸς ὕλην ῥέψαν, κεκράτηται μὲν, καθ' ὃ εἶδος ῥέψαν, ἐπιτηδείως ἔχει προσομιλεῖν ἐν ὅλῳ, ἔχει δὲ τὴν τῆς ὅλης δύναμιν ἤδη, καὶ ἐντυγχάνει οὔσῃ ἐν ἑαυτῷ, ὅταν ὑπὸ τοῦ ἐνύλου ὑποστὰν, ἐν ἑαυτῷ γένηται). Ἐπεὶ δὲ πρὸς μὲν ὕλην ῥέπουσιν ἀπορία ἁπάντων, καὶ τῆς οἰκείας δυνάμεως κένωσις, εἰς δὲ τὸν νοῦν ἀναγομένη τὸ πλῆρες ἑαυτῆς κατὰ τὴν δύναμιν ἔχειν τῆς πάσης εὑρίσκετο, τὴν μὲν εἰκότως πενίαν, τὴν δὲ κόρον, ὅπου τὸ πρῶτον γνόντες τῆς ψυχῆς τὸ πάθος ᾐνίξαντο.

Περὶ τῶν δυνάμεων τῆς ψυχῆς.

Τὰς τῆς ψυχῆς δυνάμεις ὑπογράψαι πρόκειται, καὶ πρότερόν γε ἐπεξελθεῖν τῇ ἱστορίᾳ τῇ τε παρὰ τοῖς παλαιοῖς καὶ τῇ ὕστερον ἐπικρατηθείσῃ παρὰ τοῖς διδασκάλοις. Ἀρίστων ἀντιληπτικὴν δύναμιν τῆς ψυχῆς θέμενος ταύτην διαιρεῖ εἰς δύο, τὸ μέν τι μέρος φάσκων μετά τινος τῶν αἰσθητηρίων ὡς τὰ πολλὰ κινεῖσθαι, ὃ αἰσθητικὸν καλεῖ, ἀρχὴν καὶ πηγὴν ὑπάρχον τῶν κατὰ μέρος αἰσθήσεων, τὸ δὲ ἀεὶ καθ' ἑαυτὸ καὶ χωρὶς ὀργάνων, ὃ ἐπὶ μὲν τῶν ἄλλων οὐκ ὀνομάζεται, ἢ γὰρ ὅλως οὐκ ἔστιν ἐν αὐτοῖς, ἢ τελέως ἀσθενὲς καὶ ἀμυδρὸν ἄγαν, ἐν δὲ τοῖς λογικοῖς, ἐν οἷς δὴ μάλιστα μόνοις νοῦν φαίνεται προσαγορεύεσθαι· ἔστι δὲ ἄνευ ὀργάνου οὐχ ἡ αὐτὴ ἔστω τῷ νῷ· εἴ γε ὑφ' ἓν γένος τὸ τῆς ἀντιληπτικῆς τέτακται), καὶ τὸ μετ' ὀργάνου ἐνεργοῦν μέρος, καὶ τὸ ἄνευ ὀργάνου· ἢ ὅτι ἡ μὲν τῆς μορφῆς τῶν ὄντων ἀντιλαμβάνεται), ἡ δὲ τῆς οὐσίας· αἴσθησις γὰρ οὐσίας οὐκ ἀντιληπτικὴ, ἀλλὰ μορφῆς ἐκ τῆς ἀντιλήψεως τὸ κάμμα, ἡ μὲν γὰρ τυπουμένῳ ἔοικεν, ἡ τῆς αἰσθητικῆς καὶ ἔξω ἑλκομένη ἐπὶ μορφὴν, ἡ δὲ ἀφισταμένη τυπώσεως· οἱ μὲν οὖν διῄρουν, καὶ τὸ μὲν ἄνευ φαντασίας διέξοδον, ἀπὸ τοῦ νοῦ ἠρτημένον, διάνοιάν τε καὶ νοῦν προσηγόρευον, τὸ δὲ μετὰ φαντασίας ἢ αἰσθήσεως τὴν διέξοδον ἔχον, δοξαστικὸν· οὐδὲ μίαν μὲν τῆς οὐσίας λογικὴν ἐτίθεντο, διαφόρους δὲ τὰς ἐνεργείας· τοιαύτης δὲ οὔσης τῆς διαφορᾶς ὑφ' ἓν τίθεσθαι τὰς δυνάμεις, μήποτε ἄτοπον ἦ· οὐ γὰρ ἐκ μιᾶς ἥ γε νόησις οὐσίας ὁρμᾶται) καὶ ἡ αἴσθησις, καὶ ἀντίληψιν εἴ τις λέγει τὴν τοῦ νοῦ ἐνέργειαν, ὁμωνύμως ἐρεῖ, καὶ εἰς ἄλλην μὲν θήσει τὴν τοῦ νοῦ δύναμιν καὶ ἐπιβολὴν, μετ' αὐτὴν δὲ τῆς διανοίας πάντας τοὺς ἐφ' ἑκατέρας, ἀλλὰ τὴν μὲν ἀθρόαν ἐνέργειαν, τὴν δὲ ἐν διεξόδῳ· ἄλλην δὲ πάντη τὴν αἰσθητικὴν, ἧς τὸ μέν τι μετὰ προσχρήσεως ὀργάνων, τὸ δὲ ἄνευ προσχρήσεως· τὴν μὲν μετὰ τῶν ὀργάνων αἰσθητικὴν καλουμένην, τὴν δὲ ἄνευ τύπου φανταστικὴν, τὸ δέ τι οὐχ ἧττον τῆς αὐτῆς γένους ὑποβεβηκὸς δὲ τὸ διεξοδικὸν τὸ ἀθροιστικὸν δοξαστικὸν καλούμενον ἐπιστάσεως οὔσης· πρότερον τῆς διανοίας εἶδος, τὸ τοιοῦτο ἢ τὸ ἄλλο τὸ ὑπερβεβηκὸς μὲν, τὸ αἰσθητικὸν, καὶ φανταστικὸν, ὑποβεβηκὸς δὲ τὸ νοητικόν.

Νυμή-

ὁ μετά.

Νουμήνιος δὲ τὴν συγκαταθετικὴν δύναμιν παραδεκτικὴν ἐνεργειῶν φήσας εἶναι, σύμπτωμα αὐτῆς φησιν εἶναι τὸ φανταστικόν, οὐ μὴν ἔργον τι καὶ ἀποτέλεσμα· ἀλλὰ παρακολούθημα. τῶν ἀπὸ τῆς στοᾶς τὴν αἴσθησιν, οὐκ ἐν τῇ φαντασίᾳ ἱστάντων μόνον, ἀλλὰ τὴν οὐσίαν ἀναρτώντων ἀπὸ τῆς συγκαταθέσεως καθ' ὁρμὴν οὔσης. λογγῖνος δὲ μηδὲ εἶναι ὅλως συγκαταθετικὴν δύναμιν ὑπονοεῖ. κατὰ μέντοι τοὺς πρεσβυτέρους καὶ τοὺς ἀπὸ τῆς ἀκαδημίας, ἡ αἴσθησις αἰσθητηρίου φαντασίας ψιλὴ τίθεται, καὶ διὰ τοῦτο οὐδὲ κατ' ἀρχὰς μέτοχος δόγματος, ὅτι μηδὲ συγκαταθέσεως. συγκατακειμένη φαντασία δι' αἰσθητηρίου ἡ αἴσθησις, οὐ πάντως καὶ ἀρετῆς μέτοχος ἡ αἴσθησις ἔσται, εἰ μὴ συγκατάθεσις εἴη τῶν ἐφ' ἡμῖν. διαφωνῶνται δὲ οὐ τὰ περὶ τούτων μόνον τοῖς παλαιοῖς, ἀλλὰ καὶ ἐξ ἀρχῆς τὰ περὶ τῶν μερῶν τῆς ψυχῆς καὶ ὅλως τί τὸ μέρος, καὶ τίς ἡ δύναμις, καὶ τίνι ταῦτα διεστήκασιν. αὐτίκα οἱ μὲν ἀπὸ τῆς στοᾶς ὀκταμερῆ τὴν ψυχὴν θέντες, καὶ πέντε μὲν μέρη τὰ αἰσθητικὰ λαβόντες, ἕκτον δὲ τὸ φωνητικόν, καὶ ἕβδομον τὸ σπερματικόν, καὶ λοιπὸν τὸ ἡγεμονικόν, ὡς ἂν ἄρχοντος χώραν ἔχειν ὑποτίθενται, τὰ δὲ ἄλλα μέρη ἐν ὑπηρέτου τάξει ἀποδιδόασιν, ὥστε τὸ αὐτὸ ἐξ ἄρχοντος καὶ ἀρχομένων συνεστάναι.

Παρὰ δὲ πλάτωνι καὶ ἀριστοτέλει ἐν τοῖς ἠθικοῖς, τριμερὴς ἡ ψυχὴ λέγεται εἶναι, καὶ κατέστηκε τοῦτο παρὰ τοῖς πολλοῖς ἀγνοοῦσιν, ὡς ἡ διαίρεσις τῆς συστάσεως ἕνεκα τῶν ἀρετῶν παρείληπται· οὐ γὰρ ἁπλῶς εἰς σύλληψιν πάντων τῶν μερῶν· τὸ γὰρ φανταστικὸν καὶ αἰσθητικὸν καὶ τὸ νοερὸν καὶ φυσικόν, οὐ δή που ἐν τῇ διαιρέσει ταύτῃ περιληφθήσεται. ἄλλοι δέ, ὧν καὶ νουμήνιος, οὐ τρία μέρη ψυχῆς μιᾶς, ἢ δύο γε, τὸ λογικόν, καὶ ἄλογον, ἀλλὰ δύο ψυχὰς ἔχειν ἡμᾶς οἴονται, ὥσπερ καὶ ἄλλοι τὴν μὲν λογικήν, τὴν δὲ ἄλογον· ὧν πάλιν οἱ μὲν ἀμφοῦ ἀθανάτους, οἱ δὲ τὴν λογικὴν ἀθάνατον, τὴν δὲ ἄλογον οὐ κατὰ τὰς ἐνεργείας μόνον ἀφίστασθαι τῆς ποιᾶς κινήσεως, ἀλλὰ καὶ κατ' οὐσίαν διαλύεσθαι. τοῖς δὲ ἐδόκει δύο ψυχῶν εἰς ταυτὸ συμπλακεισῶν ἀλλήλαις διπλασίας εἶναι τὰς κινήσεις ὁμοιουμένων ἀλλήλαις ἐν τῷ ἀπολαύειν ἑκατέραν τῶν τῆς ἑτέρας παθημάτων κατὰ τὴν ἕνωσιν· ῥητέον δὲ ὡς δύναμις μέρους διήνεγκεν, ὅτι τὸ μὲν μέρος ἐκβέβηκε κατὰ γένος τὴν χαρακτῆρα τοῦ ἄλλου μέρους, αἱ δὲ δυνάμεις περὶ τὸ αὐτὸ στρέφονται γένος. διὸ τὰ μὲν μέρη παρῃτεῖτο ἀριστοτέλης ἐπὶ τῆς ψυχῆς τὰς δυνάμεις οὐκ ἔτι· τὸ γὰρ ἑτερομερὲς εὐθὺς ὑποκειμένου παραλλαγὴν εἰσάγει, τὸ δὲ ἑτεροδύναμον καὶ περὶ ἓν ὑποκείμενον ἐνίστασθαι. λογγῖνος δὲ οὐδὲ τὸ ζῷον πολυμερὲς εἶναι, ἀλλ' ἀμερὲς πολυδύναμον δὲ τὸ τοῦ πλάτωνος ἐν τοῖς σώμασι πολυμερῆ, φάσκοντος τὴν ψυχὴν γίγνεσθαι καθ' ἑαυτὴν οὖσαν ἀμερῆ· οὐδὲ ὁ πολυμερής, οὐ διὰ τοῦτο καὶ μονοδύναμος. ἐνδέχεσθαι γὰρ ἣν ἀμερές, δυνάμεις πλείους ἔχειν. διακριτέον οὖν τάχα ἐκ τοῦ πολλοῦ παρέχου θέντα σαφῶν γνώσεως μερικῆς διαφορᾶς, καὶ ἀδιαφορίας, καὶ πάλιν δυνάμεως πρὸς μέρη καὶ πρὸς ἀλλήλας ἑκατέρων οὐσιῶν εἰ καὶ πλείους ἐν ἑνὶ εἶεν· ὡς ἐκ τούτου γὰρ γνώριμον ἔσται, εἰ καὶ ἡ ψυχὴ ἐν ζῴῳ οὖσα πολυμερής, ἢ μόνον πολυδύναμος, καὶ πότερον συγχωρητέον τοῖς μίαν μὲν ψυχὴν εἰς τὸν ἄνθρωπον κατακλείουσι, πολυμερῆ δὲ ταύτην ἢ καθ' αὑτήν, ἢ καὶ ἐν τῷ λύειν γί-

Numenius autem assentiendi facultatem capacem esse functionum dicens, eius euentum ait esse imaginationem, haud opus, aut effectum, cùm Stoici sensum non in imaginatione tantùm ponant, verùm naturam etiam ab assensu cum appetitione coniuncto deducant. Longinus verò assentiendi facultatem planè tollit. At veteres Academici sensum nudum ponũt, ideoq́; proprietatis expertem, quoniam assensu quoq. careat. Quòd si tollatur à nobis assensus, ne virtus quidem in sensum cadet. Neq. verò de his tantùm veteres dissentiunt, sed etiam de ipsis animæ partibus, deq́; partium & facultatũ differentia. Etenim Stoici octo ponentes animæ partes, quinque sensus, & loquendi ac generandi vim, ac deniq. principatũ, reliquas pro ministris ducebant: sic vt idem ex imperantibus & parentibus constaret.

Plato autem & Aristoteles Ethicis tres faciunt animæ partes, idq́; sequuntur pleriq. ignorantes, hanc diuisionem non tam ad partes omnes complectendas, quàm ad virtutes constituendas esse factam. neque enim imaginatio & sensus,[a] neque mens & natura sub hanc diuisionem cadent. Alij verò, vt Numenius, neque tres partes vnius animæ, neque duas, rationis compotem & expertem, sed animas duas nos habere censent, alteram rationis compotem, expertem alteram: quarum alij rursum vtramque immortalem statuebant, alij rationis compotem immortalem, altera non tantùm per functiones motum desinente, verùm etiam per naturã intereunte. Aliis videbatur duarum animarum coniunctarum duplices esse motus, inter se similium, dum altera alterius affectiones sentiret, redditarum. Iam facultas hac à parte differt, quòd pars vna alteram forma secundum genus antecellit, facultates circa idem versantur genus. Quapropter Aristoteles partes quidem adimebat animæ, facultates autẽ tribuebat. Vt enim partium varietas confestim subiecti mutationem adfert, ita facultatum varietas etiam in vno subiecto cernitur. At Longinus ne animali quidem plures partes dabat, sed facultates, Platonẽ secutus, qui in corporibus animam sibi multas partes dixerat asciscere, quibus per se careret.[b] Quod si partibus multis caret, nõ ideo facultatibus quoque. siquidem potest, quod partibus caret, vires plures habere. Quocirca discrimen ponendum est [c] termino statuto partium differentiæ ac similitudinũ, & facultatũ ad partes, etiam si plures extiterint. Hinc enim manifestum fiet, vtrùm animantis anima partes habeat multas, an facultates tantùm: vtrumque iis assentiendum sit, qui vnam quidem homini tribuunt animam, verùm partibus multis vel per se, vel in ipso præditam; an multa coeant animæ,

a ἢ pro καὶ.

b ἢ δὲ pro οὐδὲ.

c θέντας quo pro θέντα [illegible]

similisq́; sit homo concordi choro, itaq́; secundum partium totum explentium concordiam sit vnus, multitudinis natura ad vnum relata. Itaq. facultas, pars, & apparatus in anima, sic differunt. Pars quidē est, quæ subiecto, forma, & functionibus ab alia parte differt: apparatus autē, ad suā functionem propria partium aptitudo: facultas verò, apparatus habitus, secundum quem singula suo possunt fungi munere. Nonnulli tamen apparatum & facultatem pro eodē habuerunt. Iam à parte facultas hoc differt, quòd facultates in eodē subiecto multæ cernuntur, neque diuersis naturæ quantitatibus [d] finiuntur: partes autē certā naturæ quantitatem sibi desumūt, & quasi vindicāt. Sic pomi facultates omnes in vno cernūtur, partes aliæ alibi existunt. Nam vt partis notio quantitatem contingit, velut [e] pleniorem ad apparatum totius postulantis, ita facultatis intellectum totius desumit. Quapropter facultates quidē partibus carent, ac per totum penetrant, partes autē separantur per totius quantitates; itaq́; & partibus anima caret, et rursum tres partes habet. Etenim qui partes animæ & quantitatē audiunt, meritò dubitant, quomodo illa & partibus careat, & tres partes habeat. itaq́; hoc soluunt, vt per se quidem illam dicant partibus carere, quatenus autem corpori partibus constanti indita, varias eius partes ob varias functiones occupet, tres partes habere. neq. enim eadem caput occupat, & pectus, ac iecur. Quocirca functiones variæ variis corporis partibus peragenda hanc illi diuisionem conciliarunt. Nicolaus autem nolebat animæ partes à quantitate potius, quàm à qualitate, vt in arte & philosophia, sumi. Nam in quantitate quidem totum partibus expletur, fitq́; per comparationem maius aut minus, addita vel demta parte aliqua: verùm animæ partes ita non sumuntur, neq. his eius quantitas expletur, quandoquidem nec magnitudo est, nec multitudinem habet, sed eius, vt artis, partes sunt; quanquam hoc etiam est discriminis, quòd ars quidem, si pars aliqua [f] desit, perfecta non sit, anima autem omnis perfecta sit, & animal omne naturali fine destitutum, imperfectum. Quocirca Nicolaus partes vt facultates accipit. Animal enim, & quicquid animatum est, per animam vires multas habet, vt viuendi, sentiendi, mouendi, intelligendi, appetendi; quorum omnium causa & principium sit anima. Has ergo facultates, quibus animal hæc agere dicitur & pati, partes animæ, vt dictum est, faciunt. Neque quicquam vetat, ipsa partibus carente, functiones eius diuisionem recipere. Quare diuidi potest animal, si sub eo corpus quoque comprehendatur; à quo vitales functiones diuisionis partium [g] capaces animæ quoque partes conciliarunt. Fieri etiam potest, vt, cùm dupliciter anima sumatur, ac vitam aliam per se, aliam per

[d] περιγέγραπται pro περιγεγραμμέναι.
[e] ὀλιγωτέραν pro [illegible].
[f] ἀπῇ pro ἀπό.
[g] [illegible] pro ἐχόμεναι.

γίνεται ἡ πλειόνων ψυχῶν ἡ συνῳδία, καὶ ἔοικεν ὁ ἄνθρωπος μάλιστα χορῷ συνᾴδοντι, καὶ κατὰ τὸ ἔχειν τὸ ἓν κατὰ τὴν τῶν συμπληρούντων τὸ ὅλον συμφωνίαν, ἡ ἑνὸς τὴν κατ' οὐσίαν τὸ διάφορον πλῆθος. ῥητέον οὖν ὡς δύναμις, καὶ μέρος, καὶ κατασκευὴ ἐπὶ τῆς ψυχῆς ταύτης διενήνοχε· μέρος μὲν γάρ ἐστι ὃ καὶ τῷ ὑποκειμένῳ, καὶ τῷ εἴδει, καὶ ταῖς ἐνεργείαις ἄλλου μέρους διαφέρει, κατασκευὴ δὲ ἡ πρὸς ὃ πέφυκε τῶν μερῶν οἰκεία ἐπιτηδειότης· δύναμις δὲ τῆς κατασκευῆς ἕξις, ἀφ' ἧς ἐνεργεῖν δύναται, καθ' ὃ κατεσκευάσθη ἕκαστον. ἔνιοι δὲ τὴν αὐτὴν ἔφασαν εἶναι κατασκευήν τε καὶ δύναμιν· διαφέρει δὲ μέρους δύναμις ἐπεὶ τῆς αὐτῆς καὶ ἑνὸς ὑποκειμένου αἱ πλείους θεωροῦνται, οὐκ ἐν ἄλλῳ καὶ ἐν ἄλλῳ περιγεγραμμέναι τῷ ποσῷ τῆς ὑποκειμένης οὐσίας. τὰ δὲ μέρη ἀπολαμβάνει ἑαυτοῖς ποσόν τι τῆς οὐσίας καὶ περιγράφει ἀλλ' οἷον τι μόριον αὐτῆς, αὐτίκα τοῦ μήλου αἱ μὲν δυνάμεις πᾶσαι ἐν ἑνί, τὰ δὲ μέρη ἄλλα ἀλλαχοῦ κεχώρισται· ἐφάπτεται γὰρ ἡ μὲν τοῦ μέρους ἔννοια ποσοῦ, ὡς πρὸς τὴν τοῦ ὅλου κατασκευὴν ὀλιγωτέραν ποσότητα ἀπολαμβάνοντος· ἡ δὲ τῆς δυνάμεως τοῦ ὅλου τὴν ἐπίνοιαν ἀπείληφεν· διόπερ ἀμερεῖς μὲν αἱ δυνάμεις, καὶ δι' ὅλου κεχωρήκασι, τὰ δὲ μέρη κεχώρισται μερισμὸν ἔχοντα ἀντὶ τοῦ ὅλου ποσότητα. πῶς οὖν ἀμερὴς ἡ ψυχή, καὶ πάλιν τριμερής. οἱ μὲν οὖν τὰ μέρη τῆς ψυχῆς καὶ τὸ ποσὸν ἀκούσαντες, εἰκότως ἀποροῦσι, πῶς γὰρ καὶ ἀμερὴς καὶ τριμερής· καὶ λύουσι φάσκοντες, κατὰ μὲν ἴδιον λόγον, καὶ καθ' ἑαυτὴν εἶναι ἀμερῆ, τριμερῆ δὲ καθ' ὅσον ἐν σώματι γενομένη μεριστῷ ὄντι, ἄλλο καὶ ἄλλο μέρος ἐπέχει τοῦ σώματος, εἰς τὰς διαφόρους αὐτῆς ἐνεργείας· οὐ γὰρ δὴ αὐτὴ κεφαλὴν ἔχει καὶ θώρακα, καὶ τοῦτο τὸ ἧπαρ· διὰ τούτων διαφόρως ἐνεργεῖ, διαμεριστῶν καὶ μερῶν γενομένων διαφόρων τοῦ σώματος ἀπ' ἐκείνων αὐτῇ τὸν τῶν μερῶν μερισμὸν ἐπανέθεντο. νικόλαος δὲ οὐκ ἠξίου τὰ μέρη τῆς ψυχῆς κατὰ τὸ ποσὸν λαμβάνειν, ἀλλὰ μᾶλλον κατὰ τὸ ποιόν, ὥσπερ καὶ τέχνης, καὶ φιλοσοφίας· ἐπὶ μὲν γὰρ τοῦ ποσοῦ τὸ ὅλον ἐκ τῶν μερῶν συμπληροῦται, καὶ γίγνεται ὡς κατὰ τὴν πρὸς ἕτερον ἀντεξέτασιν, πλεῖον ἢ ἔλαττον, ἢ μικρότερον, ἢ μεῖζον, προστιθεμένου μέρους, ἢ ἀφαιρουμένου· ψυχῆς δὲ οὕτως λέγομεν εἶναι μέρη· οὐ γὰρ δὴ τὸ ποσὸν αὐτῆς ὑπὸ τούτων συμπληροῦται, οὔτε γὰρ μέγεθός ἐστιν οὔτε τι ἔχει πλῆθος, ἀλλ' ὡς τέχνης μέρη, διαφέρει δὲ καὶ τούτων, τέχνης μὲν γὰρ ἀπό τι μέρος, οὐκ ἂν εἴη ὁλόκληρος, οὐδὲ τελεία, ψυχὴ δὲ πᾶσα τελεία ἐστί καὶ τὸ πᾶν ζῷον οὐ κομισάμενον τὸ κατὰ φύσιν τέλος, ἀτελές ἐστι. ἀκούει τοίνυν νικόλαος τὰ μέρη τῆς ψυχῆς, ὡς δυνάμεις τοῦ ἔχοντος· τὸ γὰρ ζῷον καὶ ὅλως τὸ ἔμψυχον τῷ ψυχὴν ἔχειν, πολλὰ δύναται, οἷον ζῆν, αἰσθάνεσθαι, κινεῖσθαι, νοεῖν, ὀρέγεσθαι, ὧν πάντων αἰτία καὶ ἀρχὴ ἡ ψυχή. ταύτας οὖν τὰς δυνάμεις, ἀφ' ὧν λέγεται τὸ ἔμψυχον ταῦτα δρᾶν καὶ πάσχειν, μέρη τῆς ψυχῆς τίθεται ὡς εἴρηται· οὐδὲν κωλύει αὐτῆς ἀμεροῦς οὔσης μεριστὰς δέχεσθαι τὰς ἀπ' αὐτῆς τῶν ἐνεργειῶν ἐνδόσεις. μεριστὸν οὖν τὸ ζῷον εἰς τὴν ἐπίνοιαν αὐτοῦ, καὶ τοῦ σώματος παραλαμβανομένου, ἀφ' οὗ καὶ ζωτικαὶ ἐνέργειαι κατὰ ψυχῆς ἔνδοσιν ἐχόμεναι, τῆς εἰς μέρη τῶν διαφόρων ἐνεργειῶν κατὰ τάξιν καὶ τῇ ψυχῇ τὰ μέρη ἔχειν προσεταιρίζονται. καὶ μήποτε διττῶς ἐπινοουμένης τῆς ψυχῆς καὶ ἐχούσης τὴν ζωήν, τήν τε καθ' αὑτὴν

καὶ

καὶ τὴν κατὰ χύσιν, ἐν τῇ κατὰ χύσιν ζωῇ ὑφίσταται τὰ μέρη. ὡς γὰρ πυροῦ σπαρέντος ἐν τῇ περὶ τὴν φύσιν χύσιν ὑφίσταται τὰ μέρη τοῦ στάχυος ὅλου οὐκ ὄντος μεριστοῦ, ἐν δὲ μερισμῷ θεωρούμενα ἀφ᾽ οὗ πάλιν ἐπανέρχεται εἰς τὸ ἀμέριστον, οὕτω καὶ ψυχῇ ἀμερίστῳ οὔσῃ ἐν τῇ σπορᾷ παρυφίσταται τὰ μέρη.

Συμβαλλόμενον ἑξῆς ἐστιν ἐπισκέψασθαι πρὸς τὸ γνῶναι τίνες διὰ τὴν ψυχὴν ζῷα προσβιβάζουσιν, ὡς δι᾽ αὐτὴν κατ᾽ αὐτήν, καὶ τίνες διὰ τὸ ζῶον· οὕτως γὰρ καὶ αἱ ὑποστάσεις πρόδηλοι, καὶ τίνες αἱ ἀνάγκαι εἰς τὴν καθ᾽ αὐτὴν ἐπάνοδον ἔσονται τῶν ἐν μέρεσι τοῦ σώματος μέρη ψυχῆς κατακλειόντων.

Φύσις ἀνθρώπω κανών μοι δοκεῖ νόμω τε καὶ δίκας ἦμεν, καὶ οἴκω τε καὶ πόλιος· ἴχνια γὰρ ἐν αὐτᾷ στιβαζόμενος εὕροιτο καί τις καὶ ματευόμενος· νόμος γὰρ ἐν αὐτᾷ, καὶ δίκα, ἃ τᾶς ψυχᾶς ἐστὶ διακόσμασις. τριχθαδία γὰρ ὑπάρχουσα ἐπὶ τριχθαδίοις ἔργοις συνέστακε· γνώμαν καὶ φρόνασιν ἐργαζομέναν, καὶ ἀρκὰν καὶ ἀλκάν, καὶ δύναμιν, καὶ ἔρωτα, καὶ φιλοφροσύναν, ἃ ἐπιθυμία καὶ οὕτω συντέτακται ταῦτα ποτ᾽ ἄλλα πάντα, ὥστε αὐτᾶς τὸ μὲν κράτιστον ἀγέεσθαι, τὸ δὲ χεῖρον ἄρχεσθαι, τὸ δὲ μέσον μέσαν ἐπέχειν τάξιν, καὶ ἄρχειν καὶ ἄρχεσθαι. ταῦτα δ᾽ οὕτως ἐκόσμησε κατὰ λόγον ὁ θεὸς ἔν τε ἐκτυπώσει καὶ ἐξεργασίᾳ τῶν ἀνθρωπίνων σκάνεος· ὅτι μόνον ἄνθρωπον ἐνενοήσατο, νόμω τε καὶ δίκας ἐπιδεκτικὸν γενέσθαι, καὶ οὐδὲν ἄλλο τῶν θνατῶν ζώων. οὔτ᾽ ἐξ ἑνὸς σύστημα κοινωνίας γένοιτο κα, οὔτε μὰν ἐκ πλεόνων, ὁμοίων δὲ τούτων· ἀνάγκα γὰρ ἐπεὶ τὰ πράγματα διαφέροντα ἐντί, καὶ τὰς ἐν ἁμῖν μοίρας τᾶς ψυχᾶς διαφόρως ἦμεν, ὥσπερ καὶ ἐπὶ τῶ σώματος ὁράσιος, καὶ ἀκοᾶς, καὶ γεύσιος, καὶ ὀσφράσιος· οὐ γὰρ πάντα ποτὶ πάντα τὰν αὐτὰν ἔχει συναρμογάν· οὐδὲ μὰν ἐκ πλειόνων μὲν, καὶ ἀνομοίων τῶν τυχόντων μάντοι γα, ἀλλὰ τῶν ποττὰν τῶ ὅλω συστάματος ἐκπλήρωσιν, καὶ σύνταξιν, καὶ συναρμογὰν τυχόντων, οὐ μόνον δὲ ἐκ πλεόνων καὶ ἀνομοίων καὶ τῶν εἰς τὸ ὅλον καὶ τέλειον τυχόντων, ἀλλὰ καὶ οὐκ ἀπὸ τούτων εἰκαίων καὶ ὡς ἔτυχε συνταχθέντων, ἀλλὰ μετά τινος νόμω, καὶ ἔμφρονος ἐπιστασίας· αἴ τε γὰρ τὰν ἴσαν ἐφέροιτο μοῖραν καὶ δύναμιος καὶ τιμᾶς ἀνόμοια ἐόντα, καὶ τὰ μὲν χείρονα, τὰ δὲ κάρρονα, τὰ δὲ μέσα· οὐκ ἂν δυνατὸν ἃ κατὰ ψυχὴν τῶν μερίων κοινωνία, ἀνομαθεῖσα μὲν αἴ τε τὰν ἴσαν μὴ τὰν κάρρονα, τὰ δὲ μείζονα μοῖραν ἐφέροιτο, ἀλλὰ τὰν χείρονα πολλὰ ἀφροσύνα καὶ ἀταξία, περὶ τὰν ψυχὰν ὑπάρχοι, οὔτε τὰ κάρρονα μὲν τὰ μείζονα, τὰ χείρονα δὲ τὰ μείονα. μὴ ποτὶ λόγον δὲ ἕκαστον τούτων, οὐκ ἂν δυνατὸς ὁμόνοια καὶ φιλία καὶ δικαιότας ἦμεν περὶ τὰ ψυχάν· ἐπεὶ ἂν ἕκαστον ἐν ποτὶ λόγον συντέτακται τῷ ἁρμόζοντα τὸ τοιοῦτον φαμὶ ἦμεν δικαιοσύναν ἦμεν, καὶ μὰν ὁμόνοιά τις καὶ ὁμοφροσύνα ἀκολουθεῖ τὰ τοιαῦτα διατάξει· τὸ δὲ τοιοῦτον δικαίως κα λέγοιτο εὐνομία ἦμεν τᾶς ψυχᾶς, ἅ τις ἐκ τῶ ἄρχεν μὲν τὸ κάρρον ἄρχεσθαι δὲ τὸ χερεῖον κράτος ἐπιφέροιτο τᾶς ἀρετᾶς· καὶ φιλία δὲ καὶ ἔρως καὶ φιλοφροσύνας σύμφυλος καὶ συγγενὴς ἐκ τούτων ἐξεβλάστασε τῶν μερίων, συμπείθει μὲν γὰρ ὁ νόμος ὁρώμενος· ἄρατο δὲ ἁ ἐπιθυμία, ἃ δὲ θύμωσις, ἐμπιπλαμένα μένος, ἔχθρα ζῶσα φίλα γίνεται τᾷ ἐπιθυμίᾳ· ἁρμόσας γὰρ ὁ νόος τὸ ἁδὺ τῷ

affectionem habeat, in hac partes eius cernuntur. Sicut enim tritico sato, in affectione eius ad ortũ partes cernuntur, cùm spica tota diuidi nequeat, inq; diuiduo posita rursus ad indiuiduum cõuertuntur; sic etiam animæ indiuiduæ partes in satione cernuntur.

ᵃconsiderandũ sequitur, vt intelligamus, quiq; propter animam, tanquam propter ipsam, animalia ponant, & qui propter animal. Sic enim etiam substantiæ manifestæ fient, quæq; necessitate, qui corporis partibus animæ partes includũt, ad eam redeant.

Aresæ Pythag. de hominis nat.

Hominis natura mihi norma videtur legis pariter ac iuris, ac domus pariter & ciuitatis. Nam in eo vestigia, qui quærat, inueniet. siquidẽ lex in ipso iusq; cernitur, qui ornatus est animæ. Triplex enim cùm sit, triplicibus incumbit operibus, prudentiam, fortitudinem, & amorem ac beneuolentiam efficiens. Atque hæc ita se ad reliqua habẽt omnia, vt eius potior quidem pars imperet, deterior autem pareat, media verò partim imperet, partim pareat. quæ sic secundum rationẽ Deus in hominis opificio disposuit, quòd hominem solum inter omnia mortalia voluit animalia legis ac iuris capacem fieri. Iam neque ex vno constare possit communio, neque ex pluribus similibus (vt enim varia sunt res, ita partes quoq; animæ varias oportet esse, vt aspectus, auditus, gustus, olfactus, quandoquidem haud omnibus omnia conueniunt) neque ex pluribus dissimilibus, & quibusuis, verùm qui ad compagem totius apti sint, & insuper non temere ac fortuitò, sed lege quadam ac prudentia concinnati. Etenim siue parem sortirentur potestatem atque honorem inter se dissimilia, & partim deteriora, partim potiora, partim medij generis; non posset animæ partium proba cõstitui communio: siue imparem, ac maiorem partem deteriora, non potiora consequerentur; magna in anima existeret confusio: siue potiora quidem maiorem, deteriora verò minorem, verùm citra singulorum rationem; haud posset in anima concordia, amicitia ac iustitia gigni. Quare cùm singula secũdum rationem suam disposita sunt, hoc equidem iustitiam nuncupo. Cùm porrò hæc dispositio etiam concordiam quandam requirat, ea rectè proba animæ constitutio dicetur, quæ tum potioris imperio, tum deterioris obsequio virtutem perficiat. Quinetiã amicitia & amor ac mutua beneuolentia de his partibus existit. ʰMens enim considerans persuadet, cupiditas paret, ira spiritus plena cupiditati reconciliatur. Componit enim mens iucundam cum tristi, &

graucm

grauem cum lenis animæ parte: ac singulorum singula propriam curam sortita sunt, mente quidem res considerante, excandescentia autem appetitũ ac vires adferente, cupiditate verò dulcedinem suam menti adaptante, ac prudẽtiam toti animæ conciliante. Quapropter etiam ea mihi videtur hominis vita præstantissima, quæ iucundum honesta, & voluptatem virtuti miscuerit; id quod mentis est disciplina ac virtute instructæ.

Plat. Tim.

Sed animam haud ita, vt modò locuti sumus, tum denique cùm corpus ei effecisset, inchoauit. Neque enim esset rectum, minori parere maiorẽ. Sed nos multa inconsideratè ac temere dicimus. Deus autem & artu et virtute antiquiorem genuit animum, cumq; vt dominum atq. imperantem obedienti præfecit corpori; idq. molitus tali quodam est modo. Ex materia quæ indiuidua est, & quæ semper vnius modi suiq; similis, & ex ea quæ corporibus diuidua gignitur, tertium materiæ genus ex duobus in medium admiscuit.

Plat. de Rep. 10.

Cùm à nullo prorsus malo siue proprio siue alieno interimatur, patet eam semper esse, necessariũ esse, si semper esse, & immortalem existere. Necesse. Hoc igitur ita se habeat. Ac si ita se habet, animaduertas easdem semper animas fore, &c. Consentaneum est. Animam igitur immortalem esse, & ratio præsens & aliæ præterea conuincere possunt.

Plat. de Repub. 4.

Id autem difficile iam, vtrùm vno quodam eodem singula hæc agamus, an potius tria quædam habeamus in nobis, quorum singulis singula operamur: vno quidem discimus, irascimur alio, tertio concupiscimus voluptates eas quæ ad nutritionẽ generationemq; pertinẽt, cæteraq; huiusmodi, &c. cupiditate denique superatus, ad cadauera directis & patefactis oculis aduẽtauit, dicens: Ecce iam vobis licet, ô infelices, desideriũ vestrum pulcro explere spectaculo. Audiui & ipse. Itaq. sermo testatur, iram sæpe pugnare aduersus concupiscentiam, tanquã hæc inter se diuersa sint. Id certè significat, &c. Nunquid & irascendi vis est à ratione diuersa, vel quædam species rationis, adeò vt non tres in animo, sed duæ species sint, rationale & concupiscens? An potius, quemadmodum in ciuitate apparuerunt tria quædam genera, quæ ipsam continẽt, quæstuarium, auxiliariũ, consultatiuum, ita et in anima tertia quædam vis est iracundiæ, quæ natura ipsa rationis tutatur partes, nisi ex improba educatione fuerit deprauata.

Necesse est vt tertia sit. Nempe etiam si alia quàm ratio apparuerit, quemadmodũ suprà visa est, à concupiscentia differens. At verò facile id quidem patere potest. Nam in puerulis quiuis illud intelligat, qui statim nati iracundia pleni sunt. Rationis autem aliqui nunquam, multi serò compotes fieri mihi videntur. Per Iouem præclarè loqueris. Præterea in bestiis ita esse quisque vt ipse dicis, comperiet. Testatur & illud Homeri illud quod suprà induximus,

λυπηρῶν συγκατακεραννύμενος, καὶ τὸ σύντονον καὶ σφοδρὸν τοῦ κύφου μέρει ταῖς ψυχαῖς, καὶ διαγυμνάζει ἕκαστον τι ἑκάστου πράγματος, τὰν σύμφυλον καὶ συγγένεια πραγμάτων διανέμεισαι· ὁ μὲν νόος ὁρασκέμενος καὶ ἐξετάζόμενος τὰ πράγματα, ἃ δὲ θύμωσις ὁρμὰν ἢ ἀλκὰν ποτιφερομένα τοῖς ὀργιζαθεῖσιν· ἁ δὲ ἐπιθυμία φιλοστοργία συγγενὴς ἰᾶσα ἐφαρμόζει τῷ νόῳ ἴδιον ποιεῦμένα τὸ ἁδὺ καὶ τὸ σπουδαῖον, ἀποδιδοῖσα τῷ συνόλῳ μέρει τῆς ψυχῆς· ὧν περ ἕνεκα δοκεῖ μοι καὶ ὁ βίος ὁ κατ' ἀνθρώπων ἄριστος ἦμεν, ὅκκα τὸ ἁδὺ τῷ σπουδαίῳ συγκατακερασθῆ, καὶ ἁ δονὰ τῷ ἀρετᾷ, ποθαρμόζασθαι δ' αὐτὰ ὁ νόος δύναται παιδεύσιος καὶ ἀρετᾶς ἐπήρατος γενόμενος.

Τὴν δὲ ψυχὴν οὐχ ὡς νῦν ὑστέραν ἐπιχειροῦμεν λέγειν, οὕτως ἐμηχανήσατο καὶ ὁ θεὸς νεωτέραν· οὐ γὰρ ἂν ἄρχεσθαι ὁ θεὸς πρεσβύτερον ἀπὸ νεωτέρου συνέρξας εἴασεν· ἀλλά πῃ ἡμεῖς πολὺ μετέχοντες τοῦ προστυχόντος τε καὶ εἰκῇ ταύτῃ πῃ καὶ λέγομεν· ὁ δὲ καὶ γενέσει καὶ ἀρετῇ προτέραν καὶ πρεσβυτέραν ψυχὴν, σώματι ὡς δεσπότιν καὶ ἄρξουσαν ἀρξομένου συνεστήσατο, ἐκ τῶνδέ τε καὶ τοιῷδε τρόπῳ τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας, καὶ τῆς αὖ περὶ τὰ σώματα γιγνομένης μεριστῆς, τρίτον ἐξ ἀμφοῖν ἐν μέσῳ συνεκεράσατο οὐσίας εἶδος. τούτῳ δὲ ἐν ᾧ τῶν ὄντων ἐγγένοιτο ἄν ποτέ τις αὐτὸ ἄλλο πλὴν ψυχὴν εἴπῃ πᾶν μᾶλλον ἢ τ' ἀληθὲς ἐρεῖ.

Οὐκ οὖν ὁπότε μηδ' ὑφ' ἑνὸς ἀπόλλυται κακοῦ, μήτε οἰκείου, μήτε ἀλλοτρίου, δῆλον ὅτι ἀνάγκη αὐτὸ ἀεὶ ὂν εἶναι· εἰ δ' ἀεὶ ὂν ἀθάνατον, ἀνάγκη ἔφη. τοῦτο μὲν τοίνυν, ἦν δ' ἐγώ, οὕτως ἐχέτω· εἰ δ' ἔχει, ἐννοεῖς ὅτι ἀεὶ ἂν εἶεν αἱ αὐταί· ἀκολουθεῖ, εἰκός γε. ὅτι μὲν τοίνυν ἀθάνατον ψυχὴ, καὶ ἄρτι λόγος, καὶ οἱ ἄλλοι ἀναγκάσειαν ἄν.

Τὸ δὲ ἤδη χαλεπὸν, εἰ τῷ αὐτῷ τούτῳ ἕκαστα πράττομεν, ἢ τρισὶν οὖσιν ἄλλο ἄλλῳ, μανθάνομεν μὲν ἑτέρῳ, θυμούμεθα δὲ ἄλλῳ τῶν ἐν ἡμῖν, ἐπιθυμοῦμεν δ' αὖ τρίτῳ τινὶ τῶν περὶ τὴν τροφήν τε καὶ γέννησιν ἡδονῶν, καὶ ὅσα τούτων ἀδελφά. κρατούμενος δ' οὖν ὑπὸ τῆς ἐπιθυμίας διελκύσας τοὺς ὀφθαλμοὺς προσδραμὼν πρὸς τοὺς νεκροὺς, ἰδοὺ ὑμῖν, ἔφη, ὦ κακοδαίμονες ἐμπλήσθητε τοῦ καλοῦ θεάματος. ἤκουσα, ἔφη, καὶ αὐτός. οὗτος μέν τοι ἔφην ὁ λόγος σημαίνει τὴν ὀργὴν πολεμεῖν ἐνίοτε ταῖς ἐπιθυμίαις ὡς ἄλλο ὂν ἄλλῳ· σημαίνει γάρ, ἔφη.

Ἆρα οὖν ἕτερον ὂν καὶ τοῦτο, ἢ λογιστικοῦ τι εἶδος, ὥστε μὴ τρία, ἀλλὰ δύο εἴδη εἶναι ἐν τῇ ψυχῇ, λογιστικὸν, καὶ ἐπιθυμητικόν· ἢ καθάπερ ἐν τῇ πόλει ξυνεῖχεν αὐτὴν τρία ὄντα γένη, χρηματιστικὸν, ἐπικουρητικὸν, βουλευτικὸν, οὕτω καὶ ἐν ψυχῇ τρίτον τοῦτό ἐστι τὸ θυμοειδὲς ἐπίκουρον ὂν τῷ λογικῷ φύσει, ἐὰν μὴ ὑπὸ κακῆς τροφῆς διαφθαρῇ. ἀνάγκη, ἔφη, τρίτον· ναὶ ἦν δ' ἐγώ, ἂν δὲ τοῦ λογικοῦ ἄλλό τι φανῇ, ὥσπερ τοῦ ἐπιθυμητικοῦ ἐφάνη ἕτερον ὄν· ἀλλ' οὐ χαλεπὸν, ἔφη, φανῆναι· καὶ γὰρ ἐν τοῖς παιδίοις τοῦτό γ' ἄν τις ἴδοι, ὅτι θυμοῦ μὲν εὐθὺς γενόμενα μεστά ἐστι· λογισμοῦ δὲ ἔνιοι μὲν ἔμοιγε δοκοῦσιν οὐδέποτε μεταλαμβάνειν· οἱ δὲ πολλοὶ ὀψέ ποτε. ναὶ μὰ Δία, ἦν δ' ἐγώ, καλῶς γε εἶπες. ἔτι δὲ ἐν τοῖς θηρίοις ἄν τις ἴδοι ὃ λέγεις, ὅτι οὕτως ἔχει. πρὸς δὲ τούτοις καὶ ὃ ἄνω που ἐκεῖ εἴπομεν, τὸ τοῦ Ὁμήρου μαρτυρήσει, τό,

στῆθος

στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ.

Ἐνταῦθα γὰρ δὴ σαφῶς ἕτερον ἑτέρῳ ἐπιπλῆττον πεποίηκεν Ὅμηρος τὸ ἀναλογισάμενον περὶ τοῦ βελτίονός τε καὶ χείρονος τῷ ἀλογίστῳ θυμουμένῳ. κομιδῇ ἔφη ὀρθῶς λέγεις.

Ἀριστοτέλης μὲν οὖν, τὰ μάλιστα δοκοῦντα τῇ ψυχῇ ὑπάρχειν εἰς τρία τὰ κυριώτατα γένη ἀναφέρων, κίνησίν τε καὶ γνῶσιν καὶ λεπτότητα οὐσίας ἣν ἐνίοτε καὶ ἀσώματον ὑπόστασιν ἐπονομάζει, ἐς ταῦτα τρία τὰς καθ᾽ ἕκαστα διωρισμένας ἐπαναφέρει δόξας, πέρας τῶν ἀπείρων ἀνευρὼν, οὕτω καὶ σαφῆ καὶ σύντομον περίληψιν. ἐγὼ δὲ ὁρῶ ἐν τούτοις τοῖς ὅροις πολὺ μὲν τὸ ὁμώνυμον καὶ συγκεχυμένον, οὐ γὰρ ὡσαύτως κατὰ μεταβολὴν ἢ αἱ κατὰ ζωὴν θεωροῦνται κινήσεις, ἢ καὶ μορφωτικαὶ, ἢ ἄμορφοι γνώσεις, ἢ αἱ τοῦ ἀέρος, ἢ αἱ τῶν καθ᾽ αὑτὰ ἀσωμάτων καθαρότητες τῆς οὐσίας, πολὺ δὲ καὶ τὸ ἀτελὲς αὐτῶν καὶ ἐνδεές· οὐ γὰρ ἔνεστι πάντα περιλαβεῖν τὰ γένη τῆς δόξης ἐν τοῖς τρισὶ τούτοις ὅροις.

Τινὲς εἰς τὰς τῶν τεσσάρων στοιχείων ἀρχὰς, τὴν οὐσίαν ψυχῆς ἐπαναφέρουσιν· εἶναι μὲν γὰρ τὰ πρῶτα σώματα ἄτομα, πρὸ τῶν τεσσάρων στοιχείων στοιχειωδέστερα, εἰλικρινῆ δὲ ὄντα καὶ πεπληρωμένα πάντη καθαρᾶς πρώτης οὐσίας, μὴ δέχεσθαι μηδ᾽ ὁποιανοῦν εἰς αὐτὰ διαίρεσιν· ταῦτα τοίνυν ἄπειρα ἔχειν σχήματα, ἓν δὲ αὐτῶν εἶναι τὸ σφαιροειδές, ἀπὸ δὴ τοῦ σφαιροειδοῦς αὐτῶν εἶναι τὴν ψυχήν.

Ὡς δὲ τῶν ἀριστοτελικῶν τινὲς ὑφηγοῦνται, εἶδος ὂν τὸ περὶ τοῖς σώμασιν, ἢ ποιότης ἁπλῆ, ἀσώματος, ἢ ποιότης οὐσιώδης τελεία ἢ παράκειται δόξα, οὐ παραδοθεῖσα μὲν, δυναμένη δὲ πιθανῶς λέγεσθαι αἵρεσις, ἤτοι συνδρομὴ τῶν ὅλων ποιοτήτων, καὶ τὸ ἓν αὐτῶν κεφάλαιον, ἤ τι τὸ ἐπιγιγνόμενον, ἢ τὸ προϋπάρχον, τιθεμένη τὴν ψυχήν.

Μετὰ δὴ ταῦτα τοὺς εἰς μαθηματικὴν οὐσίαν ἐντιθέντας τὴν οὐσίαν τῆς ψυχῆς καταλέγωμεν διακεκριμένως. ἔστι δὲ γένος ἓν αὐτῆς, τὸ σχῆμα, πέρας ὂν διαστάσεως, καὶ αὐτὴ διάστασις· ἐν αὐτοῖς μὲν οὖν τούτοις, Σεβῆρος ὁ πλατωνικὸς, αὐτὴν ἀφωρίσατο ἐν ἰδέᾳ τῷ πάντη διεστατῷ. Σπεύσιππος ἐν αἰτίᾳ δὲ, ἢ τῇ ἑνώσει τούτων ἄλλος ἄν τις καθαρώτερον αὐτὴν προσθήσεται τελεώτερον. πάλιν τοίνυν ὁ ἀριθμὸς ἐν ἑτέρῳ γένει κεῖται. ἀλλὰ καὶ τοῦτον ἁπλῶς μὲν οὕτως ἔνιοι τῶν πυθαγορείων τῇ ψυχῇ συναρμόζουσιν, ὡς δ᾽ αὐτοκίνητον Ξενοκράτης, ὡς δὲ λόγους περιέχουσαν Μοδέρατος ὁ πυθαγόρειος, ὡς δὲ κρικὸν κοσμουργοῦ θεοῦ ὄργανον, Ἵππασος, ὁ ἀκουσματικὸς τῶν πυθαγορείων.

Ὡς δ᾽ Ἀριστοτέλης ἱστορεῖ, Πλάτων ἐκ τῆς τοῦ ἑνὸς ἰδέας καὶ τοῦ πρώτου μήκους καὶ βάθους αὐτὸ τὸ ζῶον προϋποτιθέμενος, καὶ τὸ μὲν ἓν νοῦν, τὴν δὲ δυάδα ἐπιστήμην, δόξαν δὲ τὴν τοῦ ἐπιπέδου ἀριθμὸν, τὸν δὲ τοῦ στερεοῦ τὴν αἴσθησιν ἀφοριζόμενος.

Ἔτι τοίνυν τὴν ἁρμονίαν ἴδωμεν, οὐ τὴν ἐν σώμασιν ἐνιδρυμένην, ἀλλ᾽ ἥ τις ἐστὶ θαυμαστὴ ταύτην τοίνυν ὡς μὲν ἁπλῶς εἰπεῖν τὴν τὰ διαφέροντα ὁπωσοῦν σύμμετρα, καὶ προσήγορα ἀπεργαζομένην, ἀναφέρει εἰς τὴν ψυχὴν Μοδέρατος, τὴν δ᾽ ὡς ἐν οὐσίαις καὶ ζωαῖς, καὶ γενέσεις τούτων, μεσότητα καὶ σύνδεσιν ὁ Τίμαιος αὐτῇ ἀνατίθησι, τὴν δ᾽ ὡς ἐν λόγοις τοῖς κατ᾽ οὐσίαν προϋπάρχουσαν, Πλωτῖνος, καὶ Πορφύριος, καὶ Ἀμέλιος παρα-

Pectora castigans monitis affatur acerbis,
Perpetere, à cor, longè aliàs grauiora tulisti.

In his porrò Homerus tanquam hæc inter se differant, alterum horum obiurgare alterum facit, ipsam videlicet rationem de meliori peioriq; consultantem, irrationabilem iracundiæ impetũ cohibere. Rectè admodum loqueris.

Iamblichi de anima.

Aristoteles quidem ea, quæ potissimùm animæ videntur inesse, ad tria præcipua referẽs genera, motum, cognitionem, et materiæ tenuitatem, siue incorpoream substantiam, his opiniones de singulis applicat, infinitarum termino tam aperta breuiq; comprehensione reperto. Sed in his ego terminis & magnam similitudinem ac confusionẽ reperio, quando nec similiter motus mutationis & vitæ considerantur, nec formarum participes & expertes cognitiones, nec aeris & incorporeorum tenuitates materiæ; & magnã imperfectionem atq; inopiam, quando his tribus terminis omnes opinionum species comprehendi nequeunt.

Alij verò ad quatuor elementorum principia naturam animæ referunt. Cùm enim prima sint indiuidua corpora, elementorum quatuor elementa, quoniam sincera sint, & omnis primæ puræ materiæ plena, nullam prorsus diuisionem recipere: figuras autem cùm habeant infinitas, vnam eorum globosam esse, ad quam quidem anima pertineat.

Vt autem Aristotelici quidam volunt, forma est corporum, vel simplex incorporea qualitas, vel perfecta naturæ qualitas, cui accedit opinio, vt non tradita, ita rectè electio dicenda: vel totarum qualitatum cõcursus, vnũ quoddam ipsorum caput, vel cõsequens vel antecedens, animã ponens.

Post hæc eos, qui mathematicæ naturæ animæ naturam imponunt, separatim recenseamus. Eius vnum quidem genus est figura, interualli terminus, ipsumq; interuallum. In his igitur eam Seuerus Platonicus posuit, in idea vndiq; interuallis præditi Speusippus, in causa & compage harum alius quis apertiùs. Alterum verò genus est numerus. Hunc igitur simpliciter Pythagorei quidã animæ applicant, vt per se mobilem Xenocrates, vt rationum capacẽ Moderatus Pythagoreus, vt [i]iudiciale Dei opificis instrumentum Hippasus, Pythagoreorum auditor.

i κριτικὸν pro κρικόν.

Vt autem narrat Aristoteles, Plato de vnius idea, deq; prima longitudine & profunditate illã componit, hac vita præfinita; & vnum quidem mentem, duo autem scientiam, opinionem dicere plani numerum, sensum deniq; solidi numerum statuens.

Deinceps harmoniam cõsideremus, non in corporibus positam, sed in [k]imaginatione. Hanc igitur vt diuersa concinnantem animæ tribuit Moderatus, vt medium & compagem omnis naturæ, vitæ, atque artis Timæus, vt rationum naturæ priorũ capacem Plotinus, Porphyrius, & Amelius,

k φαντασίᾳ pro θαυμαστῇ.

lius, vt mundo connexam, nec vnquam à cælo separandam Platonici & Pythagorei pleriq.

διδάσκουσι, τὴν δὲ συνδιαπλεκομένην τῷ κόσμῳ, καὶ ἀχώριστον τοῦ οὐρανοῦ πολλοὶ δή τινες τῶν πλατωνικῶν, πυθαγορείων, προηγοῦνται.

Nunc ad ipsam progrediamur incorpoream naturam, quæq; de illa circumferuntur opiniones, ordine referemus. Quidam talē omnem naturā similes habere partes omnes credunt, sicut in quauis parte totū cernatur; idemq; etiam in anima diuidua mundum intelligibilem, deos, dæmones, bonū, ac reliqua vetustiora collocant, inq; omnibus ponunt similiter omnia, secundū singulorū tamē naturam. Atq. hanc opinionem apertè quidem tuetur Numenius, obscurè autem Plotinus, inconstanter verò Amelius, dubiè deniq Porphyrius, partim eam relinquens, partim vt à maioribus traditam sequens: secundum quam à mente, diis, ac naturis cælestibus nihil in tota natura differt anima. Huic autem opposita opinio separat quidem animā, vt à mente secundam in alia natura, substantiam autē eius à mente deducit, quæ per se perfectè subsistat; & ¹separat quidem illam etiam à naturis cælestibus, definitionem autem ei propriam tribuit, vel medium diuiduorum et indiuiduorum corporum, vel vniuersarū rationum plenitudinem, & opificij post ideas ministerium, vel vitam in se ex mente viuentē, vel entis totius in inferiorem naturā progressum statuens. Atq. hanc opinionem Plato ipse, Pythagoras, Aristoteles, & antiqui omnes philosophi celebres penitus videntur sequi, si quis eorum sententias rectè consideret, id quod nobis est propositum facere.

¹ χωρίζει pro μεσ.

Ἴθι δὴ οὖν ἐπὶ τὴν καθ' αὑτὴν ἀσώματον οὐσίαν ἐπανάγωμεν, διακρίνοντες καὶ ἐπ' αὐτῆς ἐν τάξει τὰς περὶ ψυχῆς πάσας δόξας. εἰσὶ τινὲς οἱ πᾶσαν τὴν τοιαύτην οὐσίαν ὁμοιομερῆ καὶ τὴν αὐτὴν καὶ μίαν ἀποφαίνονται, ὡς καὶ ἐν ὁτῳοῦν αὐτῆς μέρει εἶναι τὰ ὅλα· οἵτινες καὶ ἐν τῇ μεριστῇ ψυχῇ τὸν νοητὸν κόσμον καὶ θεοὺς καὶ δαίμονας καὶ τἀγαθὸν, καὶ πάντα τὰ πρεσβύτερα ἐν αὐτῇ ἐνιδρύουσι, καὶ ἐν πᾶσιν ὡσαύτως πάντα εἶναι ἀποφαίνονται, οἰκείως μέντοι κατὰ τὴν αὐτῶν οὐσίαν ἐν ἑκάστοις. καὶ ταύτης τῆς δόξης ἀναμφισβητήτως μέν ἐστι νουμήνιος, οὐ πάντῃ δὲ ὁμολογουμένως πλωτῖνος, ἀστάτως δὲ ἐν αὐτῇ φέρεται ἀμέλιος, πορφύριος δὲ ἐνδοιάζει περὶ αὐτήν, πῇ μὲν διατεταμένως αὐτῆς ἀφιστάμενος, πῇ δὲ συνακολουθῶν αὐτῇ, ὡς παραδοθείσῃ ἄνωθεν. κατὰ δὴ ταύτην, νοῦ, καὶ θεῶν, καὶ τῶν κρειττόνων γενῶν οὐδὲν ἡ ψυχὴ διενήνοχε κατά γε τὴν ὅλην οὐσίαν. ἀλλὰ μὴν ἥ γε πρὸς ταύτην ἀνθισταμένη δόξα χωρίζει μὲν τὴν ψυχὴν ὡς ἀπὸ νοῦ γενομένην, δευτέραν καθ' ἑτέραν ὑπόστασιν· τὸ δὲ μετὰ νοῦ αὐτῆς ἐξηγεῖται ὡς ἐξηρτημένον ἀπὸ τοῦ νοῦ, μετὰ τοῦ κατ' ἰδίαν ὑφεστηκέναι αὐτοτελῶς, χωρίζει δὲ αὐτὴν, καὶ ἀπὸ τῶν κρειττόνων γενῶν ὅλων, ἴδιον δὲ αὐτῇ τῆς οὐσίας ὅρον ἀποδίδωσιν, ἤτοι τὸ μέσον τῶν μεριστῶν καὶ ἀμερίστων σωμάτων γενῶν, ἢ τὸ πλήρωμα τῶν καθόλου λόγων, ἢ τὴν μετὰ τὰς ἰδέας ὑπηρεσίαν τῆς δημιουργίας, ἢ ζωὴν παρ' ἑαυτῆς ἔχουσαν τὸ ζῆν, τὴν ἀπὸ τοῦ νοητοῦ προελθοῦσαν, ἢ τῶν αἰτίων γενῶν ὅλων τοῦ ὄντος πρόοδον εἰς ὑποδεεστέραν οὐσίαν· περὶ δὴ ταύτας τὰς δόξας ὅ τε πλάτων αὐτὸς καὶ ὁ πυθαγόρας, ὅ τε ἀριστοτέλης καὶ ἀρχαῖοι πάντες, ὧν ὀνόματα μεγάλα ἐπὶ σοφίᾳ ὑμνεῖται, τελέως ἐπιφέρονται, εἴ τις αὐτῶν τὰς δόξας ἀνιχνεύοι μετ' ἐπιστήμης, ἡμεῖς τε περὶ αὐτὰς τῆς μετ' ἀληθείας πραγματείας πειρασόμεθα ἐνστήσασθαι.

Physici autem quidam contrariorū concilium consuunt, vt calidi & frigidi, sicci & humidi. Nam & vitam ab ebulliendo præ calore, & animam, quòd refrigeretur à frigore, dictam credūt; & secundum vtrumque haustum aerem pro anima ducunt. Orpheus verò, secundum Aristotelem quidem Physicis ait animam de vniuerso ab aere nobis respirantibus suspensam deduci: Orpheus autem ipse vnam videtur singularē animam ponere, quæ vt sæpe diuidatur, ita multos afflatus in diuiduas animas transmittat.

Τινὲς δὲ τὴν φυσικὴν σύνοδον τῶν ἐναντίων συνυφαίνουσιν, οἷον θερμοῦ καὶ ξηροῦ καὶ ὑγροῦ· καὶ γὰρ τὸ ζῆν ἀπὸ τοῦ ἀναζεῖν ὑπὸ τοῦ θερμοῦ, καὶ τὴν ψυχὴν ἀπὸ τοῦ ἀναψύχεσθαι ὑπὸ τοῦ ψυχροῦ ὀνομάσθαι ἀποφαίνονται, καὶ ἅμα ἐπ' ἀμφοτέρων καὶ τὸν ἀναπνεόμενον ἀέρα ψυχὴν νομίζουσιν, ὥσπερ ἀριστοτέλης μὲν ἐν τοῖς φυσικοῖς ἔπεσι φησὶν λέγεσθαι τὴν ψυχὴν ὡς εἰσὶν ἐκ τοῦ ὅλου ἀναπνεόντων ἡμῶν φερομένην ὑπὸ τῶν ἀνέμων. ἔοικε γὰρ μὴν αὐτὸς ὁ ὀρφεὺς χωρὶς ὑπολαμβάνειν εἶναι καὶ μίαν τὴν ψυχὴν, ἀφ' ἧς πολλὰς μὲν εἶναι διαιρέσεις, πολλὰς δὲ καὶ μέσας ἐπιπνοίας καθήκειν ἐπὶ τὰς μεριστὰς ψυχὰς ἀπὸ τῆς ὅλης ψυχῆς.

Arist.

Aristotelici quidam æthereū corpus animam faciunt: alij naturæ perfectionem corporis diuini, vt in quibusdam Theophrastus: alij quod à cælestibus propagatur, vt recētiores quidam volunt; alij quod cum corporibus permistum est, vt Stoici dicunt: alij quod naturæ coniunctum est, quodq; ad corpus pertinens, ipsi non insit anima, qualis est Dicæarchi Messenij sententia.

Τινὲς μὲν τῶν ἀριστοτελικῶν αἰθέριον σῶμα τὴν ψυχὴν τίθενται· ἕτεροι δὲ τελειότητα αὐτὴν ἀφορίζονται, κατ' οὐσίαν τοῦ θείου σώματος, ἣν ἐντελέχειαν καλεῖ ἀριστοτέλης, ὥσπερ δὴ ἐν ἐνίοις θεόφραστος· ἢ τὸ ἀπογεννώμενον ἀπὸ τῶν θειοτέρων ὅλων, ὥσπερ ἄν τις νεωτερίσειεν ἐν τῇ ἐπινοίᾳ· ἢ τὸ συγκεκραμένον τοῖς σώμασιν, ὥσπερ οἱ στωϊκοὶ λέγουσιν· ἢ τὸ τῇ φύσει συμμεμιγμένον, ἢ τὸ τοῦ σώματος ὄν, ὥσπερ τὸ ἐμψυχῶσθαι· αὐτὴ δὲ μὴ παρεῖν τῇ ψυχῇ ὥσπερ ὑπάρχον οἷα δὴ λέγεται περὶ ψυχῆς. παρὰ δικαιάρχῳ τῷ μεσσηνίῳ.

Περὶ

Περὶ δυνάμεως ψυχῆς.

ἐν ἑαυτῷ.

Πλάτων μὲν οὖν οὐχ ὡς ἑτέρας τὰς δυνάμεις ἐν ἑτέρᾳ τῇ ψυχῇ ἐκεῖναι ἡγεῖται· συμφύτους δ᾽ αὐτὰς, καὶ κατὰ μίαν ἰδέαν συμπεφυκυίας λέγει διὰ τὴν σύνθετον οὐσίαν τῆς ψυχῆς. ἀριστοτέλης δὲ ὡσαύτως ἁπλῆν οὐσίαν, ἀσώματον, εἴδους τελεσιουργὸν, τὴν τῆς ψυχῆς ὑποθέμενος, οὐ ποιεῖ τὰς δυνάμεις ὡς ἐν συνθέτῳ τινὶ, τῇ ψυχῇ παρούσας. ἀλλὰ μὴν οἵ γε ἀπὸ χρυσίππου καὶ ζήνωνος φιλόσοφοι, καὶ πάντες ὅσοι σῶμα τὴν ψυχὴν νοοῦσι, τὰς μὲν δυνάμεις ὡς ἐν τῷ ὑποκειμένῳ ποιότητας συμβιβάζουσι, τὴν ψυχὴν ὡς οὐσίαν προϋποκειμένην ταῖς δυνάμεσι προτιθέασιν, ἐκ δ᾽ ἀμφοτέρων τούτων σύνθετον φύσιν ἐξ ἀνομοίων συνάγουσι. Ταῦτα τοίνυν αἱ δυνάμεις αὐτῆς τῆς ψυχῆς καθ᾽ αὑτὴν, ἢ τοῦ ἔχοντος τοῦ κοινοῦ μετὰ τοῦ σώματος θεωρουμένου ζώου. καθ᾽ οὓς μὲν ἡ ψυχὴ διττὴν ζωὴν ζῇ, καθ᾽ αὑτήν τε, καὶ κατὰ τοῦ σώματος, ἄλλως μὲν πάρεισι τῇ ψυχῇ, ἄλλως δὲ τῷ κοινῷ ζώῳ, κατὰ πλάτωνα καὶ πυθαγόρειον· καθ᾽ οὓς δὲ μία ζωὴ τῆς ψυχῆς ἐστιν ἢ τοῦ συνθέτου, συγκεκραμένης τῆς ψυχῆς τὰ σώματα, ὡς οἱ στωικοὶ λέγουσιν, ἢ δόσεως ὅλης τῆς ἑαυτῆς ζωῆς εἰς τὸ κοινὸν ζῷον, ὡς οἱ περιπατητικοὶ διισχυρίζονται, κατὰ τούτους εἷς ἐστιν ὁ τρόπος τῆς παρουσίας αὐτῶν, ὁ ἐν τῷ μετέχεσθαι ἢ ἐν τῷ κεκρᾶσθαι τῷ ὅλῳ ζώῳ. πῶς οὖν διακρίνονται; κατὰ μὲν τοὺς στωικοὺς, ἔνιοι μὲν διαφορότητι ὑποκειμένων σωμάτων· πνεύματα γὰρ ἀπὸ τοῦ ἡγεμονικοῦ φασὶν οὗτοι διατείνειν ἄλλα καὶ ἄλλα, τὰ μὲν εἰς ὀφθαλμοὺς, τὰ δὲ εἰς ὦτα, τὰ δὲ εἰς ἄλλα αἰσθητήρια. ἔνιοι δὲ ἰδιότητι ποιότητος περὶ τὸ αὐτὸ ὑποκείμενον· ὥσπερ γὰρ τὸ μῆλον ἐν τῷ αὐτῷ σώματι τὴν γλυκύτητα ἔχει καὶ τὴν εὐωδίαν, οὕτω καὶ τὸ ἡγεμονικὸν ἐν ταὐτῷ φαντασίαν, συγκατάθεσιν, ὁρμὴν, λόγον συνείληφε. κατὰ δὲ τοὺς ἀριστοτελικοὺς, καὶ πάντας ὅσοι ἀμέριστον τὴν ψυχὴν διανοοῦνται, κατὰ μὲν τὴν οὐσίαν αἱ δυνάμεις, κατὰ δὲ εἴδη, ὧν δύναται ποιεῖν. κατὰ δὲ πλάτωνα, ἄλλως μὲν λέγεται ἡ ψυχὴ τριμερὴς, ὡσὰν ἑτέρας οὐσίας τριπλῆ ζωῆς παραλλάττουσα, ἄλλως δὲ πολυδύναμος, οὐκ ἔτι κατ᾽ οὐσίας ζωῆς διαφέρουσα, ἐν ταὐτῷ δὲ πολλαῖς ἰδιότησι διακρινομένη. καὶ ὅλως μέρος δυνάμεως ταύτῃ διενήνοχεν, ᾗ τὸ μὲν μέρος οὐσίας ἑτερότητα, ἡ δὲ δύναμις ἐν ταὐτῷ γεννητικὴν ἢ ποιητικὴν διάκρισιν.

De animæ viribus.

Plato quidem vires non vt alias in alia cerni animæ putat, sed cognatas per vnam dicit ideam subsistere propter compositam animæ naturam. Aristoteles autem, quanquam similiter naturã simplicem, incorpoream, formæq; efficientem animam ponat, non arbitratur tamen vires animæ tanquam composita inesse. Chrysippi verò ac Zenonis sectatores, & quicunq. corpus animam ducunt, vires quidem subiectis qualitates componũt, animæ tanquam natura priore facultatibus præposita, de vtrisque autem compositam ex dissimilibus naturam cõstituunt. Hæ igitur sunt vel animæ vires ipsius, vel eam complexi, si cum corpore ponatur animal. Et iuxta quidem quos duplicem habet anima vitam, tum per se, tum in corpore, aliter in anima sunt, aliter in animali, iuxta Platonem & Pythagoram. iuxta quos autem vna est animæ vita, vel commistã corpori anima, vt Stoici dicunt, vel vitam suam toti animali tribuente, vt volunt Peripatetici, vno sunt modo, quo per totum animal dispergũtur. Hoc autem pacto discernuntur. Secundum Stoicos alia quidem subiectorum corporum discrimine, quandoquidem à principe parte aiunt hi spiritus multos deferri partim ad oculos, partim ad aures, partim ad alios sensus; alia verò qualitates circa idem subiectum proprietate. siquidem quemadmodum pomum in eodem corpore dulcedinem habet, et fragrantiam, sic pars princeps ibidem imaginationẽ, assensum, appetitum, & rationem complectitur: secundum Aristotelicos autẽ, & quicunque indiuiduam ponũt animam, iuxta naturam vires, iuxta firmas functiones: secundum Platonem verò aliter anima dicitur tres habere partes, vt naturas alias triplici vita superans, aliter multas vires, quãdo non vita natura, sed proprietatum numero differt. Deniq. pars à facultate hoc distat, quòd pars aliam naturam, facultas in eadem gignendi vel efficiendi discrimen indi.at.

Περὶ πλήθους δυνάμεων.

ἐν ταυτῷ.

Οἱ ἀπὸ τοῦ ζήνωνος ὀκταμερῆ τὴν ψυχὴν διαδοξάζουσι περὶ τὰς δυνάμεις εἶναι πλείονας, ὡς ἐν τῷ ἡγεμονικῷ ἐνυπαρχουσῶν φαντασίας σὺν μεταθέσεως. οἱ δὲ περὶ πλάτωνα, καὶ ἀρχύτας, καὶ οἱ λοιποὶ πυθαγόρειοι τὴν ψυχὴν τριμερῆ ἀποφαίνονται, διαιροῦντες εἰς λογισμὸν, καὶ θυμὸν, καὶ ἐπιθυμίαν, ταῦτα γὰρ εἶναι χρήσιμα πρὸς τὴν τῶν ἀρετῶν σύστασιν· δυνάμεις δὲ τῆς ψυχῆς ἀναλογίζονται φύσιν, καὶ φαντασίαν, καὶ αἴσθησιν, καὶ δόξαν, καὶ κινητικὴν σωμάτων διάνοιαν, καὶ ὄρεξιν καλοῦ καὶ ἀγαθοῦ, καὶ νόησιν. ἀριστοτέλης δὲ εἰς πέντε αὐτὰς διαιρεῖ, φύσιν, αἴσθησιν, κίνησιν κατὰ τόπον, ὄρεξιν, διανόησιν.

De numero facultatum.

Zenonis sectatores cùm octo faciant animæ partes, multas his facultates tribuũt, quemadmodum in principe parte imaginationẽ & assensum ponunt. Plato, Archytas, & reliqui Pythagorei tres animæ partes cõstituunt, rationem, iram, & cupiditatem, vt ad virtutum constitutionem necessarias: facultates autem, naturam, imaginationem, sensum, opinionem, motum, appetitum boni ac pulcri, & intellectum. Aristoteles quinq. numerat, naturam, sensum, motum, appetitum, intellectum.

Περὶ τῆς κατουσίας τῆς ψυχῆς, καὶ τῶν προστιθεμένων αὐτῇ δυνάμεων.

ἐν ἑαυτῷ.

Πλωτῖνος αὐτῆς ἀφαιρεῖ τὰς ἀλόγους δυνάμεις,

De animæ natura eiusque viribus.

Plotinus adimit animæ vires rationis exper-

tes,

tes, sensum, imaginationem, memoriam, ratiocinationem; solam autem rationē puram puræ ipsius naturæ attribuit, velut ipsi naturæ ideæ cognatā. Democritus omnes has facultatum species illi concedit. Plato & ipsis & animalibus eas tribuit, secundum a vtramque vitam vtramq. definiens. Porphyrius & Plotinus singulis totius partibus proprias ab anima vires attributas opinātur: & vt interire vitam quocunque pacto attributam iidem credunt, quemadmodum illam quæ oritur à semine, cùm id in sese redierit; ita nec hāc prorsus perire non abs re quis crediderit.

a ἑκατέραν pro ἑκάτερον

τὰς αἰσθήσεις, τὰς φαντασίας, τὰς μνήμας, τοὺς λογισμούς· μόνον δὲ τὸν καθαρὸν λογισμὸν εἰς τὴν καθαρὰν οὐσίαν αὐτοῦ ἀνατείνει, ὡς ἔχουσαν συμφυῆ δύναμιν πρὸς αὐτὴν τῆς οὐσίας ἰδέαν. οἱ περὶ Δημόκριτον πλατωνικοὶ πάντα ταῦτα τὰ εἴδη τῶν δυνάμεων εἰς τὴν οὐσίαν αὐτοῦ συνάγουσιν· ὁ δὲ Πλάτων καὶ αὐτὰς ἑαυτῶν ποιεῖ καὶ τῶν ζώων, καθ' ἑτέραν ζωὴν διοριζόμενος ἑκάτερον· οἱ δὲ περὶ Πορφύριον, καὶ Πλωτῖνον, ἑκάστῳ μέρει τοῦ παντὸς τὰς οἰκείας δυνάμεις προβαλέσθαι ὑπὸ τῆς ψυχῆς ἀποφαίνονται, καὶ ἀμφισβητεῖται μὲν ἢ μηκέτι εἶναι τὰς ζωὰς τὰς ὁπωσοῦν προβληθείσας οἱ περὶ Πορφύριον καὶ Πλωτῖνον πλατωνικοὶ ἀφορίζονται, παραπλησίως τῆς ἀπὸ τοῦ σπέρματος φυομένης, ὁπόταν εἰς ἑαυτὸν ἀναδράμῃ τὸ σπέρμα. εἶναι δὲ καὶ ταύτας ἐν τῷ παντὶ, καὶ μὴ ἀπόλλυσθαι, τάχα ἄν τις ἐπινοήσειε καινότερον, οὐκ ἀπιθάνως.

De animæ functionibus.

Quisnam Peripateticæ sententiæ est ignarus, quæ animam immobilem quidem, sed omnis motus causam facit. Quòd si etiam functionibus caret id quod est immobile, functionum quoq. causam animæ functionibus carens cōtinebit. Sin iuxta quosdam finis & compages & efficiens motionum causa est functio; & hanc quoque immobilis animæ secundum Aristotelem complectitur perfectio: à perfectissima procedet functione singulorum effectus animalium. Hæc verò multùm secundum Platonē differt ab animæ composita natura & vita. Quamuis enim in commune confertur, tamē quoniam corpori mutatio ac diuisio, temporisq́; & loci interuallum euenit, quorum nihil in vita cernitur incorporea: manifestum fit, nullam secundum Platonem totius animalis motionem propriam ipsius animæ dici posse. Itaque sicut vita iuxta illum duplex est, hæc à corpore seiuncta, illa coniuncta; sic etiam functiones aliæ sunt animæ propriæ, aliæ totius etiam animalis; eæq́; partim ab anima profectæ, partim à corporis affectionibus ortæ, partim ex vtroq. communiter nascentes, omnes tamen ab anima tanquam causa dependentes. Sicut igitur nauis motu communiter ad gubernatorem & ventū pertinente, alia quidem sic se habent, vt absque ipsis motus non fiat, gubernator autem & ventus præcipuam in se continent motus causam: sic etiam anima cùm ipsa toto vtitur corpore, ac res administrat, illud velut instrumentum aut vehiculum complexa, tū sibi proprias habet motiones, quæ à communi animali separatæ per se secundum animæ naturam existunt, quales quidem afflatuum sunt, & intellectuum cælestium, & quæcunque nos cum diis coniungunt. Veruntamen hæc non concedunt, qui corpus animam ponunt, vt Stoici, & alijplures; neque qui commisceri illam cum ortu arbitrantur, vt Physici plerique, neque qui à corporibus illam harmoniæ more nasci volūt. siquidē omnes hi corporeas illi motiones tribuunt.

Περὶ τῶν ἐνεργειῶν τῆς ψυχῆς.

Τίς οὖν ἀνήκοός ἐστι τῆς περιπατητικῆς δόξης, ἣ τὴν ψυχὴν μὲν ἀκίνητον εἶναί φησι, αἰτίαν δὲ κινήσεων; εἰ δὴ καὶ ἀνενέργητόν ἐστι τὸ ἀκίνητον, ἔσται καὶ χορηγὸν τῶν ἐνεργειῶν, τὸ τῆς ψυχῆς ἀνενέργητον. εἰ δ', ὡς ἔνιοι λέγουσι, τέλος καὶ συνοχὴ, καὶ ἕνωσις, καὶ μόνιμος αἰτία τῶν κινήσεών ἐστιν ἡ ἐνέργεια, καὶ ταύτην ἐν ἑαυτῇ συνείληφεν ἡ κατ' ἀριστοτέλην ἀκίνητος ἐντελέχεια τῆς ψυχῆς· ἔσται ἀπὸ τῆς τελεωτάτης ἐνεργείας προϊοῦσα ἀπὸ τῆς ψυχῆς, ἡ ἐν τοῖς καθ' ἕκαστα τῶν ζώων ἔργοις ἀπεργασία. αὕτη τοίνυν κατά τι πλάτωνα πολλῷ δὴ ἡ αὐτὴ εἶναι τῇ συμφύτῳ τῆς ψυχῆς οὐσίᾳ καὶ ζωῇ. δῆλον γὰρ ὅτι δίδοται μὲν εἰς τὸ κοινὸν, ἀλλ' ἐπεὶ μεταβολὴ καὶ διαίρεσις καὶ διάστασις περὶ τὸ σῶμα, καὶ κατὰ χρόνον καὶ τόπον διάστασις ἐπισυμπίπτει, ὧν οὐδὲν ἔστιν ἐν τῇ καθ' ἑαυτὴν ἀσωμάτῳ ζωῇ, φανερὸν δὴ καὶ τοῦτο γέγονεν, ὡς οὐδὲν ὑπάρχει κατὰ πλάτωνα τῶν τοῦ συνθέτου ζώου κινημάτων ἴδιον αὐτῆς τῆς ψυχῆς. ἐκείνῳ ὥσπερ ζωὴ κατ' αὐτὸν ἡ διττὴ, ἡ μὲν χωριστὴ τοῦ σώματος, ἡ δὲ κοινὴ μετ' αὐτοῦ· οὕτω καὶ ἐνεργήματα μὲν ἴδια ἔσται τῆς ψυχῆς, τὰ δὲ κοινὰ καὶ τοῦ ἔχοντος· καὶ τούτων τὰ μὲν ἀπὸ τῆς ψυχῆς προκατάρχεται, τὰ δὲ ἀπὸ τῶν τοῦ σώματος παθημάτων ἐγειρόμενα, τὰ δὲ ἐξ ἀμφοῖν ἐπίσης ἀνακινούμενα· πάντα δὲ ὡς ἀπ' αἰτίας τῆς ψυχῆς ὡρμημένα. ὥσπερ δὴ ἐν τῇ κατὰ τὴν ναῦν φορᾶς κοινῆς οὔσης πρὸς τὸν κυβερνήτην καὶ τὸν ἄνεμον, τὰ μὲν ἄλλα τοιαῦτά ἐστιν ὡς ἄνευ αὐτῶν μὴ γίγνεσθαι τὴν κίνησιν, ὁ δὲ κυβερνήτης καὶ ὁ ἄνεμος τὴν κυριωτάτην αἰτίαν περιέχουσιν ἐν ἑαυτοῖς τῆς φορᾶς· οὕτως ἄρα καὶ ἡ ψυχὴ αὐτή τε ὅλῳ χρῆται τῷ σώματι, καὶ τὰ ἔργα μεταχειρίζεται, ὡς ὄργανον ἢ ὄχημα τὸ σῶμα περιέχουσα· ἔχει δὲ καὶ καθ' αὑτὴν οἰκείας κινήσεις, ὅσαι τοῦ συνθέτου ζώου ἀπολυόμεναι, αὐταὶ καθ' αὑτὰς ἀπόλυτοι, τὰς κατ' οὐσίαν ψυχῆς ἐνεργοῦσι, οἷαι δή εἰσιν αἱ τῶν ἐνθουσιασμῶν καὶ τῶν ἀΰλων νοήσεων, καὶ συλλήβδην ἐκείνων καθ' ἃς τοῖς θεοῖς συναπτόμεθα. οὐ μὴν ἐπί γε τούτοις συγχωροῦσιν οἱ σῶμα τὴν ψυχὴν ὑπολαμβάνοντες, οἷον οἱ στωϊκοὶ, καὶ ἄλλοι πλείονες· οὐδ' ὅσοι συγκεκρᾶσθαι αὐτὴν εἰς τὴν γένεσιν οἴονται, ὥσπερ οἱ πλεῖστοι τῶν φυσικῶν· οὐδὲ ὅσοι βλάστημα αὐτῆς ἀπὸ τῶν σωμάτων ποιοῦσιν ἐν ἁρμονίας εἴδει οὖσαν. πάντες γὰρ οὗτοι σωματοειδεῖς τὰς κινήσεις αὐτῇ ἀποδιδόασιν.

Περὶ

Περὶ τῶν ἔργων τῆς ψυχῆς.

Πότερον οὖν πασῶν τῶν ψυχῶν τὰ αὐτὰ ἔργα ἀποτελεῖται, ἢ τὰ μὲν τῶν ὅλων τελειότερα, τὰ δὲ τῶν ἄλλων, ὡς ἕκαστοι διειλήχασι τὴν προσήκουσαν ἑαυταῖς τάξιν; ὡς μὲν οἱ στωϊκοὶ λέγουσιν, εἷς τε ἐστὶν ὁ λόγος, καὶ ἡ αὐτὴ πάντως διανόησις, καὶ τὰ κατορθώματα ἴσα, καὶ αἱ αὐταὶ ἀρεταὶ τῶν μεριστῶν, καὶ τῶν ὅλων. καὶ πλωτῖνος καὶ ἀμέλιος ἐπὶ ταύτης εἰσὶ τῆς δόξης. ἐνίοτε γὰρ ὡς ἄλλην τὴν μεριστὴν ψυχὴν παρὰ τὴν ὅλην, μίαν δὲ αὐτὴν πρὸς ἐκείνην εἶναι ἀφορίζονται. ὡς δ' ἂν εἴποι πορφύριος, πάντη κεχώρισται τὰ τῆς ὅλης ψυχῆς παρὰ τὰ τῆς μεριστῆς ἐνεργήματα. γένοιτο δὲ καὶ ἄλλη δόξα οὐκ ἀπόβλητος, ἡ κατὰ γένη καὶ εἴδη τῶν ψυχῶν, ἄλλα μὲν τὰ τῶν ὅλων παντελῆ, ἄλλα δὲ τὰ τῶν θείων ψυχῶν ἄχραντα, καὶ ἄϋλα, ἕτερα δὲ τὰ τῶν δαιμόνων δραστήρια, τὰ δὲ τῶν ἡρωϊκῶν μεγάλα, τὰ δὲ τῶν ἐν τοῖς ζώοις καὶ τοῖς ἀνθρώποις θνητοειδῆ, καὶ τὰ ἄλλα ὡσαύτως ἔργα διαιρουμένη. τούτων δὴ διωρισμένων, καὶ τὰ ἐχόμενα τούτων τὴν ὁμοίαν λήψεται διάκρισιν. οἱ μὲν γὰρ μίαν καὶ τὴν αὐτὴν πανταχοῦ ψυχὴν διατείνοντες, ἤτοι γένει, ἢ εἴδει, ὡς δοκεῖ πλωτίνῳ, καὶ ἀριθμῷ, ὡς νεανιεύεται οὐκ ὀλιγάκις ἀμέλιος εἶναι, αὐτὴν ἐροῦσιν ἅπαν ἐνεργεῖν· οἱ δ' ἀσφαλέστερον τούτων διαταττόμενοι, καὶ προόδους πρώτας, καὶ δευτέρας, καὶ τρίτας οὐσιῶν τῆς ψυχῆς διισχυριζόμενοι προχωρεῖν εἰς τὸ πρόσω, οἵας ἄν τις θείη, τοὺς καινοὺς μὲν, ἀπταίστως δὲ ἀντιλαμβανομένους τὰ μὲν τῶν ὅλων ψυχῶν καὶ θείων καὶ ἀΰλων ἐνεργήματα ἐροῦσιν οὗτοι, πάντως δή που καὶ εἰς οὐσίαν ἀποτελευτᾶν· τὰ δὲ τῶν μεριστῶν κρατουμένων ἐν ἑνὶ εἴδει, καὶ διαιρουμένων περὶ τοῖς σώμασιν. κατὰ δὴ τὴν αὐτὴν μέθοδον προΐτω καὶ ἡ συγγενὴς πρὸς ταύτην διαίρεσις. λέγω δὴ προσπεφυκέναι ταῖς δυνάμεσι τὰ ἔργα ἐκείνων τῶν ψυχῶν τῶν αὐτοτελῶν, καὶ μονοειδῶν, καὶ χωριστῶν ἀπὸ τῆς ὕλης, ὡς ἂν φαίη ἡ νεωστὶ παρευρεθεῖσα ἤδη αἵρεσις· ἐοικέναι δὲ ταῖς τῶν καρπῶν ἀπογεννήσεσιν ἐπὶ τῶν ἀτελεστέρων, καὶ περὶ γῆν ἀπομεριζομένων.

Ἐπειδὴ τούτοις δεῖ νοεῖν, ὡς οἱ μὲν στωϊκοὶ πάσας τὰς ὁποιασοῦν ψυχῆς ἐνεργείας συμμιγνύουσι τοῖς διοικουμένοις, καὶ ἀψύχοις· οἱ δ' ἀπὸ πλάτωνος, οὐ πάσας. εἰσὶ μὲν γάρ τινας δυνάμεις τῆς ψυχῆς καὶ τοῦ σώματος, ὡς ὕλης, ἐφάπτονται· ὡς τὴν αἰσθητικὴν, καὶ ὁρμητικήν. καὶ προτέρας μὲν τούτων, τὰς μηδὲν σώματι προσχρωμένας, ὡς τὴν νοεράν. τὰ μὲν οὖν τῶν σωματοειδῶν δυνάμεων ἔργα, κατ' οὐσίαν μὲν πλάτων οὐ συνάπτει τοῖς σώμασιν, κατ' ἐπιστροφὴν κοινωνεῖν φησί· τὰ δὲ τῶν χωριστῶν ἀπολύει πάντη τοῦ κατατετάχθαι εἰς τὰ σώματα. ἤδη τοίνυν κατὰ μὲν τῶν ὅλων καὶ θειοτέρων ἔργα ἄμικτα εἶναι διὰ τὴν καθαρότητα αὐτῶν τῆς οὐσίας, τὰ δὲ τῶν ἐνύλων καὶ μεριστῶν οὐκέτι ὡσαύτως εἶναι ἄχραντα· καὶ τὰ μὲν τῶν ἀνιουσῶν καὶ ἀπολυομένων τῆς γενέσεως, ἀφεῖσθαι τῶν λοιπῶν τῶν σωμάτων· τὰ δὲ τῶν κατιουσῶν, συμπλέκεσθαι αὐτοῖς πολυειδῶς, καὶ συνυφαίνεσθαι· καὶ τὰ μὲν ἐποχουμένων τοῖς αὐγοειδέσι πνεύμασι, καὶ δι' αὐτῶν τιθεμένων εὐκόλως ἅπερ ἂν ἔλωσιν ἄνωθεν, ἀπραγμόνως ἐκφαίνεσθαι τὰ σφῶν ἔργα· τὰ δὲ τοῖς στερεωτέροις σώμασιν ἐναπειργασμένα, ἐν αὐτοῖς ἀναπίμπλασθαι ἁμωσγέπως τῆς τούτων φύσεως· καὶ τὰ μὲν τῶν ὅλων, ἐπιστρέφειν εἰς ἑαυτὰ τὰ

De animæ operibus.

Vtrùm igitur omnes animæ eadem edunt opera, an tota quidem perfectiora, alia autem pro sua quaque ordine? Et secundum Stoicos quidem eadem est omnium ratio, idem intellectus, eademque sunt rectè facta, et virtutes eadem tum dividuarum, tum totarum; neq. aliter Plotinus & Amelius sentiunt, quandoquidem nũc aliam animam dividuam à tota, [a] nunc eandem vtramq statuũt: secundum Porphyrium autem planè divisa sunt animæ totius functiones à dividua. Alia quoque non contemnenda fertur opinio, quæ secundũ genera ac species animarũ, alia totarum opera perfecta, alia divinarum pura & materia vacua, alia dæmonum efficacia, alia heroum magna, alia animalium & hominum mortalia, reliquaq similiter statuit. Quibus ita distributis, consequentia quoque similiter disponentur. Etenim alij quidem vnam & eandem in omnem partem extendentes animã, vel genere ac specie, vt Plotino videtur, [b] vel numero, vt nonnunquam asserit Amelius, omnibus eam fungi dicunt muneribus: alij verò prudentiùs hæc disponẽtes, & progressus animarum primos, secundos, ac tertios ponẽtes, absurdè quidem, verùm tutò totarum quidem ac divinarum animarum functiones aiunt etiam prorsus in materiam desinere, dividuarum autem vna forma contineri, corporibusq definiri. Atque hac methodo cognata quoque procedet divisio, nempe vt cõiuncta quidem sint cum facultatibus perfectarum illarum animarũ et materia vacuarum opera, quemadmodum noua hæc tradit secta, verùm in imperfectis ac dividuis fructuum sint provenientibus similia. [c] Præterea hoc animaduertendũ est, Stoicos quidem omnes cuiuscunque animæ functiones etiam inanimatis tribuere, Platonicos verò non item. siquidem nõnullas hi facultates animæ ponunt, [d] quæ corpus habẽt pro materia, velut sentiendi & appetendi; [e] puriores autem vti corpore negant, velut intelligendi. Quocirca corporearum quidem facultatum opera, secundum naturam quidem nõ coniungit cũ corporibus Plato, sed eò referri concedit; separatarum autem prorsus corporibus liberat. Existimat enim totarum quidem ac divinarum opera propter ipsarum naturæ puritatem esse pura, dividuarum verò non item: & ascendentium quidem atque ortu liberatarum deinceps corporibus vacare, descendentium autem variis modis cum illis permisceri: et spiritibus quidẽ insidentium perq eos facilè, quæcunque desuper contingunt, disponentium expeditè sua prodere opera, solidioribus autem corporibus insitas, earundem quoque naturam senti-

[a] αὐτὴν pro μίαν.

[b] ἢ pro καὶ.

[c] ἐπεὶ δὴ pro ἐπειδὴ.

[d] αἳ pro ὡς.

[e] συγχρωμένας δὲ pro προσχρωμένας.

re: ac totarum quidem ad se subiecta conuertere, diuiduarum verò ad ipsa conerti. Quamobrem, vt breuiter eadem repetamus, Peripateticorum quidem opinio animali tantum composito animæ tribuit opera: Plato autem animæ priùs ea tradēs, deinde cum animali cōmunicat; Pythagoras verò & • præstantiora ipsi natura asscribunt opera, eamq́ non à natura, sed à se volunt incipere, suisq́ functionibus propriè superesse, omnesq́ eius præclaras & naturam excedentes motiones ipsi eximunt. Quinetiam ipsi inter se dissident Platonici, partim ad vnam ideam species ac partes vitæ & functiones referentes, vt Plotinus et Porphyrius; partim in contrariū hæc distrahentes, vt Numenius; partim contraria inter se componentes, vt Atticus & Plutarchus. Atque horum rursus alij progressis inordinatis motionibus subsequi volunt eas, quæ in ordinem illas redigant, itaq́ concordiam vtrorumque comminiscuntur, vel prima diuersitate secundum Plotinum, vel prima à Deo fuga secundum Empedoclem, vel requie mutationis secundum Heraclitum, vel digressione secundum Gnosticos, vel falso liberi arbitrij iudicio secundum Albinum causam inferiorum functionum continente: alij contrà ab externis euentis animæ pulcritudinem conciliant, vel à materia, vt Numenius & Cronius ferè, vel ab his ipsis corporibus, vt Arpocratio nonnunquā, vel à natura ac vita rationis experte, vt Plotinus & Porphyrius plerumque. Iam secundum Aristotelicos vitæ generibus aliisq́ terminis hæc ab humanis discernuntur. Secundum Stoicos porrò minùs perfecta semper tales vitæ traduntur functiones, quantoq́ longiùs à ratione recesserint, tanto minùs euadunt perfecta prioribus posteriora. Atque vt ego de quibusdam audiui Platonicis, vt Porphyrio & aliis, inter se comparantur humana quidem cum brutis, animalia autem cum humanis, quatenus inter se diuersa possunt comparari natura.

De animæ mensura.

Qui quidem vnam numero ponunt animæ naturam, eamq́ vel habitu & ordine, vt Amelius vult, vel totius afflatibus, vt Orphicis placet, multiplicant, ac deinde à totius multitudine habitus & ordines ad vnam referunt animam, eaq́ distributione liberant, communione dissoluta; totam illam vbique conseruant, vnamq́ ipsi tribuunt finitam naturam: qui autem in mūdis infinitis, vt Democritus & Epicurus arbitrantur, ab atomis infinitis casu concurrentibus tanquam elementis credunt animas componi; infinitas illas necessa-

διοικούμενα· τὰ δὲ τῶν διῃρημένων, αὐτὰ ἐπιστρέφεσθαι πρὸς ἑαυτὰ ἂν ἐπιμένῃ). κατ᾽ ἄλλην τοίνυν ἀρχὴν τῆς τῶν αὐτῶν διακρίσεως, ἡ μὲν περιπατητικὴ δόξα, τῷ ζώῳ μόνῳ καὶ τῷ συνθέτῳ τίθεται τὰ ἔργα τῆς ψυχῆς· Πλάτων δὲ τῆς ψυχῆς αὐτὰ προτάττει, εἶθ᾽ οὕτως εἰς τὸ κοινὸν δίδωσι. Πλάτων καὶ Πυθαγόρας πρεσβύτερα αὐτῇ καὶ τιμιώτερα παρὰ τῆς φύσεως τὰ ἔργα διδόασιν· ἄρχεσθαί τε αὐτὴν οὐ ποιοῦσιν ἀπὸ τῆς φύσεως, αὐτὴν δὲ ἀφ᾽ αὑτῆς, καὶ περὶ αὐτὴν ἐξηγεῖσθαι τῆς οἰκείας ἐνεργείας ὑπολαμβάνουσιν, ὅσα τέ ἐστιν ἐν αὐτῇ καλὰ καὶ σπουδαῖα κινήματα τῆς φύσεως ὑπερέχοντα, καθ᾽ αὑτὰ ἐξαιροῦσιν. Ἤδη τοίνυν καὶ ἐν αὐτοῖς τοῖς Πλατωνικοῖς πολλοὶ διαστασιάζουσιν· οἱ μὲν εἰς μίαν σύνταξιν, καὶ μίαν ἰδέαν τὰ εἴδη καὶ τὰ μόρια τῆς ζωῆς, καὶ τὰ ἐνεργήματα συνάγοντες, ὥσπερ Πλωτῖνός τε καὶ Πορφύριος· οἱ δὲ εἰς μάχην ταῦτα κατατείνοντες, ὥσπερ Νουμήνιος· οἱ δὲ ἐκ μαχομένων αὐτὰ συναρμόζοντες, ὥσπερ οἱ περὶ Ἀττικὸν καὶ Πλούταρχον. καὶ οὗτοι μὲν προϋποκειμένων τῶν ἀτάκτων καὶ πλημμελῶν κινημάτων, ἐπεισιέναι φασὶν ὕστερα τὰ κατακοσμοῦντα αὐτὰ καὶ διατάττοντα, καὶ τὴν συμφωνίαν ἀπ᾽ ἀμφοτέρων οὕτω συνυφαίνουσι· κατὰ μὲν Πλωτῖνον, τῆς πρώτης ἑτερότητος· κατ᾽ Ἐμπεδοκλέα δὲ, τῆς πρώτης ἀπὸ τοῦ θεοῦ φυγῆς· καθ᾽ Ἡράκλειτον, τῆς ἐν τῷ μεταβάλλεσθαι ἀναπαύλης· κατὰ δὲ τοὺς Γνωστικοὺς, παρανοίας, ἢ παρεκβάσεως· κατ᾽ Ἀλβῖνον δὲ, τῆς τοῦ αὐτεξουσίου διημαρτημένης κρίσεως, αἰτίας γιγνομένης τῶν καταγωγῶν ἐνεργημάτων. τῶν δ᾽ αὖ διισταμένων πρὸς τούτους, καὶ ἀπὸ τῶν ἔξωθεν προσφυομένων προστιθέντων ὁπωσοῦν τῇ ψυχῇ τὸ καλὸν, ἀπὸ μὲν τῆς ὕλης, Νουμηνίου καὶ Κρονίου πολλάκις· ἀπὸ δὲ τῶν σωμάτων αὐτῶν τούτων, ἔστιν ὅτε καὶ Ἁρποκρατίωνος· ἀπὸ δὲ τῆς φύσεως καὶ τῆς ἀλόγου ζωῆς, Πλωτίνου καὶ Πορφυρίου ὡς τὰ πολλά. κατὰ δὲ Ἀριστοτέλην, εἴδεσι ζωῆς καὶ ἄλλοις ὅροις ταῦτα χωρὶς ἀπὸ τῶν ἀνθρωπίνων διακέκριται· κατὰ δ᾽ αὖ τοὺς Στωϊκοὺς, ἀτελέστερα ἀεὶ ἀπομερίζεται τὰ τοιαῦτα τῆς ζωῆς ἐνεργήματα, καὶ ὅσῳ ἂν ᾖ προϊόντα προσωτέρω τῆς ἀλογίας, τόσῳ καὶ μᾶλλον ἐπὶ τὸ ἀτελέστερον ἀποφέρεται τὰ κατόπιν ὕστερα τῶν πρεσβυτέρων· ὡς δ᾽ ἐγὼ τινῶν ἀκήκοα Πλατωνικῶν, οἷον Πορφυρίου, καὶ ἄλλων πολλῶν, ἀφομοιοῦται ἀλλήλοις τὰ μὲν ἀνθρώπεια τοῖς θηρείοις, τὰ δὲ τῶν ζώων τοῖς ἀνθρωπείοις, ἐφ᾽ ὅσον πέφυκε τὰ διακεκριμένα καθ᾽ ἑτέρας οὐσίας ὁμοιοῦσθαι πρὸς ἄλληλα.

Περὶ μέτρου ψυχῆς.

Οἱ μὲν δὴ μίαν οὐσίαν τῆς ψυχῆς ἀριθμῷ τιθέμενοι, πληθύνοντες δὲ αὐτὴν, ὡς Ἀμέλιος οἴεται, σχέσει, καὶ κατὰ τάξιν· ἢ, ὡς οἱ Ὀρφικοὶ λέγουσι, ἐπιπνοίαις ἀπὸ τῆς ὅλης· ἔπειτα ἀναχέοντες ἀπὸ τοῦ πλήθους τῆς ὅλης ἐπὶ τὴν μίαν ψυχὴν ἀποθεμένας τὰς σχέσεις, καὶ τὰς εἰς ἕτερον κατατάξεις· καὶ ἀναλύοντες ἀπὸ τῆς ἐς τὰ μεταλαβόντα διαιρέσεως, ἀπολυομένης τῆς τῶν μετασχόντων ἀποδιαλήψεως· τηροῦσιν αὐτὴν ὅλην πανταχοῦ τὴν αὐτὴν, μίαν τε αὐτῇ διδόασι καθ᾽ ἓν πεπερασμένην. οἱ δ᾽ ἐν ἀπείροις κόσμοις, ὥσπερ δὴ οἱ περὶ Δημόκριτον καὶ Ἐπίκουρον νομίζουσιν, ἀπὸ τῶν ἀπείρων ἀτόμων κατὰ συντυχίαν συνερχομένων συνίστασθαι ἀπὸ τῶν τοιῶνδε στοιχείων τὰς ψυχὰς ἡγούμενοι,

ἀπείρους

ἀπείρους αὐτὰς εἶναι ὑπομένουσι τῆς οἰκείας ὑποθέσεως ἀποφαίνονται· καὶ οἱ μὲν ἐκ σπερμάτων αὐτὰς γεννῶντες, ἑκάστου δυναμένου πολλὰ σπείρειν, καὶ τῆς δὲ περιόντος ἀεί, καὶ οὐδαμοῦ ἱσταμένου κατὰ τὴν γένεσιν, καὶ ἐν τῷ γίγνεσθαι, ἀεὶ τὸ ἄπορον ἀπολείπουσιν· οἱ δὲ κατὰ μεταβολὴν ἐξ ἑνὸς ζώου φθειρομένου πολλὰ ζῷα καὶ πολλὰς ζωὰς παράγοντες, ἐν τῷ μεταβάλλειν συνεχῶς, καὶ μηδέποτε ἐπιλείπειν τὴν ἐκ τῆς μεταβολῆς διαδεχομένην ἀειγενεσίαν ταύτην, τὸ ἀπέραντον πλῆθος τῶν ψυχῶν ἐπινοοῦσιν, ἐν τῷ ἀεὶ πλεῖον γίγνεσθαι. οἱ δὲ τῆς φύσεως τὴν ψυχὴν μὴ διακρίνοντες, πάλιν δὴ καὶ οὗτοι κατὰ διαίρεσιν τὸ ἄπειρον τῶν ψυχῶν γίγνεσθαι προσομολογοῦσιν, ἐπειδὴ καὶ ἕκαστον τῶν φυομένων δένδρον μεριζόμενον ταυτόν ἐστι τῷ ὅλῳ, καὶ τὴν ἴσην αὐτῷ φαίνεται γεννητικὸν εἶναι. οἱ δ' ἀπὸ πλάτωνος ἀγεννήτους καὶ ἀφθάρτους αὐτὰς προστησάμενοι, ἑστάναι ἀεὶ κατὰ τὴν αὐτὴν συμμετρίαν ἀναφορίζονται, οὔτε γὰρ προστίθεσθαί τι αὐτῷ ἀπὸ τῆς γενέσεως, οὔτε ἀφαιρεῖσθαι ἀπ' αὐτοῦ μηδὲν ἄμεινον, εἰς τὰ ἀπολλύμενα. τοῦτο δὴ τὸ μέτρον οἱ μὲν περὶ πλωτῖνον εἰς τὸν τέλειον ἀριθμὸν ὡς οἰκεῖον προσβιβάζουσι.

Πλωτῖνος μὲν καὶ πορφύριος καὶ ἀμέλιος ἀπὸ τῆς ὑπὲρ τὸν οὐρανὸν ψυχῆς καὶ πάσας ὁμοίως εἰσοικίζουσιν εἰς τὰ σώματα· πολὺ δὲ διαφερόντως ἔοικεν ὁ τίμαιος τὴν πρώτην ὑπόστασιν τῶν ψυχῶν ποιεῖν τὸν δημιουργὸν διαπρεπεστάτην περὶ πάντα μὲν τὰ κρείττονα γένη, καθ' ὅλον δὲ τὸν οὐρανόν, εἰς ὅλα δὲ τὰ στοιχεῖα τοῦ παντός. ἔσται δὴ οὖν καὶ ἡ σπορὰ ἡ δημιουργικὴ τῶν ψυχῶν διαιρουμένη περὶ τὰς θείας δημιουργίας, καὶ ἡ πρώτη τῶν ψυχῶν πρόοδος συνυφισταμένη μεθ' ἑαυτῆς ἔχουσα τὰ δεχόμενα τὰς ψυχάς· ἡ μὲν ὅλη, τὸν ὅλον κόσμον· αἱ δὲ τῶν ἐμφανῶν, τὰς κατ' οὐρανὸν σφαίρας· αἱ δὲ τῶν στοιχείων, αὐτὰ τὰ στοιχεῖα· καθ' ἃς καὶ ψυχαὶ συνεκληρώθησαν καθ' ἑκάστην τοιαύτην λῆξιν, ἀφ' ὧν δὴ αἱ κάθοδοι γίγνονται τῶν ψυχῶν ἄλλαι ἐπ' ἄλλων διακληρώσεων, βούλεται ἐνδείκνυσθαι σαφῶς ἡ τοῦ τιμαίου διάταξις. ἄλλη τοίνυν αἵρεσις τῶν πλωτινικῶν, οὐ κατὰ τοὺς δημιουργικοὺς κλήρους, οὐδὲ κατὰ τὰς διαιρέσεις τῶν κρειττόνων, οἷον θεῶν, ἀγγέλων, δαιμόνων, ἡρώων, οὐδὲ κατὰ τὰς νομὰς τοῦ παντὸς διακρίνει τὰς ἀπὸ τῶν διαφερόντων τόπων καταβάσεις τῶν ψυχῶν· τιθεμένη δὲ τὴν ψυχὴν ἀεὶ εἶναι ἐν σώματι, ὥσπερ ἡ ἐρατοσθένους, καὶ πτολεμαίου τοῦ πλατωνικοῦ, καὶ ἄλλων, ἀπὸ σωμάτων αὐτὴν λεπτοτέρων εἰς τὰ ὀστρεώδη πάλιν εἰσοικίζει σώματα. διατρίβειν μὲν γὰρ αὐτὴν εἰς μοῖράν τινα τοῦ αἰσθητοῦ, καθήκειν γε μὴν εἰς τὸ στερεὸν σῶμα ἄλλοτε ἐπ' ἄλλων τοῦ παντὸς τόπων· καὶ τούτους ἡρακλείδης μὲν ὁ ποντικὸς ἀφορίζει περὶ τὸν γαλαξίαν, ἄλλοι δὲ καθ' ὅλας τὰς οὐρανίας σφαίρας, ἀφ' ὧν δὴ δεῦρο κατιέναι τὰς ψυχάς· τοὺς περὶ σελήνην, ἢ ἐν τῷ ὑπὸ σελήνην ἀέρι λέγειν αὐτὰς κατοικεῖν, καὶ ἀπ' αὐτοῦ κάτω χωρεῖν εἰς τὴν περίγειον γένεσιν· τοὺς δὲ ἀπὸ σωμάτων ἀεὶ στερεῶν πίπτειν εἰς ἕτερα σώματα διισχυρίζεσθαι. ἀπὸ μὲν δὴ τοσούτων καὶ οὕτω διαφερόντων μερῶν γίγνεσθαι διαφερούσας τὰς τῆδε καθόδους· αὐτοὺς δὲ τοὺς τρόπους διίστασθαι πολυειδῶς. ἡράκλειτος μὲν γὰρ ἀμοιβὰς ἀναγκαίας τίθεται ἐκ τῶν ἐναντίων, ὁδόν τε ἄνω καὶ κάτω διαπορεύεσθαι τὰς ψυχὰς ὑπείληφε, καὶ τὸ μὲν τοῖς

rio ponunt. Atq. horum rursus alij de seminibus illa procreantes, quorũ singula possint plura producere, hoc modo semper procedente, nec usquam subsistente; in generatione perpetua[a] infinitum ponunt: alij secũdum immutationem de uno animali pereunte multa producentes; in mutatione perpetua, quam perpetuus subsequatur ortus, infinitam animarum multitudinem statuunt. Qui verò à natura non separant animam, ipsi quoque secundum diuisionem animas infinitas introducunt: quandoquidem arbor etiam unaquaque diuisa toti similis est, atque earundem virium particeps. Platonici denique ortu eas & interitu carere asserẽtes, in eadem semper symmetria arbitrantur cõsistere, sic ut nec ortu quicquam ipsis addatur, nec interitu auferatur. Hanc porrò mensuram Plotinici quidem ad numerum perfectum referunt.

[a] ἄπειρον pro ἄπορον

De descensu animarum.

Plotinus quidem, Porphyrius, & Amelius ab anima cæli omnes æqualiter in corpora deriuant: singulariter autem Timæus opificem facit primam animarum naturã tum per omnia præstantiora generã, tum per cælum totũ, tum etiam per Uniuersi elementa differentem. Quapropter hæc opificis satio per diuina distribuetur opificia, primusq; animarum progressus cum ea simul exorietur, animarum nactus receptacula, totus quidẽ totum mundum; præstantiorum autem, sphæras cælestes; elementorum verò, ipsa elementa; qua ratione animæ quoque sortes suas accepere singulæ, ac pro sortibus descensus, quemadmodum apertè Timæi docet series. Alia verò Plotinicorum secta, nec secundum opificis sortes, nec secundũ præstantiorum distributiones, ut deorum, angelorũ, dæmonum, heroum, nec secundum Uniuersi ordinem animarum à diuersis locis descensus discernit: sed animam semper in corpore reponens, ut Eratosthenes, Ptolemæus Platonicus, & alij volunt, à minutioribus corporibus eam transfert in testacea. quanquam enim in parte quadam sensus versetur, ad solidum tamen corpus in variis Uniuersi locis pertinere, quæ Heraclides quidem Ponticus in Galaxia ponat, alij autem in omnibus sphæris cælestibus, de quibus animæ descendant; & aliis quidem circa Lunam, vel sub Luna eas videri habitare, atque inde ad ortum terrenũ descendere, aliis autem à solidis corporibus in alia transferri. de tot porrò tamq; diuersis partibus descensus varios oriri. Ipsi quoque modi sunt varij. Heraclitus enim vicissitudines contrariorum necessarias ponit, ultrò citroq; commeantibus ani-

mis, sic vt ipsis loci constantia laborem, mutatio requiem adferat: Tauri autem sectatores à diis animas in terram demitti censent, partim secundum Timaeum ad perfectionem Vniuersi, vt hic mundus totidem habeat animalia, quot superior; partim ad rectæ vitæ demonstrationem. hanc siquidem deorum esse mētem, vt dij per animas appareant, earumq́ puram & sinceram vitam. Alia igitur diuisione descensus alij cum voluntate coniuncti sunt, vel per se anima terrenam administrationem suscipiente, vel præstantioribus parente, alij non sunt, cùm illa vi ad deterius rapitur.

De varietate descensus.

Non eadem est omnium animarum cum corporibus communio: verùm tota quidem, vt & Plotino videtur, ad se corpus accedens habet, non ipsa ad illud accedit, neque ab eo continetur; diuidua autē ad corpora accedunt, corporumq́ fiunt, iisq́ iam ab Vniuersi natura occupatis, in ea trāsferuntur. Ac deorū quidem corpora diuina, mentem imitantia, ad suam transferūt naturam; aliorum autem generum singulæ pro ordine suo [a] vehicula dirigunt sua. Præterea pura perfectaq́ anima purè absque affectionibus, & non absque mente corporibus induuntur; impura cōtrà, quanquanquam id Attici sectatoribus non videtur, qui vno [b] pacto omnes animas in corpora transferūt, vt in omni animæ descensu rationis expertem et materiæ compotem animam præponētes, ita huic exornatæ ratione præditæ communionem inferētes. Fines quoque varios arbitror varios descensuum modos producere. etenim alia salutis, purgationis, ac perfectionis inferiorum causa descendens, purè id facit; alia obliuionis morumq́ correctionis ergo cum corporibus versans, non prorsus affectibus vacat; alia denique iudicij causa descendens, trahi ac rapi videtur. •

distinguūt, cùm autem scopi differentia careant, in vnum descensus omnes confundunt, ac malos ducunt, præcipuè tamen Cronius, Numenius, & Arpocratio. Hoc quoque considerandum est, vitas etiam animarum, priusquam ingrediantur corpora, multùm inter se differre, ac proinde primos etiam congressus. Etenim recentes quidem & perfectas animæ species cōtinentes, sinceræ omnes absque affectibus primùm corporibus induuntur: quæ autem cupiditatibus, aliisq́ scatent affectibus, cum iisdem primùm corporibus inseruntur. • *secundum Hippocratem autem, ab AEsculapio oriundum, cùm semen informatum fuerit; siquidem tunc illud ad vitam accipiendam esse aptum: secundum Porphyrium verò, prima fœtus pro-*

[a] ὀχήματα pro χήματα.

[b] τρόπῳ pro τρόπου.

αὐτοῖς ἐπιμένειν, κάματόν ἐστι, τὸ δὲ μεταβάλλειν, φέρειν ἀνάπαυσιν. Οἱ δὲ περὶ Ταῦρον Πλατωνικοὶ πέμπεσθαι τὰς ψυχὰς ὑπὸ θεῶν εἰς γῆν λέγουσιν, οἱ μὲν ἑπόμενοι τῷ Τιμαίῳ, παραδιδόντες ὅτι εἰς τελείωσιν τοῦ παντὸς, ὥστε εἶναι καὶ ἐν τῷ κόσμῳ τοσαῦτα ζῶα ὅσα ἐστὶν ἐν τῷ νοητῷ· οἱ δὲ εἰς θείας ζωῆς ἐπίδειξιν τὸ τέλος ἀναφέροντες τῆς καθόδου. ταύτην γὰρ εἶναι τὴν βούλησιν τῶν θεῶν, θεοὺς ἐκφαίνεσθαι διὰ τῶν ψυχῶν. προέρχονται γὰρ εἰς τοὐμφανὲς οἱ θεοὶ, καὶ ἐπιδείκνυνται διὰ τῶν ψυχῶν καθαρᾶς καὶ ἀχράντου ζωῆς. κατ' ἄλλην τοίνυν διαίρεσιν, οἱ μὲν ἑκούσιοι τρόποι νοοῦνται τῆς καθόδου, ἢ ἑλομένης αὐτῆς τῆς ψυχῆς τὴν διοίκησιν τῶν περὶ γῆν, ἢ πειθαρχούσης τοῖς κρείττοσιν· οἱ δὲ ἀκούσιοι, βιαζομένης ἐπὶ τὸ χεῖρον ἕλκεσθαι.

Περὶ διαφορᾶς καθόδου τῶν ψυχῶν.

Οὐχ ἡ αὐτή ἐστι πασῶν τῶν ψυχῶν κοινωνία πρὸς τὰ σώματα· ἀλλ' ἡ μὲν ὅλη, ὥσπερ καὶ Πλωτίνῳ δοκεῖ, προσιὸν ἑαυτῇ τὸ σῶμα ἔχει ἐν ἑαυτῇ, ἀλλ' οὐκ αὐτὴ πρόσεισι τῷ σώματι, οὐδὲ περιέχεται ὑπ' αὐτοῦ· αἱ δὲ μερισταὶ προσέρχονται τοῖς σώμασι, καὶ τῶν σωμάτων γίγνονται, καὶ ἤδη κρατουμένων τῶν σωμάτων ὑπὸ τῆς τοῦ παντὸς φύσεως, εἰσοικίζονται εἰς αὐτά. καὶ αἱ μὲν τῶν θεῶν θεῖα σώματα, νοῦν μιμούμενα, ἐπιστρέφουσι πρὸς τὴν ἑαυτῶν νοερὰν οὐσίαν· αἱ δὲ τῶν ἄλλων θείων γενῶν, ὡς ἕκασται ἐτάχθησαν, οὕτω κατευθύνουσιν ἑαυτῶν τὰ χήματα. ἔτι μὴν αἱ καθαραὶ ψυχαὶ καὶ τέλειαι καθαρῶς οἰκίζονται εἰς τὰ σώματα ἄνευ παθημάτων, καὶ τῆς στερήσεως τοῦ νοεῖν· αἱ δ' ἐναντίαι, ἐναντίως. Ἀττικῷ δ' ἢ Πλατωνικοῖς οὐ συνδοκεῖ, καθ' ἕνα δὲ τρόπου συντάξεως τὰς ὅλας ψυχὰς τοῖς σώμασι συνάπτουσιν, ὡσαύτως ἀεὶ μὲν καὶ ἐπὶ πάσης ἐνσωματώσεως τῶν ψυχῶν προϋποτιθέντες τὴν ἄλογον καὶ πλημμελῆ καὶ ἔνυλον ψυχὴν, ἐν αὐτῇ δὲ κατακοσμουμένῃ τὴν κοινωνίαν τῆς λογικῆς εἰσαγαγόντες. Οἶμαι τοίνυν καὶ τὰ τέλη διάφορα ὄντα, καὶ τοὺς τρόπους τῆς καθόδου τῶν ψυχῶν ποιεῖν διαφέροντας. ἡ μὲν γὰρ ἐπὶ σωτηρίᾳ καὶ καθάρσει καὶ τελειότητι τῶν τῇδε κατιοῦσα, ἄχραντον ποιεῖται καὶ τὴν κάθοδον· ἡ δὲ διὰ γυμνασίαν καὶ ἐπανόρθωσιν τῶν οἰκείων ἠθῶν ἐπιστρεφομένη περὶ τὰ σώματα, οὐκ ἀπαθής ἐστι παντελῶς, οὐδὲ ἀφεῖται ἀπόλυτος καθ' ἑαυτήν· ἡ δὲ ἐπὶ δίκῃ καὶ κρίσει δεῦρο κατερχομένη, συρομένῃ πως ἔοικε καὶ συνελαυνομένῃ· •

διακρίνουσιν· οὐκ ἔχοντες δὲ σκοπὸν τῆς διαφορότητος, εἰς ταυτὸ συγχέουσι τὰς ἐνσωματώσεις τῶν ὅλων, κακάς τε εἶναι πάσας διισχυρίζονται, καὶ διαφερόντως οἱ περὶ Κρόνιόν τε καὶ Νουμήνιον, καὶ Ἁρποκρατίωνα. δεῖ δέ που καὶ τοὺς βίους τῶν ψυχῶν κατανοεῖν, πρὶν ἐλθεῖν εἰς σῶμα, ὡς ἄρα καὶ οὗτοι πολλὴν ἔχουσιν ἐν ἑαυτοῖς διάστασιν. ἀπὸ δὲ διαφόρων τρόπων ζωῆς διάφορον ποιοῦνται ἑαυτῶν καὶ τὴν πρώτην σύνοδον. οἱ μὲν γὰρ νεοτελεῖς, καὶ ὁλόκληρα τὰ εἴδη τῆς ψυχῆς περιέχοντες, πάντες ἀπαθεῖς, καὶ ἀκήρατοι, ἐμφύονται πρώτως εἰς τὰ σώματα· οἱ δὲ ἀπὸ τῶν ἐπιθυμιῶν ἄδην ἀναπεπλησμένοι, καὶ ἄλλων παθῶν μεστοὶ, μετὰ παθῶν συνέρχονται πρώτως τοῖς σώμασι. • κατὰ δ' Ἱπποκράτην, τὸν τῶν Ἀσκληπιαδῶν, ὅταν πλασθῇ τὸ σπέρμα· τότε γὰρ ἐπιτηδείως ἔχει αὐτὸ μεταλαμβάνειν ζωῆς· κατὰ δὲ Πορφύριον, ἐν τῇ πρώτῃ ἀπογεννήσει τοῦ παιδίου,

οὐ ταυτή.

πρώτως

προϋπάρχουσα ἡ κατ' ἐνέργειαν ζωοποιία καὶ παρουσία τῆς ψυχῆς φύεται. γένοιτο δ' ἂν καὶ ἄλλη τις δόξα, οὐδέπω καὶ νῦν ῥηθεῖσα, ἡ λέγουσα, πλείονας μὲν εἶναι τὰς δυνάμεις καὶ τὰς οὐσίας τῆς ψυχῆς, κατὰ καιρὸν δὲ ἄλλοτε ἄλλως, ᾗπερ ἂν ἐπιτηδείως ἔχῃ τὸ γιγνόμενον σῶμα, τὰ μὲν πρῶτα τῆς φύσεως μεταλαμβάνειν, ἔπειτα τῆς αἰσθήσεως, εἶτα τῆς ὁρμητικῆς ζωῆς, καὶ τότε δὴ τῆς λογικῆς ψυχῆς, ἐπὶ δὲ τῷ τέλει, τῆς νοερᾶς. τοσαῦτα καὶ ἡ κατὰ τοὺς χρόνους συμφυομένη κοινωνία τῶν ψυχῶν πρὸς τὰ σώματα δέχεται δοξάσματα.
ἀλλὰ μὴν ἔν γε τῷ τόπῳ τῆς εἰσόδου τῶν ψυχῶν καθ' ὃν ἐπιζητοῦμεν πῶς εἰσκρίνεται, μία μὲν ἐστὶ ἡ παλαιὰ δόξα, ἡ ἕλκουσα ἀπὸ τῆς ἐκτὸς τὴν ψυχὴν ἐν τῇ καλουμένῃ συλλήψει, ἢ διὰ προθυμίας τοῦ γεννῶντος διὰ τῆς ἀναπνοῆς, ἢ διὰ προθυμίας τῆς ὑποδεχομένης μήτρας, ὅταν αὐτὴ ἐπιτηδείως ἔχῃ πρὸς τὴν κατάστασιν, ἢ διὰ συμπάθειαν ἀμφοῖν, ὅταν κοινῇ συμπνέοντα ἀμφότερα ἑλκτικὴν ἔχῃ τὴν ἰδιότητα, συνεπομένης καὶ τῆς φύσεως· ἡ δὲ κατ' ἀνάγκην εἰσδύεσθαι ποιεῖ τὴν αὐτοκίνητον εἰς τὸ ὀργανικὸν σῶμα, ἤτοι ἀπὸ τοῦ παντὸς, ἢ τῆς ὅλης ψυχῆς, ἢ τῆς δημιουργίας πάσης. οἱ δὲ καθαρώτεροι τῶν Πλατωνικῶν, ὥσπερ δὴ οἱ περὶ Πλωτῖνον, ἄρχεσθαι μὲν τῆς κινήσεως τὸ ὀργανικὸν σῶμά φασι ἀπὸ τούτων τῶν μερῶν, δηλοῦσιν εἰς τὴν γένεσιν ταῖς χρωμένας αὐτῷ δυνάμεσιν, αὐτὰς δὲ δυνάμεις ἀπολύτους εἶναι τῶν μεριστῶν σωμάτων διισχυρίζονται.
Ἤδη τοίνυν καὶ ἡ χρῆσις τοῦ σώματος πολλῆς δεῖται διακρίσεως. οἱ μὲν γὰρ προσεοικέναι αὐτὴν λέγουσιν ὡς κυβερνήσει, ἧς καὶ ἀπολλυμένης χωρὶς δύναται ὁ κυβερνήτης· οἱ δὲ ὀχήματος ἐπιβάσει κοινὴν πορείαν τε διακομιδὴν ἡνιοχήσει προσεοικυῖαν αὐτὴν, ὡς μᾶλλον ἁρμόζουσαν· οἱ δὲ συνεργίᾳ ἀπ' ἀμφοτέρων ἰσομοιρούσῃ ἢ συνδόσει καὶ ῥοπῇ πρὸς τὸ σῶμα ἐπικρατείᾳ τοῦ σώματος ἀποδιδόασιν αὐτὴν τὴν ὁμοιότητα.
Περὶ δὲ κοινωνίας τῆς πρὸς θεοὺς τῶν ψυχῶν, γένοιτ' ἄν τις διαμφισβήτησις, τῶν μὲν λεγόντων ἀδύνατον μίγνυσθαι θεοὺς ταῖς κατεχομέναις ψυχαῖς ἐν τῷ σώματι· τῶν δὲ διατεινομένων μίαν εἶναι κοινὴν πολιτείαν τῶν καθαρῶν ψυχῶν πρὸς τοὺς θεοὺς, καὶ εἰ ὅτι μάλιστα ἐν τοῖς σώμασι διατρίβουσιν· οἱ δὲ οὐδὲν τούτων συγχωροῦσιν, ὡς δὲ μέρος τὴν ψυχὴν φασὶν εἶναι ἐν ὅλῳ τῷ ζώῳ· οἱ δὲ ὡς τέχνην ἐμπεφυκέναι τοῖς ὀργάνοις, ὥσπερ εἰ τὴν ἔμψυχος οἴαξ· οἱ δὲ μόνοις δαίμοσιν ἢ ἥρωσιν ὑποτιθέασιν αὐτῆς κοινὴν συνουσίαν· ἄλλοι μὲν, οἱ βελτίους κρινόμενοι κατὰ Πλάτωνα, καθαρότητι καὶ ἀναγωγῇ καὶ τελειότητι τῆς ψυχῆς· ἄλλοι δὲ οἱ χείρους, τοῖς ἐναντίοις τούτων ἀντιδιαστελλόμενοι· κατὰ δὲ τοὺς Στωϊκοὺς, τῇ κοινωνίᾳ τε τῷ καλῷ τῷ τῆς φύσεως ἐξηρτημένῳ· κατὰ δὲ τοὺς Περιπατητικοὺς, τῇ κατὰ φύσιν τε συμμετρίᾳ, καὶ τῇ ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν νοερᾷ ζωῇ προτιμώμενοι· κατὰ δὲ Ἥριλλον, ἐπιστήμῃ· κατὰ δὲ Ἀρίστωνα, ἀδιαφορίᾳ· κατὰ δὲ Δημόκριτον, εὐσχημοσύνῃ· κατὰ δὲ τοὺς ἄλλους, μέρει τινὶ τοῦ καλοῦ· ἢ τῇ ἀνοχλησίᾳ, καθ' Ἱερώνυμον· ἢ ἄλλοις τισὶ τρόποις, διαγωγῆς τὸ αἱρετὸν ἔχοντες, ἀφ' ὧν οἱ κατὰ μέρος φύονται βίοι ἄπειροι περὶ τὴν γένεσιν διαφερόμενοι, περὶ ὧν οὐδὲν δεῖ πολυπραγμονεῖν, ἀλλὰ εἰς τὸ ἄπειρον αὐτοὺς μεθέντας χαίρειν ἐᾶν.

Περὶ θανάτου.

ὦ Ἰωάν. Ἐπειδὰν μετὰ τὸν τῇδε βίον ἡ τελευτὴ συμπληρωθῇ, τί

creationi primùm vita & anima infunditur. Alia quoq. nondum relata fertur opinio, quæ plures quidem facultates & naturas animæ statuit, suis autem quanque temporibus, prout appositum fuerit corpus, primùm naturam accipere, deinde sensum, tum appetitum, postea rationem, ac denique mentem. Atque hæc quidem de tempore communionis animarum cum corporibus est opinionum varietas: de loco autem ingressus animarum, una quidem triplex fertur opinio, quæ ab exterioribus animam in cõceptu attrahit, vel per generantis alacritatẽ in respiratione, vel per uteri receptaculi alacritatem, cùm id ad constitutionem aptum fuerit: vel per utriusque consensum, cùm ambo cõmuniter attrahendi vim habuerint, mota pariter natura: altera verò necessario per se mobilem animam in corpus organicum vult ingredi, vel à tota, sive totius anima, vel ab opificio Universi profectã. Sed puriores Platonici, velut Plotinus, ab his quidem partibus motum auspicari corpus organicum fatentur, utentibus ipso facultatibus ad ortum subserviens, facultates tamen ipsas à dividuis corporibus separari asserunt.

Usus quoque corporis magnũ requirit discrimen. Etenim alij cum gubernatione eum cõparant, sine qua potest gubernator perire; alij potius currus cõscensu iter commune dirigente; alij denique cum communi æqua functione, vel momẽto ad corpus vergente. Præterea de communione animarum cum diis, quædam extitit contentio, aliis nefas ducentibus deos cum animabus corpori inclusos commisceri, aliis communem esse puris animabus unam cum diis rempublicam, etiamsi in corporibus degant, contendentibus. alij porrò nihil horũ concedunt: sed animam velut partem toti volunt animali inesse, vel ut artem instrumentis adiungi, quasi animatum sit gubernaculum. alij porrò cum dæmonibus vel heroibus solis communionem illi concedunt, quatenus præstantiores quidem secundum Platonem purgatione animæ & perfectione, deteriores autem horum contrariis discernuntur; secundum Stoicos autem communione, et à natura dependente pulcritudine; secundum Peripateticos verò naturæ symmetria, mentisq. vita humanam superante naturam; secundum Herillũ scientia; secundum Aristonem discriminis vacuitate; secundum Democritum decore; secundũ quosdam aliqua pulcritudinis parte; secundum Hieronymum denique offensæ vacuitate; aliisve modis, ex quibus vitæ singulæ absq. numero procedunt, de quibus nihil amplius dicere, sed infinito illas relinquere statuimus.

De morte.

Posteaquam hanc vitam mors exceperit, quid

euenire dicemus? an quemadmodum in ortu vel præcedebat corpora, vel comitabatur, vel subsequebatur secundum diuersas sectas anima, sic etiã in morte vel ante corpus perit, vel vnà cum corpore, vel post excessum per se subsistit. Ac summa quidem rei hæc est; partium autem ac specierum partitia huius generis quæstiones complectitur: vtrùm suffocatis arteriis, ne spiritum possint accipere, an soluta compage, vel extincto calore succedat interitus. Atque hoc pacto quidem si se res habet, perit ante corpus anima, quemadmodũ Cornutus existimat: sin vt facultas, velut lyra harmonia, vel perfectio corpus relinquit, non quidem prius perit, quoniam per motum ad interitũ non procedit, sed subitò ad nihilum absque interitu redit, quemadmodũ subitò fulguris instar existit. Quapropter vt vita animalibus ex vita genere cõtingit, ita mors ex eius amissione, quemadmodum Peripatetici multi senserunt. Sin verò inest anima corpori, sicut ventus vtri, vel in eo mouetur, vt quæ in aëre per rimas apparent; discedit sanè de corpore, • & Epicurus existimant. Plotinus autẽ aliam introduxit sectam, quæ illas à ratione separat, vel in ortum dimittit, vel etiam ab intellectu tollit; de qua rursum duplex oritur opinio. Etenim vel vnaquaque rationis expers facultas in totam Vniuersi vitã, à qua processit, resoluitur, etiamsi mutationem nullam sentiat, vt retur Porphyrius; vel ab intellectu separata tota rationis expers vita conseruatur in mundo, vt antiquissimi censent sacerdotes. Neq. aliter de mediis animæ corporisq́ naturis variè sentiunt. Alij enim statim animam organico corpori coniungunt, vt plerique Platonici. alij inter animam incorpoream & corpus æthereos & cælestes amictus, mentes vitam circumdantes, tum ipsi anteponi præsidij causa censent, tum vt° vehiculo subseruire, tum etiam cũ solido corpore vinculis quibusdam communibus aptè connectere.

° ὀχήματα pro ὀχήματι.

ποτε συμβαῖνον ἐστί; πότερον ὥσπερ ἐν τῇ γενέσει προϋπῆρχεν, ἢ συνυφίστατο, ἢ ὡς ἑτέρα πως ἐπεγίγνετο τῷ σώματι ἡ ψυχή, κατὰ τὰς διαφόρους αἱρέσεις· οὕτω καὶ ἐν τῷ ἀποθνήσκειν προφθείρεται τοῦ σώματος, ἢ συναπόλλυται αὐτῷ, ἢ διαμένει καθ' ἑαυτήν, μετὰ τὴν ἐνθένδε ἔξοδον; τὸ μὲν ὂν σύμπαν κεφάλαιον τοιοῦτον· μέρη δ' αὐτοῦ καὶ ἡ κατὰ τὰ εἴδη διαίρεσις δέχεται πολλὰς τοιαύτας ἀμφισβητήσεις, ἆρά γε πνιγμῷ τῶν ἀρτηριῶν ἀποκλειομένων τῷ δέχεσθαι τὸ ἐκτὸς πνεῦμα, ἢ ἐκλυομένου τοῦ τόνου, καὶ παρειμένου τοῦ θερμοῦ, ἢ ἐναποσβεννυμένου πως εἰς τὰ εἴσω τὰ ζῶντα πρότερον, εἰσαῦθις ἀποθνήσκει. ἀλλ' εἰ οὕτως γίγνεται ὁ θάνατος, προσαναιρεῖται ἡ ψυχὴ τῷ σώματι, καθάπερ Κορνοῦτος οἴεται. εἰ δὲ ὡς δύναμις ὑποκειμένη, ὥσπερ δὴ ἁρμονία λύρας, ἢ τελειότης προαφίσταται τοῦ σώματος, ἐν τῷ ἀποθνήσκειν ἡ ψυχὴ προφθείρεται μὲν οὐδαμῶς, οὐδὲ γὰρ διὰ κινήσεως πρόεισιν εἰς τὸ μὴ εἶναι, ἀλλ' ἐξαίφνης εἰς τὸ μὴ εἶναι μεθίσταται ἀχρόνως καὶ ἄνευ φθορᾶς, ὥσπερ δὴ καὶ ἔστιν ὅτ' ἐστὶν ἀθρόως, οἷον ἀστραπῆς ἐλλαμψάσης. ἔστι δὴ οὖν τὸ μὲν ζῆν τὰ ζῶα, ἀπὸ τοῦ ἔχειν τὸ τῆς ζωῆς εἶδος· τὸ δὲ καλούμενον ἀποθνήσκειν, ἀπὸ τοῦ μὴ παρεῖναι αὐτό, ἢ μὴ ἔχεσθαι· ἧς πολλοὶ περιπατητικοὶ δόξης προεστήκασιν. εἰ δὲ πρόσεστι μὲν καὶ ἔνεστι ἡ ψυχὴ τῷ σώματι, καθάπερ ἐν ἀσκῷ πνεῦμα περιεχόμενον, ἢ συμπιλουμένη πρὸς αὐτό, καὶ ἐκκινουμένη ὥσπερ τὰ ἐν τῷ ἀέρι ξύμπαντα διὰ τῶν θυρίδων φαινόμενα· δῆλόν που τοῦτο, ὅτι ἔξεισι μὲν ἀπὸ τοῦ σώματος, • καὶ Ἐπίκουρος ἀποφαίνονται. τὰς δὲ περὶ Πλωτῖνον τῆς στάσεως προεστηκυίας ἐκείνης τῆς χωριζούσης αὐτὰς ἀπὸ τοῦ λόγου, ἢ καὶ ἀφιείσης εἰς τὴν γένεσιν, ἢ καὶ ἀφαιρούσης ἀπὸ τῆς διανοίας ἀφ' ἧς πάλιν διττῆς δόξης γίγνεται διάκρισις. ἤτοι γὰρ λύεται ἑκάστη δύναμις ἄλογος εἰς τὴν ὅλην ζωὴν τοῦ παντὸς ἀφ' ἧς ἀπομερίσθη, ἢ καὶ ὅτι μάλιστα μένει ἀμετάβλητος, ὥσπερ ἡγεῖται Πορφύριος· ἢ καὶ χωρισθεῖσα ἀπὸ τῆς διανοίας, ἡ ὅλη ἄλογος ζωὴ μένει καὶ αὐτὴ διασωζομένη ἐν τῷ κόσμῳ, ὥσπερ καὶ οἱ παλαιότατοι τῶν ἱερέων ἀποφαίνονται. κατὰ τὰ αὐτὰ δὴ ἴδοι καὶ περὶ τῆς μέσης οὐσίας ψυχῆς τε καὶ σώματος πολυδιαφορώτατος διατάττονται. οἱ μὲν γὰρ εὐθὺς αὐτὴν τὴν ψυχὴν αὐτῷ τῷ σώματι τῷ ὀργανικῷ συνοικίζουσιν, ὥσπερ οἱ πλεῖστοι τῶν Πλατωνικῶν· οἱ δὲ μεταξὺ τῆς τε ἀσωμάτου ψυχῆς καὶ τῆς ἀγγελιώδους, αἰθέρια δὲ καὶ οὐράνια πνευματικὰ καὶ περιβλήματα περιαμπέχοντα τὴν νοερὰν ζωὴν προβεβλῆσθαι μὲν αὐτῆς, φρουρᾶς ἕνεκεν, ὑπηρετεῖν δὲ αὐτὴν καθάπερ ὀχήματι, συμμέτρως δ' αὖ καὶ πρὸς τὸ στερεὸν σῶμα συμβιβάζειν μέσοις τισὶ κοινοῖς συνδέσμοις αὐτὴν συνάπτοντα.

Mercurij libro sacro.

Hæc locuta, dulce Horo miscet primùm ambrosiæ poculum, quod animæ deorum solent sumere; deinde sermonem sacrum sic auspicatur Isis: Subiectæ naturæ toti, Hore fili, imposito coronis referto cælo, neque vsquam aliqua re, quam totus complectitur mundus, carente; necesse est ab impositis subiectam naturam totam ornari atq. repleri. Cùm enim nequeant inferiora superioribus esse ornamento, debent vtiq. præstantioribus mysteriis deteriora cedere. Præstantior autem superiorum est ordo, quàm inferiorum, ac prorsus

Ταῦτα εἰποῦσα, ἐγχεῖ ποτὸν Ὥρῳ γλυκὺ τὸ πρῶτον ἀμβροσίας, ὃ αἱ ψυχαὶ λαμβάνειν ἔθος ἔχουσι θεῶν, καὶ οὕτως τοῦ ἱερωτάτου λόγου ἄρχεται Ἶσις· ἐπικειμένου, τέκνον Ὧρε, τῇ τῶν ὑποκειμένων φύσει πάσῃ τοῦ πολυστεφοῦς οὐρανοῦ, καὶ κατ' οὐδένα τόπον στερουμένου τινὸς ὧν νῦν ὁ σύμπας ἔχει κόσμος, ἀνάγκη πᾶσαν ὑπὸ τῶν ὑπερκειμένων συγκεκοσμῆσθαι καὶ πεπληρῶσθαι φύσιν πᾶσαν τῶν ὑποκειμένων. οὐ γὰρ δή που δυνατὰ κοσμῆσαι τὰ κάτω τὸν ὕπερθεν διάκοσμον. ἀνάγκη τοίνυν τοῖς κρείττοσι μυστηρίοις εἴκειν τὰ ἐλάσσονα. κρείσσων δὲ τῶν ὑποκειμένων, ἡ τῶν μετεώρων ἐστὶ διάταξις,

[illegible]

καὶ

καὶ τῷ παντὶ ἀσφαλής τε, καὶ θνητῇ οὐχ ὑποπίπτουσα διανοίᾳ· ἔνθεν ἐστέναξε τὰ κάτω φόβῳ ἔχοντα τῆς περικαλλῆ καὶ εἰς ἀεὶ διαμονὴν τῶν ἐπικειμένων. ἦν γὰρ ἄξιον θεωρίας ὁμοῦ καὶ ἀγωνίας, ὁρᾶν οὐρανοῦ κάλλος θεῷ καταφανταζόμενον, τῷ ἔτι ἀγνώστῳ, πλουσίαν τε νυκτὸς σεμνότητα, ἐλάττονι μὲν ἡλίου, ὀξεῖ δὲ προτρεχουμένην φωτί, τῶν τε ἄλλων κατὰ μέρος κινουμένων ἐν οὐρανῷ μυστηρίων τακταῖς χρόνων κινήσεσι καὶ περιόδοις διά τινων κρυπτῶν ἀπορροιῶν τὰ κάτω κοσμούντων, καὶ συναυξόντων. καὶ ταῦτα φόβος μὲν ἐπάλληλος, ζητήσεις τε ἄληκτοι, καὶ ἕως ὁ τῶν συμπάντων οὐκ ἐβούλετο τεχνίτης, ἀγνωσία κατεῖχε τὰ σύμπαντα· ὅτε δὲ ἔκρινεν αὐτὸν ὅστις ἐστὶ δηλῶσαι, ἔρωτας ἐνθουσία θεοῖς, καὶ αὐγὴν ἣν εἶχεν ἐν στέρνοις, πλείονα τῆς τούτων ἐχαρίσατο διανοίαις· ἵνα πρῶτον μὲν ζητεῖν θελήσωσιν, εἶτα ἐπιθυμήσωσιν εὑρεῖν, εἶτα καὶ κατορθῶσαι δυνηθῶσι. τοῦτο δ' ἄν, ὦ τέκνον, ἀξιοθαύμαστον, ὦρε, οὐκ ἂν ἐπὶ θνητῆς σπορᾶς ἐγεγόνει, οὐδὲ γὰρ ἦν οὐδέπω, ψυχῆς δὲ, τῆς συμπαθείας ἐχούσης τοῖς οὐρανοῦ μυστηρίοις. τοῦτο δὲ ἦν ὁ πάντα νοῦς Ἑρμῆς· ὃς καὶ εἶδε τὰ σύμπαντα, καὶ ἰδὼν κατενόησε, καὶ κατανοήσας ἴσχυσε δηλῶσαί τε καὶ δεῖξαι. καὶ γὰρ ἃ ἐνόησεν, ἐχάραξε· καὶ χαράξας, ἔκρυψε τὰ πλεῖστα· σιγήσας ἀσφαλῶς καὶ λαλήσας, ἵνα ζητῇ ταῦτα πᾶς αἰὼν ὁ μεταγενέστερος κόσμου· καὶ οὕτως τοὺς συγγενεῖς θεοὺς δορυφορεῖν, ἀνέβαινεν εἰς ἄστρα. ἀλλὰ ἦν αὐτοῦ διάδοχος ὁ Τάτ· υἱὸς ὁμοῦ καὶ παραλήπτωρ τῶν μαθημάτων τούτων. οὐκ εἰς μακρὰν δὲ καὶ ὁ Ἀσκληπιὸς ὁ Ἰμούθης Πανὸς καὶ Ἡφαίστου βουλαῖς, ἄλλοι τε ὅσοι τῆς οὐρανίας θεωρίας πιστὴν ἀκρίβειαν ἔμελλον βουλομένης τῆς πάντων βασιλίδος ἱστορῆσαι προνοίας. Ἑρμῆς μὲν οὖν ἀπελογεῖτο τῷ περιέχοντι, ὡς οὐδὲ τῷ παιδὶ παρέδωκεν ὁλοτελῆ θεωρίαν, διὰ τὸ ἔτι τῆς ἡλικίας νεοειδές· ἐγὼ δὲ τῆς ἀνατολῆς γενόμενος τοῖς πάντα βλέπουσιν ὀφθαλμοῖς τὰ τῆς ἀνατολῆς θεωρῆσαί τι ἀειδῆ καὶ ἐπισκοποῦντι, βραδέως μὲν, ἀλλ' οὖν ἦλθεν εἰς ἀκριβὴς διάγνωσις, πλησίον τῶν Ὀσίριδος κρυφίων ἀποθέσθαι τὰ ἱερὰ τῶν κοσμικῶν στοιχείων σύμβολα· ἐπικατευξάμενον δὲ, καὶ τοὺς λόγους τούσδε εἰπόντα, εἰς οὐρανὸν ἀπῆλθεν. ἀλλ' οὐ καθῆκον ἀτελῆ τὴν ἐπαγγελίαν, ὦ τέκνον, ταύτην μὲν καταλεῖψαι, εἰπεῖν δ' ὅσα τὰς βίβλους κατατιθέμενος ἐξεῖπεν Ἑρμῆς. ἐξεῖπε γὰρ οὕτως· ὦ ἱεραὶ βίβλοι τῶν ἀφθάρτων, αἳ τετεύχατέ μου χειρῶν τῷ τῆς ἀφθαρσίας φαρμάκῳ χορείας ἐπικρατῶ, ἄσηπτοι παντὸς αἰῶνος καὶ ἄφθαρτοι διαμείνατε χρόνους, ἀθεώρητοι καὶ ἀνεύρετοι γιγνόμεναι παντὶ τῷ τὰ τῆς ταύτης παροδεύειν μέλλοντι πεδία, ἄχρις οὗ γηραιὸς οὐρανὸς συστήματα ὑμῶν ἄξια τεκνώσηται, ἃς ψυχὰς ὁ δημιουργὸς προσηγόρευσε. τοσαῦτα εἰπὼν, τὰς βίβλους, καὶ τοῖς ἑαυτοῦ κατευξάμενος ἔργοις, ἰδίαις τε μεμίζεται ζώναις. ἱκανὸς δὲ ὁ μέσος ἀργὸς χρόνος ἐνεκρύπτο, καὶ ἡ φύσις, ὦ τέκνον, ἐτύγχανε στεῖρα, ἕως αὐτοὶ οἱ ἤδη περιπολεῖν τὸν οὐρανὸν κελευσθέντες, τῷ πάντων θεῷ βασιλεῖ προσελθόντες, τῆς τῶν ὄντων ἡσυχίας ἀπήγγειλαν, καὶ ὅτι δέον ἐστὶ συγκοσμηθῆναι τὰ σύμπαντα, καὶ τοῦτο οὐχ ἑτέρου τινὸς ἐστὶν ἔργον, ἢ αὐτοῦ· καὶ δεόμεθά σου, ἔλεγον, τὰ νῦν ὄντα, καὶ ὧν ὕστερον ἔχει χρείαν, διασκέψαι. ταῦτα εἰπόντων ἐμειδίασεν ὁ θεὸς, καὶ εἶπε φύσιν εἶναι,

firmus, nec sub humanum cadens intellectum. Quare gemuerunt præ timore ad impositorum pulcritudinem & perpetuitatem subiecta. Erat enim admiratione pariter ac timore dignũ, tum cæli pulcritudinem Deo etiamnum ignoto collucentem conspicere, tum noctis grauitatem Sole quidem minori, sed acuta illustratam luce, aliis quoque passim in cælo motis mysteriis inferiora certis temporum periodis per occultos [b] defluxus ornantibus & augentibus. Atque hic sanè metus alternus, ac dubitatio perpetua, quamdiu sic Vniuersi placebat opifici, ignoratione cuncta replebat: postquam antè seipsum aperire voluit, amore deos afflauit, quemq́ tenebat in pectore [c] splendorem, ampliorem in ipsorum effudit intellectũ, vt primùm quærere vellent, deinde cuperent inuenire, tum voti possent compotes fieri. Id autem, Hore fili, non poterat in humana stirpe contingere, quæ tum nondum extabat, sed in anima cum cælestibus mysteriis consentiente, Hermete videlicet, Vniuersi mente, qui & vidit cuncta, & visa intellexit, & intellecta valuit aperire ac demonstrare. Etenim tum intellecta descripsit, tum descripta ferè abscondit, tutò pariter tacens ac loquens, vt omnis ea posterior ætas quæreret; itaq́ cognatos deos comitaturus, cælum conscendit. Sed successorem habuit Tatium, filium pariter ac discipulum, & paulo pòst Asclepium, Ammonem, Hephæstobulum, & quotquot alij certam cælestiũ cognitionem fauente regina Prouidentia erant adepturi. Ac Hermes quidem se per ætatis diuinitatem excusauit, quòd ne filio quidem perfectam tradidisset scientiam: mihi verò obscuras ortus partes acutissimis oculis perspicienti, tandẽ aliquando scire contigit, prope Osiridis secreta ipsum sacra mundi elementorũ signa deposuisse, precibusq́ & verbis additis, cælum conscendisse. Sed non æquum est imperfectam hanc narrationem omittere, verùm Hermetis verba libros deponentis referre. Sic enim dixit: O sacri libri, qui immortalitatis continetis pharmaca, sinceri in perpetuum & integri manete, à nemine conspiciendi nec inueniendi, qui hanc disciplinã neglexerit, donec cælum nobis dignam stirpem protulerit, quas opifex animas vocauit. Hæc fatus, suisq́ defunctus muneribus, in zonam suam receptus est. Interea longo tempore sterilis manebat natura, donec ipsi cæli custodes supremo regi Deo quietem rerum nunciarunt, ornamentum requirentium, ab ipso solo petendum. ac te precamur, inquiebant, vt & quæ nunc sunt, & quibus post opus erit, inspicias. Quæ cùm dixissent, risit Deus, naturámque iussit esse, muliebri quadam

re

[b] ἀπορροιῶν pro ἀπορῶν.

[c] αὐγὴν pro αὐτὴν.

re ex eius voce prodeunte; quæ illi conspecta obstupuerunt. Deus autem opifex naturam id esse voluit, & hæc insuper, fixis in circumiecta oculis, locutus est: Repleatur omnibus cælum, aër, & æther. idq; statim factum est. Natura verò cùm considerasset, non esse sibi præceptum patris negligendum, virginem pulcram cum Labore congressa progenuit, quam Inuentionem vocauit. Huic Deus vitam donauit, résque d iam productas partitus mysteriis repleuit, earúmque principatum Inuentioni concessit. Cùm autē superiora nollet vacua relinquere, sed spiritibus, ne partes aliqua motu vacarent, replere; ita id, sacris ad operis proprij effectum vsus artibus, est aggressus. Spiritum enim sufficientem de suo capiens, eúmque igne permiscens, cum aliis quibusdam naturis composuit; iisque inter se per occultas quasdā acclamationes coniunctis, totam ita commouit mixtionem, vt materia quædam tenuior ac purior priore eniteret, eáque limpida, solóque artifici conspicua. Cùm autem nec igne liquesceret, nec aere concresceret, sed singularem quandam haberet propriam naturam, quam etiam Deus à similitudine functionis animationē nominauit; ex eo multa procreauit animarum millia, mixtionis florem in quamuis formam ordine ac peritè conferens, sic vt ab ipso nihil illæ differrent, quandoquidem de motu Dei flos exhalans non erat vsquequaque similis, verùm maior erat ac plenior, puriórque secundo primus. Secundus porrò sicut primo longè erat inferior, sic tertio longè maior; itáque ad gradus sexaginta totus pertingebat numerus, nisi quòd omnes æternas esse voluit, vt ex eadem productas materia. Segmenta quoque ipsis & receptacula in sublimi cælo constituit, vt & cylindrum ordine circumagerent, & patrem delectarent. Deinde in æthere pulcerrimo rerum iam productarum accersitas naturas ita est allocutus: Spiritus mei, caræq; mea proles, animæ, quas meis formatas manibus nunc mundo meo consecro, sermones hos meos tanquam leges accipite, neque locum alium, nisi à me constitutum, contingite. Ac rectè quidem si vos gesseritis, cælum vos manebit iterum, stellarúmque series, ac virtute referti throni. Sin aliter egeritis, per sacrum iuro spiritum, & mixtionem de qua vos produxi, meásque has animarum effectrices manus, propediem vincula vobis & cruciatus comparabo. Hæc locutus Deus, reliquis permistis elementis cognatis, aqua atque terra, verbisq; quibusdam occultis similiter prolatis, vt non potentibus, ita prioribus similibus, postquā ea e commouisset, & vita mixtionem afflasset, innatantē

d ἤδη pro εἴδη.

e αὐτὸ κινήσας pro εὖ τεκαῖν ἴσως.

καὶ θῆλυ τὸ μᾶλλον χρῆμα ἐκ τῆς φωνῆς αὐτοῦ προῆλθεν· ὃ καὶ θεωρήσαντες οἱ θεοὶ κατεπλάγησαν. καὶ φύσεως ὀνόματι ἐτίμησεν ὁ θεὸς ὁ προπάτωρ, καὶ ταύτης προσέταξεν εἶναι γόνιμον· καὶ ταῦτα ἔτι, εἰς τὸ περιέχον ἀτενίσας, ἐφώνησεν· ἔστω πεπληρωμένος οὐρανὸς ἅπασιν, ἀήρ τε καὶ αἰθήρ, εἶπεν ὁ θεὸς, καὶ ἦν. ἡ δὲ φύσις ἑαυτῇ λαλήσασα, ἔγνω ὡς μὴ δέον αὐτὴν ἐστὶ παρακοῦσαι τῆς τοῦ πατρὸς ἐντολῆς, καὶ καλὴν, πόνῳ συνελθοῦσα, θυγατέρα ἐποίησεν, ἣν εὕρεσιν ἐκάλεσε. τῇ δὲ ὁ θεὸς ἐχαρίσατο εἶναι. καὶ χαρισάμενος διέκρινε τὰ εἴδη γεγονότα, καὶ ἐπλήρωσεν αὐτὰ μυστηρίων, καὶ τῇ εὑρέσει τούτων τὸ κατ' αὐτὸ ἐχαρίσατο ἡγεμονικόν. αὐτὸς δὲ οὐκ ἔτι βουλόμενος ἀργὸν τὸν ὑπερκείμενον κόσμον εἶναι, ἀλλὰ πνευμάτων πληρῶσαι δοκιμάσας τοῦτον, ὡς μὴ τὰ κατὰ μέρος ἀκίνητα καὶ ἀργὰ μένῃ, οὕτως εἰς ταῦτα ἤρξατο, τεχνιτικαῖς οὔσαις πρὸς τὴν τοῦ ἰδίου ἔργου γένεσιν χρησάμενος ἱεραῖς. πνεῦμα γὰρ ὅσον ἀρκετὸν ἀπὸ τοῦ ἰδίου λαβὼν, καὶ νοεροῖς τούτῳ πῦρ μίξας, ἀγνώστοις τισὶν ἑτέραις ὕλαις ἐκέρασεν· καὶ ταῦτα ἑκάτερον ἑκατέρῳ μετά τινων ἐπιφωνήσεων κρυπτῶν ἑνώσας, τὸ πᾶν οὕτως εὖ μάλα διεκίνησε κρᾶμα, ἕως ἐπεγέλασέ τις ὕλη τῷ μίγματι λεπτοτέρα τε καὶ καθαρωτέρα μᾶλλον καὶ διαφανεστέρα, ἢ ἐξ ὧν ἐγένετο, διαφανὴς δὲ ἦν αὕτη, ἣν δὴ καὶ μόνος ὁ τεχνίτης ἑώρα. ἐπειδὴ δὲ οὔτε ἐκ πυρὸς καιομένη διετήκετο, οὔτε μὴν ὡς ἐκ πνεύματος τελεσιουργηθεῖσα ἐψύχετο, ἀλλὰ περὶ διαφυὴν καὶ οἰκείαν εἶχε τὴν τοῦ κράματος σύστασιν ἰδιότυπόν τε καὶ ἰδιοσύγκριτον, ἣν δὴ καὶ ἀπὸ τοῦ εὐφημοτέρου ὀνόματος, καὶ τῆς καθ' ὁμοιότητα ἐνεργείας, ψύχωσιν ὁ θεὸς ἐκάλεσε τὴν σύστασιν· ἐξ ἧς δὴ ἐπιπολῆς μυριάδας ψυχῶν ἱκανὰς ἐδημιούργησε, τὸ παρ' αὐτοῦ κράματος ἐπανθοῦν πρὸς ὃ θέλει πλάσσων εὐτάκτως τε καὶ συμμέτρως, μετ' ἐμπειρίας καὶ λόγου τοῦ καθήκοντος, ὡς μηδέ τι διαφέρειν ἑαυτὰς ἑαυτῶν ἦν ἀναγκαῖον, ἐπειδήπερ τὸ ἐκ τῆς κινήσεως τοῦ θεοῦ ἐξατμιζόμενον ἄνθος οὐκ ἦν ἑαυτῷ ὅμοιον, ἀλλὰ μεῖζον καὶ πληρέστερον ἦν τοῦ δευτέρου τὸ πρῶτον, καὶ τῷ παντὶ καθαρώτερον, τὸ δεύτερον δὲ ἱκανῶς μὲν ἦν τοῦ πρώτου τὸ δεύτερον, πολλῷ δὲ τοῦ τρίτου τὸ μεῖζον. καὶ οὕτως ἄχρι βαθμῶν ἑξήκοντα ὁ πᾶς ἀπήρτιστο ἀριθμὸς, πλὴν ὅτι γε πάσας ἀιδίους εἶναι νομοθετήσας ἔταξεν, ὡς ἂν ἐκ μιᾶς οὐσίας, ἧς μόνος αὐτὸς εἴδη τελεῖ. ταῖς δὲ καὶ τμήματα καὶ ταμεῖα ἐν μεταρσίῳ διέταξε τῆς ἄνω φύσεως οὐρανοῦ, ὅπως τόν τε κύλινδρον περιεργάσωσι τάξει τινὶ καὶ οἰκονομίᾳ καθηκούσῃ, καὶ τὸν πατέρα τέρπωσι. οὕτως δὴ καὶ ἐν τῇ περικαλλεῖ τοῦ αἰθέρος στάσει καὶ τὰς τῶν ἤδη ὄντων μεταπεμψάμενος φύσεις, ὡς φησὶ· πνεύματος ἐμοῦ καὶ μερίμνης ἐμῆς, ψυχαί, καλὰ τέκνα, ἃ ταῖς ἐμαυτοῦ μαιωσάμενος χερσὶν, καὶ ἤδη τῷ μῷ καθιδρῶ κόσμῳ, λόγων ἐμῶν, ὡς νόμων, τούτων ἐπακούσατε, καὶ τόπου μηδενὸς ἄλλου θίγητε πλὴν τοῦ διατεταγμένου ὑμῖν ὑπὸ τῆς ἐμῆς γνώμης. εὐσταθήσασι μὲν οὖν ὑμῖν οὐρανός τε καὶ μένει πάλιν ὁμοίως καὶ ὁ διατεταγμένος ἀστερισμὸς, θρόνοι τε ἀρετῆς πεπληρωμένοι· εἰ δέ τι νεώτερον παρὰ τὰ μὰ πράξαιτε, ἱερὸν ὑμῖν ὄμνυμι πνεῦμα, καὶ κρᾶμα τοῦτ' ἀφ' οὗπερ ὑμᾶς ἐγέννησα, ψυχοποιούς τε ταύτας μου τὰς χεῖρας, ὡς οὐκ εἰς μακρὰν δεσμοὺς καὶ κολάσεις ὑμῖν τεχνιτεύσω. τοσαῦτα εἰπὼν ὁ θεὸς, ὁ κἀμοῦ κύριος, τὰ λοιπὰ τῶν στοιχείων συγγενῆ μίξας, ὕδωρ καὶ γῆν, καί τινας ὁμοίως κρυπτοὺς ἐπειπὼν λόγους, δυνατοὺς μὲν, οὐ τοῖς πρώτοις δὲ ὁμοίους, εὖ τεκαῖν ἴσως καὶ ζωοποιὸν ἐνθουσιάσας τῷ κράματι, ἐπιπλέοντα ὁμοίως ἐπίπαγον, εὔβαφῆ τε καὶ εὔπαγῆ γενόμενον,

ἔλαβε,

ἔλαβε, καὶ ἐκ τούτου τὰ ἀνθρωποειδῆ τῶν ζώων διέπλασε. τὸ δὲ τοῦ μίγματος λείψανον τὸ ἤδη προκοψάσαις ἔδωκε ψυχαῖς δὲ ταύταις τὸ εἰς χωρία θεῶν, καὶ τοὺς ἐγγὺς ἄστρων τόπους καὶ ἱεροὺς δαίμονας μετακεκλημένας, πλάσσετε, λέγων, ὦ τέκνα, τῆς ἐμῆς φύσεως γεννήματα, δέχεσθε τῆς ἐμῆς τέχνης τὰ λείψανα, καὶ ἑκάστη τι τῆς ἑαυτῆς φύσει πλασσέτω τι παραπλήσιον· παραθήσομαι δέ τι καὶ ταῦθ' ὑμῖν παραδείγματα· καὶ λαβὼν δὲ καὶ καλῶς τὸν ζωδιακόν, συμφώνως ψυχαῖς κινήσεσι διέταξε κόσμον, πρὸς τοῖς ἀνθρωποειδέσι τῶν ζωδιακῶν τὰ ἑξῆς ἀπαρτίσας οἷον ζωδίοις, καὶ ταῖς πανέργοις ἐχαρισάμην δυνάμεις καὶ πάντεχνον πνεῦμα γεννητικὸν τῶν εἰς ἀεὶ μελλόντων ἔσεσθαι καθολικῶς πάντων. καὶ ἀπέστη, ὑποσχόμενος τοῖς ὁρατοῖς ἔργοις αὐτῶν τὸ ὁρατὸν πνεῦμα ἐπιζεῦξαι, οὐσίαν τε ὁμοιογενείας, ὅπως αὐτὰ αὐτοῖς ἕτερα γεννᾷ ὅμοια, αὐτά τε οἷς ἔτι ἀνάγκην ἔχωσιν ἄλλο τι ποιεῖν ὧν ἔφθησαν ἐργάσασθαι. τί οὖν, ὦ τεκοῦσα, ἐποίησαν αἱ ψυχαί; καὶ εἶπεν Ἶσις, τὸ κεκερασμένον, ὦ τέκνον ὧρε, τῆς ὕλης λαβόμεναι, κατενόουν πρῶτον, καὶ τὸ τοῦ πατρὸς προσεκύνουν κρᾶμα, καὶ πόθεν ἦν συμπεπλεγμένον, ἐπεζήτουν. τὸ δὲ ἦν αὐταῖς οὐκ εὔπορον ἐπιγνῶναι. ἔνθεν δὴ καὶ ὅτι ἐπεζήτησαν, ἐφοβοῦντο μὴ τοῦ πατρὸς ὑποπέσωσι χόλῳ, καὶ ἐπὶ τὸ πράττειν τὰ προσταχθέντα ἐτράπησαν. ἔνθεν ἐκ μὲν τῆς ἀνωτέρω ὕλης, τῇ ὑπερβολῇ κοῦφον ἐχούσης τὸν ἐπίπαγον, τὸ τῶν ὀρνέων γένος διεμόρφουν· ἐν τούτῳ δ' ἡμιπαγοῦς ἤδη τοῦ κράματος γενομένου, καὶ ἤδη τὴν στερεὰν πῆξιν λαβόντος, τὸ τῶν τετραπόδων ἔπλασσον· τὸ δὲ ἧττον κοῦφον, καὶ ἑτέρας ὑγρασίας ὑγείας δεόμενον, εἰς διάπλαξιν τὸ τῶν ἰχθύων· ψυχροῦ δὲ τοῦ λοιποῦ καὶ ἤδη καταφερῆς ὑπάρχοντος, τὸ τῶν ἑρπετῶν αἱ ψυχαὶ φύσιν ἐκαινούργουν. αὗταί τε, ὦ τέκνον, ὥς τι πράξασαι ἤδη καὶ περίεργον, ὡπλίζοντο τόλμαν, καὶ παρὰ τὰ διατεταγμένα ἐποίουν, καὶ ἤδη τῶν ἰδίων τμημάτων καὶ ταμιείων προήρχοντο, καὶ ἐφ' ἑνὸς οὐκ ἔτι ἤθελον τόπου μένειν, ἀεὶ δὲ ἐκινοῦντο, καὶ τὸ ἔτι ἐπὶ μιᾶς μονῆς αὖ γε θάνατον ἡγοῦντο. τοῦτο μὲν οὖν φησιν, ὦ τέκνον, Ἑρμῆς, ὡς κἀμοῦ λέγων, καὶ τὸν τῶν ὅλων κύριον καὶ θεὸν οὐκ ἐλάνθανε, ὃ πεπράγασι, κόλασιν δὲ αὐταῖς ἐπεζήτει καὶ δεσμόν, ὃν τλημόνως ὑπομένουσι. καὶ δὴ καὶ ἔδοξε τῷ πάντων ἡγεμόνι καὶ δεσπότῃ, τὸ τῶν ἀνθρώπων σύστημα τεχνήσασθαι, ὅπως ἐν τούτῳ τὸ τῶν ψυχῶν διὰ παντὸς γένος κολάζηται. τότε δὲ μεταπεμψάμενος ἐμέ, φησιν Ἑρμῆς, εἶπεν, ὦ ψυχῆς ἐμῆς ψυχή, καὶ νοῦς ἱεροῦ ἐμοῦ νοῦ, ἄχρι ποῦ στυγνὴ φύσις ἡ τῶν ὑποκειμένων ὁρᾶται; ἄχρι πότε τὰ εἴδη γεγονότα ἀργὰ μένει καὶ ἀνεγκωμίαστα; ἀλλ' ἄγε δή μοι τοὺς ἐν οὐρανῷ θεοὺς πάντας ἤδη, εἶπεν ὁ θεός, ὦ τέκνον, ὥς φησιν Ἑρμῆς. οἱ δὲ ἦλθον πρὸς ἐπίταγμα, ἀπίδετε, εἶπεν, εἰς τὴν γῆν, καὶ πάντα τὰ χαμαί. οἱ δὲ ἐν τάχει καὶ εἶδον, καὶ ἐνόησαν ἃ ἐβούλετο δυνάστης· καὶ εἰπόντι ὑπὲρ τῆς τῶν ἀνθρώπων γενέσεως, συνέθεντο εἴ τι παρ' ἑνὸς ἑκάστου δυνατὸς ἐστι παρασχεῖν τοῖς μέλλουσι γίγνεσθαι. ἔλεγεν ἥλιος, ἐπὶ πλεῖον λάμψαι. ὑπισχνεῖτο σελήνη, τὸν μετὰ τὸν ἥλιον δρόμον φωτίσαι· ἔλεγε καὶ προπεποιηκέναι φόβον, καὶ σιγήν, καὶ ὕπνον, καὶ τὴν μέλλουσαν αὐτοῖς ἔσεσθαι ἀνωφελῆ μνήμην. Κρόνος ἀπήγγελλεν, ἤδη πατὴρ γεγονέναι καὶ δίκης καὶ ἀνάγκης. Ζεὺς ἔλεγεν, ὡς μὴ παντάπασι πολεμήσῃ τὸ φῦλον τὸ ἐσόμενον ἤδη αὐτοῖς, τύχην, καὶ ἐλπίδα, καὶ εἰρήνην γεγέννηκα. Ἄρης ἀγωνίας ἔλεγε γενέσθαι ἤδη, καὶ ὀργῆς, καὶ ἐρίδος

similiter humorem solidum sumsit, ex eoq; humanum finxit genus. Mixtionis verò reliquias provectioribus dedit animabus, in deorum sedes ac vicina stellis loca receptis, Fingite, inquiens, filiæ, mea proles naturæ; sumite artis meæ reliquias, ac vestra quæque natura simile quid efformate. sed & hæc vobis exempla proponam. Ac sumtum signiferum ad animarum motiones concinnauit, secundum humanas eius partes reliqua tanquam signis absoluens, viribus pariter & genitore perpetuarum naturarum spiritu concessis. Postremò pollicitus se apertis ipsarum operibus obscurũ spiritum adiuncturum, ac similitudinis naturã, quò possent ipsa similia producere alia, destitit. Quid igitur animæ fecerunt, mater? Materia mixtionem, Hore fili, respondit Isis, primùm considerabant, & paternam adorabant misturam, eiúsque compositionem perquirebant. Et quoniam id non erat ipsis facile cognoscere, ne propter inquisitionem patrem redderent iratum, metuebant, seq; ad mandatis obtemperandum conuertebant. Quocirca de superiore quidem materia, cui leuis innatabat humor, auium fingebat genus: exinde autem ad soliditatem ex altera parte redacta mistura, quadrupedum formabant: & minùs leue piscium genus, atque alterius humoris indigens: de reliquo verò, frigido iam & subsidente, reptilium promebant naturam. Tum verò, fili, tanquam re præclarè gesta, per audaciam præcepta negligebãt, deq; segmentis ac receptaculis suis progrediebantur, neque vnum tenere volebant locum, sed mouebantur semper, quietemq; pro morte ducebant. Id porrò, vt Hermes ait, Vniuersi principẽ Deum non latuit, verùm cruciatus ipsis ac vincula comparauit. Visum autem fuit humanam stirpem gignere, per quam animarum puniretur genus. Itaque aduocato Hermete, Anima mea, inquit, anima, meęq; mentis mens, quousque subiectorũ natura sterilis manebit, resq; iam productæ cernẽtur vacuæ? Adduc ad me cælestes omnes deos. Qui cùm venissent, Despicite in terram, inquit. Atque illi despexerunt, & voluntatem principis cognouerunt, ac de hominum ortu verba faciente, quid ad eum singuli conferre possent, exposuerũt. Sol primùm amplius lucere se velle respondit. Luna deinde se proximum post Solem curriculum illustraturam pollicebatur; iamq; Timorem, Silentium, Somnum, & inutilem genuisse Memoriam prædicabat. Saturnus Iustitiam & Necessitatem procreasse se referebat. Iupiter porrò, ne stirps oritura bellum gereret, Fortunam se, Spem, ac Pacem iam ipsis genuisse dicebat. Mars verò Certaminis, Iræ, & Contentionis patrẽ se fuisse memorabat.

Neque

Neque diu cunctata Venus, desiderium se ipsis, voluptatem, & risum adiuncturam recipiebat, ne grauissimum luentes animæ cognatæ supplicium acerbius punirētur. Quæ cùm dixisset Venus, ille gauisus est. Hermes deniq. Ego verò, dicebat, & naturam humanā fingam, et prudentiā illi, temperantiam, suadelam, ac veritatem conciliabo, nec desinam cum Inuentione congredi. quin etiam hominum sub signis meis natorum vitam semper tuebor. signa namq. mihi quædam pater opifex attribuit, eáque prudentiæ mentisq; plena, præsertim cùm stellarum ipsis impositarum motus cum naturali cuiusque functione congruerit. Quæ cùm Deus, mundi princeps, lubenter audisset, humanum fingi genus iussit. Ego verò, inquit Hermes, materiam, qua vtendum esset, quærebam, & principem admonebam. At ille iussit animas mixturæ reliquias dare, quas cùm ego planè siccas accepissem, iusto maiorem aquæ vim adhibui, vt materiam renouarē, vtq; debile prorsus & imbecille figmentum euaderet, ne simul cū prudentia robore polleret. Pulcrum denique extitit figmentum, opúsque meum cum voluptate spectabam, ac principem desuper ad spectaculum vocabam. At ille, cùm vidit, gauisus est, animasq; corporibus imperauit inseri. Illæ verò tum primùm consternatæ, postquam se condemnatas intellexerunt, mirabiles habuerunt sermones. Ac tibi attendendum est, Hore fili, quandoquidem occultam audies fabulam, quam Camephes quidem auus ab Hermete, qui omnia descripserat, accepit, ego autem ab illo traditam, cùm atramento consignauit, tibi porrò refero. Etenim cùm animæ, fili, corporibus essent inserendæ, aliæ quidem tantùm eiulabant ac gemebant, quemadmodum feræ solent in seruitutem redactæ, dum amica priuantur solitudine, pugnare cum dominis & contendere, eósque si detur facultas, interimere: aliæ autem viperarum ritu stridebant: quædam verò post longum eiulatum, oculósque vicissim sublatos ac depressos, O cælum, inquit, nostri ortus principium, æthérque, & aër, Deiq; principis manus, & sacer spiritus, lucidæq; stellæ, deorum oculi, ac Solis Lunæq; indefessum lumen, nostri æqualia principij, à quibus omnibus quàm miserè abstrahimur. præsertim cùm à magnis & lucidis, áque sacro inuolucro, ac diuite polo, & beata cum diis consuetudine in tam vilia detrudimur tabernacula. Quid miseræ tam turpe gessimus, tantisq; dignum suppliciis, quæ nos ob merita nostra manent, vt humido frigidóque corpori præbeamus necessaria: Oculi nostri haud amplius diuinas conspicabuntur animas, quandoquidē parui sunt, exiguis humoribus & orbibus præditi. An-

πατὴρ ἐστί. ἀφροδίτη οὐκ ἐμέλλησεν, ἀλλὰ εἶπεν, ἐγὼ δὲ πόθον αὐτοῖς, ὦ δέσποτα, καὶ ἡδονὴν ἐπιζεύξω, καὶ γέλωτα· ὡς μὴ χαλεπωτάτην αἱ συγγενεῖς ψυχαὶ τὴν καταδίκην ὑπομένουσαι, ἐπιπλεῖον κολάζωνται. ἐτέρπετο, ὦ τέκνον, ἐπιπλεῖον, ἀφροδίτης ταῦτα λεγούσης. ἐγὼ δὲ, εἶπεν ἑρμῆς, καὶ ποιήσω τὴν ἀνθρώπων φύσιν, ἔφη, καὶ σοφίαν αὐτοῖς, καὶ σωφροσύνην, καὶ πειθὼ, καὶ ἀλήθειαν ἀναθήσω, καὶ οὐ παύσομαι τῇ εὑρέσει συνών, ἀλλὰ καὶ τὴν ὑπὸ ζωδίοις τοῖς ἐμοῖς γεγομένων ἀνθρώπων, εἰς ἀεὶ τὸν θνητὸν βίον ὠφελήσω· ζώδια γὰρ τὰ ἐμοὶ ἀνέθηκεν ὁ πατὴρ, καὶ δημιουργὸς, ἔμφρονά γε καὶ νοερά, καὶ τότε πλέον, ὅταν καὶ ἐπικειμένη αὐτοῖς τῶν ἀστέρων κίνησις σύμφωνον ἔχῃ τὴν ἑνὸς ἑκάστου φυσικὴν ἐνέργειαν. ἔχαιρεν ὁ θεὸς, ὁ δεσπότης κόσμου, ταῦτα ἀκούσας· καὶ προσέταξε γίγνεσθαι φῦλον τῶν ἀνθρώπων. ἐγὼ δὲ, φησὶν ἑρμῆς, ἐπεζήτουν ὕλην, τίνι δέον ἐστὶ χρήσασθαι, καὶ παρεκάλουν τὸν μόναρχον. ὁ δὲ τῶν ψυχῶν προσέταξε τοῦ κράματος τὸ λείψανον δοῦναι· καὶ λαβὼν, εὗρον αὐτὸ παντελῶς ξηρόν. ἔνθεν πολλῷ πλείονι τοῦ δέοντος ἐχρησάμην κατὰ μίξιν ὕδατι, ὡς τὴν τῆς ὕλης σύστασιν νεαροποιήσασθαι· ὡς ἔκλυτον παντάπασιν καὶ ἀσθενὲς καὶ ἀδύναμον τὸ πλασσόμενον εἶναι, ὡς μὴ πρὸς τὸ συνετὸν εἶναι ἔτι καὶ δυνάμεως ᾖ πεπληρωμένον. ἐγένετο, καὶ καλὸν ὑπῆρχεν, καὶ ἐτερπόμην βλέπων μου τὸ ἔργον· καὶ κάτωθεν ἐπεκαλεσάμην τὸν μόναρχον, θεωρῆσαι. ὁ δὲ καὶ εἶδε, καὶ ἐχάρη, καὶ τὰς ψυχὰς ἐκέλευσεν ἐνσωματισθῆναι. αἱ δὲ τότε πρῶτον στυγνάσασαι, κατακρίτους ἑαυτὰς μαθοῦσαι. ἐθαύμασα οὖν καὶ τοὺς τῶν ψυχῶν λόγους. πρόσεχε, τέκνον ὧρε, κρυπτῆς γὰρ ἐπακούεις θεωρίας, ἧς ὁ μὲν προπάτωρ καμήφης ἔτυχεν ἐπακούσας παρὰ ἑρμοῦ, τοῦ πάντων ἔργων ὑπομνηματογράφου, ἐγὼ δὲ παρὰ τοῦ πάντων πρεσβυτέρου καμήφεως, ὁπότε καὶ τῷ τελείῳ μέλανι ἐτίμησε· νῦν δὲ αὐτὸς σὺ παρ᾽ ἐμοῦ. ὅτε γὰρ, ὦ θαυμαστὲ παῖ μεγαλόδοξε, ἔμελλον ἐγκατακλείεσθαι τοῖς σώμασιν, αἱ μὲν γὰρ αὐτῶν αὐτὸ μόνον ὠδύροντο καὶ ἐστέναζον, καὶ ὅνπερ τρόπον τῶν θηρίων τὰ ἐλεύθερα δούλοις πονηροῖς μελλήσαντα τῆς συνήθους τε καὶ φίλης ἀποσπᾶσθαι ἐρημίας, μάχεσθαι καὶ στασιάζειν, καὶ οὐχ ὁμονοεῖν πρὸς τοὺς κρατήσαντας αὐτῶν, καὶ στασιάζειν, ἀλλὰ καὶ ἐὰν τύχῃ περιγενόμενα, θανάτῳ παραδώσουσι τοῖς αὐτοῖς ἐπιβάλλοντας· αἱ δὲ πλέον ἔσιζον, δίκην ἀσπίδων· ὀξὺ δὲ κωκύσασα ἑτέρα, καὶ πρὸς τῶν λόγων ἱκανὰ κλαύσασα, καὶ πολλάκις ἄνω τε καὶ κάτω τοὺς ὡς ἔτυχεν ἔχουσα φέρουσα ὀφθαλμοὺς, οὐρανὲ τῆς ἡμετέρας, εἶπεν, ἀρχὴ γενέσεως, αἰθήρ τε καὶ ἀήρ, καὶ τοῦ μονάρχου θεοῦ χεῖρές τε, καὶ ἱερὸν πνεῦμα, περιλάμποντε, ὀφθαλμοὶ θεῶν, ἄστρα, καὶ φῶς ἡλίου καὶ σελήνης ἀκοπίαστον, τὰ τῆς ἡμετέρας ἀρχῆς σύντροφα. ὧν ἁπάντων ἀποσπώμεναι ὡς ἐλεεινὰ πάσχομεν· πλέον δ᾽ ὅτι ἀπὸ μεγάλων τε καὶ λαμπρῶν, καὶ τοῦ ἱεροῦ περιχύματος, καὶ πλουσίου πόλου, καὶ ἐπὶ τῆς μακαρίας μετὰ θεῶν πολιτείας, εἰς ἄτιμα καὶ ταπεινὰ οὕτως ἐγκατειρχθησόμεθα σκηνώματα. τί δ᾽ ἄξιον δυστήνοις ἡμῖν ἀπρεπὲς οὕτως πέπρακται; τί τῆς κολάσεως ταύτης ἄξιον, ὃ καὶ τὰς δειλαίας ἡμᾶς ἁμαρτίας περιμένουσιν, ὅσα διὰ τὰ πονηρὰ τῶν ἐλπίδων πράξομεν, ἵνα τῷ ὑδαρεῖ καὶ ταχὺ διαλύτῳ σώματι πορίζωμεν τὰ ἐπιτήδεια; ὀφθαλμοὶ τὰς οὐκ ἔτι τοῦ θεοῦ ψυχὰς χωρήσουσιν, ὀλίγοι καὶ παντελῶς μικροὶ τῶν ἐν τούτοις ὑγρῶν καὶ κύκλων. τὸν ἑαυτῶν πρόγονον οὐρανὸν ὁρῶσαι, στενάξομεν

ξομεν

ξόμεθα ἀεί, ἔτι δ᾽ ὅτι καὶ οὐ βλέψομεν, ἔνθ᾽ ὀρφνός. τὰ λαμπρὰ βλέπομεν, τοῖς δ᾽ ὄμμασιν οὐδὲν ὁρῶμεν. ἄθλιαι γὰρ κατεκρίθημεν, καὶ τὸ βλέπειν ἡμῖν οὐκ ἄντικρυς [f]ἐχωρίσθη, ὅτι χωρὶς τοῦ φωτὸς ἡμῖν τὸ ὁρᾶν οὐκ ἐδόθη. τόποι τοίνυν καὶ οὐκ ἔτι εἰσὶν ὀφθαλμοί· ὡς δὲ καὶ τῶν συγγενῶν φυσώντων ἐν ἀέρι πνευμάτων ἀκούσομεν τλημόνως, οἰσόμεθα, ὅτι μὴ [g]συμπνέομεν αὐτοῖς· οἶκος ἡμᾶς ἀντὶ τοῦ μεταρσίου κόσμου τούτου ὁ βραχὺς περιμένει καρδίας ὄγκος. ἀεὶ δ᾽ ἀπολύσας ἡμᾶς, ἀφ᾽ ὧν εἰς οἷα κατέβημεν, ἀπόλειτο λυπεῖσθαι δέσποτα, καὶ πάτερ, καὶ ποιητά, καὶ ταχέως οὕτως σῶν ἔργων ἠμέλησας, διάταξον ἡμῖν τινας ὅρους, ἔτι κἂν βραχέσιν ἡμᾶς ἀξίωσον λόγων, ἕως ἔτι δι᾽ ὅλου τοῦ περιφανοῦς ἔχομεν βλέπειν κόσμου. ἐπέτυχον, τέκνον Ὧρε, αἱ ψυχαὶ τάδε εἰποῦσαι, παρῆν γὰρ καὶ μόναρχος, καὶ τάδε, ἐπὶ τοῦ τῆς ἀληθείας καθίσας θρόνου, ταῖς δεηθείσαις ἐφώνησεν· Ἔρως ὑμῶν, ψυχαί, δεσπόσει, καὶ ἀνάγκη. οἵδε γὰρ μετ᾽ ἐμὲ πάντων δεσπόται καὶ ταξίαρχοι. ψυχαὶ δ᾽ ὅσαι τῆς ἀγηράτου μου σκηπτουχίας θεραπεύετε, ἴστε ὡς ἕως μὲν ἀναμάρτητοί ἐστε, τὰ τοῦ ἀνθρώπου οἰκήσετε χωρία· εἰ δ᾽ ἄρα τις ὑμῶν προσεγγίσει μέμψις, θνητοῖς καὶ αὗται προσμεμοιραμένον χῶρον σπλάγχνοις καταδικασθεῖσαι ἐνοικήσετε. κἂν μὲν ᾖ ὑμῶν μέτρια τὰ αἰτιάματα, τὸν ἐπίκηρον τῶν σαρκῶν σύνδεσμον καταλιποῦσαι, πάλιν ἀστενακτὶ τὸν ἑαυτῶν οὐρανὸν ἀσπάσεσθε· εἰ δ᾽ ἄρα τινῶν μειζόνων ἁμαρτημάτων ἔσεσθε ποιητικαί, οὐ μετὰ τέλους καθήκοντος τῶν πλασμάτων προσελθοῦσαι, οὐρανὸν μὲν οὐκ ἔτι οἰκήσετε, οὐδ᾽ αὖ σώματα ἀνθρώπων, ζῷα δ᾽ ἄλογα μεταπλανώμεναι λοιπὸν διατελέσετε. τάδε εἰπών, ὦ τέκνον Ὧρε, πάσαις αὐτὸ ἐχαρίσατο τὸ πνεῦμα, καὶ πάλιν ἐφώνησεν· [h]ἄλλως δὲ εἰκῇ καὶ ὡς ἔτυχεν ἐνομοθέτησα τὰς διαβολὰς ὑμῶν, [i]ἄλλως ἐπὶ τὸ χεῖρον, εἴ τι διαπράξητε ἄσχημον, οὕτως ἐπὶ τὸ βέλτιον, εἴ τι βουλεύσασθε τῆς ἑαυτῶν γενέσεως ἄξιον. ἐγὼ γάρ, καὶ οὐ τις ἕτερος, ἐπόπτης αὐτὸς καὶ ἐπίσκοπος ἔσομαι. ἐπίγνωτε δὲ οὖν, ὡς διὰ τὰ πρόσθεν πραχθέντα ὑμῖν, κόλασιν ταύτην ὑπομένετε καὶ ἐνσωματώσεσιν. καὶ τοίνυν διαφορὰ τῆς παλιγγενεσίας ὑμῖν ἔσται σωμάτων, ὡς ἔφην, διαφορά· εὐεργεσία δὲ καὶ πρόσθεν εὐδαιμονία, ἡ διάλυσις. τυφλωθήσεται δ᾽ ὑμῶν ἡ φρόνησις, ἐάν τι ἀνάξιον ἐμοῦ δόξητε πράσσειν· ὡς τὸ φρονεῖν τὰ ἐναντία, καὶ τὴν μὲν κόλασιν ὡς εὐεργεσίαν ὑπομένειν· τὴν δὲ εἰς τὰ βελτίονα μεταβολὴν ἐνδεχόμεναι, εἰς μὲν ἀνθρώπους βασιλεῖς δίκαιοι, φιλόσοφοι γνήσιοι, κτίσται, καὶ νομοθέται, μάντεις οἱ ἀληθεῖς, ῥιζοτόμοι γνήσιοι, ἄριστοι προφῆται θεῶν, μουσικοὶ ἔμπειροι, ἀστρονόμοι νοεροί, οἰωνοσκόποι σαφεῖς, ἀκριβεῖς θύται, καὶ ὁπόσοι ἐστὲ καλῶν κἀγαθῶν ἄξιαι· εἰς δὲ πτηνά, αἰετοί, διότι οὐδὲν τῶν ὁμογενῶν οὔτε [k]ἐκβοήσουσιν, οὔτε θοινήσονται, ἀλλ᾽ οὐδὲ πλησίον τούτων ζῷον ἕτερον ἀσθενέστερόν τι αὐτοῦ ἀδικεῖν ἀφεθήσεται. ἐνδικωτέρα γὰρ ἡ τῶν ἀρετῶν φύσις μετελεύσεται. εἰς δὲ τετράποδα, λέοντες, ἰσχυρὸν γὰρ τὸ ζῷον, καὶ φύσεως ἔτυχεν ἀκοιμήτου βοσκῷ τινί, καὶ φθαρτῷ σώματι τὴν ἀθάνατον γυμναζόμενον φύσιν. οὔτε γὰρ κάμνουσιν, οὔτε κοιμῶνται. εἰς δὲ ἑρπετά, δράκοντες, δυνατὸν ὅτι τὸ ζῷον, καὶ μακρόβιον, ἄκακόν τε, καὶ φιλάνθρωπον, οὕτως τε ὂν καὶ τιθασευθήσεται, καὶ ἰὸν οὐχ ἕξει, ἰάσεται δὲ καὶ γηράσαν καθάπερ φύσις ἡ θεῶν. ἐν δὲ νηχοῦσιν, δελφῖνες· συμπαθήσουσι γὰρ καὶ τοῖς εἰς πέλαγος ἐμπίπτουσιν, οὗτοι, καὶ τὰ

Electorum verò generis nostri cælum suspicientes, gememus semper, atque interdum haud videbimus, quemadmodum Orpheus, Lumine conspicimus, oculis nil cernimus vnquam. Etenim condemnatæ sumus miseræ, neque nobis aspectus planè [f]attributus est, quoniam is lucem requirit. Quocirca locorum internalla oculorum vsum adimunt. Miserè quoque cognatos in aere sonantes audiemus, quod ipsis non [g]adsimus, spiritus. Iam domus nos pro sublimi hoc mundo parua cordis moles manet. Qui autem nos absoluit de qualibus in qualia transtulit. Tu verò, domine, pater, & opifex, qui tam facile tua negligis opera, terminos nobis quosdam statue, ac vel paucis nobiscum age, dum per totū nobis licet mundum dispicere. Id porrò animabus concessum fuit, Hore fili, quandoquidē princeps aduenit, inq; veritatis solio considens ita cum illis egit: Amor vobis, animæ, imperabit, ac Necessitas. siquidē hi post me præsunt omnibus. Quæ autem animæ perpetuum regnum nostrum colitis, donec peccatis carebitis, hominum incoletis regionem: sin aliqua inficiemini macula, mortalia similiter in fatali loco occupabitis. Ac siquidem pauca fuerint vestra crimina, carnis relicta compage, cælum rursus amplectemini: sin grauiora commiseritis, atq; recto fine aberraueritis, cælum quidem non incoletis iterum, neque humana corpora, verùm per bruta deinceps errabitis animalia. Hæc fatus, eodē omnes spiritu donauit, & sic rursum locutus est: [h]Neque sanè temerè de vestro statui negotio, [i]sed vt peius, cùm peccaueritis, ita melius, cū vos pro ortu vestro gesseritis. siquidem ego, nec alius, vos obseruabo. quapropter cognoscite, pro meritis vos hæc luere supplicia. Ac recreationis vestræ differentiam corporū, vt dixi, constituet varietas; quemadmodum felicitatem dissolutio. Intellectus quidem vester, si secùs egeritis, obscurabitur, sic vt corrupto iudicio, supplicium quidem pro beneficio ducatis, meliorem autem expectetis mutationem, inter homines quidem reges iusti, veri philosophi, legum latores, vates veraces, herbarum collectores veri, prophetæ optimi, periti musici, sapientes astronomi, augures perspicui, sacerdotes diligentes, & quæquid eritis boni meritæ: inter aues autem aquilæ, quoniam nihil sui generis vel [k]abigunt vel deuorant, adeoq; nullum animal coram se iniuriis patiuntur affici; inter quadrupedes verò, leones, quoniam validum est animal, nec somno vincitur, inq; mortali corpore naturam exercet immortalem, quandoquidem nec fatigatur, nec sopitur: inter serpentes autem, dracones, quoniam potens, longæuum, & humanum est animal, itáque mansuetum reddetur, & veneno carebit: inter pisces denique delphini, quoniam hi naufragorum miserebuntur, ac viua quidem

f ἐχαρίσθη pro ἐχωρίσθη.

g σύνεσμεν pro συμπνέομεν.

h ἀλλ᾽ ὡς δὲ pro ἄλλως δὲ.

i ἀλλ᾽ ὡς pro ἄλλως.

k ἀποσοβήσουσιν pro ἐκβοήσουσιν.

in terram deferent, mortua verò non attingẽt, quanquam voracissimum est futurum piscium genus. Atque hæc quidem Deus effatus, mens immortalis extitit. pòst autem, Hore fili, vehementissimus è terra spiritus exortus est, qui vt corpore comprehendi non poterat, ita prudentiæ vi pollebat. Is quanquam [l] sciebat, quod quæreret, figura tamẽ humana assumpta, pulcritudinis, feritatis, ac metus plenus, postquam animas in figmenta vidit ingredi, Quinam, inquit, hi sunt, Herme? Audax est facinus, hominem fingere, oculis, lingua, & naribus curiosum futurum, tactúque ad omnia abusurum. Hunc tu cura vacare sines, artifex, qui audacter pulcra naturæ inspiciet mysteria. Huic dolorem nullum tribues, qui ad extrema terræ tua deferet inuenta. Etenim herbarum radices [m] effodient homines, & succorum qualitatem examinabunt: lapidum naturas considerabunt, ac medis dissecabunt animalia, non brutorũ tantùm, sed suam quoque compositionem volentes cognoscere: audaces quoq. manus mari iniicient, easq́; spontè nascente materia, in alteram continentem traiicient: naturam denique in sacris penetralibus latentem perquirentes, altum petent, [n] cœliq́; motum obseruabunt. Atque hæc mediocria sunt; veruntamen præter extremum terræ locum nihil restat: sed hunc quoque peruestigabunt. Nullum igitur habeant hi impedimentum, sed indolentiæ bono decorentur, durisq́; metus stimulis carentes, vitam securam degant. Non deinde ad cœlum vsque curiosam protendent audaciam, & securas ad elementa porrigent animas. Quin doceantur amare & consultare, vt infortunij quoq. grauitatem metuant, ac doloris molestia, speratis carentes, domentur. Curiositas quoque ipsorum cupiditate, metu, dolore, ac spe decoquatur. Alterni deinde ipsos amores torqueant, & cupidines variæ, nunc voti compotes, nũc expertes, vt ipsa quoque felicitas ad grauiora ipsos pelliciat mala. Febris ipsos denique premat, cui succumbentes cupiditatem frangant. Angeris, Hore fili, matre tibi hæc narrante. Quin potius de tot hominis oneribus obstupescis. At nunc grauiora subiiciam. Lætabatur hæc Momo dicente Hermes, quandoquidem ipsi placebant, neque aliter faciebat, Non erit, inquiens, Mome, perspicua diuini spiritus natura. Etenim [o] præfectum me & inspectorem omnium Vniuersi princeps esse iussit. At ego occultum quoddam fabricabor instrumentum, certa norma constans, quo terrena subiugentur ab ortu ad interitum vsque omnia, euentuum compage præditum; cui porrò reliqua obtemperabunt omnia. Quæ cùm dixisset Hermes, Momo placuerunt, & iam

[l] εἰδὼς pro ἰδὼν.

[m] ἀνασκάψωσι pro ἀνασκάμψωσι.

[n] οὐρανοῦ pro ἐν.

[o] με ἐπίσκοπον pro μέριμναν.

μὲν ἔμπνοα διακομιοῦσιν εἰς γῆν, τῶν δὲ τελευτησάντων οὐδ' ὅλως ποτὲ ἅψονται, καίτοι φιλοβορωτάτου πάντων ἐσομένου τοῦ τῶν ἐνύδρων γένους. τοσαῦτα ὁ θεὸς εἰπών, ἄφθαρτος νοῦς γέγονε. τούτων οὕτως γενομένων, τέκνον ὦρε, ἰσχυρότατόν τι ἀπὸ γῆς ἀνίσταται πνεῦμα, ἀκατάληπτον μὲν περιοχῇ σώματος, δυνάμει δὲ φρονήσεως ὑπάρχον· ὃ καίπερ εἰδὸς ὑφ' ὧν ἐπευθύνετο τὸ σῶμα, καὶ τύπον ἀνδρὸς περικείμενον, καὶ καλὸν καὶ σεμνοπρεπὲς ὄν, ὑπερβολῇ δὲ ἄγριον καὶ πλῆρες φόβου, ὃ δὴ παραυτίκα τὰς ψυχὰς εἰσιούσας εἰς τὰ πλάσματα θεωρῆσαν, ἂν τινες ἔλεγον οὗτοι καλοῦνται, ὦ ἑρμῆ, τολμηρὸν ἔργον, ποιῆσαι τὸν ἄνθρωπον, περίεργον ὀφθαλμοῖς, καὶ λάλον γλώσσης, ἀκουστικὸν μᾶλλον εἶναι, καὶ τῶν αὐτῷ μὴ προσηκόντων λίχνον ὀσφρήσει, καὶ μέχρι πάντων τῷ τῆς ἁφῆς ἀπληστικῷ μέλλοντα καταχρᾶσθαι. τοῦτον ἀμέριμνον καταλεῖψαι κέκρικας, ὦ γενεσιουργέ, τὸν ὁρᾶν μέλλοντα τολμηρῶς τῆς φύσεως τὰ καλὰ μυστήρια; ἄλυπον ἐᾶσαι θέλεις τοῦτον, καὶ μέχρι τῶν περάτων γῆς τὰ σεαυτοῦ μελλήσοντα πέμπειν ἐπινοίας; ῥίζας φυτῶν ἀνασκάμψουσιν ἄνθρωποι, καὶ ποιότητα ἐξετάσουσι χυλῶν, λίθων φύσεις ἐπισκοπήσουσι, καὶ διὰ μέσων ἀνατέμνουσι τῶν ζώων τὰ ἄλογα οὐ μόνον, ἀλλὰ καὶ ἑαυτούς, πῶς ἐγένοντο ἐξετάζειν θέλοντες· τολμηρὰς ἐκτείνουσι χεῖρας καὶ μέχρι θαλάσσης, καὶ τὰς αὐτοφυεῖς ὕλας τέμνοντες, μέχρι καὶ τῶν περάτων διαπορθμεύσουσιν ἀλλήλοις ἐπιζητήσουσι καὶ τίς ἐνδοτέρω τῶν ἱερῶν ἀδύτων φύσις ὑπάρχει, τὰ μέχρις ἄνω διώξουσι, παρατηρῆσαι βουλόμενοι τίς ἐν καθέστηκε κίνησις. ἔτι μέτρια ταῦτα. λείπει γὰρ οὐδὲν ἔτι, πλὴν γῆς τόπος ἔσχατος· ἀλλὰ καὶ τοῦτον τὴν ἐσχάτην τοῦ θέλειν ἐρευνήσωσι νυκτός. μηδὲν οὖν ἐμπόδιον ἔχουσιν οὗτοι, ἀλλὰ τῷ τῆς ἀλυπίας ἀγαθῷ μυηθῶσι, καὶ τοῖς χαλεποῖς μὴ βιασθέντες τοῦ φόβου κέντροις, ἀμερίμνῳ βίῳ ἐντρυφήσωσι. εἶτα οὐ μέχρι οὐρανοῦ περίεργοι ὁπλισθήσονται τόλμαι. οὗτοι οὐκ ἀμερίμνους ἐκτείνουσιν ἐπεὶ καὶ τὰ στοιχεῖα τὰς ψυχὰς αὐτῶν. δίδαξον ἐντεῦθεν ἐρᾶν τούτους βουλεύεσθαι, ἵνα ἔχωσι καὶ τῆς ἀποτυχίας τὸ χαλεπὸν φοβηθῆναι, ἵνα τῷ τῆς λύπης δακνηρῷ δαμασθῶσι, τῶν ἐλπιζομένων ἀποτυχόντες. χρονοκοπείσθω τῶν ψυχῶν αὐτῶν τὸ περίεργον ἐπιθυμίαις, καὶ φόβοις, καὶ λύπαις, καὶ ἐλπίσι πλάνης· ἐπάλληλοι τὰς ψυχὰς αὐτῶν ἔρωτες νεμέσθωσαν, ἐλπίδες, ποικίλαι ἐπιθυμίαι, ποτὲ μὲν ἐπιτυγχάνουσαι, ποτὲ δὲ ἀποτυγχάνουσαι, ἵνα αὐτοῖς καὶ τῆς ἐπιτυχίας ἡδὺ δέλεαρ ᾖ εἰς ἄθλησιν τελειοτέρων κακῶν· βαρείτω πυρετὸς αὐτούς, ἵνα ἐκκακήσαντες κλάσωσι τὴν ἐπιθυμίαν. λυπῇ, τέκνον ὦρε, τάδε ἑρμηνευούσης σοι τῆς τεκούσης. οὐ θαυμάζεις, οὐ καταπλήσσῃ, πῶς ὁ τάλας ἄνθρωπος ἐβαρήθη. τὸ δεινότερον ἐπάκουσον. ἐτέρπετο μώμου ταῦτα λέγοντος ἑρμῆς, ἐλέγετο γὰρ οἰκείως αὐτῷ τὰ εἰρημένα, καὶ ταῦτα ἐποίει ὅσαπερ εἰρήκει, λέγω μῶμε, ἀλλ' οὐκ ἐναργὴ γενήσεται πνεύματος θείου φύσις ἡ τοῦ περιέχοντος. εἶπε γὰρ ἐμὲ μέριμναν καὶ προνοητὴν ὁ τῶν συμπάντων δεσπότης, ἐπόπτης ἔσομαι τῶν ὅλων ὀξυδερκὴς θεός. ἀδράστειά καί τι κρυπτὸν ὄργανον ἐγὼ τεχνάσομαι, ἀπλανοῦς καὶ ἀπαραβάτου θεωρίας ἐχόμενον· ᾧ τὰ ἐπὶ γῆς ἀναγκαίως δουλαγωγηθήσεται πάντα τὰ ἀπὸ γενέσεως ἄχρι φθορᾶς ἐσχάτης, ἔχον τὴν ἀπὸ τελουμένων πῆξιν· πειθήσεται δὲ τῷ ὀργάνῳ τούτῳ καὶ τὰ ἐπὶ γῆς ἄλλα πάντα. εἶπεν ἑρμῆς, ἐγὼ δὲ ταῦτα τῷ μώμῳ, καὶ ἤδη τὸ ὄργανον

ὄργανον ἐκινεῖτο. ταῦτα δὲ ὡς ἐγένετο, καὶ ἐνσωματί-
σθησαν αἱ ψυχαί, καὶ ἔπαινοι ὑπὲρ τῶν γενομένων αὐτὸς ἔ-
τυχεν, πάλιν ὁ μόναρχος συγκαλέσας τῶν θεῶν ἐποίησε
συνέδριον, καὶ οἱ θεοὶ παρῆσαν, καὶ πάλιν αὐτὸς ταῦτα
οὕτως ἐφώνησεν· θεοί, λέγων, ὅσοι τῆς κορυφαίας, ὅσοι καὶ
ἀφθάρτου φύσεως τετεύχατε, οἳ τὸν μέγαν αἰῶνα διέπειν
ἐς ἀεὶ κεκλήρωσθε, οἷς αὐτὰ ἑαυτοῖς ἀντιπαραδιδόντα
οὐδέποτε κοπιάσει τὰ σύμπαντα, μέχρι πότε τῆς ἀνεπι-
γνώστου ταύτης δεσπόσομεν ἡγεμονίας; μέχρι πότε ἀ-
θεώρητα γενήσεται ταῦτα ἡλίῳ καὶ σελήνῃ; ἕκαστος ἡμῶν
ἐφ' ἑαυτῷ γεννάτω. ἀπαλείψωμεν τῇ δυνάμει τὴν αἰ-
τίαν ἀργὴν σύστασιν ταύτην· ἄπιστος τοῖς μεταγενεστέ-
ροις μῦθος δὲ δοξασάτω χάος εἶναι· ἔργων ἅπτεσθε με-
γάλων, ἐγὼ δ' αὐτὸς ἄρξομαι πρῶτος. εἶπε, καὶ εὐθέως
κοσμικῆς τῆς ἔτι ἑνώσεως διάστασις ἐγένετο, καὶ ἐφάνη μὲν
ὁ οὐρανὸς ἄνω, συγκεκοσμημένος τοῖς ἑαυτοῦ μυστηρίοις
πᾶσιν· κραδαινομένη ἔτι γῆ ἡλίου λάμψαντος ἐπάγη, καὶ
ἐφάνη πᾶσι τοῖς περὶ αὐτὴν συγκεκοσμημένοις. καλὰ γὰρ
τῷ θεῷ, καὶ τὰ θνητοῖς εἶναι νομιζόμενα φαῦλα, ὅτι δὴ
τοῖς τοῦ θεοῦ νόμοις δουλεύειν ἐποιήθη. ἔχαιρε δὲ ὁ θεός, ὁ-
ρῶν ἤδη ἑαυτοῦ τὰ ἔργα κινούμενα· πληρώσας δὲ τὰς ἰ-
σοστασίας χεῖρας τῶν περιέχοντι τῶν ἐκ τῆς φύσεως ὑπαρ-
χόντων, καὶ τὰς δράκας καρτερῶς σφίγξας, λάβε, εἶπεν,
ὦ ἱερὰ γῆ, καὶ εἶναι γεννήτειρα μέλλουσα πάντων, καὶ μηδε-
νὶ ἐντεῦθεν λείπεσθαι δόκει. εἶπεν ὁ θεός, καὶ τὰς χεῖρας,
οἵας δεῖ θεὸν ἔχειν, ἀπλώσας, πάντα ἀφῆκεν ἐν τῇ τῶν
ὄντων συστάσει. καὶ ἄγνωστα μὲν ἦν κατ' ἀρχὰς παντά-
πασιν. νεωστὶ γὰρ αἱ ψυχαὶ καθειρχθεῖσαι, καὶ τὴν ἀτιμίαν
μὴ φέρουσαι, τοῖς ἐν οὐρανῷ θεοῖς ἐφιλονείκουν, τῆς ἑαυτῶν
εὐγενείας περικρατοῦσαι, καὶ ἀντιλαμβανόμεναι, ὡς καὶ
αὐταὶ τοῦ αὐτοῦ ἔτυχον δημιουργοῦ, ἐστασίαζον, καὶ τοῖς λοι-
πομένοις ἀνθρώποις ὀργάνοις χρώμεναι, ἐποίουν αὐτοὺς
ἑαυτοῖς ἐπιτίθεσθαι καὶ ἀντιτάσσεσθαι, καὶ πολεμεῖν ἀλλή-
λοις· καὶ ἐπεὶ μὲν ἰσχὺς κατὰ τῆς ἀσθενείας μέγα ἠδύνατο,
ὥστε οἱ ἰσχυροὶ τοὺς ἀδυνάτους καὶ ἔκαιον καὶ ἐφόνευον, καὶ κατὰ
τῶν ἱερῶν τοῦτο μὲν ζῶντας τοῦτο δὲ καὶ νεκροὺς ἔρριπτον κατὰ
τῶν ἀδύτων, ἕως ἀναγκασθήσονται τὰ στοιχεῖα τῷ μονάρ-
χῳ θεῷ ἐντυχεῖν ἐδοκίμαζον ὑπὲρ τῆς τῶν ἀνθρώπων
ἀγρίου πολιτείας. πολλοῦ δὲ ἤδη γενομένου τοῦ κακοῦ, τὰ
στοιχεῖα τῷ ποιήσαντι αὐτὰ τῷ θεῷ προσελθόντα, τοιού-
τοις λόγοις ὑπὲρ μέμψεως ἐχρήσαντο· καὶ δὴ καὶ εἶχε τοῦ τοῦ
λέγειν ἐξουσίαν τὸ πῦρ πρῶτον· δέσποτα δὲ ἔλεγε, καὶ τοῦ
καινοῦ τούτου κόσμου τεχνῖτα, καὶ κρυπτὸν ἐν θεοῖς, καὶ σε-
βαστὸν ὄνομα μέχρι νῦν ἅπασιν ἀνθρώποις, μέχρι πό-
τε ὦ δαῖμον ἄθεον καταλείψει τὸν θνητῶν βίον πρὸς
αἵρεσιν ἔχεις; ἀνάτειλον ἤδη σεαυτὸν χρηματίζοντι τῷ
κόσμῳ, καὶ τοῦ βίου τὸ ἄγριον. μύησον εἰρήνῃ· χάρισον νό-
μους τῷ βίῳ, χάρισαι νυκτὶ χρησμούς· πλήρωσον καλῶν
ἐλπίδων πάντα· φοβείσθωσαν ἄνθρωποι τὴν ἀπὸ θεῶν
ἐκδικίαν, καὶ οὐδεὶς ἐκαρτήσει· ἐπαξίους ἁμαρτημάτων
μισθοὺς ἂν ἀπολάβωσι, φυλάξονται οἱ λοιποὶ τὸ ἀδικεῖν·
φοβηθήσονται ὅρκους, καὶ οὐδεὶς ἔτι ἀνόητον φρονήσει· μα-
θέτωσαν εὐεργετηθέντες εὐχαριστῆσαι, ἵνα χαῖρον παρὰ
λοιβαῖς παρὰ θυσίαις ὑπηρετήσω τὸ πῦρ, ἵν' εὐώδεις
αὐτὰρ ἀπ' ἐσχάρας προπέμψω σοι. μαίνομαι γὰρ ὦ δέ-
σποτα μέχρι νῦν, καὶ ὑπὸ τῆς τῶν γενομένων ἀνθρώπων ἀ-
θέου τόλμης σάρκας ἀναγκάζομαι τήκειν, οὐκ ἐῶσί τε
μένειν εἰς ὃ πέφυκα, παραχαράσσοντες οὐ καθηκόντως
τὸ ἄφθαρτον. ὁ δὲ ἀνὴρ καὶ αὐτός, θολοῦμαι, δέσποτα,

instrumentum mouebatur. His porrò peractis, & animabus in corpora inclusis, rursum deos conuocauit princeps, eósque sic iterum allocutus est: Dij supremæ & immortalis compotes naturæ, quibus magnum æuum datum est regendum, quibúsque cuncta inter se respondere nunquam desinent, quousque tandem ignotum hoc tenebimus regnum? quousque hæc Soli Lunæq́ erunt inuisa? Procreet pro se nostrûm quisque: deleamus fortiter ignauam istam compagem: pro fabula posteris Chaos habeatur: magnas res me duce aggredimini. Quæ cùm fatus esset, statim mundana moles diuisa fuit, ac tum cælum suprà refulsit, omnibus ornatum mysteriis, tum terra etiamnum instabilis ad Solis lucem fixa est, cúmque omnibus ornamentis apparuit. Etenim pulcra Deo ducũtur etiam quæ mortalibus habentur deformia, quoniam ipsius parent legibus. Cùm porrò gauderet Deus, quòd opera iam sua moueri cerneret, repletis vi naturæ manibus, inq́ pugnum fortiter compressis, Sume hæc, inquit, sacra Terra, genitrix cunctorum futura, nec quicquam posthac desidera. Hæc locutus Deus, manibus, quales ipsum decent, expansis omnia largitus est. Ea verò primùm quidem prorsus erant ignota, dum recens inclusæ animæ, opprobrium non ferentes, cum cælestibus diis contendebant; adeóque nobilitate sua nixæ, ac se quoque eundem habuisse opificem arbitratæ, seditionem concitabant, & hominibus pro instrumentis vsæ, contentiones inter eos ac bella seminabant; itáque vis imbecillitati præualebat, vt imbecilles à fortibus & comburerentur, & occiderentur, ac de fanis et adytis partim viui, partim mortui deiicerentur, donec elementa ad principem de fera hominum vita referre sunt coacta. Cùm ergo malum indies cresceret, illa cum Deo sic egerunt, primo igne verba faciente: O here, & noui huius mundi opifex, ac tum diis occultum, tum hominibus omnibus reuerẽdum nomen; quousque tandem deorum expertem relinques humanam vitam? luce iam teipsum orbi, vitáq́ feritatem pace mitiga; da vitæ leges, & Nocti oracula; reple cuncta spe bona; diuinam homines vltionem metuant, ne quis amplius [p] peccet; si dignam peccatorum mercedem recipiant, ab iniuria in posterum abstinebunt; iusiurandum reuerebuntur, neque stultè quicquam posthac agent; discant pro beneficiis gratiam referre, quò lubens ignem ad sacrificia subministrem, quò [q] flammam tibi odoram ab ara submittam. Adhuc enim [r] contaminor, here, prauâ impia hominum audacia carnem cogor depascere, nec natura mea relinquor, immortalitate per iniuriam detorta: [s] Aër deinde, Inficior, here, di-

[p] ἁμαρτήσει pro ἐκαρτήσει.

[q] αὐτὰς pro αὐτὰρ.

[r] μιαίνομαι pro μαίνομαι.

[s] ἀὴρ pro ἀνήρ.

xit, cadauerũ fætore, nec salubris amplius, quæ conuenit, despicio. Tum aqua, fili magnanime, dicendi facta potestate, sic est locuta: O pater, et opifex Vniuersi, tui ipsius, ac per se cuncta gignentis naturæ auctor, tandem aliquando fluminum latices iubeas esse puros. nam vel homicidas abluunt flumina ac maria, vel trucidatos recipiunt. Postremò terra accessit, ac sic, fili magnifice, est exorsa: O rex, & cœlestium domine spherarum, atque elementorum tibi apparentium pater, de quibus omnia crescendi ac decrescendi sumunt initium, & in quæ rursus necessario tandem desinunt; stulta & impia hominum inuadit me turba, quandoquidem omnem capio, quemadmodum tu iussisti, naturam, cunctaque fero, & cadauera recipio; ac dedecore nunc afficior. Terrenus tuus orbis, omnium plenus, Deum non habet. Metu enim carentes, nihil non audent, meisq; humeris omni incumbunt malitia. Tota sanè corporum succis conspergor: ac proinde indignos etiam recipere cogor. At vltra reliqua, quæ sustineo, Deum quoque recipere cupio. Gratificare terræ, si non teipsum, cuius non sum capax, saltem sacrum aliquem tui defluxum. Reliquis elementis præstantiorem redde terram, quæ tuis omnia subministrat. Atque hæc quidem elementa dixerunt: Deus autem sacra voce cuncta replens, Ite, respondit, sacra & patre digna proles, nec vllo pacto rebus nouis studete, nec ministerio vestro orbem meum destituite. Iam enim quidam naturæ meæ defluxus inter vos versatur, qui sacer erit rerum gerendarum inspector, ac viuorum iudex incorruptus, nec non mortuorum tortor: atque adeò singulos homines digna sequetur merces. Ac tum dicendi finem fecerunt elementa, Deo iubente, suásque singula res deinceps curabant. Tum Horus; Quo pacto igitur, mater, inquit, Dei defluxum terra obtinuit? Ad hæc Isis, Hunc ortum, respondit, nolim enarrare, quandoquidem fas non est, Hore magnifice, seminis tui initium referre, quomodo videlicet aliquãdo tandem hominibus mundorum opifex æternorum maximum patrem tuum Osirim, deámque maximam Isim sit aliquantum largitus, vt omnium indigum orbem iuuarent. Hi sanè vita vitam repleuerunt; hi cædes mutuas sustulerunt; hi delubra diis ac sacra constituerunt; hi leges hominibus, victum, & vestitum dederũt: hi meorũ omnium scriptorum, inquit Hermes, mysteria cognoscẽt, eáque partim sibi seruabunt, partim, quæ sunt hominibus profutura, columnis insculpent: hi iudicia primi componentes, iustitia cuncta repleuerunt: hi fidei auctores facti, maximum quoque deum, Iusiurandum, in vitam humanam introduxerunt: hi vita functos ritè docuerũt componere: hi mortis inquisita feritate,

ι δῆμον ριομένη

ἔλεγε, καὶ ἀπὸ τῶν νεκρῶν σωμάτων ἀναθυμιάσεως νοσώδης τε εἰμὶ, καὶ ὑγιεινὸς, οὐκ ἔτι ἐφορῶ τι ἄνωθεν ὅσα με θέμις ὁρᾶν. ὕδωρ ἑξῆς, ὦ παῖ μεγαλόψυχε, τὴν τοῦ λέγειν εἴχεν ἐξουσίαν, καὶ ἔλεξεν οὕτως· πάτερ, καὶ θαυμαστὲ ποιητὰ πάντων αὐτογεννήτων δαῖμον, καὶ τῆς διὰ σὲ τὰ πάντα γεννώσης ποιητὰ φύσεως, ἤδη ποτὲ ὦ δαῖμον ἀεὶ ῥεῖθρα ποταμῶν καθαρὰ προστάξον εἶναι. ἢ γὰρ ἀπολούουσι ποταμοὶ καὶ θάλασσαι τοὺς φονεύσαντας, ἢ δέχονται τοὺς φονευθέντας. γῆ παρῆν περίλοιπος ἑξῆς, καὶ ταξάμενη τὸ ἀπὸ τῶν λόγων, ὦ παῖ μεγαλόδοξε, οὕτως λέγειν ἤρξατο· βασιλεῦ, καὶ τῶν οὐρανίων πρύτανι, καὶ δέσποτα ἁψίδων, στοιχείων ἡμῶν ἡγεμὼν, πάτερ, τῶν σοὶ παρεστώτων, ἐξ ὧν αὐξήσεως καὶ μειώσεως ἀρχὴν ἔχει τὰ πάντα, εἰς ἃ καὶ πάλιν καταλήγοντα, ἀναγκαίως ὀφειλόμενον τέλος ἔχει, ἀλόγιστος, ὦ πολυτίμητε, καὶ ἄθεος ἀπ' ἀνθρώπων ἐπ' ἐμὲ χορὸς ἐπέστη. χωρῶ δ' ἐγὼ καὶ φύσιν πάντων. αὕτη γὰρ, ὡς σὺ προσέταξας, καὶ φέρω πάντα, καὶ τὰ φονευθέντα δεχόμενη. ἀτιμοῦμαι δὲ ἤδη. ὁ ἐπὶ πάντων ὁ ἐπιχθόνιός σου κόσμος πεπληρωμένος, θεὸν οὐκ ἔχει. πάντα γὰρ ἃ φοβηθῶσιν οὐκ ἔχοντες, παρανομοῦσιν, καὶ κατ' ἐμῶν ὦ κύριε τενόντων πάσῃ πονηρᾷ τέχνῃ καταπίπτουσι· καταβρέχομαι δὲ πᾶσα διαφθειρομένη σωμάτων χυλοῖς. ἐντεῦθεν κύριε καὶ τοὺς οὐκ ἀξίως ἀναγκάζομαι χωρεῖν. χωρῆσαι θέλω, μεθ' ὧν φέρω πάντων, καὶ θεόν. χάρισαι τῇ γῇ, κἂν οὐ σεαυτὸν, οὐ γάρ σε χωρεῖν ὑπομένω, ταύτης τινὰ ἱερὰν ἀπόρροιαν. στοιχείων τιμιωτέραν τῶν ἄλλων τὴν γῆν μεταποίησον. μόνη γὰρ αὐχεῖν τὰ ἀπὸ σοῦ πρέπει τὰ πάντα παρεχούσῃ. τοσαῦτα μὲν τὰ στοιχεῖα εἶπον. ὁ δὲ θεὸς, ἱερᾶς ἐκ τοῦ λέγειν φωνῆς τὰ σύμπαντα πληρώσας, πορεύεσθε, εἶπεν, ἱερὰ καὶ μεγάλη πατρὸς ἄξια τέκνα. καὶ κατὰ μηδένα τρόπον νεωτερίζειν ἐπιχειρεῖτε, μηδὲ ἀργὸν τὸν ἐξ αὐτῶν ὑπηρεσίας τὰ σύμπαντά μου κόσμον καταλείπετε. ἑτέρα γὰρ ἐν ὑμῖν τις ἤδη τῆς ἐμῆς ἀπόρροια φύσεως, ὡς δὴ καὶ ὅσιος ἔσται τῶν πραττομένων ἐπόπτης, καὶ ζώντων κριτὴς ἀμετάθετος, φρικτὸς δ' οὐ μόνον ἀλλὰ καὶ τιμωρὸς τῶν ὑπὸ γῆν τύραννος. καὶ ἑκάστῳ δὲ τῶν ἀνθρώπων ἀκολουθήσει διὰ γενεῶν μισθὸς ἐπάξιος. καὶ οὕτως ἐπαύσατο τῆς ἐντυχίας τὰ στοιχεῖα, τοῦ δεσπότου κελεύσαντος, καὶ ἐχεμυθίαν εἶχον καὶ ἕκαστον αὐτῶν τῆς ἰδίας ἐξουσίας ἐκράτει καὶ ἐδέσποζε. καὶ ἐκ τούτου εἶπεν ὧρος, ὦ τεκοῦσα, πῶς οὖν τῆς τοῦ θεοῦ ἀπορροίας ἔσχεν ἐπιτύχησιν ἡ γῆ; καὶ εἶπεν ἶσις, παραιτοῦμαι γένεσιν ἱστορεῖν. οὐ γὰρ θεμιτὸν σῆς σπορᾶς καταλέγειν ἀρχὴν, ὦ μεγαλοσθενὲς ὧρε, ὡς μήποτε ὕστερον ἀνθρώπους ἀθανάτων κοσμοποιητὴς καὶ γενέτης τὶ τὸ μέγιστόν σου πρὸς ὀλίγον ἐχαρίσατο πατέρα ὄσιριν, καὶ τὴν μεγίστην θεὰν ἶσιν, ἵνα τῷ πάντων δεομένῳ κόσμῳ βοηθοὶ γένωνται). οὗτοι βίου τὸν βίον ἐπλήρωσαν· οὗτοι τὸ τῆς ἀλληλοφονίας ἔπαυσαν ἄγριον· τεμένη προγόνοις θεοῖς αὐτοὶ καὶ θυσίας καθιέρωσαν· νόμον οὗτοι καὶ τροφὰς θνητοῖς καὶ σκέπην ἐχαρίσαντο· οὗτοι τὰ κρυπτὰ, φησὶν ἑρμῆς, τῶν ἐμῶν ἐπιγνώσονται γραμμάτων πάντων, καὶ διακρινοῦσι, καί τινα μὲν αὐτοὶ κατασχῶσιν, ἃ δὲ καὶ πρὸς εὐεργεσίας θνητῶν φθάνει, στήλαις καὶ ὀβελίσκοις χαράξουσιν· οὗτοι πρῶτοι δείξαντες δικαστήρια, εὐνομίας τὰ σύμπαντα καὶ δικαιοσύνης ἐπλήρωσαν· οὗτοι δεξιᾶς καὶ πίστεως ἀρχηγέται γενόμενοι, καὶ τὸν μέγιστον θεὸν ὅρκον εἰσηγάγοντο εἰς τὸν βίον· οὗτοι τοὺς παυσαμένους τοῦ ζῆν, ὡς δέον ἐστὶν, ἐδίδαξαν περιστέλλειν· οὗτοι τὸ τοῦ θανάτου ζητή-

ζητήσαντες ἄγριον, ἔγνωσαν, ὡς τὸ ἔξωθεν πνεῦμα τοῖς φιλυπογράφοις τυγχάνοντος εἰς τὰ τῶν ἀνθρώπων πλάσματα, ἐὰν ὑστερήσῃ ποτὲ ἀνάκτησιν οὐκ ἔχουσαν, ἐργάζεται λειποθυμίας· οὗτοι τὸ περιέχον ὅτι δαιμόνων ἐπληρώθη, παρ' Ἑρμοῦ μαθόντες, κρυπταῖς στήλαις ἐχάραξαν· οὗτοι μόνοι τὰς κρυπτὰς νομοθεσίας τοῦ θεοῦ, παρ' Ἑρμοῦ μαθόντες, τεχνῶν καὶ ἐπιστημῶν καὶ ἐπιτηδευμάτων ἁπάντων εἰσηγηταὶ τοῖς ἀνθρώποις ἐγένοντο καὶ νομοθέται· οὗτοι παρ' Ἑρμοῦ μαθόντες ὡς τὰ κάτω συμπαθεῖν τοῖς ἄνω ὑπὸ τοῦ δημιουργοῦ διετάχθη, τὰς προσκαθέτους τοῖς ἐν οὐρανῷ μυστηρίοις ἱεροποιίας ἀνέστησαν ἐν γῇ· οὗτοι τὸ φθαρτὸν τῶν σωμάτων ἐπιγνόντες τὸ ἐν ἅπασι τέλειον τῶν προφητῶν ἐτεχνάσαντο, ὡς μήποτε ὁ μέλλων θεοῖς προσάγειν χεῖρας προφήτης ἀγνοῇ τι τῶν ὄντων, ἵνα φιλοσοφία μὲν καὶ μαγεία ψυχὴν τρέφῃ, σώζῃ δ' ὅταν τι πάσχῃ ἰατρικὴ σῶμα. ταῦτα πάντα ποιήσαντες, ὦ τέκνον, Ὄσιρίς τε κἀγώ, τὸν κόσμον πληρέστατον ἰδόντες, ἀπῃτούμεθα λοιπὸν ὑπὸ τῶν τὸν οὐρανὸν κατοικούντων, ἀλλ' οὐκ ἦν ἀνελθεῖν πρὶν ἐπικαλέσασθαι τὸν μόναρχον, ἵνα δὴ καὶ τῆς θεωρίας ταύτης πλῆρες τὸ περιέχον γένηται, αὐτοί τε εὐπαράδεκτον εὐτυχήσωμεν τὴν ἀνάβασιν. χαίρει γὰρ ὕμνοις ὁ θεός. ὦ τεκοῦσα, εἶπεν Ὧρος, κἀμοὶ χάρισαι τὴν τοῦ ὕμνου ἐπίγνωσιν, ὡς μὴ ἀμαθὴς ὑπάρχω. καὶ εἶπεν Ἶσις, πρόσεχε παῖ. Σὺ δὲ ὦ παῖ μεγαλόψυχε, εἴ τι θέλεις ἕτερον, ἐπερώτα. καὶ εἶπεν Ὧρος, ὦ πολυτίμητε μῆτερ, εἰδῆσαι θέλω πῶς γίνονται βασιλικαὶ ψυχαί. καὶ εἶπεν Ἶσις, ἡ γενομένη, τέκνον Ὧρε, περὶ τὰς βασιλικὰς ψυχὰς διαφορὰ τοιαύτη τίς ἐστιν. ἐπεὶ γὰρ τόποι τέσσαρές εἰσιν ἐν τῷ παντί, οἵ τινες ἀπαραβάτῳ νόμῳ καὶ προστασίᾳ ὑποπίπτουσιν, ὅ, τε οὐρανός, καὶ αἰθήρ, καὶ ὁ ἀήρ, καὶ ἡ ἱερωτάτη γῆ· καὶ ἄνω μέν, ὦ τέκνον, ἐν οὐρανῷ θεοὶ κατοικοῦσιν, ὧν ἄρχει μετὰ καὶ τῶν ἄλλων πάντων ὁ τῶν ὅλων δημιουργός· ἐν δὲ τῷ αἰθέρι ἀστέρες, ὧν ἄρχει ὁ μέγας φωστὴρ ἥλιος· ἐν δὲ τῷ ἀέρι ψυχαὶ μόναι, ὧν ἄρχει σελήνη· ἐπὶ δὲ τῆς γῆς, ἄνθρωποι, καὶ τὰ λοιπὰ ζῷα, ὧν ἄρχει ὁ κατὰ καιρὸν γενόμενος βασιλεύς. γεννῶσι γάρ, ὦ τέκνον, βασιλεῖς οἱ θεοὶ ἐπαξίως τῆς ἐπιγείου γονῆς, καὶ εἰσὶν οἱ ἄρχοντες τοῦ βασιλέως ἀπόρροιαι, ὧν ὁ μᾶλλον ἐκείνῳ πλησίον, οὗτος καὶ ὁ τῶν ἄλλων βασιλικώτερος. ὁ μὲν γὰρ ἥλιος καθὸ ἐγγύτερός ἐστι τοῦ θεοῦ, τῆς σελήνης, ἐπιμείζων καὶ δυναμικώτερος, ᾧ δευτερεύει ἡ σελήνη καὶ κατὰ τάξιν καὶ κατὰ δύναμιν. καὶ ὁ μὲν βασιλεύς, τῶν μὲν ἄλλων θεῶν ἐστιν ἔσχατος, πρῶτος δὲ ἀνθρώπων· καὶ μέχρις ὅτου ἐπὶ γῆς ἐστι, τῆς μὲν ἀληθοῦς θειότητος ἀπήλλακται, ἔχει δὲ ἐξαίρετόν τι παρ' ἀνθρώποις, ὃ ὅμοιόν ἐστι τῷ θεῷ. ἡ γὰρ εἰς αὐτὸν καταπεμπομένη ψυχή, ἐξ ἐκείνου ἐστὶ τοῦ χωρίου ὃ ὑπεράνω κεῖται ἐκείνων ἀφ' ὧν εἰς τοὺς ἄλλους καταπέμπονται. δὲ ἐκεῖθεν εἰς τὸ βασιλεύειν διὰ δύο ταῦτα αἱ ψυχαί, ὦ τέκνον. αἱ γὰρ καλῶς καὶ ἀμέμπτως δραμοῦσαι τὸν ἴδιον αἰῶνα, καὶ μέλλουσαι ἀποθεοῦσθαι, ἵνα κἂν τῷ βασιλεύειν τὴν τῶν θεῶν προγυμνασθῶσιν ἐξουσίαν, αἱ θεῖαί τινες ἤδη οὖσαι καὶ ἐπὶ μικρῷ τοὶ παραβεβηκυῖαι τὸν ἔνθεον γνώμονα, ἵνα μὴ κόλασιν μὲν ἐν τῷ σωματίζεσθαι ὑπομένωσιν δι' ἀδοξίαν καὶ φύσιν, μηδὲν ὅμοιον τοῖς ἄλλοις πάσχουσιν ἐνσωματισθεῖσαι, ἀλλ' ὅπερ εἶχον λελυμέναι, τοῦτο καὶ ἐνδεθεῖσαι ἔχουσιν. αἱ μέντοι περὶ τὰ ἤθη τῶν βασιλευόντων γενόμεναι διαφοραί, οὐκ ἐν τῇ τῆς ψυχῆς κρίσει κρίνονται, πᾶσαι γὰρ θεῖαι· ἀλλ' ἐν τῇ τῶν

(marg.: ὑπαρχ.)

cognouerunt, externum spiritum, cùm in humana cupiat redire figmenta, si quando praecludatur aditus, animi deliquium efficere: hi cùm aërē scatere dæmonibus ex Hermete cognouissent, occultis id columnis insculpserunt: hi occultis Dei legibus ab Hermete perceptis, artium ac scientiarum omnium auctores extiterunt: hi cùm inferiora Dei iussu cū superioribus consentire ex Hermete cognouissent, idonea cælestibus mysteriis sacrificia terris tradiderunt: hi corporum imbecillitate perspecta, perfectos crearunt prophetas, ne quid vnquam manus in cælum sublaturus propheta ignoraret, ac philosophia quidem & magia animā nutrirent, corpus autem affectum seruaret medicina. Hæc omnia cùm Osiris & ego, fili, peregissemus, repletum conspicati mundum, à cæli incolis deinceps repetebamur. Sed nisi inuocato principe non licebat ascendere, quo tum hac contemplatione repleretur aër, tum ipsi commodum nansisceremur ascensum; siquidem hymnis Deus delectatur. Me quoque, mater, inquit Horus, hymnum doce, vt eum sciam. Ausculta fili, respondit Isis. Tu porrò, fili magnanime, si quid aliud requiris, interroga. Tum Horus, Cupio, inquit, scire, veneranda mater, quo pacto regiæ exsistant animæ. Ad hæc Isis, Regiarum animarum, respondit, Hore fili, hæc est differentia. Cùm quatuor sint Vniuersi loca, *quæ legi perpetuæ sunt obnoxia, cælum, æther, aër, ac sanctissima terra: in cælo quidem dij habitant, quibus, vt & reliquis omnibus, imperat Vniuersi opifex; in æthere autem stellæ, quibus magnum Solis lumē præest; in aëre verò animæ solæ, quarum princeps est Luna; in terra denique homines, & animalia reliqua, quibus reges imperāt. Etenim reges dij procreant, fili, terreno generi aptos, ac summi regis defluxus sunt principes, qui quò sunt illi propiores, hoc sunt magis regij. Vt enim Sol, quatenus propior Deo est, quā Luna, maiores vires habet, Luna tum ordine, tum viribus sequente: ita rex aliorum quidem deorum est infimus, hominum autem primus, & quamdiu in terris versatur, vera quidem diuinitate caret, præcipuū verò quid inter homines obtinet, quod est Deo simile. Nam quæ in illum demittitur anima, de loco proficiscitur, qui superior est iis, ex quibus demittuntur aliæ. Atque inde duas ob causas animæ, fili, ad regnandum demittūtur. Quæ enim citra crimē æuum suum transegerunt, intérque deos referendæ veniunt, vt in regno quoque diuinam potestatem praébent, ne cruciatum quidem ignominiæ ferant corpori inditæ, nihil cum reliquis habent simile, verùm quod antè solutæ, idem post vinctæ obtineant; morum autem differentia non de anima, quæ prorsus est diuina, sed de affectu

(marg.: * ν. ἄλλως pro ἅπασι)

affeclis eius angelis ac dæmonibus proueniunt. Tales etenim animæ absque asseclis non demittuntur, quoniam diuina iustitia suum cuique tribuere nouit, etiam si è loco beato detrudantur. Quare cùm eam deducentes angeli ac dæmones, Hore fili, bellicosi fuerint, horum sententiam sequitur anima, vel suorum oblita operum, vel potius vsque ad alterum cœtum memor; cùm pacis amantes, tum & ipsa paci studet; cùm iudiciorum studiosi, tum & ipsa iudicat; cùm musici, tum & ipsa canit; cùm veritatis amatores, tum & ipsa philosophiæ dat operam. Necessariò enim hæ animæ deductorum sequuntur sententiam, quandoquidem in humanitatem incidunt, suæ quidem oblitæ naturæ, deductorum autem sententiæ memores. Rectè hoc explicasti, mater, inquit Horus: quo autem pacto nobiles gignantur animæ, nondum exposuisti. Ad quæ Isis, Quemadmodū in terris, respondit, Hore fili, diuersæ cernūtur resp. sic etiam inter animas. cùm enim hæ quoque loca habeant, è quibus proficiscuntur, quæ de loco celebriore prodit, alia de alio prodeunte censetur nobilior. sicut enim inter homines liber seruo ducitur nobilior, quoniam dignitas animarum inferiora sibi necessariò subiicit; sic etiā in hoc negotio se res habet. Post hæc Horo quærente, quo pacto masculæ & femineæ gignerentur animæ, sic respōdit Isis: Animæ omnes eiusdem naturæ sunt, Hore fili, tanquam vno in loco ab opifice formatæ, nec vel mares sunt, vel feminæ. siquidem hæc affectio in corporibus, nō incorporeis cernitur. Cur autem aliæ ferociores sint, aliæ molliores, aër in causa est, in quo fiunt omnia; corpus videlicet, ex elementis quatuor compositum. Quapropter cùm feminarum cōpositio frigore quidem & humore abundet, calore autem & siccitate deficiatur; idcirco tali figmento inclusa anima humida & luxurians redditur: quemadmodum in maribus contrarium cernitur; qui vt calore & siccitate abundant, ita frigore & humore deficiuntur, ideoq́ talium corporū animæ feroces & operosæ existunt. Post hæc Horo quærente, quo pacto prudentes gignerentur animæ, sic respondit Isis: Aspectus noster tunicis circumdatur, quæ cùm densæ crassæq́ fuerint, [x] eacutiūt oculi; cùm tenues, ac raræ, acutissimè cernunt. Haud aliter se in anima res habet, quandoquidem ipsa quoque tunicas suas incorporeas habet, prout ipsa vacat corpore. Eæ porrò spiritus nostri sunt, qui cùm tenues, rari, ac perspicui fuerint, prudens existit anima; cùm contrà densi, crassi, & obscuri, haud longè dissita, sed quæ ante [y] pedes sunt, velut hieme, cernit. Cur igitur, inquit Horus, extra nostram regionem homines non æquè prudentes sunt, ac nostri? Terra in medio Vniuersi, respōdit Isis, resupina hominis instar iacet, iisdem etiam, quibus homo, membris præ-

[x] ἀμβλυωπεῖ pro ὀξυωπεῖ.

[y] ποσὶν pro πᾶσιν.

δορυφορησάντων αὐτὴν τὴν κατάστασιν ἀγγέλων καὶ δαιμόνων. αἱ γὰρ τοιαῦται, καὶ ἐπὶ τοιαῦτα κατερχόμεναι, δίχα προπομπῆς καὶ δορυφορίας οὐ κατέρχονται. οἶδε γὰρ ἡ ἄνω δίκη τὴν ἀξίαν ἑκάστῃ νέμειν, κἂν ἐκ τῆς εὐημερούσης χώρας ἀπωθῶνται. ὅταν οὖν οἱ κατάγοντες αὐτὴν ἄγγελοι καὶ δαίμονες, τέκνον ὦρε, πολεμικοὶ ὦσι, τούτων προαιρετικῶν τῆς γνώμης ἡ ψυχὴ ἔχει, ἢ ἐπιλαθομένη τῶν ἑαυτῆς ἔργων, μᾶλλον δὲ μεμνημένοι τούτων μέχρι τῆς τῆς ἑτέρας συνοδίας προσαγαγόντων· ὅταν δὲ εἰρηνικοί, τότε καὶ αὐτὴ τὸν ἴδιον δρόμον εἰρηνοποιεῖται· ὅταν δὴ καὶ αὐτὴ δικάζει· ὅταν δὲ μουσικοί, τότε καὶ αὐτὴ ᾄδει· ὅταν δὲ φιλαλήθεις, τότε καὶ αὐτὴ φιλοσοφεῖ. ὡς γὰρ ἀνάγκης καὶ ψυχαὶ αὗται τῆς τῶν καταγόντων προαιρετικῶν γνώμης, πίπτουσι γὰρ εἰς τὴν ἀνθρωπότητα, τῆς μὲν ἰδίας φύσεως ἐπιλαθόμεναι, καὶ παρ' ὅσον μακρὰν αὐτῆς ἐπέστησαν, μέμνηνται δὲ τῆς τῶν κατακλεισάντων αὐτὰς διαθέσεως. καλῶς, εἶπεν ὦρος, ἅπαντά μοι, ὦ τεκοῦσα· πῶς δὲ εὐγενεῖς γίγνονται ψυχαὶ οὐδέπω μοι διηγήσω. ὃν τρόπον ἐπὶ γῆς, ὦ τέκνον ὦρε, εἰσί τινες πολιτεῖαι διαφέρουσαι ἀλλήλων, οὕτω καὶ ἐπὶ τῶν ψυχῶν ἐστί. καὶ αὗται γὰρ τόπους ἔχουσιν ὅθεν ὁρμῶσι, καὶ ἡ ἀπὸ τοῦ ἐνδοξοτέρου τόπου ὁρμηκυῖα, εὐγενεστέρα ἐστὶ τῆς μὴ οὕτως ἐχούσης. ὅνπερ γὰρ τρόπον ἐπ' ἀνθρώποις ὁ ἐλεύθερος εὐγενέστερος εἶναι δοκεῖ δούλου· τὸ γὰρ ἐν ταῖς ψυχαῖς ὑπερέχον καὶ βασιλικόν, δουλοποιεῖ τὸ ὑπερεχόμενον ἐξ ἀνάγκης· οὕτως δή, ὦ τέκνον, καὶ πῶς ἀρρενικαὶ καὶ θηλυκαὶ γίγνονται ψυχαί; αἱ ψυχαί, ὦ τέκνον ὦρε, ὁμοφυεῖς εἰσιν ἑαυταῖς, καθάπερ ἐξ ἑνὸς οὖσαι χωρίου ἐν ᾧ αὐτὰς διατυποῦσιν ὁ δημιουργός, καὶ οὔτε εἰσὶν ἄρρενες, οὔτε θήλειαι. ἡ γὰρ τοιαύτη διάθεσις ἐπὶ σωμάτων γίγνεται, καὶ οὐκ ἐπὶ ἀσωμάτων. ἡ δὲ διαφορά, τοῦ τὰς μὲν βριμωδεστέρας εἶναι, τὰς δὲ διαφεῖς, ὁ ἀήρ ἐστι, τέκνον ὦρε, ἐν ᾧ πάντα γίγνεται· ἀὴρ δὲ ψυχῆς ἐστιν αὐτὸ τὸ σῶμα ὃ περιβέβληται, ὅπερ στοιχεῖον ἐστὶ φύραμα γῆς, καὶ ὕδατος, καὶ ἀέρος, καὶ πυρός. ἐπεὶ οὖν τὸ μὲν τῶν θηλειῶν σύγκριμα πλεονάζει μὲν τῷ ὑγρῷ, λείπεται δὲ τῷ ξηρῷ καὶ θερμῷ· παρὰ τοῦτο ἡ εἰς τοιοῦτον πλάσμα συγκλειομένη ψυχή, δίυγρος γίγνεται, καὶ τρυφερά. ὥσπερ ἐπὶ τῶν ἀρρένων τὸ ἐναντίον ἐστὶ γιγνόμενον εὑρεῖν. ἐπὶ γὰρ τούτοις πλεονάζει μὲν τὸ ξηρόν, καὶ τὸ θερμόν, λείπεται δὲ τὸ ψυχρὸν καὶ ὑγρόν· διὰ τοῦτο καὶ ἐν τοιούτοις σώμασι ψυχαὶ τραχεῖαι, καὶ ἐνεργητικώτεραι εἰσίν. πῶς γίγνονται αἱ ψυχαὶ συνεταί, ὦ τεκοῦσα; καὶ ἀπεκρίθη Ἶσις· τὸ ὁρατικόν, ὦ τέκνον, περιβέβληται χιτῶσιν· ὅταν οὖν οἱ χιτῶνες πυκνοὶ ὦσι καὶ παχεῖς, ὀξυωπεῖ ὁ ὀφθαλμός· ἐὰν δὲ ἀραιοὶ καὶ λεπτοί, τότε ὀξυωπέστατα βλέπουσιν. οὕτω καὶ ἐπὶ τῆς ψυχῆς. ἔχει γὰρ καὶ αὐτὴ ἴδια περιβόλαια ἀσώματα, καθὸ καὶ αὐτὴ ἀσώματός ἐστι. τὰ δὲ περιβόλαια ταῦτα ἀέρες εἰσὶν οἱ ἐν ἡμῖν. ὅταν οὗτοι ὦσι λεπτοὶ καὶ ἀραιοί, καὶ διαυγεῖς, τότε συνετὴ ἡ ψυχή ἐστι· ὅταν δὲ τοὐναντίον πυκνοὶ καὶ παχεῖς, καὶ τεθολωμένοι, ὡς ἐν χειμῶνι, ἐπὶ μακρὰν οὐ βλέπει, ἀλλὰ ταῦτα ὅσα παρὰ πᾶσιν κεῖται. καὶ εἶπεν ὦρος, διὰ τίνα οὖν αἰτίαν, ὦ τεκοῦσα, οἱ ἔξω τῆς ἱερωτάτης ἡμῶν χώρας ἄνθρωποι ταῖς διανοίαις οὐκ ὄντως εἰσὶ συνετοί, ὡς οἱ ἡμέτεροι; καὶ εἶπεν Ἶσις· ἡ γῆ, μέσου τοῦ παντὸς, ὑπτία κεῖται, ὥσπερ ἄνθρωπος οὐρανὸν βλέπουσα, μεμερισμένη δέ, καὶ ὅσα μέλη ἄνθρωπος.

πος, μελίζεται· βλέπει δὲ ἐν οὐρανῷ καθάπερ πατρὶ ἰδίῳ, ὅπως ταῖς ἐκείνου μεταβολαῖς καὶ αὐτὴ τὰ ἴδια συμμεταβάλλοι. καὶ πρὸς μὲν τῷ νότῳ τοῦ παντὸς κειμένην ἔχει τὴν κεφαλήν· πρὸς δὲ τῷ ἀπηλιώτῃ δεξιὸν ὦμον, ὑπὸ τὰς ἄρκτους, τοὺς πόδας· τὸν δὲ εὐώνυμον, ὑπὸ τὴν κεφαλὴν τῆς ἄρκτου· τοὺς δὲ μηρούς, ἐν τοῖς μετὰ τὴν ἄρκτον· τὰ δὲ μέσα, ἐν τοῖς μέσοις. καὶ τούτου σημεῖόν ἐστι, τὸ τοὺς μὲν νοτιαίους τῶν ἀνθρώπων, καὶ ἐπὶ τῇ κορυφῇ οἰκοῦντας, εὐκορύφους καὶ καλλίθριχας· τοὺς δὲ ἀπηλιωτικούς, πρὸς μάχην προχείρους εἶναι, καὶ τοξικούς· αἰτία γὰρ τούτων, ἡ δεξιὰ χεὶρ ἐστί· τοὺς δὲ ἐν τῷ λιβί, ἀσφαλεῖς εἶναι, καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἀριστερομάχους, καὶ ὅσον ἄλλοι τῷ δεξιῷ μέρει ἐνεργοῦσιν, αὐτοὺς τῷ εὐωνύμῳ προσεπιθεμένους· τοὺς δὲ ὑπὸ τὴν ἄρκτον πρός τινα τοὺς πόδας καὶ ἄλλως εὐκνήμους· τοὺς δὲ μετὰ τούτους, καὶ μακρῷ πόρρω τὸ νῦν ἰταλικὸν κλίμα, καὶ τὸ ἑλλαδικόν, πάντες δὲ οὗτοι καλλίμηροι εἰσίν, καὶ εὐπυγότεροι, ὥστε τῇ τοῦ κάλλους τῶν μηρῶν τούτων ὑπερβολῇ καὶ τοὺς ἐνταῦθα ἀνθρώπους καταβαίνειν πρὸς τὴν τῶν ἀρρένων ὁμιλίαν. πάντα δὲ ταῦτα μέλη πρὸς τὰ ἄλλα ἀργὰ ὄντα, ἀργοτέρους ἤνεγκε καὶ τοὺς ἀπ' αὐτοῦ ἀνθρώπους. ἐπειδὴ δὲ ἐν τῷ μέσῳ τῆς γῆς ἡ τῶν προγόνων ἡμῶν ἱερωτάτη χώρα, τὸ δὲ μέσον τοῦ ἀνθρωπίνου σώματος μόνης τῆς καρδίας ἐστὶ σηκός, τὸ δὲ ψυχῆς ὁρμητήριόν ἐστι καρδία· παρὰ ταύτην τὴν αἰτίαν, ὦ τέκνον, ἐνταῦθα ἄνθρωποι τὰ μὲν ἄλλα ἔχουσιν οὐχ ἧττον ὅσα καὶ πάντες, ἐξαίρετον δὲ τῶν πάντων νοερώτεροί εἰσι καὶ σώφρονες, ὡς ἂν ἐπὶ καρδίας γενόμενοι, καὶ τραφέντες. ἄλλως τε ὁ μὲν νότος, ὦ παῖ, δεκτικὸς ὄντων ἐκ τοῦ περιέχοντος συνισταμένων νεφῶν, αὐτίκα γοῦν καὶ διὰ τὴν οὕτως αὐτῶν γενομένων ἐκεῖ κατακομιδήν, ἐκεῖθεν ῥεῖν λέγουσι καὶ τὸν ἡμέτερον ποταμόν, λυομένης ἐκεῖ τῆς πάχνης· ὅπου δ' ἂν ἐμπέσῃ νεφέλη, τὸν ἐπικείμενον ἤχλυσεν ἀέρα, καὶ τρόπον τινὰ καπνοῦ κατεκόμισε· καπνὸς δὲ ἡ ἀχλύς, οὐ μόνον ὀμμάτων ἐστὶν ἐμπόδιον, ἀλλὰ καὶ νοῦ. ὁ δὲ ἀπηλιώτης, ὦ μεγαλόδοξε ὦρε, τῇ συνεχῇ τοῦ ἡλίου ἀνατολῇ θορυβούμενος καὶ ἐκθερμαινόμενος, ὁμοίως δὲ καὶ ὁ ἀντικείμενος τούτῳ λὶψ μετέχων τῶν αὐτῶν κατὰ δυσμάς, οὐδεμίαν εἰλικρινῆ ἐπίστασιν ποιοῦνται παρ' αὐτοῖς γενομένων ἀνθρώπων. ὁ δὲ βορέας τῇ συμφύτῳ ψυχρίᾳ ἀποπήσσει μετὰ τῶν σωμάτων καὶ τὸν νοῦν τῶν ὑπ' αὐτὸν ἀνθρώπων. τὸ δὲ μέσον τούτων εἰλικρινὲς ὂν καὶ ἀτάραχον, καὶ αὐτῷ προλέγει καὶ τοῖς ἐν αὐτῷ πᾶσι. τῇ γὰρ συνεχεῖ ἀμεριμνίᾳ γεννᾷ, καὶ κοσμεῖ, καὶ παιδεύει, καὶ μόνον τοῖς τοσούτοις ἐρίζει, καὶ νικᾷ, καὶ ἐπιστάμενον τὴν ἰδίαν νίκην, ὥσπερ σατράπης ἀγαθὸς τοῖς νενικημένοις καὶ ἐπιδίδωσι. καὶ τοῦτό μοι κυρία μῆτερ ἔκθες παρεσπνίαν αἰτίαν, ὅτι ζώντων ἀνθρώπων, ἐν ταῖς μακραῖς νόσοις, καὶ ὁ λόγος καὶ αὐτὸς ὁ λογισμός, καὶ αὐτὴ ἡ ψυχή, ἔσθ' ὅτε βλάπτεται. καὶ ἀπεκρίθη Ἶσις, τῶν ζώντων, ὦ τέκνον, τὰ μὲν ᾠκείωται πρὸς τὸ πῦρ, τὰ δὲ πρὸς τὸ ὕδωρ, τὰ δὲ πρὸς ἀέρα, τὰ δὲ πρὸς γῆν, τὰ δὲ πρὸς τούτων δύο, ἢ τρία· τὰ δὲ καὶ πρὸς τὰ ὅλα. πάλιν αὖ τὰ μὲν ἀπηλλοτρίωται τοῦ πυρός, τὰ δὲ τοῦ ὕδατος, τὰ δὲ τῆς γῆς, τὰ δὲ τοῦ ἀέρος, τὰ δὲ δύο τούτων, τὰ δὲ τριῶν, τὰ δὲ τῶν ὅλων. οἷον ἀκρὶς μέν, ὦ τέκνον, καὶ πᾶσα μυῖα φεύγει τὸ πῦρ· ἀετὸς καὶ ἱέραξ, καὶ ὅσα ὑψιπετέστερά ἐστι τῶν ὀρνέων, φεύγει τὸ ὕδωρ· ἰχθύες, ἀέρα καὶ γῆν· ὄφις τὸν ἀέρα τὸν εἰλικρινῆ ἀποστρέφεται. φιλοῦσι καὶ τὴν μὲν γῆν οἱ ὄφεις, καὶ ὅσα ἕρπει· τὸ δὲ ὕδωρ τὰ νηκτὰ πάντα· τὸν δὲ ἀέρα, τὰ πτηνά, ἐν οἷς καὶ πολιτεύεται· τὸ δὲ πῦρ, ὅσα ὑπερπετῆ ἐστι, καὶ ἐγγὺς τὴν

dita. Cælum autem tanquam patrem suum intuetur, vt simul cum illo suas mutationes subeat. Et ad Austrum quidem caput habet positum, ad Subsolanum autem dextrum humerum, sub Septemtrione verò pedes, sub Vrsa denique capite sinistrum, vt sub sequentibus femora, & sub mediis media. Hinc porrò fit, vt Australes quidem homines pulcro capite sint, pulcrisq; crinibus; Subsolano autem attributi, bellicosi & funditores, de dextra manus effectu; Africo verò, firmi, & plerumque sinistra pugnantes, dextri lateris officiis sinistro tributis; sub Septemtrione autem positi, pedibus ac suris polleant; hos verò subsequentes, per Italia Græciaq; tractum, pulcris femoribus ac proceris barbis excellant, sic vt propter femorum excellentiam huius generis homines ad marium consuetudinem rapiantur. (hæc sanè membra præ cæteris candida homines quoq. candidiores protulerunt) cùm denique maiorum nostrorum regio medium terræ occupet, & humani corporis medium sit, solius cordis delubrum, quæ est animæ sedes, vt nostri homines alia quidem omnia non minùs habeant, quàm cæteri, mentem verò ac prudentiam præ cæteris, vt in corde nati & educati. Præterea Auster quidem, fili, nubes coactas recipit. (inde sanè [z]ad nos illas fluere arbitrantur) nebula autem quamuis aërem obscurat, ac fumo replet quodam modo, fumus verò vel caligo non [a]oculos tantùm, sed mentem etiam impedit. Subsolanus autem, perpetuo Solis exortu calefactus, ac similiter huic oppositus Africus idem ab occasu nanciscens, non magnam scientiam suis hominibus pariunt: Boreas verò frigore suo cũ corporibus etiam mentes hominum constringit. At horum medium, cùm sincerum sit ac turba vacuum, et sibi & suis prodest, perpetuoq; securitate procreat & instruit, déque his dumtaxat contendit. cumq; sibi victoriæ sit conscium, eam cum victis quoque more boni principis communicat. Denique Horus hoc sibi declarari petiit, quam ob causam etiam in vita hominum interdum longo morbo tum ratio, tum anima læderentur. Ad quæ Isis, Animalium, respondit, alia sunt igni cognata, alia aquæ, alia aëri, alia terræ, alia horum duobus vel tribus, alia denique omnibus. [b] Rursum alia fugiunt ignem, alia aquam, alia terram, alia aërem, alia duo horum, alia tria, alia denique omnia. Sic locusta quidem & musca fugit ignem; aquila autem & accipiter, et quæcunque aues altiùs volant, aquam; pisces verò aërem ac terram; serpens denique purum aërem. Amant [c]enim serpentes quidem terram, & omnia reptilia, aquam autem natantia, aërem verò volucres, ignem denique quæ altiùs volant, nec ab eo procul degunt.

z ὡς pro καὶ

a [illegible] pro [illegible]

b οὗ τὰ pro αὐτά

c γὰρ pro καὶ

Quid quòd animalia etiam quadam ignem sectantur, ut salamandræ, quas ignis fouet. Quare cùm unumquodque elementum corpus circumdet, anima quæuis corpori inclusa quatuor his premitur, quandoquidem illam aliis horum delectari, ab aliis abhorrere fit verisimile, adeoq́ summa quidem felicitate non fruitur, sic tamen quoque tanquam diuinæ compos naturæ, intellectū exercet, quanquam non eo pacto, quo extra corpus fecerat. Veruntamen si illud commoueatur aut morbo, aut terrore; tum ipsa quoque tanquam in alto fluctuat & vagatur.

De statu animarum post exitum.

Oraculi.

Corpus iners, animaq́ carens, & lumine cassū,
Haud iter ad vitæ nouit fomenta recurrens.
Sed vanum deinceps iacet arida puluis, at illa,
Unde priùs lapsa est, sublimis in æthera tendit:
Ex alioq́ aliud prognatum limite fixo
Fecundæ teneris naturæ animatur aratris.

Plat. Axiocho.

Si vis autem, aliam etiam rationem cape, quā retulit mihi Gobrias magus. Is dicebat secundum Xerxis in Græciam transitum auum suum sibi cognominem missum esse in Delum, quò eam tueretur insulam, in qua bina sunt numina prognata. Ibi illum ex æneis quibusdam tabulis, quas attulissent ab Hyperboreis Opis & Hecaergus, didicisse animam posteaquam à corpore sit exoluta, in ignitum quendam locum discedere, & Sisyphi inexplicitum saxum, cuius finis ab alio incipit rursus labore. Ibi circumlambentibus eos feris, indesinenter lampadibus adusti, & omnium pœnarum afflicti cruciatu, tormentis laniantur immensis.

Mercurij Claue, Ficino interp.

Nam in iis, quæ generatim diximus, audisti, quemadmodum ab una mūdi totius anima uniuersæ profluunt animæ, per omnem mundum tanquam distributæ circumcurrentes? Harum utique animarum mutationes permultæ, partim sanè in melius, feliciusq́, partim autem in contrarium. Nam reptilium quædā in aquatilia transmutantur, aquatilium animæ in terrestria migrant, terrenorum in volatilia scandunt, aëreorum vertūtur in homines. hominum deinde immortales animæ in dæmones transeunt, demum in deorum chorum feliciter reuolant. Chori deorū gemini, vagantium unus, non vagantium alter. atque hæc est suprema animæ gloria. Anima verò in corpus humanum delapsa, si quidem mala perseuerauerit, non gustat immortalitatis quicquā, neq. bono etiam fruitur: reuoluto autem itinere, in reptilia præcipitatur. Hæc utique adiudicatio, pœnaq́ est animæ malæ. prauitas animæ, ignorantia. Anima naturæ rerum, boniq́ inscia, orbata oculis, corporis sese passionibus implicat. Anima cacodæmonis ritu corrupta, seipsam ignorans abiectis corporibus, monstrisq́ deformibus seruit: corpus suum velut onus infestum circumfert, nō præsidens corpori, sed ob ignorantiam subiugata.

Humana certè anima, non omnis quidem, sed pia, beataq́, diuina. postquā verò huiusmodi anima per mortē à carcere corporis est exempta, cum

δίκαιον. οὐ μὴν ἀλλὰ καί τινα τῶν ζώων φιλεῖ τὸ πῦρ· ὡς αἱ σαλαμάνδραι· ἐν γὰρ τῷ πυρὶ καὶ φωλεύουσιν. ἕκαστον γὰρ τῶν στοιχείων περιβολή ἐστι τῶν σωμάτων. πᾶσα οὖν ψυχὴ ἐν τῷ σώματι οὖσα βαρεῖται καὶ θλίβεται τοῖς τέτταρσι τούτοις. καὶ γὰρ εἰκός ἐστι καὶ ταύτην ποτὲ μὲν τούτων τέρπεσθαι, ποτὲ δὲ ἄχθεσθαι. διὰ τὸ οὖν οὐκ ἔχει αὐτῆς τὴν ἀκροτάτην εὐδαιμονίαν· ἀλλ' ὥσπερ φύσει θεία οὖσα, κἂν τούτοις οὖσα, μάχεται καὶ νοεῖ· ἀλλ' οὐχ ὅσα ἂν ἐνόησεν ἀσύνδετος οὖσα σωμάτων. ἐὰν μέντοι καὶ ταῦτα σάλον λάβῃ ἢ ταραχήν, ἤτοι ἀπὸ νόσου, ἢ φόβου, τότε καὶ αὐτὴ ὥσπερ ἐν βυθῷ ἄνθρωπος ἐπικυμαίνεται, καὶ οὐδὲν ἑστάμενον φέρει.

Περὶ τῆς τῶν ψυχῶν διαγωγῆς, μετὰ τὴν ἀπὸ τοῦ σώματος ἔξοδον.

χρησμοί.

Σῶμα λυθέν, ψυχὴν τε λιπόν, καὶ ἀγλωσσηθέν,
Οὐκ ἔτι πρὸς βιότοιο παλίνδρομον οἶδε κέλευθον·
Ἀλλὰ τὸ μὲν λυθὲν ἐστὶ κόνις, ἡ δὲ πρὸς αἰθέρα
Σεύεται, ὁππόθεν ἦλθε, μετήορος εἰς αἰθέρα πλώς·
Ἄλλο δ' ἐξ ἄλλου γινόμενος ἠδ' ἐναβλαστάν,
Ψυχοῦται γονίμου φύσεως ἀρόσιμασι καινοῖς.

τὸ ἀν. ὁ τοῦ ἀξιόχου.

Εἰ δὲ καὶ ἕτερον βούλει λόγον ἀκοῦσαι, ὅν μοι ἤγγελλε Γωβρύης, ἀνὴρ μάγος, ὃς ἔφη κατὰ τὴν Ξέρξου διάβασιν τὸν πάππον αὐτοῦ καὶ ὁμώνυμον πεμφθέντα εἰς Δῆλον, ὅπως τηρήσῃ τὴν νῆσον ἄσυλον, ἐν ᾗ δύο θεοὶ ἐγένοντο, ἔκ τινων χαλκείων δέλτων, ἃς ἐξ Ὑπερβορέων ἐκόμισαν Ὦπις καὶ Ἑκάεργος, ἐκμεμαθηκέναι, τὸ κατὰ τὴν ἀπὸ τοῦ σώματος λύσιν τὴν ψυχὴν εἰς τὸν ἄδηλον χωρεῖν τόπον. καὶ Σισύφου πέτρος ἀνήνυτος, οὗ τὰ τέρματα αὖθις ἀρχαὶ πόνων. ἔνθα πυρσὶ περιλιχμώμενοι, καὶ δᾳσὶν ἐπιμόνως πυρούμενοι ποινῶν, καὶ πᾶσαν αἰκίαν αἰκιζόμενοι, ἀϊδίοις τιμωρίαις τρύχονται.

εἰς τὸ τέλ.

ἑρμοῦ ἐν τῷ κλειτῶ.

Οὐκ ἤκουσας ἐν τοῖς γενικοῖς, ὅτι ἀπὸ μιᾶς ψυχῆς τῆς τοῦ παντὸς πᾶσαι αἱ ψυχαὶ εἰσὶν αὗται ἐν τῷ παντὶ κόσμῳ κυλινδούμεναι, ὥσπερ ἀπονενεμημέναι; τούτων τοίνυν τῶν ψυχῶν πολλαὶ αἱ μεταβολαί, τῶν μὲν εἰς τὸ εὐτυχέστερον, τῶν δ' εἰς τὸ ἐναντίον. αἱ μὲν γὰρ ἑρπετώδεις οὖσαι εἰς ἔνυδρα μεταβάλλουσιν, αἱ δὲ ἔνυδροι εἰς χερσαῖα, αἱ δὲ χερσαῖαι εἰς πτηνά, αἱ δὲ ἀέριαι εἰς ἀνθρώπους, αἱ δὲ ἀνθρώπιναι ἀρχὴν ἀθανασίας ἴσχουσιν εἰς δαίμονας μεταβάλλουσαι. εἶτα οὕτως εἰς τὸν τῶν θεῶν χορόν· χοροὶ δὲ δύο θεῶν, ὁ μὲν τῶν πλανωμένων, ὁ δὲ τῶν ἀπλανῶν. καὶ αὕτη ψυχῆς ἡ τελειοτάτη δόξα. ψυχὴ δὲ εἰς ἀνθρώπους ἐλθοῦσα ἐὰν κακὴ μείνῃ, οὔποτε τεύξεται ἀθανασίας, παλίσσυτος δὲ τὴν ὁδὸν ὑποστρέψει τὴν ἐπὶ τὰ ἑρπετά. καὶ αὕτη καταδίκη ψυχῆς κακῆς. κακία δὲ ψυχῆς ἀγνωσία. ψυχὴ γὰρ μηδὲν ἐπιγνοῦσα τῶν ὄντων, μηδὲ τὴν τούτων φύσιν, μηδὲ τὸ ἀγαθόν, τυφλώττουσα δέ, ἐντινάσσει τοῖς σωματικοῖς πάθεσι καὶ ἡ κακοδαίμων ἀγνοήσασα ἑαυτήν, δουλεύει σώμασιν ἀλλοκότοις καὶ μοχθηροῖς, ὥσπερ φορτίον βαστάζουσα τὸ σῶμα, καὶ οὐ κατάρχουσα, ἀλλ' ἀρχομένη. αὕτη καταδίκη ψυχῆς.

Ψυχὴ δὲ ἀνθρωπίνη, πᾶσα μέν, ἡ δ' εὐσεβής, δαιμονία τίς ἐστι καὶ θεία. καὶ ἡ τοιαύτη, καὶ μετὰ τὴν ἀπαλλαγὴν

λαχοῦσα τοῦ σώματος, τὰ τῆς εὐσεβείας ἀγαθὰ ἀγωνισαμένη, (ἀγὼν δὲ εὐσεβείας, τὸ γνῶναι τὸ θεῖον, καὶ μηδένα ἀνθρώπων ἀδικῆσαι) ὅλη νοῦς γίγνεται. ἡ δὲ ἀσεβὴς ψυχὴ μένει ἐπὶ τῆς ἰδίας οὐσίας, ὑφ' ἑαυτῆς κολαζομένη, καὶ γήινον σῶμα ζητοῦσα εἰσελθεῖν, εἰς ἀνθρώπινον δέ· ἄλλο γὰρ σῶμα οὐ χωρεῖ ἀνθρωπίνην ψυχήν, οὐδὲ θέμις ἐστὶν εἰς ἀλόγου ζώου σῶμα ψυχὴν ἀνθρωπίνην καταπεσεῖν· θεοῦ ὁ νόμος οὗτος φυλάσσει ψυχὴν ἀνθρωπίνην ἀπὸ τῆς τοιαύτης ὕβρεως.

Πορφυρίου τῶν περὶ στυγός.

Τοῦ δὴ Ἀπολλοδώρου ἐν τῷ εἰκοστῷ τῶν περὶ τῶν θεῶν συγγράμμασι, ὅ ἐστι περὶ τοῦ ᾅδου, τάδε περὶ τῆς στυγὸς λεγόμενα εὕρομεν· Ἀρκτέον γὰρ ἀπὸ τούτων, τῆς τε ἐκ τῶν ὀνομάτων παρεκφάσεως οὐ καταφρονητέον. ἐκ γὰρ τούτων ὁρμώμενοι πιθανῶς, καὶ τοὺς ἐν ᾅδου νομιζομένους ποταμοὺς κατωνομάκασιν· ἀχέροντα μὲν διὰ τὰ ἄχη, ὡς καὶ Μελανιππίδης ἐν περσεφόνῃ·
Καλεῖται δ' ἐν κόλποισι γαίας ἀχαιοῖσι προχέων ἀχέρων. ἔπειτα καὶ λικύμνιος φησί,
Μυρίαις πάσαις δακρύων ἀχέων τε βρύει.
καὶ πάλιν, Ἀχέρων ἄχεα πορθμεύει βροτοῖσι.
ἀχέρων δὲ καὶ ἀχερουσία λίμνη ταὐτόν, ὡς καὶ σοφοκλῆς ἐν πολυξένῃ τὴν ἀχιλλέως ψυχὴν εἰσάγει λέγουσαν, Ὦ τὰς ἀπαιῶνας τε, καὶ μελαμβαφεῖς,
Λιποῦσα λίμνης ἀχέροντος ὀξυπλῆγας,
Ἥκουσα γόοις ἦλθον ἄρσενας χοάς.
τὰς τῶν νεκρῶν λέγων, παιῶν οὐκ ἐχούσας· ἄρσενας δέ, τὰς οὐδὲν ἐκτρεφούσας. θήλεα μὲν γὰρ τὰ καρποφόρα· ἄρσενα, τὰ ἄγονα λέγονται. τὸ μέν, τὸ σπέρμα παρέχον μόνον· τὸ δέ, καὶ ἐκτρέφον. ὅθεν καὶ θῆλυς ἕρση, ἡ πολύγονος, καὶ τροφίμη. διαπεραιοῦσθαι δὲ ὑπὸ τῶν ἀπογινομένων τὸν ἀχέροντά φασιν εἰκότως. ὁ γὰρ μεταλλαχὼς πάντα τὰ τοῦ ζῆν ἄχη σχεδὸν ὑπερήρηται, καὶ ἔστιν ἐν ἀπονίᾳ καὶ ἀλυπίᾳ πάσῃ. γοργύραν δὲ τοῦ ἀχέροντος γυναῖκα προσανέπλασαν, ἀπὸ τοῦ γοργὰ φαίνεσθαι τοῖς πολλοῖς τὰ ἐν ᾅδου· καθὸ δὴ καὶ αὐτοῦ τούτου τιθήνην ὁ σώφρων μορμολύκαν ὠνόμασεν. ταῦτά τε εἰπὼν περὶ τοῦ ἀχέροντος Ἀπολλόδωρος, ἐπάγει περὶ τῆς στυγὸς αὐταῖς λέξεσι τάδε· Στύγα δὲ φρικώδη τινά, καὶ φοβερὰν ὑποστησάμενοι δαίμονα, θεῶν ὅρκον, ἐν ᾅδου τε αὐτὴν κατῴκισαν, καὶ τῆς προσηγορίας ταύτης ἠξίωσαν, ἀπὸ τοῦ στυγνάζειν τοῖς πένθεσι, καὶ στυγνάζεσθαι τὰ ἐν ᾅδου. ὅρκον δὲ τὴν θεῶν, δι' ἐναντιότητα. ἡ μὲν γὰρ τῶν ὄντων τε καὶ ζώντων φθαρτικὴν ἔχει δύναμιν, ὅσον ἐφ' ἑαυτῇ, οἱ δὲ τῇ τε προαιρέσει καὶ τῷ τρόπῳ διεστήκασι. τοσαῦτα περὶ τῆς στυγὸς εἰπών, ἐπάγει, Κωκυτὸν δὲ ποταμὸν ἀνέπλασαν ἀπὸ τοῦ κωκύειν, ὅς ἐστι στυγὸς καὶ συγγενείας ἀπορρώξ. τοιούτου δέ ἐστι γένους καὶ ὁ πυριφλεγέθων. εἴρηται γὰρ ἀπὸ τοῦ πυρὶ φλέγεσθαι τοὺς τελευτῶντας, ὡς ὅμηρος φησί,
Οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσιν,
Ἀλλὰ τὰ μέν τε πυρὸς κρατερὸν μένος αἰθομένοιο
Δαμνᾷ, ἐπεί κε πρῶτα λίπῃ λεύκ' ὀστέα θυμός,
Ψυχὴ δ' ἠΰτ' ὄνειρος ἀποπταμένη πεπότηται.
ὑποτίθεται γὰρ τὰς ψυχὰς τοῖς εἰδώλοις τοῖς ἐν τοῖς κατόπτροις φαινομένοις ὁμοίας, καὶ τοῖς διὰ τῶν ὑδάτων συνισταμένοις ἃ καθάπαξ ἡμῖν ἐξείκασται, καὶ τὰς κινήσεις μιμεῖται, στερεμνίαν δ' ὑπόστασιν οὐδεμίαν ἔχει εἰς ἀντίληψιν, καὶ ἀφήν· ὅθεν αὐτὰς βροτῶν εἴδωλα καμόντων λέγει.

omnis subierit virtutis, pietatisq́ mandata, certè aut mens, aut deus efficitur. Certamen autem religiosa pietatis hoc est, recognoscere Deum, iniuriā inferre nemini. Anima tamen impia in natura propria remanet, ac seipsam nimiam crucias, corpus quarit, quod ingrediatur, terrenum & humanum. Aliud quippe corpus quàm humanum, animam non capit humanam: neq. fas est in corpus anima ratione carentis animam rationalem corruere. Lex enim diuina generationē tam nefariam prohibet.

Porphyr. de Styge. Apollodorus.

In vicesimo Apollodori de diis volumine, quod de Inferis inscribitur, hac de Styge reperi: Ab his enim incipiendū est, nec nominum cōtemnenda notio. siquidem hac ratione fluuios quoque inferorum nuncuparunt, Acherontē quidem à doloribus, quemadmodum ait Proserpina Menalippides; vocatur autem in terra visceribus fluens[a] doloribus Acheron. ac similiter ait Licymnius, Infinitis lacrymarum ac dolorum fluit[b] fontibus: ac rursum, Acheron dolores hominibus parit. Acheron porrò & Acherusia palus idem valent, quemadmodum Sophocles Polyxena Achillis animam introducit loquentem, Ad Paonis expertia & nigricantia, relinquens paludis Acherontis planctus, mascula veni libamina. in quibus mortuorū quidem dicit libamina qua medico carerēt; mascula verò, qua nihil producerent. siquidem frugifera quidem feminea, sterilia verò mascula dicūtur, quòd ille semen dumtaxat suppeditet, hac etiam nutriat: vnde etiam ros femineus à fecunditate dicitur. Nec immeritò dicunt à mortuis Acherontem traiici, quoniam tales omnes vita dolores excesserunt, omniq́ labore ac mœrore carent. Gorgyram deinde Acherontis vxorem finxerunt, quod horrendi quibusdam inferi videantur; vt & eius nutricem Sophron Mormolycem vocauit. Atque hac de Acheronte locutus Apollodorus, ista de Styge subiungit: Stygem verò horrendam quandam fingētes deam, ac deorum iusiurandum, tum apud inferos eam collocarunt, tū quòd inuisi pra luctu sint inferi, hoc eam nomine donarunt; vt iurisiurandi per contrarium quandoquidem vt hac vita tollenda vim in se habet, ita illi voluntate ac moribus ab eo distant. Quibus de Styge positis, hac subiicit: Cocytum porrò fluuium à ploratu finxerunt, qui Stygis est riuus. Neq. alterius generis est Pyriphlegethon, ab vrēdis mortuis dictus, quemadmodum Homerus ait,

Odyss. λ.

Nam nec adhuc carnē, nec habēt ossa arida nerui:
Illa sed ardentis victrix violentia flamma
Edomat, vt primùm spirantem vita reliquit;
Ast anima, vt fumus, supera in conuexa volauit.

Ponit enim animas imaginibus speculorum vel aquarum similes, qua vt planè nos exprimunt, ac motus imitantur, ita solidam naturam ad contactum non habent: qua de causa illas vita simulacra carentum nominat.

a ἀχέων pro ἀχαιοῖσιν.
b παγαῖς pro πάσαις.

Plerique

Plerique sanè aquam terrenam Stygem tradiderunt, quæ per ipsam peierantes punire posset: veruntamen præcipuam Stygem in [c] Arcadia posuerunt historici, in his Herodotus, qui libro sexto de Cleomene agens hæc scribit: Hinc in Arcadiam delatus, nouis rebus studebat, Arcadibus contra Lacedæmonios concitatis, cùm aliud quoduis adhibens iusiurandum, tum Nonacrin Arcadum principes ad iurandam Stygem paratus deducere. Callimachus quoque libro de Nymphis aquæ proprietatem his verbis refert: Styx Arcadiæ fluuius est ad Nonacrin, omnia [d] vasa, præter cornea, pertundens.

[c] ἀρκαδίαν pro ἀκρασίαν.

[d] ἀγγεῖα pro ἐγγεῖα.

Et quoniam de Styge agitur, aliud quoque de eo quid narrare statui. Etenim Philo Heracleota libro de miraculis in Scythia tradit asinos cornibus præditos reperiri, quæ hanc aquam ferant; ac tale cornu Alexandro Macedoni a Sopatro datum fuisse, idque etiam Delphis cum hoc epigrammate positum:

Hoc tibi Alexander Macedo, Latonia proles,
Cornu de Scythici vertice pono asini.
Quod Stygis inuicta nunquam Luseidos vnda
Concessit, sed vim sustinuit laticis.

Ac de diis quidem hæc dicta sint: deinceps autem Homeri de animarum apud inferos statu sententiam exponentes, deque suppliciis agentes, ad Stygem sermonem proferemus, quam sontibus puniendis iuxta Homerum destinatam arbitramur. Itaque cùm diis omnia repleuisset, ac locis regna distinxisset, rursus animarum, quas immortales statuit, loca tria posuit: vnum terrenum huius orbis, in quo animalia & homines degunt; alterum insontibus apud Oceanum secretum, quem Elysium vocat campum, eoque viuos etiamnum dimitti vult, quemadmodum ad Menelaum dicitur,

Odyſ. δ.

At tibi fas non est, Argis, Menelae, perire:
Te sed in Elysios mittent, extremaque terra
Dij superi, hominum qua parte facillima vita est,
Nec nix, nec glacialis hiems, nec frigidus imber:
Blanda sed Oceanus Zephyri flabra vsque remittit.

Tertium denique locum apud inferos animarum corpore solutarum ponit, quæ vt statim ad inferos pergunt, ita insepultorum quidem citra Acherontem in lucis ac Proserpinæ prato maneant, ac traiicere vetentur; sepultorum autem traiiciant, nisi supplicium sint commeritæ: & illæ quidem rerum à se gestarum sint memores, hæ autem prorsus obliuiscantur; ideoque sontes foris puniri, memoria supplicium peragente. recordari

Οἱ πάντες δὲ ὕδωρ ἱστόρησαν τὴν Στύγα ἐπίγειον, φύσιν ἔχον ἀμύνεσθαι τοὺς κατ' αὐτοῦ ψευδῶς ὀμόσαι τολμήσαντας. διαβόητον μὲν τοίνυν Στυγὸς ὕδωρ κατὰ τὴν ἀκρασίαν οἱ ἱστορικοὶ ἀναγεγράφασιν· ὧν ἐστι καὶ Ἡρόδοτος· ὃς ἐν τῇ ἕκτῃ τὰ κατὰ Κλεομένην ἀφηγούμενος, γράφει ταῦτα· Ἐντεῦθεν δὲ ἀφικόμενος εἰς τὴν Ἀρκαδίαν, νεώτερα ἔπρησσε πράγματα· συνιστὰς τοὺς Ἀρκάδας ἐπὶ τῇ Σπάρτῃ, ἄλλους τε ὅρκους προσάγων· καὶ δὴ καὶ ἐς Νώνακριν πόλιν πρόθυμος ἦν τῶν Ἀρκάδων τοὺς προεστῶτας ἀγινεῖν, ἐξορκοῦν τὸ Στυγὸς ὕδωρ. Καλλίμαχος ἐν τῷ περὶ νυμφῶν συγγράμματι καὶ τὸ ἰδίωμα τοῦ ὕδατος ἀφηγεῖται, λέγων οὕτω, Στὺξ ἐν Νωνακρίνῃ τῆς Ἀρκαδίας, ὕδωρ ἐστὶ τὸ διακόπτον πάντα τὰ ἐγγεῖα, πλὴν τῶν κερατίνων.

ἐν ταὐτῷ.

Ἐπειδὴ περὶ τοῦ Στυγὸς ὕδατος ὁ λόγος ἐστί, δηλῶσαι βούλομαι καὶ ἑτέραν ἱστορίαν περὶ τούτου. Φίλων γὰρ ὁ Ἡρακλεώτης ἐν τῷ πρὸς Νύμφιν περὶ θαυμασίων ἐν Σκυθίᾳ φησὶν ὄνους γίγνεσθαι κέρατα ἔχοντας, ταῦτα δὲ τὰ κέρατα δύνασθαι τοῦτο τὸ ὕδωρ διαφέρειν· καὶ Ἀλεξάνδρῳ Μακεδόνι ἐνεχθῆναι ὑπὸ Σωπάτρου κέρας τοιοῦτον, ὃ καὶ ἀνατεθεῖναι ἐν Δελφοῖς, ἐφ' οὗ καὶ ἐπιγεγράφθαι·

ἐν ταὐτῷ.

Σοὶ τόδ' Ἀλέξανδρος Μακεδὼν κέρας ἄνθετο, Παιάν,
Κάνθωνος Σκυθικοῦ χρῆμά τι δαιμόνιον·
Ὃ Στυγὸς ἀχράντῳ Λουσηΐδος οὐκ ἐδαμάσθη
Ῥεύματι, βάσταξεν δ' ὕδατος ἠνορέην.

Περὶ μὲν δὴ τῶν θεῶν εἰρήσθω τοσαῦτα· λοιπὸν δὲ τὰ περὶ τῶν ψυχῶν, ὅπως Ὅμηρος διέταξεν, τῶν ἐν ᾅδου διαλαβόντες, καὶ περὶ μὲν τῶν τιμωρουμένων ἀφηγησάμενοι, συνάπτοιμεν ἂν τὸν λόγον ἐπὶ τὴν Στύγα, ἣν ἐπὶ τιμωρίαν, καθ' Ὅμηρον, τῶν ἁμαρτανόντων τετάχθαι δαιμόνων ὑπειλήφαμεν. πληρώσας δὴ πάντα θεῶν, καὶ τοῖς τόποις ἀφορίσας τὰς βασιλείας, πάλιν τῶν ψυχῶν ἃς ἀθανάτους εἶναι νομίζει, τόπους τρεῖς εἶναι ὑπείληφεν· ἕνα μὲν τὸν ἐπίγειον κατὰ τὴν οἰκουμένην ταύτην, καθ' ἣν τὰ ζῶα καὶ οἱ ἄνθρωποι διατρίβουσιν· ἕτερον δὲ τοῖς δικαίοις ἀφωρισμένον παρὰ τὸν Ὠκεανόν, ὃν Ἠλύσιον καλεῖ πεδίον, καὶ ζῶντας ἔτι εἰς αὐτὸ φασὶν ἐκπέμπεσθαι, δῆλον δὲ ἐπὶ τῷ Μενελάῳ τοῖς λόγοις·

ἐν ταὐτῷ.

Σοὶ δ' οὐ θέσφατόν ἐστι διοτρεφὲς ὦ Μενέλαε
Ἄργει ἐν ἱπποβότῳ θανέειν καὶ πότμον ἐπισπεῖν.
Ἀλλά σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης
Ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς
Τῇ περ ῥηΐστη βιοτὴ πέλει ἀνθρώποισιν,
Οὐ νιφετός, οὔτ' ἂρ χειμὼν πολύς, οὔτέ ποτ' ὄμβρος·
Ἀλλ' αἰεὶ Ζεφύροιο λιγὺ πνείοντος ἀήτας
Ὠκεανὸς ἀνίησιν, ἀναψύχειν. τούτοις μὲν οὖν καὶ τὸ σῶμα παρεῖναι. τρίτον δὲ τόπον λέγει ὃν ψυχῶν τῶν σωμάτων τούτων ἀπολυθεισῶν ὑπείληφεν εἶναι τὸν ἐν ᾅδου, ταύτας δὲ εὐθὺς μὲν χωρεῖν εἰς ᾅδου, διατρίβειν δέ, τὰς μὲν τῶν ἀτάφων, ἔξω τοῦ Ἀχέροντος, κατὰ τὰ ἄλση, καὶ τὸν λειμῶνα τῆς Περσεφόνης, ὥστε περᾶσαι κωλυομένας· δὲ τῶν ταφέντων χωρεῖν ἐντός, εἰ μὴ εἶεν κολάσεως ἄξιαι· εἰ δὲ μή, κἂν ταφῇ τὰ σώματα, ὁμοίως εἴργεσθαι τοῦ ἔνδον. τὰς τούτων ἐντός, μνήμης μετέχειν τῶν αὐτοῖς βεβιωμένων· τὰς δὲ τοῦ ποταμοῦ ἀπολαβούσας ἐπιλανθάνεσθαι τῶν λογισμῶν περὶ τὰ ἀνθρώπινα μαθούσας. διὸ καὶ ἀδίκων ἐντὸς εἶναι τὰ κολαστήρια, διὰ τοῦ λογισμοῦ, καὶ τῆς μνήμης τῶν βεβιωμένων, τὰς κολάσεις ἐχόντων.

ἐχόντων. φαντασίας γὰρ λαμβάνειν τὰς ψυχὰς ὅσων ἐν τῷ βίῳ δεδράκασι, καὶ κολάζεσθαι, τῆς ἁμαρτίας παριστώσης αὐτοὺς κατὰ λογισμὸν, καὶ τιμωρούσης διὰ τῶν ἀφωρισμένων τοῖς ἁμαρτίαις κολάσεων. ὅθεν τὰς μὲν τινὰς τῶν ψυχῶν λίθους βαστάζειν δοκούσας, καὶ ὑπὸ τοῦ θλίβεσθαι τιμωρεῖσθαι, τάς τε δίψης καὶ λιμοῦ αἰωνίου φαντασίας λαμβανούσας, τὰς δ' ἄλλου τινὸς ὧν ἐν τῷ θνητῷ βίῳ ἀπεφρίκασαν. εἶναι γὰρ καὶ κριτὴν ἐκτὸς τοῦ ποταμοῦ διατρίβοντα Μίνωα, κατ' ἀξίαν τῶν ἁμαρτημάτων κολάζειν, τοῖς μὲν τὸν ἔξω τοῦ ποταμοῦ τόπον ἀφορίσαντα, ἐπὶ τὴν δίκην· τοῖς δὲ περᾶσαι τὸν ποταμὸν ἐπιτρέψαντα, ὃς ἀνάπαυσιν ταῖς ψυχαῖς τῶν ἀνηκέστων κακῶν, διὰ τὴν λήθην. τιμωρεῖσθαι δὲ ἐκτὸς ὄντα καὶ τὸν Ἡρακλέα τοὺς ἀδίκους, φαντασίας φοβερὰς ἐμποιοῦντα τοῦ βάλλοντος καὶ τοξεύοντος, ὥσπερ ζῶν ἠμύνετο, ἀμυνόμενον καὶ ἐν ᾅδου τοὺς ἀξίους κολάσεως. οὐ γὰρ δὲ καὶ οὗτος τῶν κολαζομένων ἐστὶν, ὡς Ἀριστάρχῳ ἐδόκει, ἀλλὰ τῶν κολαζόντων. τῶν δ' ἐντὸς τοῦ ποταμοῦ, καὶ ἀφῃρημένων τὸν λογισμὸν τὸν ἀνθρώπινον, μόνον ὁ Τειρεσίας καὶ τοῦτον ἔχει παρόντα· οἱ δὲ ἄλλοι ἀλλήλους μὲν γινώσκουσι, καὶ ἰδιότητα φρονήσεως ἣν ἐν ᾅδου κέκτηνται, τοὺς δὲ ἀνθρώπους, οὐκ ἔτι· οὐδ' ἂν φθέγξαιντο περὶ τῶν ἀνθρωπίνων τοῖς ζῶσιν ἔτι ἀνθρώποις, εἰ μὴ ἀτμοῦ μεταλάβοιεν αἵματος φρονοῦσιν κατάστασιν ἔχοντες τὴν ἐξ αἱματοποσίας τῆς θνητῆς ταῖς ψυχαῖς γινομένης ἀνωρήσεως. Τειρεσίας δὲ ἔχει μὲν λογισμὸν τῶν ἀνθρωπίνων, μαντεύεται δὲ οὐδ' αὐτὸς περὶ τῶν εἱμαρμένων τοῖς ζῶσιν, πρὶν πιεῖν τοῦ αἵματος. οἴεται γὰρ καὶ Ὅμηρος, καθὰ καὶ πλεῖστοι τῶν μετ' αὐτὸν ὑπέλαβον, ἐν τῷ αἵματι εἶναι ἀνθρώποις τὴν περὶ τὰ θνητὰ φρόνησιν· ἐπεὶ καὶ τῶν μετ' αὐτὸν πολλοὶ τοῦτον πιστοῦνται, δεικνύντες ὅπερ καὶ ὑποθερμανθὲν ὑπὸ πυρετοῦ καὶ χολῆς, ἀφραίνειν ποιεῖν καὶ νοητέειν. Ἐμπεδοκλῆς τε οὕτω φαίνεται ὡς ὀργάνου περὶ σύνεσιν τοῦ αἵματος, οὕτως λέγων·

Αἵματος ἐν πελάγεσσι τεθραμμένου ἀντιθρῶντος,
Τῇ τε νόημα μάλιστα κικλήσκεται ἀνθρώποισιν.
Αἷμα γὰρ ἀνθρώποις περικάρδιόν ἐστι νόημα.

Τῶν δὲ ὑπὲρ τὸν ποταμὸν διατριβουσῶν ψυχῶν πρῶται γυναῖκες εἰσὶ τεταγμέναι. λέγει δὲ πρώτας πλησιαζούσας τῷ ἔξω. ἐνδοτάτω δὲ αἱ τῶν ἀνδρῶν· καὶ λοιπὸν οἱ περὶ τὸν ᾅδην θεοί. διὸ καὶ πρῶται αἱ γυναῖκες προπέμπονται, εἶτ' οἱ ἄνδρες, καὶ τούτων οἱ τίμιοι ὕστεροι. τὰ μὲν οὖν κατὰ τοὺς ἀνθρώπους, οὕτως αὐτῷ διατέτακται· ὑποθέμενος δὲ τοὺς κοσμικοὺς θεοὺς, ὧν τὰ γένη διηριθμήκαμεν, οὐ πάντη ἀπαθεῖς, καλέσας, κατὰ παλαιὰν συνήθειαν, ὧν τὰ γένη ἐξεθήκαμεν, κατ' αὐτὸν μεγάλου δαίμονος ὅσον τόσον καλεῖ Δία, καὶ οἷον ἄρχοντος τῶν ἀρχικωτέρων φθαρόντων· ὑποθέμενος οὖν τούτους καθάπερ καὶ λέγονται ἐμπαθεῖς, καὶ διὰ τοῦτο καὶ ἐπιθυμίας μετέχοντας, καὶ ὀργῆς, καὶ μίσους, καὶ ἔχθρας, καὶ ὑφ' εἱμαρμένην ὄντας· εἰκότως καὶ ἁμαρτάνειν οἴεται, καὶ ψεύδεσθαι, καὶ ὀμνύναι, καὶ ἐπιορκεῖν, ἢ τοὐναντίον τινὰς πλημμελεῖν εἰς τοὺς ὅρκους· διὸ καὶ τούτων κολάσεις ὑποτίθεται. οὐ μέντοι ἀναμεμιγμένας τοῖς ἀνθρωπίνοις κολαστηρίοις, ἀλλά τι κρείζοντας ὄντας, μείζονος καὶ τιμωρίας πειρᾶσθαι, ἀδικήσαντας. διὸ τὰ μὲν ἀνθρωπίνων ψυχῶν ἐν ᾅδου τὰ κολαστήρια· τῶν δ' εἰρημένων θεῶν, ὑπὸ τὸν ᾅδην, ἐν τῇ Κρόνου ἐπικρατείᾳ, κατὰ τὸν τάρταρον. διὸ καὶ τινῶν χῶρος οὗτος κέκληται, ἀπὸ τῶν ἐν

siquidem illos facinorum suorum, & peccato secum reputando cōgrua luere supplicia; ideoq; alios lapides ferre se opinantes puniri, alios fame sitiq; torqueri, alios aliud quid eorum, à quibus in vita abhorruerant, pati. nam citra fluuium quoque iudicem sedere Minoëm, qui pro delicti grauitate puniat, aliis locum supplicij citra fluuium destinando, aliis fluuium traiicere permittendo, qui per obliuionem animas grauissimis malis liberet. Quinetiam Hercules ibidem sontes punit, iaculantis opinionem horrendam adferens, & quemadmodum in vita solebat, sic etiam apud inferos iniurias vlciscens. Neque enim suppliciū hic dat, vt Aristarchus censebat, sed sumit. Eorum porrò, qui vltra fluuium rerum humanarum sensum deposuerunt, solus eum seruat Tiresias, cùm alij inter se quidem [c] secundum inferorum prudentiam cognoscant, de humanis autē rebus nihil amplius, nisi sanguinis hausto vapore, possint referre, rerum humanarū cognitione sanguinis haustu animabus concilianda. Tiresias quoque, tametsi rerū humanarum sensu pollet, non tamen ante viuis vaticinatur, quàm sanguinem hauserit. Existimat enim Homerus, vt & multi post ipsum sunt arbitrati, in sanguine prudentiam humanam consistere; quemadmodum id posteriorum plerique confirmant; docentes eundem febri vel bili succēsum imprudentiam ac [f] stultitiam parere. Empedocles verò sanguinem pro instrumento prudentiæ habet, cùm inquit,

Sanguinis in fluuiis, vbi habet prudentia sedem:
Sanguis enim cor complectens prudentia cuique est.

Iam inter animas vltra fluuium degentes primo loco ponuntur mulieres, proxime fluuium inquā; deinde viri, tum reliqui inferorum dij. ideoq; primæ admittuntur mulieres, deinde viri, tum horum præcipui. Ac res quidem humanas ita disposuit; cùm autem deos posuisset non prorsus affectibus vacantes, antiquis seruatis nominibus cùm aliorum, tum maximi deorum, quem Iouem vocat, ideóque tum cupiditatis, tum iræ, tum odij, tum inimicitiæ participes, fatoq; subditos; nō immeritò & peccare illos arbitratur, & mentiri, et iurare, fidémque & seruare & fallere. Quapropter his quoque supplicia decernit, non quidem humanis permista, [g] sed vt maiorum maiora. Quamobrem animæ quidem humanæ apud inferos puniuntur, dij autem sub inferis in tartaro, Saturni regno, qua etiam de causa [h] Titanum se-

c ἐπὶ pro ὑπὸ

f ἀνοητεῖν pro νοητέειν

g ἀπ' ἀντι μείζονας pro ἀπαντιμείζονας.

h Τιτάνων pro τινων.

des

des hæc dicitur, quòd in ea dij pœnas dent. Hoc porrò loco Stygem quoq. ponit, cùm ipsam deam, tum fontem. Cocytum enim ac Titaresium riuos, non fontes esse. hunc verò suppliciis esse præfectum, maxima potestate pollētem, ac prorsus quod animabus sontibus Furiæ sint, id noxiis diis esse Stygem. Insepultos quidem citra fluuium degere, simulacrum corporis eiusq. delictorum gerentes, indicant ista,

Iliad.ψ. *Deinde anima aduenit Patrocli ter miserandi,*
Cuncta ipsi similis, vocemq. habitumq. oculosq.
Tum sic ait,
Terræ me manda, superem quò limina Ditis.
diximus autem vltra fluuium Orcum collocari,
Nec me vllo fluuiū sinerent transmittere pacto.
sed & citra fluuium Orcus ponitur,
Sed vagor incassum per lata palatia Ditis.
Cùm autem fluuium traiecerint, nec viuos deinceps cognoscunt, nec iis absque missione possunt apparere,
Ac mihi da, te quæso, manum. non amplius inde Orcum destituam, simulac rogus ossa cremarit.
Quare videtur insepulta vitæ memor esse, idq. desiderare, ac propterea gemere: adeò graue est hoc supplicium. Sic etiam lamentatur Elpenor,

Odyss.λ. *Me fortuna ferox læsit, nimiumq. Lyæus.*
Suaq. clade narrata sepulcrum precibus adhibitis petit,
Nunc te per non præsentes obtestor & oro,
Inuideas mihi ne lacrymas lapidemq. reuersus.
Ac res quidem humanas & vitam totam ignorant, inter se autem cognoscunt. Alioqui quo pacto singuli cum Agamemnone veniunt? quo pacto Patroclus, Aiax, & Antilochus inter se colloquuntur? quo pacto insepultos fluuij transitu prohibent? ait enim,

Iliad ψ. *Me procul inde arcent vita simulacra carentum.*
Ac simul cum memoria corporea signa deponunt, adeoq. per imaginationem illa demonstant. Cùm enim per memoriam consistat imaginatio, quemadmodum Plato Philebo docet; pariter cum memoria quicquid imaginamur perit; eoq. sublato simul animi perturbationes tollūtur, ac tum torqueri desinit anima, statum intellectus consecuta. Veruntamen dubitare quis possit, si inter se cognoscunt, cur dicatur,
reliqui saliunt velut vmbræ.
Ad quod responderi potest, ad illos, quorum deposuerunt memoriam, pro vmbris haberi. siquidem ad res humanas vmbræ sunt, cùm quia corpore, tum quia memoria vacāt; quemadmodum etiam cùm corporis [i] crassitudini anima comparata fumo confertur,

[i] παχύτητα pro ταχύτητα.

Ast anima vt fumus stridendo membra reliquit.
Quapropter si suos nec vident, nec alloquuntur, nec vllo sensu vsurpant; ad ipsos vmbræ [k] erunt. Anticlea quidem,

[k] ἄσσον pro ᾖ ἐν

αὐτῷ τίσιν διδόντων θεοῖς παρὰ τῆς τιμωρίας θεοῖς. ἔνθα ὑποτίθεται καὶ τὴν στύγα, αὐτήν τε τὴν δαίμονα, καὶ τὴν πηγὴν τῶν ὑδάτων αὐτῆς. τὸν γὰρ κωκυτὸν καὶ τὸν τιταρήσιον, ἀπορρῶγα εἶναι, ἀλλ' οὐ πηγήν. εἶναι δὲ ταύτην ἐπὶ τιμωρίαν ἀπαραίτητον ἔχουσαν δύναμιν, καὶ φοβερωτάτην· καὶ ὅλως ὅπερ αἱ ἐριννύες ταῖς ἀδίκοις ψυχαῖς, τοῦτο τὴν στύγα τοῖς ἀδικήσασι δαίμοσι. ὅτι δ' οἱ ἄταφοι ἔξω τοῦ ποταμοῦ διατρίβουσιν, εἴδωλον φέροντες τοῦ σώματος καὶ τῶν ἁμαρτημάτων τοῦ σώματος, δηλοῖ τὰ τοιαῦτα· Ἦλθε δ' ἐπὶ ψυχὴ Πατροκλῆος δειλοῖο,
Πάντ' αὐτῷ μέγεθός τε καὶ ὄμματα κάλ' εἰκυῖα,
Καὶ φωνήν, καὶ τοῖα περὶ χροῒ εἵματα ἕστο. εἶτα λέγει·
Θάπτε με ὅττι τάχιστα, πύλας ἀΐδαο περήσω.
εἴρηται δὲ ὅτι τὰ ἔνδον τοῦ ποταμοῦ ἀΐδου προσαγορεύει·
Οὐδέ με πως μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν.
καλεῖται δὲ καὶ τὰ ἔξω τοῦ ποταμοῦ, ὡς ἐνδείκνυμεν ἐν ἀΐδου δόμοι. τί οὖν πάσχουσι φησίν·
Ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς ἄϊδος δῶ.
ὅτι δὲ ὑπερβᾶσαι τὸν ποταμόν, οὔτε γνωρίζουσι τοὺς ζῶντας, οὔτε ἐξουσίας ἔχουσι τούτοις ἐπιφαίνεσθαι, ἐὰν μὴ πεμφθῶσιν, ἐπάγει·
Καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι. οὐ γὰρ ἔτ' αὖτις
Νίσομαι ἐξ ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε.
φαίνεται οὖν ἡ ἄταφος μεμνημένη τὸν κατὰ τὸν βίον, καὶ γλιχομένη αὐτοῦ, καὶ διὰ τοῦτο ὀδυρομένη· οὕτω δεινή ἡ κόλασις τοῖς οὕτω δι' αἰῶνος κολαζομένοις. οὕτω καὶ Ἐλπήνωρ ὀδύρεται·
Ἆσέ με δαίμονος αἶσα κακή, καὶ ἀθέσφατος οἶνος.
καὶ ἃ πέπονθεν ἀξιοῖ ταφῆναι ἱκετεύων καὶ δεόμενος·
Νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι οὐ παρεόντων,
Μή μ' ἄκλαυστον ἄθαπτον ἰὼν ὄπιθεν καταλείπειν,
Νοσφισθείς, μή τοί τι θεῶν μήνιμα γένωμαι.

Τὰ μὲν οὖν ἀνθρώπεια, καὶ ὅλως τοὺς ζῶντας ἀγνοοῦσιν· ἀλλήλους δὲ ἴσασιν. εἰ γὰρ μὴ τοῦτο εἶχον, πῶς ἂν ἦλθον σὺν Ἀγαμέμνονι πάντες ἀνῃρημένοι; πῶς δὲ συνεκαλεῖτο Πάτροκλος, καὶ Αἴας, καὶ Ἀντίλοχος; πῶς δ' εἴργουσι τοὺς ἀτάφους μὴ πέραν τοῦ ποταμοῦ διελθεῖν; λέγει δέ· Τῆλέ με εἴργουσι ψυχαὶ εἴδωλα καμόντων. συναποτίθενται δ' αὐτοῖς ἅμα τῇ μνήμῃ καὶ τὰ γνωρίσματα τὰ περὶ τὸ σῶμα οἰκεῖα, ὃ καὶ δηλονότι διὰ φαντασίας τὰ περὶ τὸ σῶμα δείκνυσι. διὰ γὰρ μνήμης ἡ φαντασία, ὡς Πλάτων ἐν Φιλήβῳ φησί· Μνήμης δὲ ἀφῃρημένης ἤρηται καὶ τὸ φανταζόμενον, οὗ συνεκλείποντος, καὶ τὰ πάθη τῆς ψυχῆς συνεξήρτηται· τούτων δὲ ἐκλιπόντων, καὶ ἡ κόλασις τῆς ψυχῆς πέπαυται, νοερᾶς μόνον οὔσης περὶ αὐτὴν καταστάσεως, καὶ παρὰ τῷ φερονίκῳ θεῷ διατριβούσης. πρὸς δὲ τὰ εἰρημένα ἴσως ἄν τις ἀπορήσειε, πῶς, εἰ μὴ ἀλλήλας ἀγνοοῦσιν, ἔφη,
ταὶ δὲ σκιαὶ ἀΐσσουσι.
πρὸς ὃ ῥητέον, ὅτι σκιαὶ αἴσσουσι πρὸς τούτους πρὸς οὓς καὶ τὴν μνήμην ἀφῄρηνται. πρὸς οὖν τὰ θνητὰ εἰσὶ σκιαί, καὶ διὰ τὴν ἀσωματίαν, καὶ ἀμνημοσύνην αὐτῶν· ὥς που καὶ πρὸς τὴν παχύτητα τοῦ σώματος ἡ ψυχὴ παραλαμβανομένη, καπνῷ ὡμοίωται·
ψυχὴ δ' ἠΰτε καπνὸς
Ὤχετο τετριγυῖα. εἰ δὴ τοῖς οἰκείοις ἐντυγχάνοντες οὔτε ὁρῶσιν αὐτούς, οὔτε προσδιαλέγονται, ἀνήρηνται δ' εἰσὶν αἰσθητικὴν ἐνέργειαν, πρὸς αὐτοὺς ἐοικότες, ἢ ἐν ταῖς σκιαῖς· ἤγουν ἀντίκλεια·

οὐ ποτ.

Ἡ δ' ἀκέουσ' ἧσται σχεδὸν αἵματος, οὐδ' ἑὸν υἱὸν
Ἔτλη ἐσάντα ἰδεῖν, οὐδὲ προτιμυθήσασθαι.

τὸ δ' αἷμα, ὡς ἔφημεν, ὁλκὸν Ὅμηρος ἡγεῖται τῆς φανταστικῆς ψυχῆς, ἧς καὶ ὁ λογισμὸς, συναθροισμὸς ὢν μνήμης, διὰ φαντασιῶν εἰς τὰ καθόλου κρίματα κεφαλαιουμένης. ἄλλο δ' ἐστὶ τὸ διανοητικὸν, εἰς δὲ ἀναβέχει ψυχὴ ἔξω τοῦ Ἀχέροντος γενόμενον, ὃν Κωκυτὸς πληροῖ, καὶ Πυριφλεγέθων, ἐκ πέτρας ῥέοντες, καὶ Στυγείων ὑδάτων ἀπόρροιαι. ἀποστέλλονται δὲ εἰς τοὺς ἀτμοὺς τοῦ αἵματος, ὑπὸ Περσεφόνης. ἀδύνατον γὰρ ἐλθεῖν χωρὶς τοῦ πεμφθῆναι πρὸς τὴν ἐφεστῶσαν. διὸ καὶ ἐπεύχεται·

Ἰφθίμῳ τ' Ἀΐδῃ καὶ ἐπαινῇ Περσεφονείῃ.

ἡ δὲ ἀποστέλλει πρώτας τὰς γυναῖκας, ὡς ἂν πλησίον οἰκούσας τοῦ Ἀχέροντος, καὶ ἡττωμένας τῆς ἀνδρικωτέρας φωνῆς· αἱ γὰρ δὴ τῶν ἀνδρῶν ἐν τῷ ἀκραιφνεῖ σκότῳ διὰ τοὺς πόρρω τῶν ποταμῶν τῶν κολαζομένων ὄντας. ὧν πάντων πολλῆς θεοσοφίας γεμόντων, ἡμεῖς ἐπισχόμεθα, διὰ τὸ μὴ νῦν περὶ τούτων εἶναι τὴν πρόθεσιν, χάριν δὲ καὶ τῆς κατὰ Στύγα ἐξηγήσεως ἀναγκαίως παρειλῆφθαι.

Non procul illa cruore sedet, nec pallida gnatum
Sustinet aspicere, aut dictis affarier vllis. — Odyss.

Sanguinem autem, vt dicebamus, imaginantis animæ fomitem Homerus existimat, ad quam ratiocinatio quoque pertinet, quæ est memoriæ cumulus, per imaginationes in generalia iudicia congesta. Aliud autem intellectus est, quem anima trans Acherontem consequitur, quem Cocytus & Pyriphlegethon replent, de lapide fluentes riui Stygij. A Proserpina porrò ad sanguinis vapores dimittuntur, quoniam absque missione nefas est accedere. Quapropter etiam supplicat
Et valido Diti, & laudandæ Persephonea.
Illa verò primas dimittit mulieres, tanquam proximè Acherontem sitas, postea quam viri in densis tenebris procul à fluuio ˈdegunt in suppliciis. Atque hæc nos omnia, magna sapientia plena, quoniam de iis nunc non agitur, ac Stygis enarrationi necessariò sunt adhibita, prætermittimus.

1 ἀλλὰ pro [illegible]

Πορφυρίου ἐκ τῶν πρὸς τὰ νοητὰ ἀφορμῶν.

Ὥσπερ τὸ ἐπὶ γῆς εἶναι ψυχῇ ἐστι, οὐ τὸ γῆς ἐπιβαίνειν, ὡς τὰ σώματα, τὸ δὲ προεστάναι σώματος, ὃ γῆς ἐπιβαίνει, οὕτω καὶ ἐν ᾅδου εἶναι, ἐστὶ ψυχῇ, ὅταν προεστήκοι, εἰδώλου φύσιν μὲν ἔχοντος, εἶναι ἐν τόπῳ, σκότου δὲ, τὴν ὑπόστασιν κεκτημένου. ὥστε εἰ ὁ ᾅδης ὁ ὑπόγαιός ἐστι τόπος σκοτεινὸς, ἡ ψυχὴ καίπερ οὐκ ἀποσπωμένη τοῦ ὄντος ἐν ᾅδου γίγνεται ἐφελκομένη τὸ εἴδωλον. ἐξελθούσῃ γὰρ αὐτῇ τοῦ στερεοῦ σώματος τὸ πνεῦμα συνομαρτεῖ, ὃ ἐκ τῶν σφαιρῶν συνελέξατο. ἐκ δὲ τῆς πρὸς τὸ σῶμα προσπαθείας τὸν λόγον ἐχούσῃ τὸν μερικὸν προβεβλημένον, καθ' ὃν σχέσιν εἶχε πρὸς τὸ τοιόνδε σῶμα ἐν τῷ βιοῦν, ἐκ τῆς προσπαθείας ἐναπομόργνυται τύπος τῆς φαντασίας εἰς τὸ πνεῦμα, καὶ οὕτως ἐφέλκεται τὸ εἴδωλον. ἐν ᾅδου δὲ λέγεται, ὅτι τῆς ἀϊδοῦς φύσεως ἐτύγχανε τὸ πνεῦμα, καὶ σκοτεινῆς. ἐπεὶ δὲ διήκει τὸ βαρὺ πνεῦμα, καὶ ἔνυγρον, ἄχρι τῶν ὑπογαίων τόπων, οὕτω καὶ αὐτὴ λέγεται χωρεῖν ὑπὸ γῆν· οὐχ ὅτι ἡ αὐτὴ οὐσία μεταβαίνει τόπους, καὶ ἐν τόποις γίγνεται, ἀλλ' ὅτι τῶν πεφυκότων σωμάτων τόπους μεταβαίνειν καὶ εἰληχέναι τόπους σχέσεις ἀναδέχεται, δεχομένων αὐτὴν κατὰ τὰς ἐπιτηδειότητας τῶν τοιούτων σωμάτων ἐκ τῆς κατ' αὐτὴν ποιᾶς διαθέσεως. ὡς γὰρ ἂν διετέθη, διορίσκει σῶμα τάξει καὶ τοῖς οἰκείοις διωρισμένον. διὸ καθαρωτέρως μὲν διακειμένῃ σύμφυτον τὸ ἐγγὺς τοῦ ἀΰλου σῶμα, ὅπερ ἐστὶ τὸ αἰθέριον· προελθούσῃ δὲ ἐκ λόγου εἰς φαντασίας προβολὴν, σύμφυτον τὸ ἡλιοειδές· θηλυνθείσῃ δὲ, καὶ παθαινομένῃ πρὸς τὸ εἶδος, παράκειται τὸ σεληνοειδές· πεσούσῃ δὲ εἰς σώματα, ὅταν κατὰ τὸ αὐτῆς ἄμορφον στῇ εἶδος ἐξ ὑγρῶν ἀναθυμιάσεων συνεστηκότα, ἄγνοια ἕπεται τοῦ ὄντος τελεία, καὶ σκότωσις, καὶ νηπιότης. καὶ μὴν καὶ ἐν τῇ ἐξόδῳ, ἔτι κατὰ τὸ δίυγρον ἀναθυμιάσεων τὸ πνεῦμα ἔχουσι τεθολωμένον, σκιὰν ἐφέλκεται, καὶ βαρεῖται, χωρεῖν σπεύδοντος τοῦ τοιούτου πνεύματος εἰς μυχὸν τῆς γῆς φύσει, ἂν μὴ ἄλλη τις αὐτὸ αἰτία ἀνθέλκῃ. ὥσπερ οὖν τὸ γεῶδες ὄστρεον περικειμένην, ἀνάγκη ἐπὶ γῆς ἐνίσχεσθαι, οὕτω καὶ ὑγρὸν πνεῦμα ἐφελκομένην, εἴδωλον περικεῖσθαι ἀνάγκη. ὑγρὸν δὲ ἐφέλκεται, ὅταν συνεχῶς μελετήσῃ ὁμι-

Porphyr. Gradib.

Quemadmodum anima in terra est, ita corpus terram occupat: et quemadmodum illud corpori præfectum terram occupat, sic apud inferos anima simulacro præficitur, natura quidem prædita, sed in tenebris degenti. Quare si Orcus obscurus est sub terris locus, anima simul cum natura per simulacrum apud inferos degit, siquidem illam de solido corpore discedentem spiritus, quem de orbibus collegerat, comitatur. Et quoniam de corporis coniunctione partium rationem fuit adepta, per quam corpori suo fuerat in vita dedita; hinc imaginationis forma spiritui imprimitur, atque ita simulacrum attrahitur; idque tum apud inferos esse dicitur, quoniam obscuram est nactus naturam. Et quoniam spiritus grauis & humidus sub terram quoque tendit, hinc ipsa quoque dicitur eodem tendere, non quò natura locum mutet, sed quoniam corporum locum mutantium habitum in se recipiat, dum hanc illa secundũ qualitates suas accipiant. siquidem prout affecta fuerit, ita corpus definitum nanciscitur. Itaque puræ quidem cognatum est materia propemodum expers corpus, quale est æthereum; de ratione autem ad imaginationem progressæ, compos materiæ; luxurianti verò ac formis obnoxiæ, lunæ simili. At in corpus delapsum, cùm naturam forma expertẽ de humidis vaporibus collegerit, ignorantia perfecta & infantia consequitur. Neque aliter in exitu propter humidum vaporem spiritumʺ gerens obscuratum, vmbram attrahit, ac per spiritum talem, in terræ fundum natura vi tendẽtem, nisi quæ alia illam causa retrahat, deprimitur. Itaque sicut terream testam circumferentem necesse est in terra degere, sic humidum attrahentem spiritũ oportet simulacrum circumferre. Humidum quidem attrahit, quando cum natura se arctè coniunxerit;

mʺ ἔχουσα pro ἔχουσι.

xerit, cuius in humore consistunt opera. Sin à natura se seiunxerit, splendor siccus redditur, umbra ac nube vacans. Etenim vt humor in aëre nubem constituit, ita siccitas splendorem siccum.

λεῖν τῇ φύσει, ἧς ἐν ὑγρῷ τὸ ἔργον, καὶ ὑπόχλον μᾶλλον. ὅταν δὲ ὑγετήσῃ ἀφίστασθαι φύσεως, αὐγὴ ξηρὰ γίγνεται, ἄσκιος καὶ ἀνέφελος. ὑγρότης γὰρ ἐν ἀέρι νέφος συνίστησι· ξηρότης δὲ ἀπὸ τῆς ἀτμίδος αὐγὴν ξηρὰν ὑφίστασιν.

Plat. Phæd.

Equidem, ô Simmia atq. Cebes, nisi me migraturum putarem, primùm quidem ad deos alios sapientes & bonos, deinde ad homines defunctos his qui hîc sunt meliores, iniusta agerem, non molestè ferens mortem. Nunc certò habetote, sperare me ad viros bonos iturum. Sed hoc quidem haud omninò asseuerarem: quòd verò ad deos dominos valde bonos iturus sim, certum habetote; si quid aliud eiusmodi, & hoc vtique me affirmaturum. Propterea haud similiter mortẽ molestè fero, sed bono animo sum, speroq; superesse aliquid his qui defunctis sunt, atque vt iam diu dicitur, multo melius bonis fore quàm malis.

Ἐγὼ γὰρ, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, εἰ μὲν μὴ ᾤμην ἥξειν, πρῶτον μὲν παρὰ θεοὺς ἄλλους σοφούς τε καὶ ἀγαθοὺς, ἔπειτα παρ' ἀνθρώπους τετελευτηκότας ἀμείνους τῶν ἐνθάδε, ἠδίκουν ἂν, οὐκ ἀγανακτῶν τῷ θανάτῳ. νῦν δὲ εὖ ἴστε, παρ' ἄνδρας τε ἐλπίζω ἀφίξεσθαι ἀγαθούς· καὶ τοῦτο μὲν οὐκ ἂν πάνυ διισχυρισαίμην· ὅτι μέντοι παρὰ θεοὺς δεσπότας πάνυ ἀγαθοὺς ἥξειν, εὖ ἴστε ὅτι, εἴπερ τι ἄλλο τῶν τοιούτων, διισχυρισαίμην ἂν καὶ τοῦτο. ὥστε διὰ ταῦτα οὐχ ὁμοίως ἀγανακτῶ, ἀλλ' εὔελπίς εἰμι τοῖς τετελευτηκόσι, καὶ, ὥσπερ γε καὶ πάλαι λέγεται, πολὺ ἄμεινον τοῖς ἀγαθοῖς ἢ τοῖς κακοῖς.

πλάτωνος ἐκ τοῦ φαίδωνος.

Anima verò, quæ inuisibile quiddam est, in similem quendam aliumq; locum migrans, excellẽtem, purum, inuisibilem, nobis occultũ, re vera ad bonum sapientemq; Deum, quò si Deus voluerit, paulo post meo quoq. animo est migrandum: anima inquam talis, talisq; natura prædita, nunquid cùm primùm à corpore liberata fuerit, dissipabitur atque interibit, vt multi putant? Permultũ abest, ô dilecte Cebes atq. Simmia, imo multo magis ita se res habet. Si quidem pura discesserit, corporeũ nil secum trahens, vtpote quæ sua cum illo in vita non communicauerit, sed fugerit illud semper, seq; in se collegerit, tãquam semper id meditata: quod quidem nihil est aliud quàm rectè philosophari, mortemq; re vera facilè commentari. an non hæc est meditatio mortis? Est omnino. Anima, inquã, si sic affecta discesserit, nónne ad aliquid sibi simile diuinum abit? diuinũ, & immortale, & sapiens? quò cùm peruenerit, euadit felix, ab errore, demẽtia, timoribus, durisq; amoribus, cæterisq; humanis liberata malis: et quemadmodùm de initiatis dici solet, re vera reliquum tempus vitam cũ diis agit. Itáne dicendum est, ô Cebes, an aliter? Ita per Iouem, inquit Cebes. Sin autem polluta impuraq; decedat, vtpote quæ corpus semper amplexa ipsum dumtaxat coluerit, & amauerit, eiusq; voluptatibus & libidinibus quasi veneficiis quibusdam delinita fuerit, et vsqueadeò capta, vt nihil aliud putet esse verũ, nisi quod corporeum sit, quod tangi, quod videri possit, quódve bibat, & quod edat, & quo in venereis vtatur: quod verò oculis quidem occultum & inuisibile sit, veruntamen intelligibile & philosophia comprehendendũ, habere odio consueuerit, tremereq; & fugere. sic, inquam, institutam animam putásne ipsam per se sinceram euadere? Nullo modo, inquit. Sed infectam inuolutamq;, vt arbitror, cõtagione corporea, quã consuetudo congressusq. cũ corpore propter cõtinuam familiaritatẽ, plurimúmq. eius cultũ effecit quasi cõgenitam: Ita putamus. Ponderosam verò, ô amice, id putandum est, & graue, terrenúmq. et visibile, quod anima eiusmodi secum trahit: ideóq. ab

Ἡ δὲ ψυχὴ ἄρα, τὸ ἀειδὲς, τὸ εἰς τοιοῦτον τόπον ἕτερον οἰχόμενον, γενναῖον, καὶ καθαρὸν, καὶ ἀειδῆ, εἰς ᾅδου, ὡς ἀληθῶς παρὰ τὸν ἀγαθὸν καὶ φρόνιμον θεὸν, οἷ, ἂν θεὸς ἐθέλῃ, αὐτίκα τῇ ἐμῇ ψυχῇ ἰτέον. αὕτη δὲ δὴ ἡμῖν ἡ τοιαύτη, καὶ οὕτω πεφυκυῖα, ἀπαλλαττομένη τοῦ σώματος, εὐθὺς διαπεφύσηται, καὶ ἀπόλωλεν, ὥς φασιν οἱ πολλοὶ ἄνθρωποι; πολλοῦ γε δεῖ, ὦ φίλε Κέβης τε καὶ Σιμμία· ἀλλὰ πολλῷ μᾶλλον ὧδε ἔχει. ἐὰν μὲν καθαρὰ ἀπαλλάττηται, μηδὲν τοῦ σώματος συνεφέλκουσα, ἅτε οὐδὲν κοινωνοῦσα αὐτῷ ἐν τῷ βίῳ ἑκοῦσα εἶναι, ἀλλὰ φεύγουσα αὐτὸ, καὶ συνηθροισμένη αὐτὴ εἰς αὑτὴν, ἅτε μελετῶσα ἀεὶ τοῦτο· τὸ δὲ οὐδὲν ἄλλο ἐστὶν, ἢ ὀρθῶς φιλοσοφοῦσα, καὶ τῷ ὄντι τεθνάναι μελετῶσα ῥᾳδίως. ἢ οὐ τοῦτ' ἂν εἴη ἡ μελέτη θανάτου; παντάπασί γε. οὐκ οὖν οὕτω μὲν ἔχουσα εἰς τὸ ὅμοιον αὐτῇ τὸ ἀειδὲς ἀπέρχεται, τὸ θεῖόν τε καὶ ἀθάνατον, καὶ φρόνιμον, οἷ ἀφικομένῃ ὑπάρχει αὐτῇ εὐδαίμονι εἶναι, πλάνης καὶ ἀνοίας, καὶ φόβων, καὶ ἀγρίων ἐρώτων, καὶ τῶν ἄλλων κακῶν τῶν ἀνθρωπείων ἀπηλλαγμένῃ· ὥσπερ δὲ λέγεται κατὰ τῶν μεμυημένων, ὡς ἀληθῶς τὸν λοιπὸν μετὰ θεῶν διάγουσα. οὕτω φῶμεν, ὦ Κέβης, ἢ ἄλλως; οὕτω νὴ Δία, ἔφη ὁ Κέβης. ἐὰν δέ γε οἶμαι μεμιασμένη καὶ ἀκάθαρτος τοῦ σώματος ἀπαλλάττηται, ἅτε τῷ σώματι ἀεὶ ξυνοῦσα, καὶ τοῦτο θεραπεύουσα, καὶ ἐρῶσα, καὶ γεγοητευομένη ὑπ' αὐτοῦ, ὑπό τε τῶν ἐπιθυμιῶν καὶ ἡδονῶν, ὥστε μηδὲν ἄλλο δοκεῖν εἶναι ἀληθὲς, ἀλλ' ἢ τὸ σωματοειδὲς, ὅ, τις ἂν ἅψαιτο, καὶ ἴδοι, καὶ πίοι, καὶ φάγοι, καὶ πρὸς τὰ ἀφροδίσια χρήσαιτο· τὸ δὲ τοῖς ὄμμασι σκοτῶδες, καὶ ἀειδὲς, νοητὸν δὲ καὶ φιλοσοφίᾳ αἱρετὸν, τοῦτο δὲ εἰθισμένον μισεῖν τε, καὶ τρέμειν, καὶ φεύγειν· οὕτω δὴ ἔχουσαν οἴει ψυχὴν αὐτὴν καθ' αὑτὴν εἰλικρινῆ ἀπαλλάξεσθαι; οὐδ' ὁπωσοῦν, ἔφη. ἀλλὰ διειλημμένην γε, οἶμαι, ὑπὸ τοῦ σωματοειδοῦς, ὃ αὐτῇ ἡ ὁμιλία τε καὶ συνουσία τοῦ σώματος, διὰ τὸ ἀεὶ ξυνεῖναι, καὶ διὰ τὴν πολλὴν ἐκείνην μελέτην, ἐνεποίησε ξύμφυτον; πάνυ γε. ἐμβριθὲς δέ γε ὦ φίλε, τοῦτο οἴεσθαι χρὴ εἶναι, καὶ βαρὺ, καὶ γεῶδες, καὶ ὁρατὸν, ὃ δὴ καὶ ἔχουσα ἡ τοιαύτη ψυχὴ

ψυχὴ βαρύνεταί γε, καὶ ἕλκεται πάλιν εἰς τὸν ὁρατὸν τόπον, φόβῳ τοῦ ἀειδοῦς δὲ καὶ ἅδου ὥσπερ λέγεται περὶ τὰ μνήματά τε καὶ τοὺς τάφους κυλινδουμένη, περὶ ἃ δὴ καὶ ὤφθη καὶ ἄττα ψυχῶν σκιοειδῆ φάσματα, οἷα παρέχονται αἱ τοιαῦται ψυχαὶ εἴδωλα, αἱ μὴ καθαρῶς ἀπολυθεῖσαι, ἀλλὰ τοῦ ὁρατοῦ μετέχουσαι, διὸ καὶ ὁρῶνται. εἰκός γε, ὦ Σώκρατες. εἰκὸς μέντοι γε, ὦ Κέβης, καὶ οὔ τι γε τὰς τῶν ἀγαθῶν ταύτας εἶναι, ἀλλὰ τὰς τῶν φαύλων, αἳ περὶ τὰ τοιαῦτα ἀναγκάζονται πλανᾶσθαι, δίκην τίνουσαι, ἕως ἂν τῇ τοῦ ξυνεπακολουθοῦντος τοῦ σωματοειδοῦς ἐπιθυμίᾳ, πάλιν ἐνδεθῶσιν εἰς σῶμα· ἐνδοῦνται δὲ, ὥσπερ εἰκὸς, εἰς τοιαῦτα ἤθη, ὁποῖα ἄττα καὶ μεμελετηκυῖαι τύχωσιν ἐν τῷ βίῳ. τὰ ποῖα δὴ ταῦτα λέγεις, ὦ Σώκρατες; οἷον τοὺς μὲν γαστριμαργίας τε καὶ ὕβρεις, καὶ φιλοποσίας μεμελετηκότας, καὶ μὴ διευλαβημένους, εἰς τὰ τῶν ὄνων γένη, καὶ τῶν τοιούτων θηρίων, εἰκὸς ἐνδύεσθαι. ἢ οὐκ οἴει; πάνυ μὲν οὖν γε εἰκὸς λέγεις. τοὺς δέ γε ἀδικίας τε καὶ τυραννίδας, καὶ ἁρπαγὰς προτετιμηκότας, εἰς τὰ τῶν λύκων τε καὶ ἱεράκων, καὶ ἰκτίνων γένη. ἢ ποῖ ἂν ἄλλοσε φῶμεν τὰς τοιαύτας ἰέναι; ἀμέλει, ἔφη ὁ Κέβης, εἰς τὰ τοιαῦτα. οὐκοῦν ἦν δ᾽ ὃς δῆλα δὴ καὶ τἆλλα, ᾗ ἂν ἕκαστα ἴοι, κατὰ τὰς αὐτῶν ὁμοιότητας τῆς μελέτης. δῆλον δὲ ἔφη. πῶς δ᾽ οὔ; οὐκοῦν εὐδαιμονέστατοι, ἔφη, καὶ τούτων εἰσὶ, καὶ εἰς βέλτιστον τόπον ἰόντες, οἱ τὴν δημοτικὴν τε καὶ πολιτικὴν ἀρετὴν ἐπιτετηδευκότες, ἣν δὲ καλοῦσι σωφροσύνην καὶ δικαιοσύνην, ἐξ ἔθους τε καὶ μελέτης γεγονυῖαν, ἄνευ φιλοσοφίας τε καὶ νοῦ. πῇ δὴ εὐδαιμονέστατοι; ὅτι τούτους εἰκός ἐστιν εἰς τοιοῦτον πάλιν ἀφικνεῖσθαι πολιτικὸν καὶ ἥμερον γένος, ἤ που μελιττῶν, καὶ σφηκῶν, ἢ μυρμήκων, ἢ καὶ εἰς ταὐτόν γε πάλιν τὸ ἀνθρώπινον γένος, καὶ γίνεσθαι ἐξ αὐτῶν ἄνδρας μετρίους. εἰκός. εἰς δέ γε θεῶν γένος μὴ φιλοσοφήσαντι καὶ παντελῶς καθαρῷ ἀπιόντι οὐ θέμις ἀφικνεῖσθαι ἄλλῳ ἢ τῷ φιλομαθεῖ.

Ἀλλὰ τόδε, ἔφη, ὦ ἄνδρες, δίκαιον διανοηθῆναι, ὅτι εἴπερ ἡ ψυχὴ ἀθάνατος, ἐπιμελείας δὴ δεῖται οὐχ ὑπὲρ τοῦ χρόνου τούτου μόνον, ἐν ᾧ καλοῦμεν τὸ ζῆν, ἀλλ᾽ ὑπὲρ τοῦ παντός. καὶ ὁ κίνδυνος νῦν δὴ καὶ δόξειεν ἂν δεινὸς εἶναι, εἴ τις αὐτῆς ἀμελήσει. εἰ μὲν γὰρ ἦν ὁ θάνατος, τοῦ παντὸς ἀπαλλαγὴ, ἕρμαιον ἂν ἦν τοῖς κακοῖς ἀποθανοῦσι, τοῦ τε σώματος ἅμα ἀπηλλάχθαι, καὶ τῆς αὐτῶν κακίας, μετὰ τῆς ψυχῆς. νῦν δὲ ἐπειδὴ ἀθάνατος φαίνεται οὖσα, οὐδεμία ἂν εἴη ἀποφυγὴ κακῶν, οὐδὲ σωτηρία, πλὴν τοῦ ὡς βελτίστην τε καὶ φρονιμωτάτην γενέσθαι. οὐδὲν γὰρ οὐκ ἄλλο ἔχουσα εἰς ἅδου ἡ ψυχὴ ἔρχεται, πλὴν τῆς παιδείας τε καὶ τροφῆς. ἃ δὴ καὶ λέγεται μάλιστα ὠφελεῖν, ἢ βλάπτειν τὸν τελευτήσαντα, εὐθὺς ἐν ἀρχῇ τῆς ἐκεῖσε πορείας. λέγεται δὲ οὕτως, ὡς ἄρα τελευτήσαντα ἕκαστον ὁ ἑκάστου δαίμων, ὅσπερ ζῶντα εἰλήχει. οὗτος ἄγειν ἐπιχειρεῖ εἰς δή τινα τόπον, οἷ δεῖ τοὺς συλλεγέντας διαδικασαμένους εἰς ἅδου πορεύεσθαι μετὰ ἡγεμόνος ἐκείνου, ᾧ δὴ προστέτακται τοὺς ἐνθάδε ἐκεῖσε πορεῦσαι· τυχόντας δὲ ἐκείνων

eo grauatur, et ad visibilem trahitur locum metu inuisibilis, atq. occulti: & quemadmodum fertur, circa monumenta sepulcraq. versatur, circa quæ iam nonnulla apparuerunt animarum vmbrosa phantasmata, qualia præferũt simulacra tales animæ, quæ videlicet non puræ decesserunt à corpore, sed visibile aliquid trahentes, quo fit vt videri possint. Cõsentaneum est, ô Socrates. Consentaneũ tamen, ô Cebes, non esse has bonorum animas, sed malorum, quæ circa hæc oberrare coguntur, pœnã dantes vitæ improbè actæ. Itaq. tam diu circumvagãtur, quoad cupiditate naturæ corporeæ comitante, rursus induant corpus. Induunt autem, vt decẽs est, eiusmodi mores quales in vita exercuerunt. Quales dicis mores, ô Socrates? Eiusmodi. Eos quidem qui ventri dediti per inertiam atque lasciuiam vitam egerunt, neq. quicquam pensi pudorisq. habuerunt, decens est asinos similiaq. subire. an non putas? Consentanea loqueris. Qui verò iniurias, tyrannides, rapinas præ cæteris secuti sunt, in luporum, accipitrũ, miluorum genera par est pertransire. num aliò has migrare dicendum est? Ita potissimum, inquit Cebes. Similiter & in cæteris. abeunt enim in genera qualibet, quibus in vita mores similes contraxerunt. Manifestum id quidem. Nõnne horum felicissimi sunt, & in optimum proficiscuntur locum, quicunq. popularẽ eiundemq. virtutem, quam temperãtiam & iustitiam nominant, exercuere absq. philosophia quidẽ atque mente, sed ex consuetudine exercitationeq. acquisitam? Quonam pacto hi felicissimi sunt? Quoniam decens est hos in tale quoddam genus iterũ ciuile mitéq. demigrare quodam modo apũ, aut vesparum, vel formicarum, atq. deinde in idẽ rursus genus humanum, modestosq. ex illis homines fieri. ita decet. In deorũ verò genus nulli fas est peruenire, præter eos qui discendi cupiditate flagrantes, & philosophati sunt, & puri penitus decesserunt.

Hoc ait, ô viri, iustum est cogitare, si anima sit immortalis, eam non solùm temporis huius in quo viuere dicimur, verùm etiam vniuersi gratia curatione plurimum indigere. Nam graue periculũ fore putandum est, si quis neglexerit animum. Si enim mors totius dissolutio esset, nimirũ improbi lucrarentur, cùm & à corpore, & ab eorum prauitate cum anima liberarentur. Nunc autem cùm anima immortalis appareat, nulla superest malorum declinatio, nulla salus, nisi vt optima & prudentissima fiat. Nihil enim aliud cùm migrat ad manes anima, secum transfert præter eruditionẽ atq. educationem quæ quidem statim in principio transmigrationis illius plurimùm vel prodesse, vel obesse dicuntur. Ferunt enim quemlibet hinc illuc emigrantem, ab eo dæmone quem viuens sortitus fuerat, in locũ quendam duci, vbi oporteat omnes vnà collectos iudicari, ac deinde ad inferos proficisci eo duce, cui mãdatum erat, vt hinc decedentes ad illa loca traducat. sortitos verò illic quæ opor-

oportebat sortiri, tempusq; debitum commoratos, ab alio quodã duce rursus huc reduci post multos temporis longosq; circuitus. Est autem iter nõ tale quale ait Telephus apud AEschylum. Ille siquidem simplicem inquit viam ad inferos ferre. Ego verò neque simplicem neq. vnam esse puto. alioquin nullus ducibus opus esset. quippe cùm vnica via aberrare possit nemo. Quinimo multos tramites, multosq; anfractus habere. quod quidem ex sacrificiis & ritibus coniectare licet. Animus ergo moderatus & prudens ducem spontè sequitur, neq. ignorat præsentia. Sed qui cupiditate corporis est infectus, quemadmodum suprà dixi, per multum tempus ad ipsum ardenter afficitur: & circa locum visibilẽ multis reluctatus modis, multaq; perpessus, vix tandem ab eo adducitur dæmone, cui eius cura erat iniuncta. Cùm verò ad ea loca, vbi alij quoq. animi sunt, peruenerit, quisquis admodum immundus est, & huiusmodi obnoxius crimini, qui vel iniustis se contaminauerit cædibus, vel alia his similia, similiumq; animorum opera perpetrauerit, hunc quidem animum omnes fugiunt atque declinant, nec reperitur vllus, qui vel socius, vel dux eius fieri velit. Itaque omni auxilio destitutus, eousq. pererrat, quoad certa temporum curricula impleantur. Quibus tandem impletis, in habitationem sibi conuenientem ab ipsa necessitate transfertur. Qui verò purã moderatamq; transegerit vitam, deos socios, ducesq; nactus ibi habitat, vbi vnicuiq. conuenit. Multa verò sunt, mirabiliaq; terrarum loca, ipsaq; terra neq. talis, neq. tanta est, qualem aut quantam hi, qui de terra loquuntur, existimant, quemadmodum mihi à quodam traditum est. Quánam ratione, inquit Simmias, hæc ais, ô Socrates? Equidem de terrarũ orbe multa audiui. non tamen hæc, quæ tanquam vera accepisse te ais. Libenter igitur ex te audirẽ. Atqui, ô Simmia, nequaquam mihi videtur ars Glauci quæ ea sint narrare, sed quòd vera sint probare, artis Glauci facultatem mihi videtur excedere. Præterea ego forsan nõ sufficerem. Quinetiam si id scirem, hæc tamẽ vita mea, ô Simmia, longiori huic narrationi nequaquam sufficeret. Formam tamen orbis terræ eiusq; loca cuiusmodi esse rear, nihil prohibet dicere. Satis id erit, inquit Simmias. Persuasum mihi quidẽ est, primo si est terra in cœli medio rotunda, nihil ei opus esse; vel aëre, vel alia necessitate eiusmodi ad hoc vt nunquam decidat: sed ad eam sustinendã satis id esse, quòd & cœlum vndiq. sibiipsi simillimũ est omnino, & terra vndiq. æquilibris. Res enim æquilibris in similis alicuius medio posita, nec magis nec minùs potest in partem aliquam inclinari, eumq; similiter sese habeat, ab inclinatione permanet aliena. Primò igitur mihi esse ita est persuasum. Et rectè quidem, inquit Simmias. Præterea ingentẽ esse terrarum orbem, nosq; à Phaside ad Columnas Herculeas habitare, in parua quadam eius particula, ceu formicas atq. ranas circa paludes atque

δὴ τυχεῖν, καὶ μείναντας ὃν χρὴ χρόνον, ἄλλος δεῦρο πάλιν ἡγεμὼν κομίζει ἐν πολλαῖς καὶ μακραῖς περιόδοις. ἔστι δὲ ἄρα ἡ πορεία οὐχ ὡς ὁ αἰσχύλου τήλεφος λέγει. ἐκεῖνος μὲν γὰρ οἶμον ἁπλῆν εἰσὶν εἰς ἅδου φέρειν· ἡ δ᾽ οὔτε ἁπλῆ, οὔτε μία φαίνεταί μοι εἶναι. οὐδὲ γὰρ ἂν ἡγεμόνων ἔδει. οὐ γάρ πού τις ἂν ἁμάρτῃ οὐδ᾽ ὁμόσε μιούσης ὁδοῦ. νῦν δὲ ἔοικε σχίσεις τε καὶ περιόδους πολλὰς ἔχειν. ἀπὸ τῶν θυσιῶν τε καὶ νομίμων τῶν ἐνθάδε τεκμαιρόμενος λέγω. ἡ μὲν οὖν κοσμία τε καὶ φρόνιμος ψυχὴ ἕπεταί τε, καὶ οὐκ ἀγνοεῖ τὰ παρόντα· ἡ δὲ ἐπιθυμητικῶς τοῦ σώματος ἔχουσα, ὅπερ ἐν τῷ ἔμπροσθεν εἶπον, περὶ ἐκεῖνο πολὺν χρόνον ἐπτοημένη, καὶ περὶ τὸν ὁρατὸν τόπον, ἀλλὰ ἀντιτείνασα, καὶ πολλὰ παθοῦσα βίᾳ, καὶ μόλις ὑπὸ τοῦ προστεταγμένου δαίμονος οἴχεται. ἀγομένη δὲ ὅθιπερ ἄλλαι, τὴν μὲν γὰρ ἀκάθαρτον, καί τι πεποιηκυῖαν τοιοῦτον, ἢ φόνων ἀδίκων ἡμμένην, καὶ ἄλλ᾽ ἄττα τοιαῦτα εἰργασμένην, ἃ τούτων ἀδελφά τε, καὶ ἀδελφῶν ψυχῶν ἔργα τυγχάνοντα, ταύτην μὲν ἅπας φεύγει τε καὶ ὑποτρέπεται, καὶ οὔτε ξυνέμπορος, οὔτε ἡγεμὼν ἐθέλει γίγνεσθαι· αὐτὴ δὲ πλανᾶται ἐν πάσῃ ἐχομένη ἀπορίᾳ, ἕως ἂν δή τινες χρόνοι γένωνται· ὧν ἐλθόντων, ὑπ᾽ ἀνάγκης φέρεται εἰς τὴν αὐτῇ πρέπουσαν οἴκησιν. ἡ δὲ καθαρῶς τε καὶ μετρίως τὸν βίον διεξελθοῦσα, καὶ ξυνεμπόρων καὶ ἡγεμόνων θεῶν τυχοῦσα, ᾤκησε τὸν αὐτῇ ἑκάστῃ τόπον προσήκοντα. εἰσὶ δὲ πολλοὶ καὶ θαυμαστοὶ τῆς γῆς τόποι, καὶ αὐτὴ οὔτε οἵα οὔτε αὐτὴ δοξάζεται ὑπὸ τῶν περὶ γῆς εἰωθότων λέγειν, ὡς ἐγὼ ὑπό δέ τινος πέπεισμαι. καὶ ὁ σιμμίας, πῶς ταῦτα, ἔφη, λέγεις, ὦ σώκρατες; περὶ γάρ τοι γῆς καὶ αὐτὸς πολλὰ ἀκήκοα, οὐ μέντοι ταῦτα ἃ σὲ πείθει. ἡδέως οὖν ἀκούσαιμι. ἀλλὰ μέντοι, ὦ σιμμία, οὐχ ἡ γλαύκου τέχνη γέ μοι δοκεῖ εἶναι διηγήσασθαι ἅ τε ἐστί· ὡς μέντοι ἀληθῆ, χαλεπώτερόν μοι φαίνεται ἢ κατὰ τὴν γλαύκου τέχνην· καὶ ἅμα μὲν ἐγὼ ἴσως οὐδ᾽ ἂν οἷός τε εἴην, ἅμα δὲ εἰ καὶ ἠπιστάμην, ὁ βίος μοι δοκεῖ ὁ ἐμός, ὦ σιμμία, τῷ μήκει οὐκ ἐξαρκεῖν. τὴν μέντοι ἰδέαν τῆς γῆς, οἵαν πέπεισμαι εἶναι, καὶ τοὺς τόπους αὐτῆς, οὐδέν με λέγειν κωλύει. ἀλλ᾽, ἔφη ὁ σιμμίας, καὶ ταῦτα ἀρκεῖ. πέπεισμαι τοίνυν ἦ δ᾽ ὃς ἐγὼ, ὡς πρῶτον μὲν γῆς ἐστιν ἐν μέσῳ τοῦ οὐρανοῦ περιφερὴς οὖσα, μηδὲν αὐτῇ δεῖν μήτε ἀέρος, πρὸς τὸ μὴ πεσεῖν, μήτε ἄλλης ἀνάγκης, μηδὲ μιᾶς τοιαύτης· ἀλλ᾽ ἱκανὸν εἶναι αὐτὴν ἴσχειν τὴν ὁμοιότητα τοῦ οὐρανοῦ αὐτοῦ αὑτῷ πάντῃ, καὶ τῆς γῆς αὐτὴν τήν. ἰσόῤῥοπον γὰρ πρᾶγμα ὁμοίου τινὸς ἐν μέσῳ τεθὲν, οὐχ ἕξει ἄλλον οὐδ᾽ ἧττον οὐδαμόσε κλιθῆναι, ὁμοίως δὲ ἔχον ἀκλινὲς μενεῖ. πρῶτον μὲν εἶδος τοῦτο πέπεισμαι. καὶ ὀρθῶς γε, ἔφη ὁ σιμμίας. ἔτι τοίνυν, ἔφη, πάνυ μέγα τι εἶναι αὐτὸ, καὶ ἡμᾶς οἰκεῖν τοὺς μέχρι ἡρακλείων στηλῶν ἀπὸ φάσιδος, ἐν μικρῷ τινι μορίῳ, ὥσπερ ἐπὶ τέλμα μύρμηκας, ἢ βατράχους περὶ τὴν

θάλατ-

θάλατταν οἰκοῦντας, καὶ ἄλλους ἄλλοθι πολλοὺς ἐν πολλοῖς τοιούτοις τόποις οἰκεῖν. εἶναι γὰρ πανταχῇ περὶ τὴν γῆν πολλὰ κοῖλα καὶ παντοδαπὰ, καὶ τὰς ἰδέας, καὶ τὰ μεγέθη, εἰς ἃ ξυνεῤῥυηκέναι τό, τε ὕδωρ, καὶ τὴν ὁμίχλην, καὶ τὸν ἀέρα· αὐτὴν δὲ τὴν γῆν, καθαρὰν ἐν καθαρῷ κεῖσθαι τῷ οὐρανῷ, ἐν ᾧπέρ ἐστι τὰ ἄστρα, ὃν δὴ αἰθέρα ὀνομάζειν τοὺς πολλοὺς τοὺς περὶ ταῦτα εἰωθότων λέγειν· οὗ δὴ ὑποστάθμην ταῦτα εἶναι, καὶ ξυῤῥεῖν ἀεὶ εἰς τὰ κοῖλα τῆς γῆς. ἡμᾶς οὖν οἰκοῦντας ἐν τοῖς κοίλοις αὐτῆς, λεληθέναι, καὶ οἴεσθαι ἄνω ἐπὶ τῆς γῆς οἰκεῖν· ὥσπερ ἂν εἴ τις ἐν μέσῳ τῷ πυθμένι τοῦ πελάγους οἰκῶν, οἴοιτο ἐπὶ τῆς θαλάσσης οἰκεῖν· καὶ διὰ τοῦ ὕδατος ὁρῶν τὸν ἥλιον καὶ τὰ ἄλλα ἄστρα, τὴν θάλατταν ἡγοῖτο οὐρανὸν εἶναι· διὰ δὲ βραδυτῆτά τε καὶ ἀσθένειαν, μηδέπω ποτὲ ἐπὶ τὰ ἄκρα τῆς θαλάττης ἀφιγμένος, μηδὲ ἑωρακὼς εἴη, ἐκδὺς καὶ ἀνακύψας ἐκ τῆς θαλάττης εἰς τὸν ἐνθάδε τόπον, ὅσον καθαρώτερος καὶ καλλίων τυγχάνει ὢν τοῦ παρὰ σφίσι, μηδὲ ἄλλου ἀκηκοὼς εἴη τοῦ ἑωρακότος. ταυτὸν δὴ τοῦτο καὶ ἡμᾶς πεπονθέναι· οἰκοῦντας γὰρ ἔν τινι κοίλῳ τῆς γῆς, οἴεσθαι ἐπάνω αὐτῆς οἰκεῖν, καὶ τὸν ἀέρα οὐρανὸν καλεῖν, ὡς διὰ τούτου οὐρανοῦ ὄντος τὰ ἄστρα χωροῦντα. τὸ δὲ εἶναι ταυτὸν, ὑπ' ἀσθενείας καὶ βραδυτῆτος, οὐχ οἵους τε εἶναι ἡμᾶς διεξελθεῖν ἐπ' ἔσχατον τὸν ἀέρα· ἐπεὶ εἴ τις αὐτοῦ ἐπ' ἄκρα ἔλθοι, ἢ πτηνὸς γενόμενος ἀνάπτοιτο, κατιδεῖν ἀνακύψαντα ὥσπερ οἱ ἐνθάδε οἱ ἐκ τῆς θαλάττης ἰχθύες ἀνακύπτοντες ὁρῶσι τὰ ἐνθάδε· οὕτως ἄν τινα καὶ τὰ ἐκεῖ κατιδεῖν. καὶ εἰ ἡ φύσις ἱκανὴ εἴη ἀνασχέσθαι θεωροῦσαν, γνῶναι ἂν ὅτι ἐκεῖνός ἐστιν ὁ ἀληθῶς οὐρανὸς, καὶ τὸ ἀληθινὸν φῶς, καὶ ἡ ὡς ἀληθῶς γῆ. ἥδε μὲν γὰρ ἡ γῆ, καὶ οἱ λίθοι, καὶ ἅπας ὁ τόπος ὁ ἐνθάδε, διεφθαρμένα ἐστὶ, καὶ καταβεβρωμένα, ὥσπερ τὰ ἐν τῇ θαλάττῃ ὑπὸ τῆς ἅλμης, καὶ οὔτε φύεται ἄξιον λόγου οὐδὲν ἐν τῇ θαλάττῃ, οὔτε τέλειον, ὡς ἔπος εἰπεῖν, οὐδέν ἐστι, σήραγγες δὲ, καὶ ἄμμος, καὶ πηλὸς ἀμήχανος, καὶ βόρβοροί εἰσιν ὅπου ἂν ἡ γῆ ᾖ. καὶ πρὸς τὰ παρ' ἡμῖν πολὺ ἂν ἐπιπλέον φανείη διαφέρειν. εἰ γὰρ δὴ καὶ μῦθον λέγειν, καλὸν, ἄξιον ἀκοῦσαι, ὦ Σιμμία, οἷα τυγχάνει τὰ ἐπὶ γῆς ὑπὸ τῷ οὐρανῷ ὄντα. ἀλλὰ μὴν, ἔφη ὁ Σιμμίας, ὦ Σώκρατες, ἡμεῖς γε τούτου τοῦ μύθου ἡδέως ἂν ἀκούσαιμεν. λέγεται τοίνυν, ἔφη, ὦ ἑταῖρε, πρῶτον μὲν εἶναι τοιαύτη ἡ γῆ αὐτὴ ἰδεῖν, εἴ τις ἄνωθεν θεῷτο, ὥσπερ αἱ δωδεκάσκυτοι σφαῖραι, ποικίλοις χρώμασι διειλημμένην, ὧν καὶ τὰ ἐνθάδε εἶναι χρώματα οἷς δὴ οἱ γραφεῖς καταχρῶνται. ἐκεῖ δὲ πᾶσαν τὴν γῆν ἐκ τοιούτων εἶναι, καὶ πολὺ ἔτι ἐκ λαμπροτέρων καὶ καθαρωτέρων, ἢ τούτων· τὴν μὲν γὰρ ἁλουργῆ εἶναι, καὶ θαυμαστὴν τὸ κάλλος, τὴν δὲ χρυσοειδῆ, τὴν δὲ ὅσην λευκὴν γύψου ἢ χιόνος, λευκοτέραν, καὶ ἐκ τῶν ἄλλων χρωμάτων συγκειμένην ὡσαύτως, καὶ ἔτι πλειόνων, καλλιόνων ἢ ὅσα ἡμεῖς ἑωράκαμεν. καὶ γὰρ αὐτὰ ταῦτα τὰ κοῖλα αὐτῆς, ὕδατός τε καὶ ἀέρος ἔκπλεα ὄντα, χρώματός τι εἶδος παρὰ τὸ εἶδος παρέχεσθαι στίλβοντα ἐν τῇ τῶν ἄλλων χρωμάτων ποικιλίᾳ· ὥστε ἕν τι αὐτῆς εἶδος ξυνεχὲς ποικίλον φαντάζεσθαι. ἐν δὲ

mare. esse verò et alios in similibus multisq; locis multos habitatores. esse enim passim per terram multas variasq; concauitates secundum formas & moles in quas aqua, nebulæ, aërq; confluant. Puram verò ipsam terram in puro iacere cælo, in quo sunt astra: quẽ plerique eorum qui hæc tractant, ætherem nominãt. & quidem subiecta quasi residendo hæc esse, semperq; in hiatus terræ confluere. Nos itaque in his concauitatibus habitantes, adeò falli, vt in terræ superficie alta nos habitare credamus. perinde ac si quis in profundo pelagi habitans, putet se altiora maris incolere: atque Solem cæteraq; astra per mare prospiciens, mare ipsum esse cælum existimet: quippe cùm propter tarditatem imbecillitatemq; nunquam ad summum maris euaserit, neque caput vndis extulerit, planeq; aspexerit quanto hic locus profundo illo purior pulcriórque sit. quinetiam nec ab illo qui hunc intuitus sit, acceperit. Hoc igitur idem & nobis accidere, qui in quadam orbis terreni concauitate habitantes, altam incolere superficiem arbitremur, atque aërem nominemus cælum, vtpote qui per ipsum quasi cælum astrorum motus intueamur. idq; nobis accidere propterea, quòd propter imbecillitatem tarditatemq; ad supremũ vsque aërem transcendere nequeamus. Quòd si quis ad summum euaderet, vel alis fretus eò volaret, hinc prodeuntem inde iam prospecturum: quemadmodum pisces emergentes è mari nostra hæc aspiciunt. ac si natura ad inspiciendum sufficeret, cogniturum protinus cælum illud esse verum, veramq; lucem, veram quoque terram. Siquidem quæ à nobis incolitur terra, hiq; lapides, totusq; hic locus adesa sunt atque corrupta, vt ea quæ in mari sunt à salsedine, neque nascitur in mari quicquam existimatione dignum: atque vt ita dixerim, nihil est in eo perfectum, sed cauernæ, arena, limus incredibilis, atque sordes, vbicumque sit & terra: quæ quidem ad has nostras pulcritudines nullo modo sunt conferenda. Illius verò loci pulcritudo hanc nostram multo magis apparebit excedere. Proinde si fabulam quoque oportet narrare perpulcrã, operæprecium, Simmia, est audire quales sint hæ terrarum plagæ quæ subiacent cælo. Imò verò, inquit Simmias, libentissimè hanc fabulam audiemus. Ferunt igitur, ô amice, inquit, primùm quidem talem videri terræ illius faciem, si quis supernè despiciat, quales sunt hæ pilæ quæ ex coriis duodecim contextæ sunt, variis scilicet distinctam coloribus, quorum hi nostri colores quibus pictores vtuntur, similitudinem quandam retinent. Illic verò vniuersam terram ex talibus multoq; etiam nitidioribus ac purioribus esse, partim quidem purpuream mira pulcritudine præditam, partim verò coloris aurei, partim gypso & niue candidiorem: præterea ex coloribus aliis similiter exornatam, ac etiam pluribus pulcrioribusq; quàm in nostram notitiam peruenerint. Enimuerò has ipsas ipsius concauitates aqua aëreq; repletas speciem quandam coloris splendidam imprimis afferre inter cæterorum colorum varietatem, vt vna quadam species eius varia semper appareat. In huiusmodi verò terra conue-

nienti ratione similes nasci arbores, & flores, & fructus. Praeterea montes & lapides ibidem simili ratione habere perfectionem atque perspicuitatem, coloresq́; admodum pulcriores. quorum quidem particulae quaedam sint lapilli qui apud nos habentur in precio, sardia, iaspides, smaragdi, caeteraq́; eiusmodi. Illic verò nihil esse quod non tale sit, aut etiam pulcrius. Cuius quidẽ rei causa sit, quoniam lapides illi puri sint, neq. quemadmodum nostri à putredine salsugineq́; attriti atque corrupti, quibus in hunc locum confluentibus, lapides & tellus animaliaq́; & plantae inficiuntur, atque aegrotare coguntur. Terram verò ipsam his omnibus exornari, atq. auro etiam & argento caeterisq́; similibus. Praefulgentia quidem haec ibi nasci & multa & magna, perq́; omnem terram, vt eam videre spectatorũ felicium sit spectaculum. Proinde ibi esse animalia multa, & homines partim regionem mediterraneam incolentes, partim circa aërem, quemadmodum nos circa maris litora, partim etiam insulas quae haud procul à continenti positae aëre circumdantur. Sed vt summatim dicam, quod nobis aqua est et mare ad vsum nostrum, idem illic esse aërem: quod verò nobis aër, id illis aetherem esse. Tempora verò apud illos tantã habere temperiem, vt illi & sine morbo continuè, & longè diutiùs quàm nostri viuant. Item visu, auditu, prudentia, caeterisq́; talibus nobis tantum praestare, quantum & aër aquae, & aether aëri puritate praestat. Praeterea illic esse deorum templa & lucos, in quibus re vera dij familiariter habitent, & responsa & diuinationes, deorumq́; sensus familiaritatesq́; eiusmodi hominibus ad deos esse. Solem quoque & Lunam stellásq. alias quales re vera sunt, apud eos videri: caeterũ in rebus beatitudinem eos his rebus congruam possidere. Itaque vniuersam terram sic natura institutã, & quae circa eam sunt, similiter tradunt. Esse praeterea in ipsa per eius concauitates loca in circulum multa, partim quidem profundiora, atque ampliora quàm sit regio à nobis culta, partim verò profundiora quidem, sed hiatum angustiorem habentia nostra hac regione: esse et alicubi minùs profunda, sed ampliora quàm nostra. Haec autem omnia sub terra sibi inuicem obuiare, atq. irrumpere multis vndiq. modis, tum per angustiora, tum per ampliora, discursúsq. habere & exitus, quibus magna aquarum copia ex aliis in alia velut in crateres confluat. Item perpetuorum fluminũ sub terra incredibiles magnitudines aquarum, tum calidarum, tum etiam frigidarũ, plurimúmq. ignẽ, & ignis ingentes amnes: multos quoque lutulenti humoris, partim quidem purioris, partim verò sordidioris, ceu torrens luti qui in Sicilia est, & iuxta ipsum amnes lutei inde fluentes. quibus singula compleri loca quacunq. eos contingit perfluere. Haec autem omnia sursum deorsúmq. ferri veluti vase pensili quodam sub terram posito, atque ita librato, vt vtrinq. vicissim inclinet atq. attollat. Est autem id vas pensile ob naturam quandam eiusmodi. Vnus aliquis ex terra hiatibus est profectò quàmmaximus,

τῇ αὐτῇ οὔσῃ τοιαῦτα ἀνάλογον τὰ φυόμενα φύεσθαι δένδρα τε καὶ ἄνθη καὶ τοὺς καρπούς· καὶ αὖ τὰ ὄρη ὡσαύτως καὶ τοὺς λίθους ἔχειν ἀνὰ τὸν αὐτὸν λόγον τήν τε λειότητα καὶ τὴν διαφάνειαν καὶ τὰ χρώματα καλλίω· ὧν καὶ τὰ ἐνθάδε λιθίδια εἶναι ταῦτα τὰ ἀγαπώμενα μόρια, σάρδιά τε, καὶ ἰάσπιδας, καὶ σμαράγδους, καὶ πάντα τὰ τοιαῦτα· ἐκεῖ δὲ οὐδὲν ὃ μὴ τοιοῦτον εἶναι, καὶ ἔτι τούτων καλλίω. τὸ δ' αἴτιον τούτου εἶναι, ὅτι ἐκεῖνοι οἱ λίθοι καθαροί εἰσι, καὶ οὐ κατεδηδεσμένοι οὔτε διεφθαρμένοι, ὥσπερ οἱ ἐνθάδε, ὑπὸ σηπεδόνος καὶ ἅλμης, ὑπὸ τῶν δεῦρο ξυνερρυηκότων, ἃ καὶ λίθοις καὶ γῇ καὶ τοῖς ἄλλοις ζώοις τε καὶ φυτοῖς αἴσχη τε καὶ νόσους παρέχει. τὴν δὲ γῆν αὐτὴν κακοσμεῖσθαι τούτοις τε ἅπασιν, καὶ ἔτι χρυσῷ τε καὶ ἀργύρῳ, καὶ τοῖς ἄλλοις αὖ τοῖς τοιούτοις. ἐκφανῆ γὰρ αὐτὰ πεφυκέναι ὄντα πολλὰ πλήθη καὶ μεγάλα, καὶ πολλαχοῦ τῆς γῆς· ὥστε αὐτὴν ἰδεῖν εἶναι θέαμα εὐδαιμόνων. ζῷα δ' ἐστ' αὐτοῖς εἶναι ἄλλα τε πολλά, καὶ ἀνθρώπους, τοὺς μὲν ἐν μεσογαίᾳ, τοὺς δὲ περὶ τὸν ἀέρα, ὥσπερ ἡμεῖς περὶ τὴν θάλασσαν· τοὺς δὲ ἐν νήσοις, ἃς περιρρεῖν πρὸς τὸν ἀέρα, πρὸς τῇ ἠπείρῳ οὔσας. καὶ ἑνὶ λόγῳ, ὅπερ ἡμῖν τὸ ὕδωρ καὶ ἡ θάλαττά ἐστι πρὸς τὴν ἡμετέραν χρείαν, τοῦτο ἐκεῖ τὸν ἀέρα· ὃ δὲ ἡμῖν ἀήρ, ἐκείνοις τὸν αἰθέρα. τὰς δὲ ὥρας αὐτὰς κρᾶσιν ἔχειν τοιαύτην, ὥσπερ ἐκείνους ἀνόσους εἶναι, χρόνον τε ζῆν πολὺ πλείω τῶν ἐνθάδε· καὶ ὄψει καὶ ἀκοῇ καὶ φρονήσει, καὶ πᾶσιν τοῖς τοιούτοις ἡμῶν ἀφεστάναι τῇ αὐτῇ ἀποστάσει ᾗπερ ἀὴρ τε ὕδατος ἀφέστηκε, καὶ αἰθὴρ ἀέρος, πρὸς καθαρότητα. καὶ δὴ καὶ θεῶν ἄλση τε καὶ ἱερὰ αὐτοῖς εἶναι, ἐν οἷς τῷ ὄντι οἰκητὰς θεοὺς εἶναι, καὶ φήμας, καὶ μαντείας, καὶ αἰσθήσεις τῶν θεῶν, καὶ τοιαύτας συνουσίας γίγνεσθαι αὐτοῖς πρὸς αὐτούς· καὶ τόν γε ἥλιον καὶ σελήνην καὶ ἄστρα ὁρᾶσθαι ὑπ' αὐτῶν, οἷα τυγχάνει ὄντα· καὶ τὴν ἄλλην εὐδαιμονίαν τούτων ἀκόλουθον εἶναι. καὶ ὅλην μὲν δὴ τὴν γῆν οὕτω πεφυκέναι, καὶ τὰ περὶ τὴν γῆν. τόπους δὲ ἐν αὐτῇ εἶναι καὶ τὰ ἔγκοιλα αὐτῆς κύκλῳ περὶ ὅλην πολλούς, τοὺς μὲν βαθυτέρους, καὶ ἀναπεπτασμένους μᾶλλον, ἢ ἐν ᾧ ἡμεῖς οἰκοῦμεν, τοὺς δὲ βαθυτέρους ὄντας τὸ χάσμα αὐτοὺς ἔλαττον ἔχειν τοῦ παρ' ἡμῖν τόπου· ἔστι δὲ οὓς καὶ βραχυτέρους τῷ βάθει τοῦ ἐνθάδε εἶναι, καὶ πλατυτέρους. τούτους καὶ πάντας ὑπὸ γῆν εἰς ἀλλήλους συντετρῆσθαί τε πολλαχῇ, καὶ τὰ στενότερα, καὶ εὐρύτερα, καὶ διεξόδους ἔχειν, ᾗ πολὺ μὲν ὕδωρ ῥεῖν ἐξ ἀλλήλων εἰς ἀλλήλους, ὥσπερ εἰς κρατῆρας· καὶ ἀενάων ποταμῶν ἀμήχανα μεγέθη ὑπὸ τὴν γῆν, καὶ θερμῶν ὑδάτων καὶ ψυχρῶν, πολὺ δὲ πυρὸς μεγάλους ποταμούς· πολλὰ δὲ ὑγροῦ πηλοῦ, καὶ καθαρωτέρου, καὶ βορβορωδεστέρου, ὥσπερ ἐν Σικελίᾳ οἱ πρὸ τοῦ ῥύακος πηλοῦ ῥέοντες ποταμοί, καὶ αὐτὸς ὁ ῥύαξ, ὧν δὴ καὶ ἑκάστους τοὺς τόπους πληροῦσθαι, ὡς ἂν ἑκάστοις τύχῃ ἑκάστοτε περιρροὴ γιγνομένη. ταῦτα δὲ πάντα κινεῖν ἄνω καὶ κάτω, ὥσπερ αἰώραν τινὰ ἐνοῦσαν ἐν τῇ γῇ. ἔστι δὲ αὕτη ἡ αἰώρα διὰ φύσιν τοιάνδε τινά. ἕν τι τῶν χασμάτων τῆς γῆς ἄλλως τε μέγιστον τυγχάνει ὄν, καὶ διαμπε-

ρὲς τετρημένον δι' ὅλης τῆς γῆς· τοῦτο ὅπερ ὅμηρος εἶπεν λέγων αὐτό,

Τῆλε μάλ', ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον.

ὃ καὶ ἄλλοθι καὶ ἐκεῖνος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν τάρταρον κεκλήκασιν. εἰς γὰρ τοῦτο τὸ χάσμα συρρέουσί τε πάντες οἱ ποταμοί, καὶ ἐκ τούτου πάλιν ἐκρέουσι, γίγνονται δ' ἕκαστοι τοιοῦτοι δι' οἵας ἂν καὶ τῆς γῆς ῥέωσι. ἡ δὲ αἰτία ἐστὶ τοῦ ἐκρεῖν τε καὶ ἐντεῦθεν, καὶ εἰσρεῖν, πάντα τὰ ῥεύματα, ὅτι πυθμένα οὐκ ἔχει οὐδὲ βάσιν τὸ ὑγρὸν τοῦτο, αἰωρεῖται δὲ καὶ κυμαίνει ἄνω καὶ κάτω. καὶ τὸ πνεῦμα τὸ περὶ αὐτὸν ταυτὸν ποιεῖ. ἕπεται δὲ καὶ ὥσπερ ἐπὶ τῶν ἀναπνεόντων ἀεὶ ἐκπνεῖται καὶ ἀναπνεῖ. τὸ πνεῦμα ῥοθιώδεις τινὰς ἀνέμους καὶ ἀμηχάνους παρέχεται, καὶ εἰσιὸν καὶ ἐξιόν. ὅταν τε οὖν ὑποχωρήσῃ τὸ ὕδωρ εἰς τὸν τόπον τὸ δὴ κάτω καλούμενον τοῖς κατ' ἐκεῖνα τὰ ῥεύματα τῆς γῆς εἰσρεῖ, καὶ πληροῖ αὐτά, ὥσπερ ἐπαντλοῦντες· ὅταν τε αὖ ἐκεῖθεν ἀπολίπῃ, δεῦρο δὴ ὁρμήσῃ, τὰ ἐνθάδε πληροῖ αὖθις· τὰ δὲ πληρωθέντα, ῥεῖ διὰ τῶν ὀχετῶν, καὶ διὰ τῆς γῆς· καὶ εἰς τοὺς τόπους ἕκαστα ἀφικνούμενα εἰς οὓς ἕκαστα ὁδοποιεῖται, θαλάττας τε καὶ λίμνας, καὶ ποταμούς, καὶ κρήνας ποιεῖ. ἐντεῦθεν δὲ πάντες κατὰ τῆς γῆς, τὰ μὲν μακροτέρους τόπους περιελθόντα καὶ πλείους, τὰ δὲ ἐλάττους καὶ βραχυτέρους, πάλιν εἰς τὸν τάρταρον ἐμβάλλει· τὰ μὲν πολὺ κατωτέρω ἢ ἐπηντλεῖτο, τὰ δὲ ὀλίγον, πάντα δὲ ὑποκάτω εἰσρεῖ τῆς ἐκροῆς· καὶ ἔνια μὲν καταντικρὺ ἢ ἐξέπεσεν, ἔνια δὲ κατὰ τὸ αὐτὸ μέρος· ἔστι δὲ ἅπαντα πᾶσιν κύκλῳ περιελθόντα ἢ ἅπαξ καὶ πλείονα, καὶ περιελιχθέντα περὶ τὴν γῆν ὥσπερ οἱ ὄφεις, εἰς τὸ δυνατὸν κάτω καθέντα πάλιν ἐμβάλλει. δυνατὸν δ' ἐστὶν ἑκατέρωσε μέχρι τοῦ μέσου καθιέναι, πέρα δ' οὔ. ἄναντες γὰρ ἀμφοτέροις τοῖς ῥεύμασι τὸ ἑκατέρωθεν γίγνεται μέρος. τὰ μὲν δὴ ἄλλα, πολλά τε καὶ μεγάλα, καὶ παντοδαπὰ ῥεύματα ἐστί· τυγχάνει δὲ ἄρα ὄντα ἐν τούτοις τοῖς πολλοῖς τέτταρα ῥεύματα, ὧν τὸ μὲν μέγιστον καὶ ἐξωτάτω, ῥέοντα περικύκλῳ, ὁ καλούμενος ὠκεανὸς ἐστί. τούτου δὲ καταντικρὺ καὶ ἐναντίως ῥέων, ἀχέρων· ὃς δι' ἐρήμων τε τόπων ῥεῖ ἄλλων, καὶ δὴ καὶ ὑπὸ γῆν ῥέων εἰς τὴν λίμνην ἀφικνεῖται τὴν ἀχερουσιάδα· οὗ αἱ τῶν τετελευτηκότων ψυχαὶ τῶν πολλῶν ἀφικνοῦνται, καί τινας εἱμαρμένας μείνασαι, αἱ μὲν μακροτέρους, πάλιν ἐκπέμπονται εἰς τὰς τῶν ζώων γενέσεις. τρίτος δὲ ποταμὸς τούτων κατὰ μέσον ἐκβάλλει, καὶ ἐγγὺς τῆς ἐκβολῆς ἐκπίπτει εἰς τόπον μέγαν πυρὶ πολλῷ καιόμενον, καὶ λίμνην ποιεῖ μείζω τῆς παρ' ἡμῖν θαλάττης, ζέουσαν ὕδατος καὶ πηλοῦ. ἐντεῦθεν χωρεῖ κύκλῳ θολερὸς καὶ πηλώδης· περιελιττόμενος δὲ τῇ γῇ, ἄλλοσέ τε ἀφικνεῖται, καὶ παρ' ἔσχατα τῆς ἀχερουσίας λίμνης, οὐ συμμιγνύμενος τῷ ὕδατι, περιελιχθεὶς δὲ πολλάκις ὑπὸ γῆς ἐμβάλλει κατωτέρω τοῦ ταρτάρου. οὗτος δ' ἐστὶν ὃν ἐπονομάζουσι πυριφλεγέθοντα, οὗ καὶ οἱ ῥύακες ἀποσπάσματα ἀναφυσῶσι τῆς γῆς. τούτου δ' αὖ καταντικρὺ ὁ τέταρτος ἐκπίπτει εἰς τόπον πρῶ-

pérq. vniuersam terram traiectus & patens. de quo Homerus,

Longè nimis barathrum stat sub tellure profundũ. Il. θ.

quod & ipse alibi, & multi poetarum Tartarũ appellarunt. In hoc vtique receptaculum omnia confluunt flumina, atq. inde rursus effluunt. Talia verò sunt singula, per quales labuntur terras. Quòd autem hinc effluant omnia rursusq́ refluãt, hæc est causa, quòd hic humor nec fundamentum habet nec firmamentum. itaq. eleuatur, & sursum deorsumq́ redundat. Idémque facit aër & spiritus qui circa ipsum versatur. sequitur enim ipsum, & quando ad superiora terræ, & quando ad hæc nostra perlabitur. Et quemadmodum in respirantibus flatus continuè expirat atque respirat, sic & ibi spiritus vnà cum humore elatus vehemẽtes quosdam ventos & incredibiles cõmouet, siue influat siue effluat. Quapropter cùm aqua in locum inferiorẽ delabitur, per meatus terræ iuxta eiusmodi riuos influit, passimq́ per eos exundat, & implet velut hi qui hauriunt. Cùm verò illinc huc erumpit, hæc quoque iterum loca complet. plena verò cùm sint, per riuos terræq́ meatus exuberat. Et cùm humores singuli illuc profluxerint, quò quisque profluit oportuniùs, maria, lacus, flumina, fontes efficiunt. Proinde rursus hinc relabentes per terram, partim quidem per longiores plurésque anfractus, partim verò per pauciores atq. breuiores rursus in Tartarum confluunt: alij certè multo profundiùs quàm hausti fuerint, alij verò paulo, omnes autem inferius influunt quàm effluxerint: & alij per contrariam partem elabuntur quàm elapsi fuerint, alij verò per partem eandem. At quidam passim circumfluentes aut semel aut sæpius, spirásque circa orbem terrarum instar anguium replicantes, quantum fieri potest infrà relapsi iterum commiscentur. Licet autem vtrinque ad medium vsque defluere, vltrà verò nequaquam. Vlterior enim prolapsus vtrinq. foret ascensus. Proinde sunt & alia multa & magna variáq fluenta, sed præcipua quatuor. Quorum quidem maximum atque extimum, terram circumdans, Oceanus appellatur. E contraria verò huius regione fluit Acheron: qui per deserta alia fluens loca, atq. per subterranea in paludem defluit Acherusiam. quò plerique defunctorum deueniũt animi, ibiq. per fatalia quædam temporum curricula commorati, partim quidẽ longiora, partim vero breuiora, rursus in generationes animaliũ relabuntur. Tertius verò fluuius horum medius duorũ interfluit. nec admodum longè progressus in locum cadit vastũ, multo igne flagrantẽ, efficitq. paludem nostro mari maiorẽ, aqua lutóq. feruentem. Hinc vero turbidus lutulentúsq. circumfluit, terráq. circumdata, & alibi, & ad extrema paludis Acherusiæ peruenit, nec tamen illius aquæ miscetur, sed sub terra sæpius reuolutus absorptúsq. defluit infra Tartarum. Hunc fluuium Pyriphlegethontem nominant, cuius riui quidam inde velut euulsi quacunque terrarũ contigerit manant. E contraria vero huius regione fluuius quartus primùm

in locum erumpit ferum & asperum, vt ferunt. colorem verò locus talem habet totus, qualis est cyaneus: quem Stygium nominant. Hic autem fluuius prolapsus paludem efficit Stygem. In hunc verò incidens locum, virésq. vehementes in aqua assumẽs, sub terram se condit, circumuolutúsque aduersus Pyriphlegethontem labitur, & in Acherusia palude è contraria parte illi fit obuiã. Nec vlli huius aqua miscetur, sed reuolutus in gyrum contra Pyriphlegethontem irrumpit in Tartarum. Poëta verò hũc appellant Cocytum. Cùm verò hæc ita natura disposita sint, quando in eum locum defuncti peruenerint, quò dæmon vnumquemque perducit, primò illic iudicantur, & qui honestè sanctéq., & qui aliter vixerint. Itaque quicunque in vita quodam modo tenuisse medium quoddam comperiuntur, ad Acherontem profecti vehiculis quæ vnicuique adsunt, in paludem perueniunt Acherusiam, ibiq. habitant purgantúrque, pœnas dantes iniuriarum: & cùm purificati sunt, absoluũtur, rursúsque pro merito singuli benefactorum præmia reportant. Qui verò ob scelerum magnitudinem insanabiles esse videntur, qui videlicet sacrilegia multa & magna, vel cædes iniquas, vel alia horum similia perpetrauerint, hos omnes conueniens sors mergit in Tartarum, vnde nunquam egrediuntur. Qui autem sanabilia quidem peccata, sed ingentia commiserunt, veluti si qui contra patrem vel matrem irati per vim aliquid fecerint, sed pœnitẽtia ducti eos in cætera vita coluerint, vel qui simili quodã pacto fuerint homicidæ, eos in Tartarum quidẽ necesse est cadere, sed ibi per annum commorati à fluctu eiiciuntur, homicidæ quidẽ per Cocytum, parentum verò violatores per Pyriphlegethontem. Postquam verò ab his delati fluminibus ad paludem Acherusiam peruenerunt, clamãt illic vocitántq. eos quos vel necauerunt vel iniuriis affecerunt, suppliciterq. rogant atq. deprecantur, vt eos permittant progredi per paludem, ibiq. absolui. ac si impetrauerint, penetrant illuc, finémq. malorũ accipiunt: sin minùs queant persuadere, referuntur in Tartarum, atq. inde rursus in flumina, neque per hæc mala deferri priùs cessant, quàm ab his, quos affecerunt iniuriis, impetrauerint. Hæc enim pœna illis à iudicibus est imposita. Qui autem piè præ cæteris vixisse inueniuntur, hi sunt qui ex his terrenis locis tanquam è carcere soluti atq. liberati, ad altiora transcendunt, purámq. supra terram habitant regionem. Inter hos autem quicunq. satis per philosophiam purgati sunt, absque corporibus omninò totum per tempus viuant, habitationésq. his etiam pulcriores nanciscuntur. quarum pulcritudo neque facilis dictu est, neque præsens tempus ad dicendum sufficeret. Sed horum quæ narrata sunt gratia, ô Simmia, omni studio est adnitendum, vt in hac vita virtutem, & prudentiam sapientiámq. nanciscamur. Præmium namque pulcrum est, & spes est ingens. Hæc igitur eo se pacto prorsus habere, quo ego disposui, non decet virum sanæ mentis asserere: esse tamen vel hæc vel talia quædam circa animos

τὸν δεινόν τε καὶ ἄγριον, ὡς λέγεται, χρῶμα ἔχοντα ὅλον, οἷον ὁ κυάνεος· ὃν δὴ ἐπονομάζουσι στύγιον. καὶ τὴν λίμνην ποιεῖ ὁ ποταμὸς ἐμβαλὼν στύγα. ὁ δ' ἐμπεσὼν ἐνταῦθα, καὶ δεινὰς δυνάμεις λαβὼν ἐν τῷ ὕδατι, δὺς κατὰ τῆς γῆς, περιελιττόμενος χωρεῖ ἐναντίως τῷ πυριφλεγέθοντι, καὶ ἀπαντᾷ ἐν τῇ ἀχερουσιάδι λίμνῃ ἐξ ἐναντίας, καὶ οὐδὲ τὸ τούτου ὕδωρ οὐδενὶ μίγνυται, ἀλλὰ καὶ οὗτος κύκλῳ περιελθὼν, ἐμβάλλει εἰς τὸν τάρταρον, ἐναντίως τῷ πυριφλεγέθοντι. ὄνομα δὲ τούτῳ ἐστὶν, ὡς οἱ ποιηταὶ λέγουσι, κωκυτός. τούτων δὲ οὕτω πεφυκότων, ἐπειδὰν ἀφίκωνται οἱ τετελευτηκότες εἰς τὸν τόπον οἷ ὁ δαίμων ἕκαστον κομίζει, πρῶτον μὲν διεδικάσαντο οἵ τε καλῶς καὶ ὁσίως βιώσαντες, καὶ οἱ μή. καὶ οἳ μὲν ἂν δόξωσι μέσως βεβιωκέναι, πορευθέντες ἐπὶ τὸν ἀχέροντα, ἀναβάντες ἃ δὴ αὐτοῖς ὀχήματά ἐστιν, ἐπὶ τούτων ἀφικνοῦνται εἰς τὴν λίμνην, καὶ ἐκεῖ οἰκοῦσί τε, καὶ καθαιρόμενοι, τῶν τε ἀδικημάτων διδόντες δίκας, ἀπολύονται, εἴ τις τι ἠδίκησε, τῶν τε εὐεργεσιῶν τιμὰς φέρονται κατὰ τὴν ἀξίαν ἕκαστος· οἳ δ' ἂν δόξωσιν ἀνιάτως ἔχειν, διὰ τὰ μεγέθη τῶν ἁμαρτημάτων, ἢ ἱεροσυλίας πολλὰς καὶ μεγάλας, καὶ φόνους ἀδίκους καὶ παρανόμους πολλοὺς ἐξεργαζόμενοι, καὶ ἄλλ' ὅσα τοιαῦτα τυγχάνει ὄντα, τούτους δὲ ἡ προσήκουσα μοῖρα ῥίπτει εἰς τὸν τάρταρον, ὅθεν οὔποτε ἐκβαίνουσιν· οἳ δ' ἂν ἰάσιμα μὲν, μεγάλα δὲ δόξωσιν ἡμαρτηκέναι ἁμαρτήματα, οἷον πρὸς πατέρα ἢ μητέρα ὑπὸ ὀργῆς βίαιόν τι πράξαντες, καὶ μεταμέλον αὐτοῖς τὸν ἄλλον βίον βιῶσι, ἢ ἀνδροφόνοι τοιούτῳ τινὶ ἄλλῳ τρόπῳ γένωνται, τούτους δὲ ἐμπεσεῖν μὲν εἰς τὸν τάρταρον ἀνάγκη, ἐμπεσόντας δὲ αὐτοὺς, καὶ ἐνιαυτὸν ἐκεῖ γενομένους, ἐκβάλλει τὸ κῦμα, τοὺς μὲν ἀνδροφόνους, κατὰ τὸν κωκυτὸν, τοὺς δὲ πατραλοίας ἢ μητραλοίας κατὰ τὸν πυριφλεγέθοντα. ἐπειδὰν δὲ φερόμενοι γένωνται κατὰ τὴν λίμνην τὴν ἀχερουσιάδα, ἐνταῦθα βοῶσί τε καὶ καλοῦσι, οἳ μὲν οὓς ἀπέκτειναν, οἳ δὲ οὓς ὕβρισαν, καλέσαντες, ἱκετεύουσι καὶ δέονται ἐᾶσαι σφᾶς ἐκβῆναι εἰς τὴν λίμνην, καὶ δέξασθαι· καὶ ἐὰν μὲν πείσωσιν, ἀποβαίνουσι, καὶ λήγουσι τῶν κακῶν· εἰ δὲ μὴ, φέρονται αὖθις εἰς τὸν τάρταρον, καὶ ἐκεῖθεν πάλιν· ἂν πείσωσιν οὓς ἠδίκησαν. αὕτη γὰρ ἡ δίκη ὑπὸ τῶν δικαστῶν αὐτοῖς ἐτάχθη. οἳ δὲ ἂν δόξωσι διαφερόντως πρὸς τὸ ὁσίως βιῶναι, οὗτοί εἰσιν οἱ τῶνδε μὲν τῶν τόπων ἐν τῇ γῇ ἐλευθερούμενοί τε καὶ ἀπαλλαττόμενοι, ὥσπερ δὲ σωτηρίαν, ἄνω δὲ εἰς τὴν καθαρὰν οἴκησιν ἀφικνούμενοι, καὶ ἐπὶ τῆς γῆς οἰκιζόμενοι. τούτων δὲ αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι, ἄνευ τε σωμάτων ζῶσι τὸ παράπαν εἰς τὸν ἔπειτα χρόνον, καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται, ἃς οὔτε ῥᾴδιον δηλῶσαι, οὔτε ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόντι. ἀλλὰ τούτων μὲν χρὴ ἕνεκα ὧν διεληλύθαμεν, ὦ σιμμία, πᾶν ποιεῖν, ὥστε ἀρετῆς καὶ φρονήσεως ἐν τῷ βίῳ μετέχειν. καλὸν γὰρ τὸ ἆθλον, καὶ ἡ ἐλπὶς μεγάλη. τὸ μὲν οὖν ταῦτα διισχυρίσασθαι οὕτως ἔχειν ὡς ἐγὼ διελήλυθα, οὐ πρέπει νοῦν ἔχοντι ἀνδρί· ὅτι μέντοι ἢ ταῦτά ἐστιν, ἢ τοιαῦτα, τὰ περὶ

τὰς

τὰς ψυχὰς ἡμῶν, καὶ τὰς οἰκήσεις, ἐπείπερ ἀθάνατος ἡ ψυχὴ φαίνεται οὖσα, τοῦτο καὶ πρέπειν μοι δοκεῖ, καὶ ἄξιον κινδυνεῦσαι οἰομένῳ οὕτως ἔχειν. καλὸς γὰρ ὁ κίνδυνος, καὶ χρὴ τὰ τοιαῦτα ὥσπερ ἐπᾴδειν ἑαυτῷ.

Πορφυρίου.

Η δὲ τῆς ψυχῆς διαμονὴ καὶ ἀϊδιότης, ἐν τοῖς μάλιστα τῶν πυθαγορικῶν δογμάτων γνώριμόν ἐστι πᾶσι καὶ περιβόητον. ὅν γε πρὸς τὸν εἰπόντα δόξαι κατὰ τοὺς ὕπνους ἰδεῖν τεθνηκότα τὸν πατέρα, φασὶ εἰπεῖν, οὐκ ἔδοξας, ἀλλ᾽ εἶδες· τὰ δὲ παραγγέλματα ἓν εἶναι, συνδεῖν ὁσημέραι τὸ στρῶμα τὸν δεσμὸν, ὡς ἀποδημίαν οὖσαν τὴν τελευτὴν, καὶ δεῖν ἀεὶ συνεσκευασμένους τὸν καιρὸν περιμένειν τῆς ἐκεῖ πορείας· τὸν δὲ ἀναιρεῖν ταῦτα δικαίως, πρὸς τὸ ἀποθνῆσκον τοῦτον τὸν λόγον ἔχειν ὃν ὁ γεννῶν ἔχει πρὸς τὸ γινόμενον. ἑκατέραν γὰρ εἶναι τῆς ψυχῆς μεταβολὴν, τὴν μὲν εἰς σῶμα γένεσιν, τὴν δὲ ἀπὸ σώματος θάνατον προσαγορευομένην. τὰ δὲ παρ᾽ Ὁμήρῳ περὶ τῆς Κίρκης λεγόμενα θαυμαστὴν ἔχει τὴν περὶ ψυχῆς θεωρίαν. λέγεται γὰρ οὕτως·

Οἱ δὲ συῶν μὲν ἔχον κεφαλὰς φωνήν τε τρίχας τε,
Καὶ δέμας· αὐτὰρ νοῦς ἦν ἔμπεδος, ὡς τὸ πάρος περ.

ἔστι τοίνυν ὁ μῦθος αἴνιγμα τῶν περὶ ψυχῆς ὑπό τε Πυθαγόρου λεγομένων καὶ Πλάτωνος, ὡς ἄφθαρτος οὖσα τὴν φύσιν καὶ ἀΐδιος, οὔ τι μὴν ἀπαθὴς οὐδὲ ἀμετάβλητος, ἐν ταῖς λεγομέναις φθοραῖς καὶ τελευταῖς μεταβολὴν ἴσχει καὶ μετακόσμησιν εἰς ἕτερα σωμάτων εἴδη, καθ᾽ ἡδονὴν διώκουσα τὸ πρόσφορον καὶ οἰκεῖον ὁμοιότητι καὶ συνηθείᾳ βίου διαίτης· ἔνθα δὴ τὸ μετὰ παιδείας ἑκάστῳ καὶ φιλοσοφίας ὄφελος, ἂν μνημονεύουσα τῶν καλῶν ἡ ψυχὴ, καὶ δυσχεραίνουσα τὰς αἰσχρὰς καὶ παρανόμους ἡδονὰς, δύνηται κρατεῖν καὶ προσέχειν αὐτῆς, καὶ φυλάττειν μὴ λάθῃ θηρίον γενομένη, καὶ στέρξασα σώματος οὐκ εὐφυοῦς, οὐδὲ καθαροῦ πρὸς ἀρετὴν, φύσιν ἄμουσον καὶ ἄλογον, καὶ τὸ ἐπιθυμοῦν ἢ θυμούμενον μᾶλλον ἢ τὸ φρόνιμον αὔξοντος καὶ τρέφοντος. αὐτῆς γὰρ τῆς μετακοσμήσεως εἱμαρμένη καὶ φύσις ὑπὸ Ἐμπεδοκλέους δαίμων ἀνηγόρευται,

Σαρκῶν ἀλλογνῶτι περιστέλλουσα χιτῶνι.

καὶ μεταμπίσχουσα τὰς ψυχάς. Ὅμηρος δὲ τὴν ἐν κύκλῳ περίοδον καὶ περιφορὰν παλιγγενεσίας, Κίρκην προσηγόρευκεν, Ἡλίου παῖδα, τοῦ πᾶσαν φθορὰν γενέσει, καὶ γένεσιν αὖ πάλιν φθορᾷ συνάπτοντος ἀεὶ καὶ συνείροντος. Αἰαίη δὲ νῆσος ἡ δεχομένη τὸν ἀποθνήσκοντα, μοῖρα καὶ χώρα τοῦ περιέχοντος, εἰς ἣν ἐμπεσοῦσαι πρῶτον αἱ ψυχαὶ, πλανῶνται, καὶ ξενοπαθοῦσι, καὶ ὀλοφύρονται, καὶ οὐκ ἴσασιν ὅπη ζόφος,

Οὐδ᾽ ὅπη ἠέλιος φαεσίμβροτος εἶσ᾽ ὑπὸ γαῖαν.

ποθοῦσαι δὲ καθ᾽ ἡδονὰς τὴν συνήθη καὶ σύντροφον ἐν σαρκὶ καὶ μετὰ σαρκὸς δίαιταν, ἐμπίπτουσι αὖθις εἰς τὸν κυκεῶνα τῆς γενέσεως. μιγνύσης εἰς τὸ αὐτὸ καὶ κυκώσης ὡς ἀληθῶς, ἀΐδια καὶ θνητὰ, καὶ φρόνιμα καὶ παθητὰ, καὶ ὀλύμπια καὶ ἀγγενῆ, θελγόμεναι καὶ μαλασσόμεναι ταῖς ἀγούσαις αὖθις ἐπὶ τὴν γένεσιν ἡδοναῖς· ἐν ᾧ δὴ μάλιστα πολλῆς εὐτυχίας αἱ ψυχαὶ δέονται, πολλῆς δὲ σωφροσύνης· ὅπως μὴ τοῖς κακίστοις ἐπισπόμεναι καὶ συνδοῦσαι μέρεσιν καὶ πάθεσιν αὐτῶν, κακοδαίμονα καὶ θηριώδη βίον ἀμείψωσιν. ἡ γὰρ λεγομένη καὶ νομιζομένη τῶν ἐν ᾅδου τρίοδος,

nostros, eorumque habitationes, quandoquidē animus ipse immortalis apparet, & decere mihi videtur, & dignum quasi periclitantes ista existimare. honestum enim periculum est, oportétque hæc quasi carmina quædam magorum ritu mentibus nostris infundere.

Porphyri.

Animæ autem æternitas inter Pythagoræ dogmata potissimum obtinet locum, quandoquidem illum cuidam, qui se in somnis patrem vita functum vidisse narrabat, respondisse ferunt, Re vera vidisti; intérque cætera præcepisse quotidie [n] *stragula colligari, tanquam sit mors peregrinatio, eaque semper sit paratus expectanda: quique iustè intersimat, ita cum intereunte compararit, ut patrem cū prole. utranque siquidem animæ esse mutationem, cum corpore quidem coniunctam ortum, ab eo autem seiunctam interitum dictam. Quæ autem ab Homero de Circe dicuntur, mirabilē continent animæ explicationem. sic enim ait,*

n στρωματόδεσμον pro στρῶμα τ̀ δεσμόν.

Ast illi vocémque suum, crinésque gerebant,
Et capita, & corpus: sed mens antiqua manebat.

Odyss. κ.

quæ fabula Pythagoræ ac Platonis de anima sententiam rectè indicat, eam videlicet immortali præditam natura, sed mutationibus obnoxia, per interitus ac mortes in alias corporum formas transferri, vitæ similitudinem studio voluptatis sectātem; eaque in re doctrinæ ac philosophiæ usum cerni, si honesti anima memor, ac turpes illicitasque voluptates exosa, imperare sibi possit, & cavere, ne in pecus mutetur, corpus brutum et impurum amplexa, quod ineptam & rationis [o] *expertem naturam, & cupiditates irásque potius, quàm rationem, alat ac nutriat. siquidem huius transmutationis ordo ac natura ab Empedocle dea prædicatur,*

o ἄλογον pro λογοῖ:

Externam carnis tunicam circumdare docta,
& animas induens. Homerus autem nascendi ambitum Circem nuncupavit, Solis filiam, qui omnem interitum cum ortu, & ortum rursus cū interitu semper connectit. Ææa verò insula, quæ cadaver suscipit, pars est continentis, in quam primùm animæ delapsæ vagantur, & lamentantur, nec sciunt

quà sint occasus & ortus,
Nec qua Sol terram lucis dux parte subintrat.

Odyss. κ.

Cùm porrò solitam in carne vitam voluptatū studia desiderent, rursum in ortus misturam [p] *incidunt, planè permiscentis æterna & mortalia, affectibus vacantia & obnoxia, cælestia ac* [q] *terrena, voluptatibus ad ortum redeuntibus illecta; cùm quidem maximam requirunt animæ felicitatem & prudentiam, ne pessima quæque secutæ, infelicem ac ferinam vitam adipiscantur. Etenim quod inferorum dicitur trivium, in his ferè*

p ἐμπίπτουσι pro ἐμπίπτουσι.
q γηγενῆ pro ἀγγενῆ.

animæ partibus cernitur, rationis & iræ & cupiditatis compotibus, quarum vnaquæque vitæ sibi conuenientis principiũ continet. neque hæc iam pro fabulis poëticis, sed naturæ veritate sunt habenda. Quorum enim in transmutatione cupiditas principatum obtinuerit, hos in ᵗ *asinina corpora, vitámque impuram præ gula & libidine transferri censet. Cùm autem grauibus contentionibus & odiosis crudelitatibus prorsus efferata secũdum ortum petierit anima, in lupi vel leonis naturam se recentis acerbitatis plena, confert, corpus tale velut instrumentũ affectui dominanti asciscens. Quapropter vnumquemque* ˢ *decet in morte potissimùm, velut in initiis, omni prauo affectu vacare, omniq́; cupiditate sedata, & inuidia iraq́; remota, de corpore decedere. Atque hic verus est Mercurius, ratio videlicet honesti magistra, quæ à mistura longissimè arcet animam, vel, si eam* ᵗ *hauserit, in humana vita diutissimè, quatenus licet, conseruat.*

ᵗ εἰς ὀνώδη pro ἴσων ὠθῆ.

ˢ δεῖ pro δή.

ᵗ μένων pro μιῦων.

Rursum animis piorum secretum esse post mortem circa Lunam locũ, his versibus subindicauit,

Te sed in Elysios campos, extremaq́; terræ
Dij superi mittent, vbi flauus agit Radamanthus.

Elysium quidem campum rectè appellans Lunæ faciem à Sole collustratam, quando Solis splendore adolescit, vt inquit Timotheus; terræ autem extrema noctis terminis, quam ponunt vmbram terræ Mathematici, sæpe ad Lunam se extẽdentem, quasi hoc terræ sit extremũ, vltra quod vmbra non transeat.

Plat. Tim.

Necesse erat sensum existere vnum communémque omnium, vehementiore motu excitatum coniunctúmque naturæ. deinde voluptate & molestia mistum amorem, post iram & metum, & reliquos animi motus, comites superiorum, & hos etiam contrarios dissidentes: quos qui ratione rexerit, iustè vixerit; qui autem his se dederit, iniustè. Atque ille qui rectè & honestè curriculum viuendi à natura datum confecerit, ad illud astrum, quocum aptus fuerit, reuertetur: qui autem immoderatè & intemperatè vixerit, eum secundus ortus in figuram muliebrem transferet: neque malorum terminum priùs aspiciet, quàm illã sequi cœperit conuersionem, quam habebat in se ipse eiusdem & vnius simul innatam & insitam; quod tum eueniet, cùm illa quæ ex igne, aere, aqua atque terra turbulenta & rationis expertia insederint, denique ratione depulerit, & ad primam atque optimam affectionem animi peruenerit.

Platon, Gorg.

Audi igitur, vt aiunt, pulcerrimum sermonem, quem te arbitror fabulam putaturum: ego verò non fabulam, sed sermonem. Nam tanquam vera quæ dicturus sum, tibi narrabo. Profectò quemadmodum ait Homerus, Iupiter, Neptunus, & Pluto, regnum quod acceperunt à patre, inter

ἐνταῦθά που τέτακται περὶ τὰ τῆς ψυχῆς σχιζόμενα μέρη, τὸ λογιστικὸν καὶ θυμοειδὲς καὶ ἐπιθυμητικόν· ὧν ἕκαστον ἀρχὴν ἐξ αὑτοῦ καὶ ῥοπὴν ἐπὶ τὸν οἰκεῖον βίον ἐνδίδωσι. καὶ οὐκ ἔτι ταῦτα μῦθος, οὐδὲ ποίησις, ἀλλὰ ἀλήθεια καὶ φυσικός τις λόγος. ὧν μὲν γὰρ ἐν τῇ μεταβολῇ καὶ γενέσει τὸ ἐπιθυμητικὸν ἐξανθοῦν ἐπικρατεῖ καὶ δυναστεύει· τούτοις ἴσων ὠθῆ καὶ σώματα, καὶ βίους θολεροὺς καὶ ἀκαθάρτους, ὑπὸ φιληδονίας καὶ γαστριμαργίας, φησὶ γίνεσθαι τὴν μεταβολήν. ὅταν δὲ φιλονεικίαις σκληραῖς καὶ φονικαῖς ὠμότησιν ἔκ τινος διαφορᾶς ἢ δυσμενείας ἐξηγριωμένον ἔχουσα παντάπασιν ἡ ψυχὴ τὸ θυμοειδὲς, εἰς δευτέραν γένεσιν ἀφίκηται, πλήρης οὖσα προσφάτου πικρίας καὶ βαρυφρότης, ἔρριψεν ἑαυτὴν εἰς λύκου φύσιν ἢ λέοντος· ὥσπερ ὄργανον ἀμυντικὸν τὸ σῶμα τῷ κρατοῦντι προϊεμένη πάθει, καὶ περιαρμόσασα. διὸ δὴ μάλιστα περὶ τὸν θάνατον, ὥσπερ ἐν τελετῇ, καθαρεύοντα, παντὸς ἀπέχειν πάθους φαύλου τὴν ψυχὴν, καὶ πᾶσαν ἐπιθυμίαν χαλεπὴν κοιμήσαντα, καὶ φθόνους καὶ δυσμενείας καὶ ὀργὰς ἀπωτάτω τιθέμενον, τῶν φρενῶν ἐκβαίνειν τοῦ σώματος. οὗτος ὁ χρυσόρραπις Ἑρμῆς ἀληθῶς ὁ λόγος ἐντυγχάνων, καὶ δεικνύων ἐναργῶς τὸ καλὸν, καὶ παντάπασιν εἴργει καὶ ἀνέχει τοῦ κυκεῶνος, ἢ ποιοῦσαν ἐν ἀνθρωπίνῳ βίῳ καὶ ἤθει διαφυλάσσει τὸν πλεῖστον χρόνον, ὡς ἀνυστόν ἐστι.

Πάλιν αἰνιττόμενος ὅτι τῶν εὐσεβῶν βεβιωκότων ψυχαῖς μετὰ τὴν τελευτὴν οἰκεῖός ἐστι τόπος ὁ περὶ τὴν σελήνην, ὑπεδήλωσεν εἰπών, ᵗ αἰθ.

Ἀλλά σε ἠλύσιον πεδίον καὶ πείρατα γαίης
Ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς.

ἠλύσιον πεδίον εἰκότως προσεῖπων τὴν τῆς σελήνης ἐπιφάνειαν, ὑπὸ ἡλίου καταλαμπομένην, ὅτ' αὔξεται ἡλίου αὐγαῖς, ὥς φησι Τιμόθεος. πείρατα δὲ γῆς, τὰ ἄκρα τῆς νυκτὸς, ἣν σκιὰν τῆς γῆς εἶναι λέγουσιν οἱ μαθηματικοὶ, πολλάκις ἐπιψαύουσαν τῆς σελήνης, ὡς τοῦτο τῆς γῆς πέρας ἐχούσης, οὗ τῇ σκιᾷ μακρότερον οὐκ ἐξικνεῖται.

πλάτ. ἐν τῷ Τιμαίῳ.

Πρῶτον μὲν οὖν αἴσθησιν ἀναγκαῖον εἰς μίαν πᾶσιν ἐκ βιαίων παθημάτων σύμφυτον γίγνεσθαι· δεύτερον δὲ, ἡδονῇ λύπῃ μεμιγμένον ἔρωτα· πρὸς δὲ τούτοις, φόβον τε καὶ θυμὸν, ὅσα τε ἑπόμενα αὐτοῖς, καὶ ὁπόσα ἐναντίως πέφυκε διεστηκότα. ὧν εἰ μὲν κρατήσοιεν, ἐν δίκῃ βιώσοιντο. κρατηθέντες δὲ ἀδικίᾳ. καὶ ὁ μὲν εὖ τὸν προσήκοντα χρόνον βιοὺς, πάλιν εἰς τὴν τοῦ ξυννόμου πορευθεὶς οἴκησιν ἄστρου, βίον εὐδαίμονα ἕξοι· σφαλεὶς δὲ τούτων, εἰς γυναικὸς φύσιν ἐν τῇ δευτέρᾳ γενέσει μεταβάλλοι· μὴ παυόμενος τὸ ἐν τούτοις ἔτι κακίας τρόπον, ὃν κακύνοιτο, κατὰ τὴν ὁμοιότητα τῆς τοῦ τρόπου γενέσεως, εἴς τινα τοιαύτην ἀεὶ μεταβάλλοι θήρειον φύσιν. ἀλλάττων τε καὶ οὐ πρότερον πόνων λήξοι, πρὶν τῇ ταὐτοῦ καὶ ὁμοίου περιόδῳ τῇ ἐν αὐτῷ ξυνεπισπώμενος τὸν πολὺν ὄχλον, καὶ ὕστερον προσφύντα ἐκ πυρὸς καὶ ὕδατος καὶ ἀέρος καὶ γῆς θορυβώδη καὶ ἄλογον ὄντα λόγῳ κρατήσας, εἰς τὸ τῆς πρώτης καὶ ἀρίστης ἀφίκοιτο εἶδος ἕξεως.

πλάτων ἐν τῷ Γοργίᾳ.

Ἄκουε δὴ, φησὶ, μάλα καλοῦ λόγου, ὃν σὺ μὲν ἡγήσῃ μῦθον ὡς ἐγῷμαι, ἐγὼ δὲ λόγον. ὡς ἀληθῆ γὰρ ὄντα σοι λέξω, ἃ μέλλω λέγειν. ὥσπερ γὰρ Ὅμηρος λέγει, διενείμαντο τὴν ἀρχὴν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων,

ἐπειδὴ

ἐπειδὴ παρὰ τοῦ πατρὸς ἔλαβον. ἦν οὖν νόμος ὅδε περὶ ἀνθρώπων ἐπὶ κρόνου, καὶ ἀεὶ καὶ νῦν ἔτι ἔστιν ἐν θεοῖς, τῶν ἀνθρώπων.

ἄς τὸ τέλ. τοῦ δὲ ἐκ τῆς εὐρώπης, αἰακός. μίνῳ δὲ πρεσβεῖα δώσω ἐπιδιακρίνειν, ἐὰν ἀπορῆτόν τι τὼ ἑτέρω, ἵνα ὡς δικαιοτάτη ἡ κρίσις περὶ τῆς πορείας τῆς ἀνθρωπίνης.

se diuiserunt. Extabat autem lex de hominibus sub Saturno, & semper, & nūc etiam extat apud deos: vt quicunque homines &c. eos verò qui ab Europa venient, Aeacus iudicabit. Minoi autem id munus iniungam, vt ipse diiudicet si quid aliis ambiguum fuerit; vt iustissimè, rectéq. de transmissione animarum iudicetur.

πλάτωνος πολιτ. ι. Ἀλλ' οὐ μέντοι σοι ἦν δ' ἐγὼ ἀλκίνου γε ἀπόλογον ἐρῶ, ἀλλ' ἀλκίμου μὲν ἀνδρὸς, ἠρὸς τοῦ ἀρμενίου, τὸ γένος παμφύλου· ὅς ποτε ἐν πολέμῳ τελευτήσας, ἀναιρεθέντων δεκαταίων νεκρῶν ἤδη διεφθαρμένων, ὑγιὴς μὲν ἀνηρέθη· κομισθεὶς δ' οἴκαδε μέλλων θάπτεσθαι, δωδεκαταῖος ἐπὶ τῇ πυρᾷ κείμενος ἀνεβίω.

ἄς τὸ τέλ. εὐθὺς οἷον κίονα μάλιστα τῇ ἴριδι προσφερῆ, λαμπρότερον δὲ καὶ καθαρώτερον· εἰς ὃ ἀφικέσθαι προελθόντας ἡμερησίαν ὁδὸν, καὶ ἰδεῖν αὐτόθι κατὰ μέσον τὸ φῶς ἐκ τοῦ οὐρανοῦ τῶν δεσμῶν τεταμένα.

Equidem tibi non Alcini apologum, sed præstantissimi viri, Eri Armenij, genere Pamphylij, referabo. Qui cùm occubuisset in prælio, sublatis decimo die cadaueribus cæteris iam corruptis, integer quidem incorrupto corpore repertus fuit: domúmq. delatus vt sepeliretur, duodecima iam ab obitu die, dū pyræ impositus esset, reuixit: &c. tanquam columna erectum Iridi simillimum, clarius tamen ac purius. In id vnius diei itinere venisse, vidisséq. ibi media in lumine extrema cælestium ligaminum à cœlo tensa.

Πλωτῖνος δὲ, καὶ οἱ πλεῖστοι τῶν πλατωνικῶν, ἀπόθεσιν τῶν παθῶν καὶ τῶν μορφωτικῶν διαγνώσεων, δόξης τε πάσης ὑπεροψίαν τε, καὶ τῶν ἐνύλων διανοήσεων ἀπόστασιν, πλήρωσίν τε ἀπὸ νοῦ καὶ τοῦ ὄντος, ἀφομοίωσίν τε τοῦ κατανοουμένου πρὸς τὸ κατανοοῦν, τὴν τελεωτάτην κάθαρσιν ὑπολαμβάνουσιν. ἔνιοι δὲ καὶ τούτων πολλάκις ἀποφαίνονται περὶ τὴν ἄλογον ψυχὴν καὶ τὸν δοξαστικὸν λόγον ἐμφύεσθαι τὴν κάθαρσιν, τὸν δὲ λόγον αὐτὸν τὸν οὐσιώδη καὶ τὸν νοῦν τῆς ψυχῆς ἀεὶ ὑπερέχειν τοῦ κόσμου, καὶ συνῆφθαι τοῖς νοητοῖς αὐτὸν, καὶ οὐδέποτε δεῖσθαι τελειώσεως, καὶ ἀπολύσεως τῶν περιττῶν. ἀλλὰ δὴ τὸ μετὰ τοῦτο διαλάβωμεν ὑπὸ τίνων ἕκαστα τούτων ἐπιτελεῖται· τὸ τῆς κρίσεως λέγω, τὸ τῆς δίκης ἔργον, τὸ τῆς καθάρσεως. ὡς μὲν δὴ οἱ πλεῖστοι πυθαγόρειοι καὶ πλατωνικοὶ λέγουσιν, ὑπ' αὐτῶν τῶν μεριστῶν ψυχῶν· ὡς δὲ οἱ ἀκριβέστεροι ἐν αὐτοῖς, ὑπὸ τῶν καθολικωτέρων καὶ τελειοτέρων ψυχῶν, καὶ τῆς μιᾶς καὶ ὅλης ψυχῆς, καὶ τῆς τάξεως τοῦ παντὸς, καὶ τοῦ νοῦ τοῦ βασιλεύοντος, καὶ τῆς ὅλης διακοσμήσεως· ὡς δὲ οἱ ἀρχαιότεροι διατείνονται, τῶν ἐμφανῶν θεῶν, καὶ μάλιστα δὴ πάντων ἡλίου, τῶν τε δημιουργικῶν αἰτιῶν τῶν ἀφανῶν, τῶν τε κρειττόνων γενῶν, πάντων ἡρώων φημὶ, καὶ δαιμόνων, καὶ ἀγγέλων, καὶ θεῶν ἐξηγουμένων αὐτῶν τῆς ὅλης συστάσεως. τί ποτε οὖν αὐτῶν ἐστι τὸ τέλος, οὗ ἕνεκα πρώτως αὐτῶν ὑφεστήκασι; κρίσεως μὲν, ἄμικτος καθαρότης τῶν ἀγαθῶν, χωριστή τε αὐτῶν τῶν καλῶν τελειότης, ἀφεστηκυῖα τὸ παράπαν ἀπὸ ἀτελῶν, ὑπερβολή τε ἐξῃρημένης τῶν κρειττόνων αὐτὴ ἡ αὐτή, πρὸς ἣν οὐδὲν δύναται συντάττεσθαι τῶν χειρόνων· οὐδέποτε κατὰ ταῦτα τοῖς παλαιοτέροις ἀρέσκει τὰ κεφάλαια αὐτῆς, ἄλλοις δ' ἀντίσως εὐταξία, καὶ διάστασις τοῦ χείρονος ἀπὸ τοῦ βελτίονος, καὶ τὰ τοιαῦτα μᾶλλον ἂν δόξειεν εἶναι κυριώτερα αἱρέσεως αὐτῆς αἴτια. δίκης κἂν εἴη τὸ δέον ἐν τῷ τὰ βελτίονα τῶν χειρόνων ἐπικρατεῖν, καὶ ἐν τῷ τὸ καλὸν κολούειν, καὶ ἀναστέλλειν· καὶ ἀφανίζειν παντάπασιν, καὶ ἐν τῷ τὴν ἀνάλογον καὶ κατ' ἀξίαν ἀνισότητα τοῖς πᾶσιν ἀπεργάζεσθαι (πρὸς δὴ ταῦτα δοκεῖ τισι πρεσβυτέροις, οἴεται τὴν κατ' ἀριθμὸν ἰσότητα, καὶ πολλαπλασίωσιν, οἱ δὲ τὸ ἀντιπάσχειν τὰ αὐτὰ ἅπερ οἱ δράσαντες προενδείκνυσαν,

*Plotinus autem ac Platonici plerique affectuū depositionem, formarumq. discriminis & opinionis omnis contemtum, ac materiæ intellectuum neglectum, mente & ente succedentibus, ac similitudinem intellecti cum intelligente pro maxima purgatione ducunt. Alij verò nonnunquam in anima rationis experte atque opinante purgationem cerni sentiunt, cùm ipsa ratio ac mens animæ semper mundum excedat, cūmq. rebus intellectus cohæreat, nec vnquam sit perfectionis capax. Deinceps autē à quibus perficiantur singula, consideremus; iudicium videlicet, iustitia, & purgatio. Ac Pythagorici quidem & Platonici plerique animabus diuiduis hoc tribuunt; doctiores autem animabus perfectioribus, totíq. animæ, & Vniuersi ordini, mentiq. reginæ; antiquiores verò diis manifestis, ac præcipuè Soli, & causis opificibus occultis, omnibúsq. præstantioribus generibus, vt heroibus, dæmonibus, angelis, ac diis Vniuersi curam gerētibus. Iam finis horum, propter quem producuntur, hic est: iudicij quidem sincera bonorum puritas, ac diuidua perfectio, longissimè ab imperfectis remota, & præstantiorum excessus eximius, cum quo nihil potest deterius cohærere. (quanquam antiquiores non eadem capita ponunt, siquidem aliis ordo, & præstantioris à deteriori distantia, ac similia potius pro capitibus videntur habenda) iustitiæ autem, vt meliora peioribus imperent, ac *malum subuertat & penitus tollat, & inæqualitatem cunctis pro dignitate conciliet. (quanquam contra hanc veterum opinionem *alij numeri æqualitatem & multiplicationem, alij relatam malè meritis gratiam, alij*

Plat.de Rep.dec.

Iāblichi de Anima.

* κακὸν pro καλόν.

* οἱ μὲν pro οἴεται.

alij viciorum remedium, alij aliud quid simile ponunt, deque his inter Platonicos & Pythagoreos disconuenit) purgationis verò alienorum depositio, propriorum restitutio, perfectio, ascensus ad causam efficientem, coniunctio partium cum toto, totius in partes facultatis, vitæ, & functionis distributio, ac similia; quanquam alij ab antiquis dissentientes, corporis & vinculorum depositionem, ortusque & interitus amissionem, ac similes pusillos fines statuunt, vt Platonici et Pythagorici inter se dissentientes. Præterea terminos horum trium discernamus, ad quos pertingunt singula. Ac indicãtur quidem animæ tamdiu, donec cum ortu componuntur, nec ab Vniuerso recedunt; absolutæ autem & secretæ, diisque plenæ, iudicio omni vacant, quanquam Platonici et Pythagorei omnes animas contra antiquiorum decreta sub iudicio ponunt. De iustitia verò similiter antiquiores quidem animas puras ac diis cognatas inter deos deinceps referunt, & corporibus liberatas absque iustitia ad illos transferunt; Platonici autem omnes post iustitiam ad naturam dimittunt. Purgatio denique eodem pacto est controuersa, siquidem priores quidem etiam hac animas liberant cum diis coniunctas, posteriores verò partim ambitus purgationis ponunt, vt Platonici quidam; partim etiam his illas liberant, vt Plotinus.

De remuneratione animarum, quam post exitum consequuntur, in angelos translatæ, dissentiunt vetustiores; ac Plutarchus quidem, Porphyrius, & reliqui suo illam loco conseruant; Plotinus autem expellit. Vetustiores quoque rectum mentis habitum & curam inferiorum, quemadmodum diis, ipsi tribuunt; Porphyrius autem adimit. Eorundem quoque nonnulli rationi quidē concedunt illam antecellere, facta autem eius ita ponunt accurata, vt ne purissima quidem & perfectissima ratione comprehendantur; Porphyrius verò liberam illis vitam prorsus adimit, vt ad ortum pertinentibus, & animalium adiumentis. Cæterùm Platonis Timæus illas, quemadmodum varij fuerunt ab opifice partim in Solem, partim in terram disitæ, ita etiam reducit, suo quamque ordine. Iam similitudinem quidem animæ cum principiis suis asserere videtur Numenius, [1]compagem autem alterius naturæ retinent vetustiores; & vt illi resoluere videntur, ita hi componere; & illi quidem infinita compage, hi autem finita vtuntur: quanquam hoc discrimen à mundo vel natura non proficiscitur, vt Platonici quidam sunt arbitrati, sed liberum, instar naturarū

[1] σύμφυσιν pro σύμφωσιν.

οἱ δὲ τὴν ἀπαλλαγὴν τῆς κακίας, οἱ δὲ ἄλλο τι τοιοῦτον ὑποτίθενται ἀπ' αὐτῆς τὸ λυσιτελοῦν, καὶ περὶ ταύτας αἱρέσεις εἵλοντο οἱ πολλοὶ πλατωνικοὶ καὶ πυθαγόρειοι) καὶ μὴν τῆς γε καθάρσεως, ἀφαίρεσις τῶν ἀλλοτρίων, ἀπόδοσις τῆς οἰκείας οὐσίας, τελειότης, ἀποπλήρωσις, αὐτάρκεια, ἄνοδος ἐπὶ τὴν γεννησαμένην αἰτίαν, συναφὴ πρὸς τὰ ὅλα τῶν μερῶν, δόσις ἀπὸ τῶν ὅλων εἰς τὰ μερισθέντα δυνάμεως, καὶ ζωῆς, καὶ ἐνεργείας, καὶ τὰ τοιαῦτα, νοείσθω, ὡς πάντων χρησιμωτάτη. οἱ δὲ οὐ πείθονται τοῖς ἀρχαιοτέροις ταῦτα προσησαμένοις αὐτῆς τὰ ὄντα συμφέροντα, λύσιν ἀπὸ σώματος, καὶ ἀπαλλαγὴν τῶν καταδεσμῶν, καὶ φθορᾶς ἐλευθέρωσιν, καὶ γενέσεως ἄφεσιν, καὶ τὰ τοιαῦτα σμικρὰ τέλη προΐστανται αὐτῆς, ὡς τὰ περιέχοντα τῶν ὅλων, ἐν οἷς εἰσιν οἱ πολλοὶ πλατωνικοὶ, καὶ πυθαγόρειοι, ἄλλοι κατ' ἄλλας αἱρέσεις διεστηκότες. ἔτι τὰ πέρατα τῶν τριῶν τούτων διορισώμεθα, μέχρι πόσου δή τινος ἀποτελοῦνται αὐτῶν ἕκαστον. κρίνονται μὲν δὴ μέχρι τοῦδε αἱ ψυχαὶ, μέχρις ὅσου συντάττονται εἰς τὴν γένεσιν, καὶ τοῦ παντὸς οὐκ ἀφίστανται, καὶ συμμίγνυνταί πως πρὸς τὰ διαφέροντα. αἱ δὲ ἀφειμέναι ἀπόλυτοι καὶ ἀμιγεῖς, καὶ ἀδέσποτοι παντελῶς, καὶ αὗται ἑαυτῶν οὖσαι, καὶ πεπληρωμέναι τῶν θεῶν, ὁμοίως καὶ τῆς κρίσεως παντάπασιν ἀπηλύθησαν. οὐ μὴν ἔτι γε τοῖς ἀρχαιοτέροις περὶ τοῦδε συμφωνοῦσιν οἱ πλατωνικοὶ καὶ πυθαγόρειοι, πάσας δὲ αὐτὰς ὑπάγουσιν ὑπὸ τὴν κρίσιν. ὡσαύτως δὴ οὖν καὶ περὶ τῆς δίκης, οἱ μὲν παλαιότεροι τὰς ἀχράντους ψυχὰς, καὶ τὰς ὁμονοητικῶς συναφθείσας τοῖς θεοῖς, ἐντεῦθεν ἤδη τοῖς θεοῖς ἐντιθέασι, καὶ ἐκβαινούσας τῶν σωμάτων, ἄτερ τῆς δίκης ἀνάγουσιν εἰς τοὺς θεούς· οἱ δὲ πλατωνικοὶ πάσας μετὰ τὴν δίκην εἰς τὴν οὐσίαν ἀπὸ τῆς γενέσεως ἀπολύουσι. γένοιτο δ' ἂν καὶ περὶ τῆς καθάρσεως ἡ αὐτὴ ἀμφισβήτησις. οἱ αὐτοὶ μὲν ἄνδρες καὶ ταύτας ὑπερέχειν φασὶ τὰς ψυχὰς ὅσαι θεοῖς συνάπτονται· οἱ δ' ἄλλοι πάλιν οἱ μὲν περιόδους τῆς ψυχῆς περικοσμίους καθάρσεως εἶναι διατάττονται, ὥσπερ τινὲς πλατωνικοί· οἱ δὲ καὶ τούτων αὐτὴν ὑπερέχουσαν προστάττουσιν, ὥσπερ δὴ λέγει πλωτῖνος.

Περὶ τῆς ἐπικαρπίας τῶν ψυχῶν, ἣν κομίζονται εἰσαῦθις[2] ἐπειδὰν ἐξέλθωσι τοῦ σώματος, εἰς ἀγγέλους δὲ καὶ ἀγγελικὰς ψυχάς τὸ ὅλον δὴ τοῦτο οἱ πρεσβύτεροι· καὶ τηροῦσι μὲν αὐτὴν ἐπὶ τῆς οἰκείας τάξεως, πλούταρχος, καὶ πορφύριος, καὶ οἱ παλαιότεροι· πλωτῖνος δὲ πάντων τούτων αὐτὴν ἀφίστησιν· οἱ δὲ ἀρχαιότεροι παραπλησίους τοῖς θεοῖς κατὰ νοῦν διάθεσιν ἀγαθοειδῆ καὶ προστασίαν τῶν τῇδε αὐτῇ ἀπονέμουσι καλῶς· πορφύριος δὲ καὶ τούτους ἀπ' αὐτῆς ἀφαιρεῖ. τῶν δὲ πρεσβυτέρων τινὲς ὑπερέχειν μὲν αὐτὴν λογισμοῦ φασι, τὰ δὲ ἔργα αὐτῆς οὕτω διηκριβωμένα ἀφορίζονται, ὡς οὐκ ἂν ἐξαίρει τὸν λογισμὸν ὁ καθαρὸς καὶ τελεώτατος· πορφύριος δὲ αὐτὰς ἀφαιρεῖ παντάπασιν ἀπὸ τῆς ἀδεσπότου ζωῆς, ὡς οὔσας συμφυεῖς τῇ γενέσει, καὶ πρὸς ἐπιμέλειαν δοθείσας τοῖς συνθέτοις ζῴοις· ὁ δὲ παρὰ πλάτωνι τίμαιος, ἥπερ κατεσπάρησαν διαιρεθέντως ὑπὸ τοῦ δημιουργοῦ, ἄλλαι μὲν εἰς ἥλιον, ἄλλαι δὲ εἰς γῆν ταύτην, καὶ τὴν ἄνοδον αὐτὰς ἀνάγει μὴ ὑπερβαινούσας τὸν ὅρον τῆς οἰκείας ἕκαστον πρὸς τῆς δημιουργικῆς καταβολῆς. ἕνωσιν μὲν καὶ ταυτότητα ἀδιάκριτον τῆς ψυχῆς πρὸς τὰς ἑαυτῆς ἀρχὰς πρεσβεύειν φαίνεται νουμήνιος, σύμφυσιν δὲ καθ' ἑτέραν οὐσίαν οἱ πρεσβύτεροι διασώζουσι· καὶ ἀναλύουσι μὲν ἐκεῖνοι, συντάττουσι δὲ οὗτοι προσειλήχασιν· καὶ οἱ μὲν ἀδιορίστῳ συναφῇ, οἱ δὲ διωρισμένῃ χρῶνται· οὐ μέντοι κρατεῖται ὁ διορισμὸς ὑπὸ τοῦ κόσμου, ἢ κατέχεται ὑπὸ τῆς φύσεως, ὥσπερ τινὲς τῶν πλατωνικῶν ὑπειλήφασιν· ἀνεῖται δὲ πάντῃ ἀφ' ὅλων,

ὥσπερ

[2] ἐν τισὶ ψ.

ὥσπερ ἐπὶ τῆς ἀρχαιοτάτης οὐσίας τινὸς νοοῦμεν. οἱ δὲ περὶ πορφύριον ἄχρι τοῦ ἀνθρωπίνου βίου, τὸ δ' ἀπὸ τούτου ψυχῶν ἄλλο εἶδος τὸ ἀλόγιστον ὑποτίθενται. ἔτι τοίνυν πορφύριος μὲν ἀφομοιοῖ τὴν ψυχὴν τοῖς πᾶσιν, μένουσαν καθ' ἑαυτὴν ἥτις ἐστίν. κατὰ δὲ τοὺς πλατωνικοὺς ἐπιμελοῦνται τῶν ἀψύχων. ἀπολυθεῖσαι δὲ τῆς γενέσεως, κατὰ μὲν τοὺς παλαιοὺς συνδιοικοῦσι τοῖς θεοῖς τὰ ὅλα· κατὰ δὲ τοὺς πλατωνικοὺς θεωροῦσιν αὐτῶν τὴν τάξιν, καὶ ἄγγελοι ὡσαύτως κατ' ἐκείνους μὲν συνδημιουργοῦσι τὰ ὅλα· κατὰ δὲ τούτους, συμπεριπολοῦσι.

inseparabilium, consistit. Porphyrius autē usq. ad vitam humanam id cōcedens, pòst aliud animarum genus ratione carens comminiscitur. Idem quoq. cum reliquis animas comparat, in sua permanentes natura; secundum Platonicos autem inanima curant. Ortu porrò liberæ secūdum antiquos quidem Vniuersum unà cū diis regunt, secundū Platonicos autem illorum contemplantur ordenem. Neq. aliter angeli iuxta illos quidē Vniuersi præsunt opificio, iuxta hos verò circumeunt.

ἑρμοῦ λόγοι ὥρου πρὸς ἴσιν.

Θαυμαστῶς, εἶπεν ὧρος, ἕκαστά μοι διηγήσω, ὦ μεγαδυναμένη τεκοῦσα ἶσι, περὶ τῆς θαυμαστῆς ψυχοποιΐας τοῦ θεοῦ, καὶ θαυμάζων διατελῶ· οὔπω δέ μοι ἀπήγγελκας ποῦ τῶν σωμάτων ἀπολυθεῖσαι χωροῦσιν αἱ ψυχαί, βούλομαι οὖν καὶ τῆς θεωρίας ταύτης μύστης γενόμενος εὐχαριστῆσαί σοι, μόνη ἀθάνατος μήτηρ. καὶ εἶπεν ἶσις, πρόσεχε παῖ, ἀναγκαιοτάτη γὰρ ζήτησις αὕτη· τὸ συνεστὸς καὶ μὴ ἀφανιζόμενον χώραν ἔχει, ἀλλ' οὐδὲ γὰρ ἐρεῖ λόγος ἐμός. οὐ γὰρ, ὦ θαυμαστὲ καὶ μεγάλου πατρὸς ὀσίριδος μέγα τέκνον, ἀνείδεως καὶ ὁρμηθεῖσαι τῶν σωμάτων προσσταλθεῖσαι εἰς ἀέρα ἀναλύονταί τε καὶ διασκεδάννυνται μετὰ τοῦ ἄλλου ἀπείρου πνεύματος, εἶτα οὐκ ἔτι δύνανται πάλιν ταὶ αὐταὶ οὖσαι εἰς σώματα παλινδρομῆσαι, ἀλλὰ μηδὲ εἰς ἐκεῖνον ἔτι τὸν χῶρον εἶναι ὅθεν ἤλθοντο πρότερον ἀναστρέφειν· καθάπερ οὐδὲ τὸ λαμβανόμενον ἐκ τῶν κάτω ἀγγείων ὕδωρ, εἰς τοὺς αὐτοὺς τόπους ὅθεν ἐλήφθη ἐπέχειν ἐστὶν δυνατόν, ἀλλ' οὐδ' αὐτὸν παραυτίκα λαμβανόμενον τὴν ἰδίαν λαμβάνει χώραν, πλὴν ἀναμίγνυται τῷ παντὶ τοῦ ὕδατος χύματι. ἀλλ' οὐκ ἔχει οὕτως, ὦ μεγαλόφρον ὧρε. μύστης δὲ ὥσπερ τῆς ἀθανάτου φύσεως κἀυτὴ τυγχάνουσα, καὶ ὡδοιπορηκυῖα διὰ τοῦ πεδίου τῆς ἀληθείας, διηγήσομαί σοι τῶν ὄντων τὸ καθ' ἕκαστον, ἐκεῖνό σοι φήσασα πρῶτον, ὡς δὴ τὸ ὕδωρ σῶμά ἐστιν ἄλογον, ἐκ πολλῶν συγκριμάτων παρασυνειλημμένον εἰς χύσιν, ἡ δὲ ψυχὴ πρᾶγμα ἰδιοφυές, τέκνον, καὶ βασιλικόν, καὶ ἔργον τῶν τοῦ θεοῦ χειρῶν καὶ νοῦ, αὐτό θ' ἑαυτῷ εἰς νοῦν ὁδηγούμενον. τὸ τοίνυν ἐξ ἑνός, καὶ οὐκ ἐξ ἄλλου, ἀδύνατον ἑτέρῳ ἀναμιγῆναι· ὅθεν δὴ καὶ τὴν πρὸς τὸ σῶμα αὐτῆς σύνοδον, ἁρμονίαν θεοῦ ὑπὸ ἀνάγκης γενομένην εἶναι. ὅτι δὲ οὔτε εἰς ἕνα καὶ τὸν αὐτὸν τόπον χυδαίως οὔτε εἰκῇ καὶ ὡς ἔτυχεν, ἀλλὰ ἑκάστην ἐπὶ τὴν ἰδίαν ἀναπέμπονται χώραν, φανερὸν καὶ ἐξ ὧν ἐστιν ἐν τῷ σώματι οὖσα καὶ τῷ πλάσματι. πάσχει γὰρ παρὰ τὴν ἰδίαν φύσιν πεπαχυμμένη. ἀλλὰ καὶ πρόσχες, ὦ περιπόθητε ὧρε, τῷ λεγομένῳ ὁμοιώματι. φέρε γὰρ εἰς ἓν καὶ τὸ αὐτὸ συγχετήριον ἐγκεκλεῖσθαι ἀνθρώπους τε, καὶ ἀετούς, καὶ περιστεράς, καὶ κύκνους, καὶ ἱέρακας, καὶ χελιδόνας, καὶ στρουθούς, καὶ μυίας, καὶ ὄφεις, καὶ λέοντας, καὶ παρδάλεις, καὶ λύκους, καὶ κύνας, καὶ βόας, καὶ ποίμνια· καί τινα τῶν τῆς καινότητος ἐχομένων ζώων, οἱονεὶ φώκας, καὶ ἐνύδρεις, καὶ χελώνας, καὶ τοὺς ἡμετέρους κροκοδείλους· ἔπειτα τούτους, ὦ τέκνον, ὑπὸ μίαν ῥοπὴν ἀπολυθῆναι τοῦ συγχετηρίου πάντας φανήσονται· ὁ μὲν ἄνθρωπος εἴς τε ἀγορὰς, καὶ στέγας· ὁ δὲ ἀετός, εἰς τὸν αἰθέρα, ὅπου καὶ φύσιν ἔχει διαιτᾶσθαι· αἱ δὲ περιστεραί, εἰς τὸν πλησίον ἀέρα· οἱ δὲ ἱέρακες, ὑπεράνω τούτων· αἱ δὲ χελιδόνες οὐχὶ ὅπου ἂν οἰκῶσιν ἄνθρωποι· οἱ δὲ στρουθοί, περὶ τὰ καρποφόρα τῶν δένδρων· οἱ δὲ κύκνοι, ὅπου ἔξεστιν αὐτοῖς ᾄδειν· αἱ δὲ μυῖαι, περὶ αὐτὴν τὴν γῆν, τοσοῦτον αὐτῆς ἀπέχουσαι ὅσον ἀναβῆναι δύνανται

Mercurij libro Sacro.

Rectè mihi singula, inquit Horus, explicuisti, mater Isi, quæ ad mirabilem animarum procreationem pertinent, neque satis mirari possum: verùm hoc me nondum docuisti, ubi animæ corporibus liberatæ versentur, idq. edoctus, gratias tibi agere cupio. Attende, fili, respondit Isis, quandoquidem ista quæstio pernecessaria, in perpetuitate versatur; ac sic se res habet. Non enim, ô magni patris Osiridis fili, absq. ordine progressæ de corporibus in aërem diffunduntur, ut nequeant eadem in corpora redire, vel eundem locum, de quo primùm profectæ fuerant, repetere; quemadmodum nec aqua de vasis hausta pristinum locū possit recuperare, aut regionem propriam occupare, verùm cum tota aqua permisceatur: non, inquam, sic se res habet, Hore magnanime, verùm singula tibi, tanquam naturæ particeps immortalis, ac veritatis campū ingressa, declarabo, illud præmittens, aquam corpus esse brutum, de multis partibus fusum, cùm anima sit res singularis ac regia, Deiq; manuum ac mentis opus. quod autē uno constat, cum alio permisceri non posse, ideoq; conjunctionem ipsius cum corpore diuinam esse harmoniam. Iam nec eundem in locum, nec temerè illas, sed in suum quamque discedere, vel ex iis quæ contingunt in corpore, patet, quandoquidem præter suam pinguescit naturam. ac similitudinem hanc, Hore carissime, animaduerte. Etenim si in unum idemq; septum concludantur homines, aquilæ, columbæ, cycni, accipitres, hirundines, passeres, muscæ, serpentes, leones, pardales, lupi, canes, lepores, boues, oues, nec non inusitata quædam animalia, ut phocæ, hydri, testudines, nostriq; crocodili; ac omnes illi uno momento dimittantur, homines omnino fora petent ac domos, aquila æthera sibi familiarem, columba proximum aërem, accipitres superiorem, hirundines hominum domicilia, passeres arbores frugiferas, cycni locum ad canendum, muscæ terram ipsam, eatenus ab illa remotæ, quatenus in homines ad odorem pos-

sint innolare. (siquidem peculiari tenentur hominum desiderio muscæ, ac humi volant.) leones ac pardales montes, lupi solitudines, canes hominum vestigia, lepores arbusta, boues prata ac stabula, oues pascua, serpẽtes cauernas, phocæ ac testudines cum similibus profundos fluuios, ne vel campestrem terram, vel cognatam aquã desiderent, vnoquoq. ad suam regionem interni iudicij ductu tendente. Eodẽ pacto anima quælibet, siue in humano degat corpore, siue alia de causa terram incolat, locum suum nouit; nisi quis ex Typhoniis in medium progressus fieri posse dicat, vt vel taurus in mari, vel in aëre testudo versetur. Quòd si ita se gerunt carni & sanguini inclusæ, nihil vt præter ordinẽ agant, etiamsi puniantur, (siquidem illis prò supplicio est corporibus includi) quanto magis carcere ac supplicio liberatæ, & pristinæ libertati restitutæ? Sic autem se ordo sanctißimus habet, magnifice fili. Quantũ quidem à cæli vertice vsq. ad Lunam patet, diis, ac stellis, & reliqua prouidentiæ vacat: à Luna verò ad nos vsq. animarum porrigitur domiciliũ. Veruntamen aër tantus, quem nos ventum solemus nuncupare, proprium habet interuallum, in quo ad refrigeranda terrena moueatur, quemadmodum in sequentibus dicemus, tamen vt animas nullo pacto impediat, posteaquã illis in omnem partẽ subsilire ipso moto cõceditur, quandoquidẽ per ipsum absq. adhæsione, vt aqua per oleum, diffluunt. Atq. hoc interuallum, Hore fili, partes quidem generales quatuor habet, regiones autẽ speciales sexaginta. Ac prima quidẽ à terra incipiens regionũ est quatuor, quousq. terræ quædam extenduntur promontoria, quandoquidem vlterius eam fas nõ est ascendere: secunda autem regionum est octo, in quibus venti mouentur, (attende fili, quoniam inaudita narro mysteria) et aues volant, quandoquidem vltra has nec aër mouetur, nec animal fertur; quanquam hoc à natura huic aëri concessum est, vt & in suis octo regionibus, & in terræ quatuor, vnà cum animalibus suis versari poßit, cùm id vicißim terræ facere non liceat: tertia verò regionũ est sedecim, tenuis ac puri aëris plena: quarta deniq. duarum & triginta, in quibus est aër tenuißimus, quiq. superiores ignitos cælos *à se discernat. Atq. hic rectus est ordo ab inferioribus ad superiora protensus, ita vt partes quidẽ generales sint quatuor, interualla autem duodecim, regiones verò sexaginta, quas incolunt animæ, vt eiusdem omnes naturæ, ita dignitatis non item. Quanto enim vnaquæque regio longius à terra distat, tanto eam incolentes animæ reliquis antecellũt. Quæ porrò in quemq. locum animæ tendant, deinceps tibi, Hore magnifice, declarare incipiam, sumto à superioribus initio. Quod inter cælũ terramq. interiectum est spatium, Hore fili, certis distinctum est

* ἀφ' pro ὑφ'.

ἀνθρώπων τῇ ὀσμῇ, ἀνθρωποβλιχον γὰρ ἰδίως, ὦ τέκνον, ἐστὶν ἡ μυῖα, καὶ χαμαιπετής· οἱ δὲ λέοντες καὶ παρδάλεις, οὐκ ἐπὶ τὰ ὄρη· οἱ δὲ λύκοι, ἐπὶ τὰς ἐρημίας· οἱ δὲ κύνες, κατ' ἴχνος ἀνθρώπων· λαγωοὶ δὲ, δρυμούς· καὶ βόες, αὐλιστήρια, καὶ πεδία· καὶ εἰς τὰς νομὰς, τὰ ποίμνια· οἱ δὲ ὄφεις, εἰς τὰ μυχία τῆς γῆς· φῶκαι δὲ, καὶ χελῶναι, μετὰ τῶν ὁμοίων, εἰς βάθη καὶ νάματα, ὡς μὴ πεδιάδος γῆς στερεῖντο, μηδὲ τοῦ συγγενοῦς ἀπολειφθεῖεν ὕδατος· ἕκαστον εἰς τὴν οἰκείαν χώραν ὑπὸ τοῦ ἔνδον κριτηρίου ἀναστρεπόμενον. οὕτως ἑκάστη ψυχὴ, καὶ ἀνθρωπευομένη, καὶ ἄλλως ἐπιγαίζουσα, οἶδεν ὅπου πορευτέον ἐστὶν αὐτῇ· πλὴν εἰ μή τις τῶν τυφωνίων, ὦ τέκνον, παρελθὼν δὲ λέγοι, ὅτι δυνατὸν ταῦρον μὲν ἐν βυθῷ, ἐν ἀέρι χελώνην διαζῆν. εἰ δὴ τοῦτο πάσχουσι σαρκὶ καὶ αἵματι βεβαπτισμέναι, ὡς μηδὲν παρὰ τάξιν πράσσειν, κἂν κολάζωνται· κόλασις γὰρ αὐταῖς ἡ ἐνσωμάτωσις· πόσου πλέον βαπτισμοῦ καὶ κολάσεως καὶ ἐλευθερίας ἰδίας μεταχοῦσαι; ἔχει δὲ ἡ διάταξις ἡ ἱερωτάτη οὕτως, ἤδη ποτὲ ἄνω, μεγαλοφυέστατε παῖ. βλέπε ψυχῶν διατάξεις τὸ ἀπ' οὐρανοῦ κορυφῆς μέχρι σελήνης, θεοῖς καὶ ἄστροις, καὶ τῇ ἄλλῃ προνοίᾳ σχολάζει· τὸ δὲ ἀπὸ σελήνης, ὦ τέκνον, ἐφ' ἡμᾶς, ψυχῶν ἐστιν οἰκητήριον. ἔχει μέντοι ἐν ἑαυτῷ ὁδὸν ὁ τοσοῦτος ἀὴρ, ὃν ἄνεμον καλεῖν ἔθος ἐστὶν ἡμῖν, ἴδιον μέγεθος, ἐν ᾧ κινεῖται, πρὸς ἀνάψυξιν τῶν ἐπιγείων, ὃ δὴ καὶ ὕστερον ἐρῶ· κατ' οὐδένα μέντοι τρόπον πρὸς ἑαυτὸν κινούμενος, ἐμπόδιον γίγνεται ψυχαῖς· κινουμένου γὰρ τούτου ἔξεστι ψυχαῖς ἀναΐσσειν ὡς ἂν τύχῃ ἀδιακωλύτως. ῥέουσι γὰρ δι' αὐτοῦ ἀμιγεῖς καὶ ἀκολλητὶ ὡς δι' ἐλαίου ὕδωρ. τὸ δὲ διάστημα τοῦτο, ὦ τέκνον ὧρε, μοιρῶν μέν ἐστι γενικῶν τεσσάρων· ἰδικῶν δὲ χωρῶν, ἑξ. ὧν ἡ μὲν ἀπὸ γῆς ἄνω, χωρῶν ἐστι τεσσάρων, ὡς τὴν γῆν κατά τινας λόφους καὶ ἀκρωτήρια ἀνατείνειν, καὶ φθάνει ἄχρι τοσούτου· ὑπὲρ γὰρ ταύτας αὐτὴν ἀναβῆναι τὸ ὕψος οὐκ ἔχει φύσιν. ἡ δ' ἀπὸ ταύτης δευτέρα ἐστὶ χωρῶν, ἐν αἷς γίγνονται ἀνέμων κινήσεις, (πρόσεχε παῖ, ἀῤῥήτων γὰρ ἐπακούεις μυστηρίων) γῆς τε καὶ οὐρανοῦ, καὶ παντὸς τοῦ μέσου ἱεροῦ πνεύματος· ὅπου ἡ τοῦ ἀνέμου κίνησις, καὶ ἡ τῶν ὀρνέων πτῆσις. ὑπὲρ γὰρ ταύτης οὔτε ἀὴρ κινεῖται, οὔτε ζῶον βαστάζει. ἔχει μέντοι παρὰ τῆς φύσεως ταύτην τὴν ἐξουσίαν ὁ ἀὴρ οὗτος, ὥστε καὶ ἐν ταῖς ἰδίαις η´ χώραις, καὶ ἐν ταῖς τῆς γῆς τέτταρσι περιπολεῖν μεθ' ὧν ἔχει ζώων, τῆς γῆς εἰς τὰς ἑαυτοῦ ἐπαναβῆναι δυναμένης. ἡ δὲ τρίτη χωρῶν ἐστιν ἑκκαίδεκα, ἀέρος λεπτοῦ καὶ καθαροῦ πλήρης. ἡ δὲ τετάρτη ἐστὶ δύο καὶ τριάκοντα, ἐν αἷς ἐστι λεπτότατος καὶ εἰλικρινέστατος ἀὴρ, καὶ δι' αὐτῆς διορίζων ἐφ' ἑαυτοῦ ἄνω οὐρανοὺς ἐμπύρους ὄντας τὴν φύσιν. καὶ ἔστιν ἡ διάταξις αὕτη κατ' εὐθυτενῆ γραμμὴν ἄνωθεν κάτω ἀκολλητὶ τὴν φύσιν ὡς εἶναι μοίρας γενικὰς μὲν δ´, διαστηματικὰς δὲ δώδεκα, χώρας δὲ ἕξ· ἐν δὲ ταῖς χώραις ταύταις, ἑξήκοντα οὔσαις τὸν ἀριθμὸν, οἰκοῦσιν αἱ ψυχαὶ, ἑκάστη πρὸς ἣν ἔχει φύσιν, μιᾶς μὲν καὶ τῆς αὐτῆς συστάσεως οὖσαι, οὐκ ἔτι δὲ τιμῆς. ὅσῳ γὰρ ἑκάστη τῶν χωρῶν ἀπὸ γῆς ὑπερβέβηκε τὴν ἑτέραν, τοσούτῳ καὶ ἐν ταῖς ψυχαῖς ἑτέρα τῆς ἑτέρας καθ' ὑπεροχὴν λείπει, ὦ τέκνον, χώρα καὶ ψυχή. τίνας μὲν οὖν εἰς ἑκάτερα τούτων ἀναλύουσι ψυχαὶ, ἐντεῦθέν σοι πάλιν, ὦ μεγαλόδοξε ὧρε, καταλέγειν ἄρξομαι, ἄνωθεν ἐπὶ τὰ πρόσγεια τὴν τάξιν ποιούμενος.

Περὶ ἐμψυχώσεως, καὶ μετεμψυχώσεως.

Τὸ μεταξὺ γῆς καὶ οὐρανοῦ, κεχώρισται, τέκνον ὧρε, πρὸς

μέτρον

μέτρον καὶ ἁρμονίαν· αἱ δὲ χῶραι αὗται ὑπὸ τῶν προγόνων καλοῦνται, ὑφ' ὧν μὲν ζῶναι, ὑφ' ὧν δὲ στερεώματα, ὑπὸ δὲ ἑτέρων πτύχαι, ἐν δὲ ταύταις φοιτῶσιν αἵγαι ἀπολυόμεναι τῶν σωμάτων ψυχαί, αἵ τε μηδέπω ἐνσωματισθεῖσαι· ἑκάστη δὲ τούτων, ὦ τέκνον, κατὰ τὴν ἀξίαν καὶ χῶρον ἔχει· ὥς γε τὰς μὲν θείας καὶ βασιλικὰς ἐν τῇ ὑπεράνω πάντων κατοικεῖν· τὰς δὲ ἐλαχίστας καταταμεῖν, καὶ τὰς ἄλλας ὅσαι εἰσὶ χαμαιπετεῖς, ἐν τῇ ὑποκάτω πάντων· τὰς δὲ μέσας, τῇ μέσῃ. αἱ μὲν οὖν εἰς τὸ ἄρχειν καταπεμπόμεναι, ὦ τέκνον Ὧρε, ἐκ τῶν ὑπεράνω ζωνῶν καταπέμπονται· αἳ καὶ λυθεῖσαι, εἰς τὰς αὐτὰς, ἢ καὶ ἔτι ὑπεράνω ἀνέρχονται, πλὴν ἡμῶν τινὰς ἔπι εἶεν τὴν ἀξίαν τῆς ἑαυτῶν φύσεως καὶ τῆς τοῦ θείου νόμου παραγγελίας παραβᾶσαι· ἅσπερ ἡ ἄνω πρόνοια, πρὸς μέτρον τῶν ἁμαρτηκότων, εἰς τὰς ὑποκάτω χώρας ἐξορίζει· ὥσπερ καὶ τὰς ὑποδεεστέρας δυνάμει τε καὶ ἀξίᾳ, ἐκ τῶν καταδεεστέρων ἐπὶ μείζονας καὶ ὑψηλοτέρας ἀνάγει. εἰσὶ γὰρ ἄνωθεν οἱ δορυφόροι ὄντες τῆς καθόλου προνοίας, ὧν ὁ μέν ἐστι ψυχοταμίας ψυχῶν, ὁ δὲ ψυχοπομπὸς ἀπολύσεώς τε καὶ διατάκτης τῶν ἐνσωματουμένων ψυχῶν· καὶ ὁ μὲν τηρεῖ, ὁ δὲ προίησι, κατὰ γνώμην τοῦ θεοῦ. τῷ δ' οὖν λόγῳ τούτῳ, ὦ παῖ, καὶ τῇ ἄνω τῶν πραγμάτων ἐξαλλαγῇ, καὶ ἐπὶ γῆς ἐστὶν ἡ φύσις. πλάστειρα γὰρ οὖσα καὶ σκηνοποιὸς ἀγγείων, εἰς ἃ βάλλονται αἱ ψυχαί. παρεστᾶσι δὲ δύο ἐνέργειαι καὶ αὐτῇ, μνήμη καὶ ἐμπειρία· καὶ ἡ μὲν μνήμη ἔργον ἔχει τοῦτο, ὅπως ἡ φύσις τηρῇ καὶ διακρατῇ τόν τε ἑκάστου τύπου ἐξ ἀρχῆς καταβεβλημένον, καὶ τὸ συγκρίματος τῶν ἄνω γίγνεται· ἡ δὲ ἐμπειρία, ὅπως πρὸς ἀνάλογον ἑκάστης τῶν καταβαινουσῶν ψυχῶν εἰς τὸ σῶμα τι κτισθῆναι, καὶ τὸ πλάσμα ἐνεργεῖ καὶ γίνηται. καὶ τῶν μὲν ὀξέων τῶν ψυχῶν ὀξέα γίνηται καὶ τὰ σώματα, τῶν δὲ βραδέων βραδέα, τῶν δὲ ἐνεργῶν ἐνεργῆ, καὶ τῶν νωθρῶν νωθρά, καὶ τῶν δυνατῶν δυνατά, καὶ τῶν δολίων δόλια, καὶ ἁπαξαπλῶς ἑκάστοις κατὰ τὸ εἰκός. οὐ γὰρ ἀσκέπτως πτηνὰ μὲν ἐπτίλωσε, λογικὰ δὲ ἀκριβεστέραις καὶ ἀκριβέσιν αἰσθήσεσιν ἐκόσμησε, τὰ τετράποδα μὲν τὰ μὲν κέρασι, τὰ δὲ ὀδοῦσι, τὰ δὲ ὄνυξι καὶ ὁπλαῖς, ἑκατέρωσε· τὰ δὲ ἑρπετὰ εὐχαίτοις σώμασι καὶ εὐυποχωρήτοις ἐμαλάκυνε· καὶ ὅπως μή τι τῆς σώματος ὑγρότητος τέλεον ἀσθενῇ διαμένῃ, ὧν μὲν τὰ στόματα καὶ τοῖς ὀδοῦσιν ἐχαράκωσεν, ὧν δὲ τοὺς ὄγκους ὀξυγωνίας δυνάμει περιέθηκεν. οὕτως τὰ μὲν τῇ τοῦ θανάτου εὐλαβείᾳ ἰσχυρότερα τῶν ἄλλων. τὰ δὲ νηκτὰ δειλὰ ὄντα, ἐνοικεῖν ἔδωκε στοιχείῳ ἐν ᾧ τὸ φῶς οὐδετέραν ὧν ἔχει δυνάμεων ἐνεργεῖν, ἰσχύει γὰρ ὕδατι τὸ πῦρ οὔτε φαίνει οὔτε καίει· ἕκαστον δὲ αὐτῶν ἢ φολίσιν ἢ ἀκάνθαις ἐν ὕδατι νηχόμενον φεύγει ὅπη ἂν θέλῃ, τὴν ἰδίαν περιβεβλημένον δειλίαν, καὶ σκεπαστήριον ἔχον εἰς τὸ μὴ ὁρᾶσθαι τὸ ὕδωρ. εἰς γὰρ ἕκαστον τῶν σωμάτων τούτων καθ' ὁμοιότητα ἐγκλείονται αἱ ψυχαί· ὥστε εἰς μὲν ἀνθρώπους χωρεῖν τὰς κριτικάς, εἰς δὲ πτηνά, τὰς ἀπανθρώπους· εἰς δὲ τετράποδα, ἀκρίτους· νόμος γὰρ ἐκείνοις ἐστὶν ἡ ἰσχύς. εἰς δὲ ἑρπετά, τὰς δολίας· οὐδὲν γὰρ αὐτῶν ἐξ ἐναντίας ἐπέρχεται τοῖς ἀνθρώποις, λοχῶντα δὲ καταβάλλει. εἰς δὲ τὰ νηκτὰ τὰς δειλίας, ἢ ὅσαι τῶν λοιπῶν στοιχείων ἀπολαύειν ἀνάξιαι τυγχάνουσι. γίνονται μὲν οὖν καὶ ἐν ἑκάστῳ φύσει ζῷον τῇ ἰδίᾳ φύσει μὴ παραχρώμενον. πῶς; πάλιν, ὦ τεκοῦσα, εἶπεν Ὧρος. καὶ ἀπεκρίθη Ἶσις, ὥστε ἄνθρωπον μέν, ὦ τέκνον, τὸ κριτικὸν ὑπερβῆναι, τετράποδα δὲ τὴν ἀνάγκην παραλλάξαι, ἑρπετὰ δὲ τὸ δόλιον ἀπολέσαι,

regionibus, quæ à maioribus nunc zonæ, nunc fundamenta, nunc volumina nominantur. In his animæ versantur [x] *cùm corporibus liberatæ, tum nondum in corpora translatæ singulis pro dignitate loco tributo, sic vt diuinæ quidem ac regiæ supremum occupent, minimæ autem* [y] *dignitatis ac reliquæ viliores infimū, mediæ verò medium. Itaque quæ ad principatum demittuntur, Hore fili, de supremis Zonis proficiscuntur, easdemq; vel etiam altiores liberatæ repetunt,* [z] *nisi fortè naturam suam fuerint ac diuinam legem transgressæ, quas quidem superna prouidentia in inferiora loca pro delictis relegat, quemadmodum contrà minores dignitate de inferioribus ad sublimiora subducit. Sunt enim apud superos duo prouidentiæ satellites, quorum alter custos est animarum, alter deductor in corpora descendentium; alterq; eas conseruat, alter iussu Dei dimittit. Hanc porrò rationem superiorum natura in inferioribus imitatur, sic vt animas delapsas circumstent functiones duæ, memoria & experientia, quarum illa dat operam, ne impressæ ab initio imagines deleantur, hæc singulis animabus figmētum conueniens procurat, acutis acutum, tardis tardum, subtilibus subtile, hebetibus hebes, potentibus potens, dolosis dolosum, ac suum denique singulis. Non enim absque ratione volucres quidem plumis vestiuit, ratione autē prædita certioribus sensibus ornauit, quadrupedes verò partim cornibus, partim dentibus, partim vnguibus muniuit. serpentes denique flexilibus corporibus emolliuit, ac ne humiditas corū imbecillitatem nimiam pareret, partim dentibus, partim acumine sepiuit. Atque vt hæc mortis metu reliquis fortiora sunt, ita natantia, timoris plena, in elemento collocauit, quod neutrius lucis facultatis est capax, quandoquidem in aqua ignis nec lucet nec vrit; ac horum vnumquodque vel squammis vel spinis tectum quouis commeat, aqua conspectum eius prohibente. Quapropter in aliquod horum corporū includuntur similes animæ, hominum quidem iudicio pollentes, volucrium autem inhumanæ, quadrupedum verò iudicij expertes, (his enim pro iure vis est) serpentium autem* [a] *dolosæ, (nō enim aperto Marte homines inuadunt, sed ex insidijs opprimunt) natantium denique timidæ, & reliquorum elementorum fructu* [b] *indignæ. Iam in singulis generibus animalia reperiuntur natura sua ductum transgredientia, sic vt homo quidem iudicium excedat, quadrupes autem necessitatem superet, serpens verò dolum amittat, piscis autem formidinem*

x αἴγε pro αἴγαι.

y κατὰ ταπεινὰ pro καταταμεῖν.

z αἰνεῖ pro ἀγνεῖ.

a δολίας pro δειλίας.

b ἀπολαύειν pro ἀπολαῦσαι.

abiiciat, auis denique inhumanitatem exuat. Ac de superiorum quidem constitutione, & animarum descensu, atque corporis opificio hactenus dictum sit: in singulis autem generibus aliqua reperiuntur anima regia, nec non alia aliis moribus descendunt, hæ ignea, illæ frigida; hæ superba, illæ mansueta; hæ perita, illæ imperita; hæ operosa, illæ otiosa. Id porrò de locorum situ, ex quibus in corpora [c] demittuntur anima, proficiscitur. Etenim nonnullæ de regio cingulo desiliunt, quandoquidem regna multa sunt, alia animarum, alia corporum, alia artis, alia scientiæ. Sic animarum quidem præfectus fuit Osiris, pater tuus, corporum autem uniuscuiusque regionis dux, consilij verò pater omnium ac magister Hermes Maximus, medicinæ autem Asclepius, Vulcani F. roboris verò rursum Osiris, philosophiæ autem Annibal, poëtica denique rursum Asclepius. Multos enim in uniuersum inuenies, fili, multis præfectos; sed supremus quidem princeps regionem summam obtinet, reliqui autem inter se succedunt. Quocirca qui de igneo proficiscuntur cingulo, ignis & alimenti curatores fiunt; qui de humido, in aquis [d] degunt; qui de artifice, artes & scientias tractant; qui de otioso, otiosè viuunt. Omnium enim terrenorũ tum dictorum tum factorum, fili, fontes apud superos cernuntur, qui pondere nos ac mensura gubernent; ac nihil non ad nos inde descẽdit, ac rursum eodem ascendit, ut iterũ descendat. Quod cùm sibi explicari petijsset Horus, ita respondit Isis: Manifestum recursus signum in animalibus natura sanctissima posuit. Quem enim ex aëre spiritum ducimus, rursum submittimus, ut iterum hauriamus, eiusq; officij artifices habemus folles, qui cùm sua spiritus receptacula [e] concluserint, hîc diutius non moramur, sed ascendimus. Alia quoque nobis, fili magnanime, præter misturam contingunt. Tum Horo, quid esset mistura, quærente, subiunxit Isis: Ea compages est elementorum quatuor, de qua vapor quidam exhalatur, qui per corpus & animam discurrit, utrique suam impertiens qualitatem; atque inde utriusque statuum differentiæ promanant. Etenim si in corporea compage potior ignis pars fuerit, tum anima calida calidi adiectione magis ignea reddita, tum animal operosum, tum corpus reddit mobile. Si potior aër fuerit, tum leue & instabile animal tam animo quàm corpore redditur. Si potior fuerit aqua, tum anima quidem proba existit indolis, ac facilè cum aliis copulatur, quemadmodum aqua non difficulter cum aliis coniun-

[c] ἐνσωματῶ- λλι) pro ἐμβάλλον).

[d] διαζῶσιν pro διαζώσι.

[e] μύσωσι pro μυῶσι.

καὶ πικρὸς τῆς δειλίας ἀφαιρήσῃ, καὶ πάντως τῆς ἀπανθρωπίας ἐκπέσῃ. καὶ τὰ μὲν περὶ τῆς διαθέσεως τῶν ἄνω, καὶ τῆς καταβάσεως αὐτῶν, καὶ τῆς σωματουργίας, τοσαῦτα. συμβαίνει δὲ, ὦ τέκνον, ἐν ἑκάστῳ εἴδει εὑρίσκεσθαι, καὶ γένει τῶν προειρημένων, βασιλικάς τινας ψυχάς, καταβαίνειν δὲ καὶ ἄλλας ἀλλοίως, τὰς μὲν διαπύρους· τὰς δὲ ψυχράς· τὰς δὲ ὑπερηφάνους, τὰς δὲ πρᾳείας· τὰς δὲ βαναύσους· τὰς δὲ ἐμπείρους, τὰς δὲ ἀπείρους· τὰς δὲ ἀργάς, τὰς δὲ ἐνεργεῖς· τὰς δὲ ἄλλο τι ἄλλως οὔσας. συμβαίνει δὲ τοῦτο παρὰ τὴν τῶν τόπων θέσιν ὅθεν εἰς τὸ ἐνσωματωθῆναι καὶ βάλλονται αἱ ψυχαί. αἱ μὲν γὰρ ἀπὸ βασιλικοῦ διαζώματος καταπηδῶσι τῆς ὁμοιοπαθοῦς βασιλικῆς ψυχῆς, πολλαὶ γάρ εἰσι βασιλεῖαι. αἱ μὲν γὰρ εἰς ψυχῶν, αἱ δὲ σωμάτων, αἱ δὲ τέχνης, αἱ δὲ ἐπιστήμης, αἱ δὲ αὐτῶν. πῶς, πάλιν εἶπεν ὦρος, καὶ ἑαυτῶν; οἷον, ὦ τέκνον, ὡς ἐπιγεγονότων ἤδη ψυχῶν μὲν ὄσιρις ὁ πατήρ σου, σωμάτων δὲ ἑκάστου ἔθνους ἡγεμών· βουλῆς δὲ, ὁ πατὴρ πάντων, καὶ καθηγητὴς, ὁ τρισμέγιστος ἑρμῆς· ἰατρικῆς δὲ, ὁ ἀσκληπιὸς, ὁ ἡφαίστου· ἰσχύος δὲ καὶ ῥώμης πάλιν ὄσιρις μεθ' ὃν, ὦ τέκνον, αὐτός σύ· φιλοσοφίας δὲ, ἀρνεβασκῆνις· ποιητικῆς δὲ, πάλιν ὁ ἀσκληπιὸς ἰμούθης. καθόλου γὰρ, ὦ τέκνον, εὑρήσεις, ἐὰν ἐξετάσῃς, πολλοὺς καὶ πολλῶν ἄρχοντας, καὶ πολλοὺς πολλῶν βασιλεύοντας· ἀλλ' ὁ μὲν πάντων κρατῶν, τέκνον, ἐκ τῆς ὑπεράνω χώρας ἐστίν, ὁ δὲ τῆς κατὰ μέρος, ἐκείνην ἔχει τὴν ἀφ' οὗ τόπου ἐστὶ βασιλικωτέραν. διαζώματος τετυχότες, πυρὸς ἐργάται γίγνονται καὶ τροφῆς· οἱ δὲ ἀπὸ τοῦ ὑγροῦ, ἐν ὑγροῖς διαζώουσιν· οἱ δὲ ἀπὸ ἐπιστημονικοῦ τεχνίτου, περὶ ἐπιστήμας γίγνονται καὶ τέχνας· οἱ δὲ ἀπὸ ἀργοῦ, ἀργῶς καὶ ἐπιρρεμβῶς διαζῶσι. πάντων γὰρ τῶν ἐπὶ γῆς, ὦ τέκνον, διὰ λόγου καὶ ἔργου πραγμάτων, ἄνω εἰσὶν αἱ πηγαί, μέτρῳ καὶ σταθμῷ ἐπιχέουσαι ἡμῖν τὰς οὐσίας, καὶ οὐκ ἔστι ὃ μὴ ἄνωθεν καταβέβηκε, καὶ πάλιν ἀνέρχεται ἵνα καταβῇ. πῶς πάλιν λέγεις τοῦτο, ὦ τεκοῦσα, παράδειξον· καὶ ἀπεκρίθη ἶσις πάλιν, τῆς παλινδρομίας ἐναργὲς τοῦτο σημεῖον τοῖς ζῴοις ἐνέθηκεν ἡ ἱερωτάτη φύσις. τοῦτο γὰρ ὡς τὸ μὲν ἄνωθεν ἐξ ἀέρος πνεῦμα, τοῦτο πάλιν ἄνω πέμπομεν, ἵνα λάβωμεν· καὶ εἰσὶν, ὦ τέκνον, τούτου τοῦ ἐνεργήματος τεχνῖται ἐν ἡμῖν φῦσαι· αἳ ἐπειδὰν μυσῶσι τὰ δεκτικὰ ἑαυτῶν τοῦ πνεύματος στόματα, τότε ἡμεῖς οὐκ ἔτι ὧδε ἐσμέν, ἀλλὰ ἀναβεβήκαμεν. προσεπιγίγνεται, ὦ παῖ μεγαλόδοξε, καὶ ἕτερα τινὰ ἡμῖν ἐκτὸς τῆς φυράματος συσταθμίας. τί δ' ἐστι, ὦρος εἶπε, τὸ φύραμα τοῦτο, ὦ τεκοῦσα; σύνοδός ἐστι καὶ κρᾶσις τῶν τεσσάρων στοιχείων, ἐξ ἧς κράσεως καὶ συνόδου ἀναθυμιᾶταί τις ἀτμὸς, ὃς περιειλεῖται μὲν τῇ ψυχῇ, διατρέχει δὲ ἐν σώματι, ἀμφοτέροις μεταδιδοὺς, τουτέστι τῷ σώματι καὶ τῇ ψυχῇ, τῆς ἰδίας ποιότητος· καὶ οὕτως αἱ διαφοραὶ τῶν ψυχικῶν καὶ τῶν σωματικῶν ἀναλλοιώσεων γίγνονται. εἰ μὲν γὰρ κατὰ τὴν σωματικὴν διάπηξιν πλεονάσειε τὸ πῦρ, τὸ τηνικαῦτα ἡ ψυχὴ θερμὴ τὴν φύσιν ὑπάρχουσα, καὶ ἕτερον θερμὸν προσλαβοῦσα, ἐκπυρωδεστέρα γενομένη, ποιεῖ τὸ ζῷον ἐνεργότερον, τὸ δὲ σῶμα, ὀξὺ καὶ εὐκίνητον· εἰ δὲ πλεονάσειε ὁ ἀήρ, τὸ τηνικαῦτα καὶ κοῦφον καὶ πηδητικὸν καὶ ἀνέδρασον γίνεται τὸ ζῷον καὶ ψυχῇ καὶ σώματι· εἰ δὲ τὸ ὕδωρ πλεονάσειε, τὸ τηνικαῦτα καὶ τὸ ζῷον τῇ μὲν ψυχῇ γίνεται εὔχυμον, καὶ εὐφυὲς, καὶ εὐπερίχυτον, ἱκανῶς τι τοῖς ἄλλοις ἐπιπεσεῖν, καὶ κολληθῆναι δυνάμενον, διὰ τὸ πρὸς τὰ ἄλλα

ἑνωτικὸν

ἀνωτικὸν τοῦ ὕδατος, ἐοικὸς ἀεὶ γὰρ πᾶσι, καὶ πολὺ μὲν ὂν εἰς ἑαυτὸ ἀναλύει, καὶ μεταλαμβάνει, ὀλίγον δὲ ὑπάρχον καὶ καθάπερ ὑπ' ἐκείνου γίνεται ὡς ἔμιγεν· τὰ μέντοι σώματα ὑπὸ πλαδαρότητος καὶ χαυνότητος, εἰς μὲν συστροφὴν οὐκ ἄγεται, ἀλλὰ μικρᾷ τινι νόσου ἀφορμῇ λύεται, καὶ τῆς ἰδίας συνδέσεως κατ' ὀλίγον ἐκπίπτει. εἰ δὲ τὸ γεῶδες πλεονάσειε, τὸ τηνικαῦτα ἀμβλεῖα μὲν τοῦ ζώου ἡ ψυχὴ γίνεται, οὐκ ἔχουσα τὴν σωματικὴν ἀραιότητα διέλευσιν, οὐδὲ τῶν δι' ὧν ἀποδήσεται πεπαχυμένων τῶν αἰσθητικῶν μελῶν, ἀλλὰ ἔνδον μένει παρ' ἑαυτῇ, ὑπὸ βάρους καὶ πυκνότητος πιεσθεῖσα, τὸ δὲ σῶμα στερεὸν μὲν, ἀλλ' ἀργὸν καὶ βαρὺ, καὶ μετὰ βίας ὑπὸ τῆς προαιρέσεως κινούμενον. εἰ δὲ σύμμετρος γένοιτο ἡ πάντων στάσις, τότε τὸ ζῶον θερμὸν εἰς πρᾶξιν, κοῦφον δὲ εἰς κίνησιν, εὔκρατον δὲ εἰς ἁφὴν, γενναῖον δὲ εἰς σύνθεσιν κατασκευάζεται. ὅσα μὲν οὖν τῷ λόγῳ κεκοινώνηκε πλείονος πυρὸς καὶ πνεύματος, ταῦτα ἀπωρέωνται, καὶ ἄνω παρ' ἐκείνοις πολιτεύονται τοῖς στοιχείοις, ἐξ ὧν καὶ ἐγένοντο. ὅσα δὲ πλείονος μὲν πυρὸς, ὀλίγου δὲ πνεύματος, ὕδατος δὲ καὶ γῆς ἴσης, ταῦτα ἀπηνθρώπισται, καὶ τοῦ ζώου τὸ περισσὸν τοῦ θερμοῦ εἰς σύνεσιν ἐτράπη· ὁ γὰρ ἐν ἡμῖν νοῦς θερμόν τι χρῆμά ἐστι, ὃ καίει μὲν οὐδὲν, διαδύνει δὲ κατὰ πάντων καὶ ἐπίσταται. ὅσα δὲ πλείονος μὲν ὕδατος, πλείονος δὲ γῆς, μετρίου δὲ πνεύματος, καὶ ὀλίγου δὲ πυρὸς, ταῦτα θηριοῦται· τῇ δὲ τοῦ θερμοῦ περιουσίᾳ ἀλκιμώτερα γίνονται τῶν ἄλλων. ὅσα δὲ γῆς καὶ ὕδατος ἴσον κεκοινώνηκε, ταῦτα ἑρπετώθη, καὶ τῇ τοῦ πυρὸς στερήσει ἄτολμα γίνονται καὶ ἀπαρρησίαστα, τῇ δὲ τοῦ ὕδατος κοινωνίᾳ ψυχρὰ ἐγένετο, τῇ δὲ τῆς γῆς, βαρέα καὶ νωθρὰ, τῇ δὲ τοῦ πνεύματος, δυσκίνητα, εἰ προαιρέσει τὸ κινεῖσθαι. ὅσα δὲ πλείονος μὲν ὑγροῦ, ὀλίγου δὲ ξηροῦ, ταῦτα ἀπιχθύωται· καὶ τῇ μὲν τοῦ θερμοῦ καὶ ἀέρος στερήσει, δειλά ἐστι καὶ ἄδυτα, τῇ δὲ τοῦ ὑγροῦ περιουσίᾳ, καὶ τῇ τοῦ γεώδους περιουσίᾳ, ἐν λελυμένῃ γῇ καὶ ὕδατι, διὰ τὸ συγγενὲς, κατοικεῖ. καὶ πρὸς μὲν τὴν τοῦ ἑκάστου στοιχείου μοῖραν, καὶ τῶν μοιρῶν τὴν περιοχὴν, καὶ τὰ σώματα ἡλικιάζεται· καὶ πρὸς τὴν ὀλιγομετρίαν τὰ λοιπὰ ζῶα μεμετροποίηται, πρὸς ἐκείνην τὴν ἑκάστου τῶν στοιχείων ἰσομετρίαν. καὶ ἔτι, ὦ παῖ περιπόθητε, ἔλεγον ὅτι ἐκ ταύτης τῆς ἄνω συστάσεως ἡ κατὰ τὴν πρώτην σύνοδον γενομένη κρᾶσις, καὶ ὁ ἐκ ταύτης ἀναθυμιώμενος ἀτμὸς, ἐφ' ὅσον τὴν ἰδίαν τηρῶσιν ἰδιότητα, ὥστε τὸ μὲν θερμὸν ἕτερον μὴ λαβεῖν θερμὸν, μήτε τὸ ἀερῶδες πνεῦμα, ἕτερον, μηδὲ τὸ ὑγρὸν ἑτέραν ὑγρασίαν, μηδὲ τὸ γεῶδες ἑτέραν πυκνότητα· τότε τηνικαῦτα τὸ ζῶον ὑγιαίνει. ἐπὰν γὰρ μὴ οὕτως μένῃ, ὦ τέκνον, ἐφ' οἷς ἔχει ἐξ ἀρχῆς μέτροις, ἀλλ' ἢ τι πλεονάσῃ ταῦτα, οὐκ ἐνεργεῖ, ἀλλ' ἐλαττοῖ κατὰ περιοχὴν, οὐδὲ τῇ κατ' αὔξησιν γινομένῃ μεταβολῇ τῶν γενῶν καὶ τῶν σωμάτων, ἀλλὰ τῇ, ὡς προείπαμεν, συστατικῇ τῶν στοιχείων κράσει, ὥστε τὸ μὲν θερμὸν ἐπιπλεῖον αὐξηθῆναι, ἢ ἐπιπλεῖον ἐλαττωθῆναι, τὰ δὲ ἄλλα ὁμοίως. τηνικαῦτα οὕτως νοσεῖ τὸ ζῶον. ἐπὰν γὰρ οὕτως διατεθῇ τό, τε θερμὸν καὶ τὸ ἀερῶδες, ἃ δὴ σύνοικα ἐστι τῆς ψυχῆς, τότε ἐν ἀλλοφορίαις καὶ ἐκστάσεσι γίνεται τὸ ζῶον· πεφύκασι γὰρ τὰ στοιχεῖα δι' ὧν διαφθείρεται τὰ σώματα. αὐτὸ μὲν γὰρ τὸ γεῶδες ἐστὶν ἡ τοῦ σώματος πῆξις, τὸ δὲ ὑγρὸν, καὶ ἐν τούτῳ ἐστὶν εἰς συμπαγίαν περίχυσις. τὸ γὰρ ἀερῶδες ἐστὶ τὸ ἐν ἡμῖν κινητικὸν, καὶ τούτων πάντων ἐνεργητικὸν τὸ πῦρ. ὥσπερ οὖν ἐκ τῆς πρώτης συνόδου καὶ κράσεως τῶν στοιχείων γενόμενος ἀτμὸς, καὶ ὡσανεὶ ἔξαψις καὶ ἀναθυμίασις, ὁποῖος ἐὰν ᾖ,

gitur, & vt omnibus insidet, ita si multa fuerit, in se illa transfert; sin exigua, in illa trãsfertur. corpus autem præ vligine ac mollitie [f] *nõ constringitur, sed leni morbo dissoluitur, & compage suæ paulatim excidet. Si terra potior fuerit, tum anima quidem redditur obtusa, cùm raritate corporis careat, nec per obesa sensuum membra commeare possit; ac præ grauitate atq. crassitudine intus manere cogitur: corpus verò solidum quidem, sed ignauũ et graue, ac vi mouendum. Quod si temperata fuerit omnium mistura, tum animal calidum quidẽ ad opus, leue autem ad motum, aptum verò ad tactum, concinnum denique ad compagem efficitur. Quæ igitur plusculum ignis & aëris nacta sunt, hæc volucria sunt effecta, imq́; elementis illis, de quibus profecta sunt, in sublimi degunt. Quæ multũ ignis, parum aëris, aquæ terræq́; æquas partes habuerunt, hominum induerunt naturam, caloris magnitudine in prudentiam conuersa, quandoquidem mens nostra calor quidam est, vt non vrens, ita per omnia penetrans. Quæ multum aquæ terræq́, parum aëris & ignis habuerunt, fera sunt effecta, aucto de calore robore. Quæ dumtaxat aquæ terræq́; partes æquas fuerunt sortita, reptilia extiterunt, atque igne priuata meticulosa, aquam sortita frigida, terram nacta grauia, aëre destituta propemodum* [g] *immobilia sunt reddita, siquidem de consilio motus proficiscitur. Quibus denique plusculum humoris, parum siccitatis fuit, piscium sumsere naturã, quæ calore quidem & aëre destituta sunt meticulosa, humoris autem terræq́; plena, terram & aquam dissolutas propter cognationem incolunt. Iam vt pro singulorum elementorum partibus & earũ compage corpora grandescunt, ita pro earundẽ paucitate mensuram nanciscuntur. Præterea, quamdiu, fili carissime, hæc prima mistura, deq́; ea vapor exhalatus suam conseruant proprietatem: sic vt nec calor alium assumat calorem, nec aër alium spiritũ, nec humor alium humorem, nec terra aliam crassitudinem; rectè se habet animal. Etenim si pristina non seruentur mẽsura, sed hæc vel minus vel plus habuerint, non tam* [h] *functione aut corporum immutatione, quàm dicta elemẽtorum mistura, sic vt tum calor tum reliqua nimium vel crescant vel decrescant; tum ægrotat animal. Cùm enim calor & aër, animæ cognati, sic se habuerint, animal deficit, quandoquidem in perniciem corporis elementa comprimuntur. Nam terra quidẽ compagem continet, humor autem complexum, aër verò motum, ignis denique actionem. Quocirca vapor de prima elementorum productus natura, qualiscunque fuerit, animam in suam*

[f] cùm pro. ὅτι.

[g] ἀκίνητα pro δυσκίνητα.

[h] ἐνεργείᾳ λέγω pro ἐνεργεῖ ἀλλ' ἐγὼ.

transfert naturam, posteaquam illa prima inhærens cognationi ordinem non deserit. Quòd si quæ extrinsecus vel toti misturæ, vel parti alicui maior antiqua inferatur portio, inde vapor immutatus animæ simul & corporis statũ immutat. Nam ignis quidem & aër, cùm sursum tendũt, ad animam, eiusdem loci incolam, recurrunt: humor autem ac terra, cùm deorsum tendunt, corpori, eiusdem loci incolæ, incumbunt.

De sensibus, & sensuum obiectis.

Plato sensum definit animæ & corporis cũ externis communionem. Etenim facultas quidem est animæ, instrumentum autem corporis, ambo verò per imaginationem externa comprehendunt. sic enim ait in Philebo: Motum autem in communi corporis & animæ passione factum si sensum vocaueris, haud ab re nominabis. Vero loqueris.

Aristoteles sensum obiecti mutationem ac medietatem vocat.

Idem sensum non circa proprium, sed circa euentum errore asserit.

Pythagoras & Plato sensum vnumquemque de suo deducunt elemento, sic vt ad aspectũ faciat æther, ad auditum aër, ad olfactũ ignis, ad gustum humor, ad tactum terra.

Plat. Phæd. *Quàm mira videtur, ó viri, hæc res esse, quam nominant homines voluptatem, quamq́; miro naturaliter se habet modo ad dolorem ipsum, qui eius contrarius esse videtur. quippe cùm simul homini adesse nolint. attamen si quis prosequitur capitq́; alterum, semper ferme alterum quoque accipere cogitur, quasi ex eodem vertice sint ambo connexa. Arbitror equidem Æsopum, si hæc animaduertisset, fabulã fuisse facturum: videlicet Deum ipsum cùm ipsa inter se pugnantia vellet conciliare, ne quid facere posset, in vnum saltem eorũ apices coniunxisse, proptereaq́; cuicunq. adest alterum, eidem mox alterum quoq. adesse. Quod quidem mihi accidit in præsentia. Siquidẽ modo crus propter vincula afficiebatur dolore, sed huic succedere voluptas iam videtur.*

Plat. Theætet. *Cogito igitur sic, ô optime, circa oculos primùm quidem colorem quem dicimus album, nõ esse ipsum aliud quicquam extra tuos oculos, neque in oculis, neque illi tu locum certum attribuas. Iã enim esset in ordine, maneretq́; &c. Sin autem mensuratum quod attingimus, vel album, vel calidum esset, etiam si nihil accidat aliud, patiatúrve, ipsum quoque nihil patiens mutabitur.*

Ne prætermittamus ergo quæ restant. Reliquum est enim, vt de somniis morbisq́; cùm aliis, tum insania maximè dicam, et de eo quod peruersè videtur, vel auditur, vel aliter quomodocunque sentitur. Nosti enim in his omnibus sermonem quem suprà retulimus, sine vlla cõ-

παραμυθεῖς τῇ ψυχῇ, ἀλλ' ἑαυτὴν εἰς ἑαυτὸν, ὡς ἂν ἔχῃ φύσεως, εἴτε σπουδαῖος, εἴτε μή. τῇ γὰρ ἐξ ἀρχῆς πρὸς αὐτὸν οἰκειότητι καὶ συντροφίᾳ ἐπιμείνασα ἡ ψυχὴ, τὴν τάξιν διατηρεῖ. ὅταν δὲ ἐπιπροσγένηται ἤτοι τῷ ὅλῳ συγκράματι, ἢ καὶ μέρισιν, ἢ μέρει αὐτοῦ, ἔξωθέν τις πλείων μοῖρα τῆς προκαταβεβλημένης τι, καὶ ὁ ἐντεῦθεν μεταλλοιούμενος ἀτμὸς μεταλλοιοῖ ἤδη τὴν τῆς ψυχῆς διάθεσιν καὶ τὴν τοῦ σώματος. τὸ γὰρ πῦρ καὶ τὸ πνεῦμα ἀναφερῆ ὄντα, ἐπὶ τὴν ψυχὴν, ὁμοιόχωρον αὐτοῖς ὑπάρχουσαν, ἀναστοιχεῖ· τὸ δὲ ὑγρὸν καὶ τὸ γεῶδες καταφερῆ ὄντα, τῷ σώματι, ὁμοιοέδρῳ ὄντι, ἐφιζάνει.

Πλάτων τὴν αἴσθησιν ἀποφαίνεται ψυχῆς καὶ σώματος κοινωνίαν πρὸς τὰ ἐκτός. ἡ μὲν γὰρ δύναμις, ψυχῆς· τὸ δὲ ὄργανον σώματος. ἄμφω δὲ διὰ φαντασίας ἀντιληπτικὰ τῶν ἔξωθεν. λέγει δὲ ἐν τῷ Φιλήβῳ ὧδε, τὸ δ' ἐν πάθει τὴν ψυχὴν καὶ τὸ σῶμα κοινῇ γιγνόμενον, κοινῇ καὶ κινεῖσθαι· ταύτην δὲ τὴν κίνησιν ὀνομάζων αἴσθησιν, οὐκ ἀπὸ τρόπου φθέγγοιο ἄν. ἀληθέστατα λέγεις.

Ἀριστοτέλης τὴν αἴσθησιν ἑτεροίωσιν αἰσθητοῦ, καὶ μεσότητα, κοινὴν δὲ αἴσθησιν, τὴν τῶν εἰδῶν κριτικὴν, εἰς ἣν πᾶσαι συμβάλλουσιν αἱ ἁπλαῖ τὰς ἰδίας ἑκάστη, ἐν ᾗ τὸ μεταβατικὸν ἀφ' ἑτέρου εἰς ἕτερον, οἷον σχήματος κινήσεως, σώματος μεθορίῳ τῆς λογικῆς καὶ τῆς ἀλόγου, μνήμης καὶ νοῦ μετέχουσα, διατείνουσα καὶ ἐπὶ τὰ ἄλογα τῶν ζώων, καθ' ὁπόσον διανοίας ἀναλογίαν ἔχει. κοινὰ δ' ἐστὶ ὄψεως μὲν καὶ ἁφῆς σχῆμα, ὄψεως καὶ ἀκοῆς διάστημα, πασῶν δὲ κίνησις καὶ μέγεθος καὶ ἀριθμός.

Hæc paulo pòst iisdẽ verbis repetuntur.

Ὁ αὐτὸς τὴν αἴσθησιν μὴ πλανᾶσθαι περὶ τὸ ἴδιον, περὶ δὲ τὸ συμβεβηκός.

Πυθαγόρας καὶ Πλάτων καθαρὸν ἕκαστον εἶναι τῶν αἰσθητικῶν ἐξ ἑκάστου στοιχείου προσερχόμενον. πρὸς μὲν οὖν τὴν ὅρασιν τὸ αἰθερῶδες πεφυκέναι, πρὸς δὲ τὴν ἀκοὴν τὸ πνευματικὸν, πρὸς δὲ τὴν ὄσφρησιν τὸ πυρῶδες, πρὸς δὲ τὴν γεῦσιν τὸ ὑγρὸν, πρὸς δὲ τὴν ἁφὴν τὸ γεῶδες.

πλάτ. ἐν τῷ φαίδωνι. Ὡς ἄτοπον, ἔφη, ὦ ἄνδρες, ἔοικεν εἶναι τοῦτο ὃ καλοῦσιν οἱ ἄνθρωποι ἡδύ· ὡς θαυμασίως πέφυκε πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ λυπηρόν· τῷ ἅμα μὲν αὐτὼ μὴ θέλειν παραγίγνεσθαι τῷ ἀνθρώπῳ· ἐὰν δέ τις διώκῃ τὸ ἕτερον, καὶ λαμβάνει, σχεδόν τι ἀναγκάζεσθαι ἀεὶ λαμβάνειν καὶ τὸ ἕτερον, ὥσπερ ἐκ μιᾶς κορυφῆς ἡμμένω δύο ὄντε. καί μοι δοκεῖ, ἔφη, εἰ ἐνενόησεν αὐτὰ Αἴσωπος, μῦθον ἂν συνθεῖναι, ὡς ὁ θεὸς βουλόμενος αὐτὰ διαλλάξαι πολεμοῦντα, ἐπειδὴ ὑπὸ τοῦ δεσμοῦ ἦν τῷ σκέλει τὸ ἀλγεῖν, ἥκειν δὲ φαίνεται ἐπακολουθοῦν τὸ ἡδύ.

πλάτ. ἐν τῷ θεαιτήτῳ. Ἀπόλαβε τοίνυν, ὦ ἄριστε, οὑτωσί, κατὰ τὰ ὄμματα πρῶτον, ὃ δὲ καλεῖς χρῶμα λευκὸν, μὴ εἶναι αὐτὸ ἕτερόν τι ἔξω τῶν σῶν ὀμμάτων, μηδ' ἐν τοῖς ὄμμασι, μηδὲ τινὰ αὐτῷ χώραν ἀποτάξῃς. ἤδη γὰρ ἂν εἴη τι ἄν που ἐν τάξει, καὶ μένον. εἰ δὲ αὐτὸ παραμετρούμενον, καὶ τὸ ἐφαπτόμενον ἕκαστον ἦν τούτων, οὐκ ἂν αὖ ἄλλου προσηθέντος, ἤτοι παθόντος, αὐτὸ μηδὲν παθὸν ἂν ἄλλως ἐγίγνετο.

ἐν τῷ αὐτῷ. Μὴ τοίνυν ἀπολείπωμεν ὅσον ἐλλεῖπον αὐτοῦ. λείπεται δὲ ἐνυπνίων τε περὶ καὶ νόσων τῶν τε ἄλλων καὶ μανίας ὅσα τε παρακούειν, ἢ παρορᾶν ἢ ἄλλο παραισθάνεσθαι λέγεται. οἶσθα γάρ που ὅτι ἐν πᾶσι τοῖς ὁμολογουμένοις ἐλέγχεσθαι δοκεῖ ὃν ἄρτι διήειμεν λόγον, ὥστε παντὸς

μᾶλλον

μᾶλλον ἂν ἡμῖν ψευδεῖς αἰσθήσεις ἐν αὐτοῖς γιγνομένας, καὶ πολλοῦ δεῖ τὰ φαινόμενα ἑκάστῳ ταῦτα καὶ εἶναι, ἀλλὰ πᾶν τοὐναντίον οὐδὲν φαίνεται εἶναι. ἀληθὲς ταῦτα λέγεις, ὦ Σώκρατες. τίς δὲ οὖν, ὦ παῖ, λείπεται λόγος τῷ τὴν αἴσθησιν ἐπιστήμην τιθεμένῳ, καὶ τὰ φαινόμενα ἑκάστῳ ταῦτα εἶναι ἃ φαίνεται;

ἐν Θεαιτ. Μετρίως ἄρα ἡμῖν πρὸς τὴν διδάσκαλόν σου εἰρήσεται ὅτι ἀνάγκη αὐτὸ ὁμολογεῖν σοφώτερόν τε ἄλλον ἄλλου εἶναι, καὶ τὸ μὲν τοιοῦτον, μέτρον εἶναι, ἐμοὶ δὲ τῷ ἀνεπιστήμονι, μηδὲ ὁπωσπηοῦν ἀνάγκη εἶναι μέτρῳ γίγνεσθαι.

Πολλαχῇ οὖν, ὦ Θεόδωρε, καὶ ἄλλῃ ἂν τό γε τοιοῦτον, ἀλλ' οἵοι μὴ πᾶσαν παντὸς ἀληθῆ δόξαν εἶναι, περὶ δὲ τὸ παρὸν ἑκάστῳ πάθος ἐξ οὗ αἱ αἰσθήσεις καὶ αἱ κατὰ ταῦτα δόξαι γίγνονται, χαλεπώτερον ἑλεῖν ὡς οὐκ ἀληθές.

ἐν Θεαιτ. Οὐκ οὖν, ὦ Θεόδωρε, τοῦ τε σοῦ ἑταίρου ἀπηλλάγμεθα, καὶ οὔπω συγχωροῦμεν αὐτῷ πάντ' ἄνδρα πάντων χρημάτων μέτρον εἶναι.

ἐν Τιμαίῳ. Λόγος δὲ ὁ κατ' αὐτὸν γιγνόμενος, περί τε θάτερον ὤν, καὶ περὶ τὸ ταὐτὸν ἐν τῷ κινουμένῳ ὑφ' αὐτοῦ φερόμενος ἄνευ φθόγγου καὶ ἠχῆς, ὅταν μὲν περὶ τὸ αἰσθητὸν γίγνηται, καὶ ὁ τοῦ θατέρου κύκλος ὀρθὸς, ἰὼν εἰς πᾶσαν αὐτοῦ τὴν ψυχὴν διαγγείλῃ, δόξαι καὶ πίστεις γίγνονται βέβαιοι καὶ ἀληθεῖς· ὅταν δὲ αὖ περὶ τὸ λογιστικὸν ᾖ, καὶ ὁ τοῦ ταὐτοῦ κύκλος εὔτροχος ὤν, αὐτὰ μηνύσῃ, νοῦς ἐπιστήμη τε ἐξ ἀνάγκης ἀποτελεῖται, τοῦτο δὲ ἐν ᾧ τῶν ὄντων ἐγγίγνεσθαι, ἄν ποτέ τις αὐτὸ ἄλλο πλὴν ψυχὴν εἴπῃ, πᾶν μᾶλλον ἢ τἀληθὲς.

Ἀριστοτέλης ἕκτην μὲν οὐ λέγει, κοινὴν δὲ αἴσθησιν τῶν συνθέτων εἰδῶν κριτικὴν, εἰς ἣν πᾶσαι βάλλουσιν αἱ ἁπλαῖ τὰς ἰδίας ἑκάστη φαντασίας, ἐν ᾗ τὸ μεταβατικὸν ἀφ' ἑτέρου πρὸς ἕτερον, οἱονεὶ σχήματος καὶ κινήσεως.

μεθορίῳ τοῦ λογικοῦ καὶ τοῦ ἀλόγου &c. additur suprà. ἐν αὐτῷ. Τὸ δὴ αἰσθητικὸν, ὃ δὴ κοινὸς ἁπάντων τῶν ζώων ἴδιον, αἰσθήσει γὰρ διαφέρειν τὸ ζῶον τοῦ φυτοῦ, πενταπλοῦν ἐοικέναι. τοῦτο γὰρ τὸ μὲν ὅρασιν, τὸ δ' ἀκοὴν, τὸ δ' ὄσφρησιν, τὸ δὲ γεῦσιν, τὸ δὲ ἁφήν. ὑπάρχειν δέ τινα καὶ σύνθετον αἴσθησιν, ἐν ᾗ τό, τε φανταστικὸν πᾶν γίγνεσθαι, καὶ μνημονευτικὸν, καὶ τὸ δοξαστικὸν, ὅπερ οὐδ' ἄμοιρα τοῦ νοῦ τυγχάνει, αἰσθάνεσθαι δ' ἡμᾶς παθούσης τι τῆς αἰσθήσεως.

πλάτων ἐν τῷ φαίδωνι. Ὁ δ' ἐγκέφαλός ἐστιν ὁ τὰς αἰσθήσεις παρέχων τοῦ ἀκούειν, καὶ ὁρᾶν, καὶ ὀσφραίνεσθαι. ἐκ τούτων δὲ γίγνοιτο μνήμη, καὶ δόξα· ἐκ δὲ μνήμης καὶ δόξης λαβούσης τὸ ἠρεμεῖν, κατὰ ταῦτα γίγνεσθαι ἐπιστήμην.

τῷ addit Plut. Ὁ αὐτὸς συναυγείας μὲν ἐκ τῶν ὀφθαλμῶν φωτὸς ἐπὶ ποσὸν ἀπορρέοντος εἰς τὸν ὁμογενῆ ἀέρα, τοῦ δὲ ἀπὸ τῶν

trouersia confutari, cùm sensus in ipsis prorsus decipiantur, tantumq; abest, vt omnia quæ apparent cuiq. ea sint, vt contrà nihil eorum quæ apparent existat. Vera narras, ô Socrates. Quò deinceps, ô puer, ille confugiet, qui sensum scientiam affirmauit, quæve cuique apparent, eadem & talia esse, qualia visa sunt?

Satis iam aduersus præceptorem tuum dictũ sit, quòd fateri cogitur, alium alio sapientiorem existere, eumq; talem mensuram esse. Me autem cùm expers scientiæ sim, nihil mensuram fieri, cogit.

In multis insuper, ô Theodore, deprehendi hoc licet, non omnem omnium opinionem verã existere. sed circa præsentem cuiq. passionem, ex quo sensus, & secundum sensus opiniones nascuntur, difficiliùs deprehẽditur sensus opinionesq; veras non esse.

Iam, ô Theodore, quod ad amicum tuum attinet, expediuimus: necdum concessimus illi quẽlibet hominem rerũ omnium esse mẽsuram.

Plat. Tim. Ratio autẽ vera quæ versatur in iis, quæ sunt semper eadem, & in iis quæ mutantur, cùm in eodem & altero mouetur ipsa per sese sine voce & sine vllo sono, cùm eandem partem attingit, quæ sensus cieri potest, & orbis illius generis alterius immutatus et rectus, omnia animo menteq; denunciat: tum opiniones assensionesq; firmæ veræq; gignuntur. Cùm autem in illis rebus versatur, quæ manentes semper eadem non sensu, sed intelligentia continentur: tum mens ac scientia necessariò producitur.

De numero sensuum.

Aristoteles sextum quidem non ponit, sed communem sensum, compositarum formarum iudicem, in quem singuli suas imaginationes conferant, quiq; mutationem figuræ ac motus contineat, rationis compotis & expertis partis confinium, memoriæ mentisq; particeps, brutis quoque attributus, quatenus aliquam intellectus habens scintillam. Communia porrò sunt visus quidem ac tactus figura, visus autem & auditus interuallum, omnium verò motus, magnitudo, ac numerus.

Sensum igitur, qui sit omnium cõmunis animalium, posteaquam sensu animal à planta differat, quintuplicem esse asserit, ac visum, auditum, olfactum, gustum, tactum comprehẽdere, præterea compositum quendam esse sensum, in quo tum imaginatio, tum memoria, tum opinio cernatur, neque mens desideretur, sentire nos denique sensu aliquid patiente.

Plat. Phæd. Sed cerebrum præbet sensus audiendi, videndi, olfaciendi, ex his autem memoria et opinio fit, ex memoria verò, & opinione quietem accipiente, per hæc scientia oritur.

De visu, eiusq; ratione.

Plato lucis communionem definit, oculorum quidem luce in aërem aliquousq. effluente, cor-

porum autem refluente, aëris verò mutabilis cũ oculorum igne contendente.

Aristoteles per motum perspicui videre nos indicat, ac perspicuum ponit nõ aërem tantùm, sed aquam quoque, & composita quædam, vt vitrum, & crystallum, & lapides quosdam. Similiter audire nos per motum distantis asserit, non aëra tantùm, sed ignis quoq. & aquæ, & compositorum quorundam.

Plat. Tim.

Sed ex omnibus faciei partibus primi luciferi oculorum orbes coruscant, hac causa dati. Ignis certè illius qui non vrit quidem, sed illuminando suauiter diem inuehit mundo, participes oculorum orbes dy fecerunt. Intimum siquidem nostri corporis ignem huius ignis germanum sincerumq́ per oculos emanare voluerunt, in quibus lenis congestusq́ ubiq. ignis huiusmodi sit, &c. cùm ignis oculorum eam eo igne, qui est è conspectu effusus, circa lene nitidumq́ corpus sese confudit.

σωμάτων ἀντιφερομένου, τοῦ δὲ περὶ τὸν μεταξὺ ἀέρα διαχυτὸν ὄντα, καὶ εὔτρεπτον, συνεκτεινομένου τῷ πυροειδεῖ τῆς ὄψεως, ταύτην λέγεσθαι πλατωνικὴν συναύγειαν.

Ἀριστοτέλης, ὁρᾶν ἡμᾶς κατὰ κίνησιν τοῦ κατ' ἐνέργειαν διαφανοῦς. διαφανὲς δὲ οὐ μόνον εἶναι τὸν ἀέρα, ἀλλὰ καὶ τὸ ὕδωρ, καί τινα τῶν συνισταμένων πόθεν, οἷον ὕαλον, καὶ κρύσταλλον, καί τινας τῶν λαμπρῶν λίθων. ἀκούειν δὲ, κατ' ἐνέργειαν αὐτοῦ μεταξὺ διηχοῦς· διηχὲς δ' εἶναι καὶ τὸν ἀέρα, καὶ τὸ πῦρ, καὶ τὸ ὕδωρ, καί τινα τῶν συγκριμάτων.

Τῶν δὲ ὀργάνων πρῶτον μὲν φωσφόρα συνετεκτήναντο ὄμματα, τοιᾷδε ἐνδήσαντες αἰτίᾳ τοῦ πυρός, ὅσον τὸ μὲν καίειν οὐκ ἔχει, τὸ δὲ παρέχειν φῶς ἡμερινόν, οἰκεῖον ἑκάστης ἡμέρας σῶμα ἐμηχανήσαντο γίγνεσθαι. τὸ γὰρ ἐντὸς ἡμῶν ἀδελφὸν ὂν τούτου πῦρ εἰλικρινὲς ἐποίησαν διὰ τῶν ὀμμάτων ῥεῖν λεῖον καὶ πυκνὸν ὅλον μέν, μάλιστα δὲ τὸ μέσον ξυμπιλήσαντες τῶν ὀμμάτων. τοῦ περὶ τὸ πρόσωπον πυρὸς τῷ περὶ τὴν ὄψιν πυρί, περὶ τὸ λεῖον, καὶ λαμπρὸν ξυμπαγεῖ γενόμενον.

Ἔστι γένος ἡμῖν αἰσθητικόν, ὃ διελέσθαι δεῖ, συχνὰ ἐν αὑτῷ ποικίλματα κεκτημένον, ἃ ξύμπαντα μὲν χρόας ἐκαλέσαμεν, φλόγα τῶν σωμάτων ἑκάστων ἀπορρέουσαν, ὄψει σύμμετρα μόρια ἔχουσαν πρὸς αἴσθησιν, ὄψεως δ' ἐν τοῖς πρόσθεν αὐτὸ περὶ τῶν αἰτίων τῆς γενέσεως ἐρρήθη. τῇδ' οὖν τῶν χρωμάτων πέρι μάλιστα εἰκὸς πρέποι τ' ἂν τὸν ἐπιεικῆ λόγον διεξελθεῖν· τὰ φερόμενα ἀπὸ τῶν ἄλλων μόρια, ἐμπίπτοντά τε εἰς τὴν ὄψιν, τὰ μὲν ἐλάττω, τὰ δὲ μείζω, τὰ δὲ ἴσα τοῖς αὐτοῖς τῆς ὄψεως μέρεσιν εἶναι. τὰ μὲν οὖν ἴσα, αἰσθητά τε διαφανῆ λέγομεν· τὰ δὲ μείζω καὶ ἐλάττω, τὰ μὲν συγκρίνοντα, τὰ δὲ διακρίνοντα αὐτήν, τοῖς περὶ τὴν σάρκα θερμοῖς καὶ ψυχροῖς, καὶ τοῖς περὶ τὴν γλῶτταν στρυφνοῖς, καὶ ὅσα θερμαντικὰ ὄντα, δριμέα ἐκαλέσαμεν, ἀδελφὰ εἶναι ταῦτα, εἴη ἂν τά τε λευκὰ καὶ μέλανα, ἐκείνων παθήματα γεγονότα ἐν ἄλλῳ γένει ταὐτά, φανταζόμενα δὲ ἄλλα διὰ ταύτας αἰτίας. οὕτως οὖν καταπροσρητέον τὸ μὲν διακριτικὸν τῆς ὄψεως, λευκόν, τὸ δὲ ἐναντίον αὐτοῦ, μέλαν· τὴν δὲ ὀξυτέραν φοράν, καὶ γένους πυρὸς ἑτέρου προσπίπτουσαν, καὶ διακρίνουσαν τὴν ὄψιν μέχρι τῶν ὀφθαλμῶν, αὐτάς τε τῶν ὀμμάτων τὰς διεξόδους βίᾳ διωθοῦσαν, πῦρ μὲν ἁθρόον, καὶ ὕδωρ, ὃ δάκρυον καλοῦμεν, ἐκεῖθεν ἐκχέουσαν, αὐτὴν δὲ οὖσαν πῦρ, ἐξ ἐναντίας ἀπαντῶσαν· καὶ τοῦ μὲν ἐκπηδῶντος πυρός, οἷον ἀπ' ἀστραπῆς, τοῦ δὲ εἰσιόντος, καὶ περὶ τὸ νοτερὸν κατασβεννυμένου, παντοδαπῶν ἐν τῇ κυκήσει ταύτῃ γιγνομένων χρωμάτων, μαρμαρυγὰς μὲν τὸ πάθος προσείπομεν, τὸ δὲ τοῦτο ἀπεργαζόμενον λαμπρόν τε καὶ στίλβον ἐπωνομάσαμεν. τὸ δὲ τούτων αὖ μεταξὺ πυρὸς γένος, πρὸς μὲν τὸ τῶν ὀμμάτων ὑγρὸν ἀφικνούμενον, καὶ κεραννύμενον αὐτῷ, στίλβον δὲ οὔ, τῇ δὲ διὰ τῆς νοτίδος αὐγῇ τοῦ πυρὸς μιγνυμένῃ χρῶμα ἔναιμον παρασχομένῃ, τοὔνομα ἐρυθρὸν λέγομεν· λαμπρὸν δὲ ἐρυθρῷ λευκῷ τε μιγνύμενον, ξανθὸν γέγονε· τὸ δὲ ὅσον μέτρον ὅσοις, οὐδ' εἴ τις εἰδείη, νοῦν ἔχοι τὸ λέγειν, ὧν μήτε τινὰ ἀνάγκην μήτε τὸν εἰκότα λόγον καὶ μετρίως ἄν τις εἰπεῖν εἴη δυνατός. ἐρυθρὸν δὲ δὴ μέλανι λευκῷ τε κραθέν, ἁλουργόν· ὄρφνινον δέ, ὅταν τούτοις μεμιγμένοις καυθεῖσί τε, μᾶλλον συγκραθῇ μέλαν· πυρρὸν δέ, ξανθοῦ καὶ φαιοῦ κράσει γίγνεται· φαιὸν δὲ λευκοῦ τε καὶ μέλανος· τὸ δὲ ὠχρόν, λευκοῦ ξανθῷ μιγνυμένου· λαμπρὸν δὲ λευκῷ συνελθόν, καὶ ἐς μέλαν κατακορὲς ἐμπεσόν, κυανοῦν χρῶμα ἀποτελεῖται· κυανοῦ δὲ λευκῷ κεραννυμένου, * πυρροῦ δὲ μέλανι, πράσιον. τὰ δ' ἄλλα ἀπὸ τούτων σχεδὸν δῆλα, αἷς ἂν ἀφομοιούμενα μίξεσι διασῴζοι τὸν εἰκότα μῦθον. εἰ δέ τις τούτων ἔργῳ σκοπούμενος βάσανον λαμβάνοι, τὸ τῆς ἀνθρωπίνης καὶ θείας φύσεως ἠγνοηκὼς ἂν εἴη διάφορον, ὅτι θεὸς μὲν τὰ πολλὰ εἰς ἓν μὲν συγκεραννύναι, καὶ πάλιν ἐξ ἑνὸς εἰς πολλὰ διαλύειν ἱκανὸς ἐπιστάμενος, ἅμα καὶ δυνατός. ἀνθρώπων δὲ οὐδεὶς οὐδέτερα τούτων ἱκανὸς οὔτ' ἔστι νῦν, οὔτ' εἰσαῦθίς ποτ' ἔσται.

εἰς τὸ περὶ χρωμάτων. Hæc eisdē verbis extāt ē Platone citata.

De auditu

Platonici capitis aërem feriri censent, eumq́ ad principatum reflecti, atq. ita auditũ gigni.

Οἱ ἀπὸ Πλάτωνος πλήττεσθαι τὸν ἐν τῇ κεφαλῇ ἀέρα, τοῦτον δ' ἀνακλᾶσθαι εἰς τὰ ἡγεμονικά, καὶ γίγνεσθαι τῆς ἀκοῆς τὴν αἴσθησιν.

Plat. Timæo.

Tertiam præterea vim sentiendi, auditum videlicet, ita considerare debemus, vt quibus ex causis passiones eius proueniant, exponamus. Omnino igitur vocẽ ponamus pulsationẽ quandam ab aëre per aures cerebrumq́ & sanguinẽ vsq. ad animam penetrantem. Natam quoq. ex ea motionẽ incipientem à capite, & in sedem iecoris desinentem, auditum vocemus. Motio quidem velox, acuta prouenit: tarda, grauis:

Τὸ δ' αἰσθητικὸν ἐν ἡμῖν μέρος ἐπιζητοῦσι τὸ περὶ τὴν ἀκοήν, δι' ἃς αἰτίας τὰ περὶ αὐτὰ συμβαίνει παθήματα λεκτέον. ἄλλως μὲν οὖν φωνὴν θῶμεν τὴν δι' ὤτων, ὑπ' ἀέρος, ἐγκεφάλου τε, καὶ αἵματος, μέχρι ψυχῆς πληγὴν διαδιδομένην, τελευτῶσαν δὲ περὶ τὴν τοῦ ἥπατος ἕδραν ἀκοήν, ὅση δὲ αὐτῆς ταχεῖα, ὀξεῖαν, ὅση δὲ βραδυτέρα, βραδυτέραν, τὴν δὲ ὁμαλήν, λείαν.

τὴν

τὴν δὲ ἐναντίαν, τραχεῖαν, μεγάλην δὲ τὴν πολλὴν, ὅση δ᾽ ἐναντία, σμικράν. τὰς δὲ πέριξ συμφωνίας αὐτῶν, ἐν τοῖς ὕστερον λεχθησομένοις ἀνάγκη ῥηθῆναι.

πλάτ. ἐν τῷ τιμ.

Περὶ δὲ τὴν τῶν μυκτήρων δύναμιν, οὐκ ἔνι, τὸ γὰρ τῶν ὀσμῶν πᾶν ἡμιγενές, εἴδει δὲ οὐδενὶ συμβέβηκεν συμμετρία πρὸς τὸ τινὰ ἔχειν ὀσμήν, ἀλλ᾽ ἡμῶν. ὅσον ἡμῶν μεταξὺ κορυφῆς τοῦ τε ὀμφαλοῦ κεῖται. τὸ δὲ ταυτὸν τοῦτο καταπραΰνον, καὶ πάλιν ᾗ πέφυκεν ἀγαπητῶς ἀποδιδόν.

Ἀριστοτέλης, γεύεσθαι, διὰ τοῦ μεταξὺ τῶν γευστῶν ὑγρῶν.

πλάτ. ἐν τῷ τιμ.

Πρῶτον οὖν ὅσα τῶν χυμῶν πέρι λέγοντες ἐν τοῖς πρόσθεν ἀπελίπομεν, ἴδια ὄντα παθήματα περὶ τὴν γλῶτταν, ἐμφανιστέον, εἰ δυνατόν. φαίνεται δὲ καὶ ταῦτα, ὥσπερ οὖν καὶ τὰ πολλά. πᾶν τὸ τοιοῦτον ἴαμα τῶν βιαίων παθημάτων γιγνόμενον, κέκληται γλυκύ, καὶ τὰ μὲν ταύτῃ ταῦτα.

πλάτ. ἐν τῷ τιμ.

Τὴν δὲ δὴ τοῦ στόματος ἡμῶν δύναμιν, ὀδοῦσιν, καὶ γλώττῃ, καὶ χείλεσιν, ἕνεκα τῶν ἀναγκαίων καὶ τῶν ἀρίστων διεκόσμησαν οἱ διακοσμοῦντες. ᾗ νῦν διατέτακται, τὴν μὲν εἴσοδον τῶν ἀναγκαίων μηχανώμενοι χάριν, τὴν δ᾽ ἔξοδον, τῶν ἀρίστων. ἀναγκαῖον μὲν γὰρ πᾶν ὅσον εἰσέρχεται τροφὴν διδὸν τῷ σώματι· τὸ δὲ λόγων νᾶμα ἔξω ῥέον καὶ ὑπηρετοῦν φρονήσει, κάλλιστον καὶ ἄριστον πάντων.

Περὶ ἁφῆς.

Ἀριστοτέλης, ἅπτεσθαι δὲ διὰ τοῦ μεταξὺ σώματος τῆς σαρκὸς καὶ τὸ ἀπὸ τούτου. τὸ δὴ τοιοῦτον ἀέρα, ἢ τὸ ὕδωρ ὑπάρχειν, ἢ ἐκ τούτων τι κοινόν· λανθάνειν τι ἐπὶ τε τῆς γεύσεως καὶ τῆς ἁφῆς, διὰ τὸ μὴ διὰ μακροῦ γίγνεσθαι, καθάπερ ἐπὶ τῶν ὁρατῶν, καὶ ἀκουστῶν, καὶ ὀσφραντῶν. τὸ δὲ κινητικὸν κατὰ τόπον ὃν προσεῖπομεν ὁρμητικὸν τὸ πρῶτον κινοῦν, καὶ ἐν ἡμῖν, καὶ ἐν τοῖς ἄλλοις ζῴοις ἀκίνητον εἶναι.

Περὶ φωνῆς, καὶ εἰ ἀσώματος, καὶ τί αὐτῆς τὸ ἡγεμονικόν.

Πλάτων τὴν φωνὴν ὁρίζεται πνεῦμα διὰ στόματος, ἀπὸ διανοίας, καὶ πληγὴν ὑπ᾽ ἀέρος δι᾽ ὤτων, καὶ ἐγκεφάλου, καὶ αἵματος, μέχρι ψυχῆς διαδιδομένην. λέγεται δὲ καὶ καταχρηστικῶς ἐπὶ τῶν ἀλόγων ζῴων φωνή, καὶ τῶν ἀψύχων, ὡς χρεμετισμοί, καὶ ψόφοι. κυρίως δὲ φωνὴ ἔναρθρός ἐστι, ἐστι γὰρ φωτίζουσα τὸ νοούμενον.

Ἀριστοτέλης φαντασίαν δ᾽ εἶναι πάθος τι καὶ κίνησις τῆς κατ᾽ ἐνέργειαν αἰσθήσεως. ὠνομάσθαι ἀπὸ μιᾶς τῶν αἰσθήσεων τῆς ὁράσεως, τὸ φαίνεσθαι, παρὰ τὸ φάος ἔχειν τὴν ἐπίρρησιν. τοῦτο δ᾽ οἰκεῖον εἶναι τῆς ὄψεως, διατείνειν δὲ πάσας τὰς αἰσθήσεις, καὶ τὰς διανοητικὰς κινήσεις· καὶ γὰρ ταύτας ὁμωνύμως λέγεσθαι φαντασίας. κριτήρια δ᾽ εἶναι τῆς τούτων γνώσεως, τόν τε νοῦν, καὶ τὴν αἴσθησιν, τὴν μὲν τῶν νοητῶν, τὴν δὲ τῶν αἰσθητῶν. οὔτε γὰρ τὸ καθόλου δύναται ἀναισθήσεις ἐπικρίνειν οὔτε τὸ καθ᾽ ἕκαστον· πάντα δ᾽ ἐκ τούτων συνιστάναι, καὶ διὰ τούτων.

Περὶ δόξης.

πλάτ. ἐν τῷ σοφιστῇ.

Τί δὲ διάνοιά τε, καὶ δόξα, καὶ φαντασία ἡμῶν; οὐκ ἤδη δηλονότι ταῦτά γε ψευδῆ τε, καὶ ἀληθῆ, πάνθ᾽ ἡμῶν ἐν ταῖς ψυχαῖς ἐγγίγνεται. ἀνάγκη δὲ

una aequalis atq. lenis, contraria verò aspera. Magna quae multa, parua quae pauca. Harum vocum concordiam consonantiasq; in sequentibus declarabimus.

De olfactu.

Plat. Timaeo.

Circa nariùm vim species non sunt. Semigenia enim odorum natura. Speciei verò nulli competit odorem vllum habere. Sed nostra est, quae à summo capitis vertice ad vmbilicum protenditur. Illud verò eandem mulcet, & amico quodam ingressu naturalem eius seruat habitum.

De gustu

Gustum Aristoteles de humore gustatorũ producit.

Plat. Timaeo.

Principio quae suprà quando de humoribus agebamus, reliquimus, cùm linguae passiones sint, si quo modo possumus declaremus. Videntur autem haec quemadmodum & alia multa & c. huiusmodi omne amicumq; est omnibus, violentarũ quoque passionum medicina atque remedium, dulceq; vocatur.

Nostri praeterea illi exornatores, oris naturam dentibus, linguis, labiis, ita vt nunc videmus, necessariorum simul & optimorum gratia ornauerunt. Nam ingressum quidẽ necessariorum, egressum verò optimorum gratia excogitauere. Nempe necessarium est quicquid ad alimoniam in corpus admittitur. Verborum autem effluxio ministra prudentiae, effluxionum omnium optima est atq. pulcerrima.

De tactu.

Tactum Aristoteles gigni vult per carnis medium, quod vel aër, vel aqua sit, vel aliquod ex his compositum; neque in gustu vel tactu appareat, quòd interuallum non suppetat, vt in iis, quae visu, auditu, vel olfactu percipiuntur. quod autem primum secundum locum moueat, tum in nobis, tum in aliis animalibus esse immobile.

De voce.

Plato vocem definit spiritum per os à mente proficiscentem, ac pulsum ab aëre per aures, cerebrum, ac sanguinem ad animam translatũ. Brutis quoque et inanimis vox minus propriè tribuitur, vt hinnitus, ac sonitus. propriè autem vox est diserta, siquidem mentem aperit.

De imaginatione.

Imaginationem ponit Aristoteles motum sensus functionis, ab vno sensuum, visu, denominatam, posteaquam lux ad visum pertineat. ad omnes autem sensus, ac intellectus motus pertinere, quibus imaginationis vocabulũ similiter tribuatur: iudicare porrò de his mentem ac sensum, illã de rebus menti, hunc de rebus sensui subiectis, quando nec de vniuersis illa, nec de singulis hic iudicet.

De opinione.

Plat. Sophista.

Quid autem de cogitatione, opinione, et phantasia dicemus? nónne iam constat quòd haec omnia genera, tũ vera, tum falsa in animis nostris efficiuntur?

ciuntur? &c. necessarium esse videtur, vt cogitationes opinionesque partim veræ, partim falsæ sint, quippe cùm sint orationi cognatæ. Nihil repugnat.

καὶ τούτων τῶν λόγων συγγενῶν ὄντων, ψευδῆ τε αὐτῶν ἔννοια, καὶ ἐνίοτε εἶναι. πῶς δ' οὔ; κατανοεῖς οὖν ὅτι πρότερον εὕρηται ψευδὴς δόξα καὶ λόγος.

Plat. De rep. 3.

Videtur mihi opinio mente excedere, vel spontè, vel inuitè. spontè quidem falsa, in eo qui dediscit falsa, vera discis. inuitè autem, vera quæque opinio. Quod de voluntario abscessu dicis, intelligo: quod autem de inuito, discere cupio. Nónne putas bonis homines inuitè priuari, malos autem spontè? An non mentiri, verumque nescire, malum est, verè autem indicare, bonum? Nónne opinari ea quæ sunt, verè putare sibi videtur? Probè loqueris, mihique videntur homines inuiti vera opinione priuari.

πλάτ. ἐκ τοῦ συμποσίου.

Ἤτοι τῆς διανοίας ὀξὺ βλέπειν, ὅταν ἡ τῶν ὀμμάτων τῆς ἀκμῆς λήγειν ἐπιχειρῇ.

τοῦ αὐτοῦ πολιτ. γ.

Φαίνεταί μοι δόξα ἐξιέναι ἐκ διανοίας, ἢ ἑκουσίως, ἢ ἀκουσίως· ἑκουσίως μὲν, ἡ ψευδὴς τοῦ μεταθάνατος· ἀκουσίως δὲ, πᾶσα ἡ ἀληθής. τὸ μὲν τῆς ἑκουσίου, ἔφη, μανθάνω, τὸ δὲ τῆς ἀκουσίου δέομαι μαθεῖν. τί δὲ, οὐ καὶ σὺ ἡγῇ, ἔφην ἐγὼ, τῶν μὲν ἀγαθῶν ἑκουσίως στέρεσθαι τοὺς ἀνθρώπους, τῶν δὲ κακῶν, ἀκουσίως; ἢ οὐ τὸ μὲν ἐψεῦσθαι τῆς ἀληθείας, κακὸν, τὸ δὲ ἀληθεύειν, ἀγαθόν; ἢ οὐ τὸ τὰ ὄντα δοξάζειν, ἀληθεύειν δοκεῖ σοι εἶναι; μᾶλλ' ἦ δ' ὅς, ὀρθῶς λέγεις, καὶ μοι δοκοῦσιν ἄκοντες ἀληθοῦς δόξης στερίσκεσθαι.

De respiratione.

Plat. Tim.

Sed videamus iterum, quibus causis respiratio hunc in modum quem nunc cernimus, fuerit instituta. Cuius quidem rei talis erit consideratio. Quoniam vacuum nusquam est, quo quicquam eorum quæ perferuntur, ingredi queat, spiritus autem è nobis euolat: cuius constat in vacuū quidem hunc spiritum euolare, sed proximum sibi è sua sede depellere, depulsum rursus illum proximum sibi semper extrudere, ac secundum necessitatem huiusmodi quicquid in sedem illam percutitur atque impellitur, vnde exclusus est halitus, ingressum illuc replensque halitum ipsum subsequi. idque totū simul reuolutione quadam, qua nusquā sit vacuum, fieri. Quamobrem cùm pectus pulmonesque spiritū efflauerint, mox aëre corpori circumfuso meatus corporis penetrāte replentur. Ac rursus euolans à corpore aër & emissus anhelitus inspirationē intrò retrahi cogit per oris nariumque meatus. Causas verò quæ his principium dant, huiusmodi ponimus. Omne vniuersi huius animal in venis & sanguine calorem quasi fontem ignis aliquem possidet: idque reti sagenæ comparauimus, per mediū extensum, totumque ex igne contextum, cùm exteriora omnia ex aëre sint. Calorē sanè putandum est natura sua in regionem suam extrà ad id quod sibi cognatum est amanare. Cùm verò discursiones duæ sint, vna per corpus extrà, altera rursus per os ad nares: cùm anhelitus ad alis impetum facit detruditque, alia cōtrà retrahit atque repercutit. Quod autem retractū est, in ignē incurrēs calescit: quod exhalauit, friget. Dū ergo caliditas permutatur, & quæ alio transitu vtuntur, calescunt, ac rursus quod feruet, ad naturam suam emigrat, & hac emigratione alia in aliud iter repercutit, rursusque hæc idem perpetiuntur, aguntque semper: certè anhelitus hic circulo quodā hinc & illinc iugiter fluctuans expirationem & inspirationē continet. Quinetiam causæ passionū quæ ex attractu ampullarū ex corpore à medicis fiunt, atque etiam potionis, & eorū insuper quæ iaciuntur, siue emittūtur sublimia, seu deferuntur humi, hac vtique ratione tractanda videtur. Voces præterea, quæcunque veloces & tardæ, acutæ &

τοῦ αὐτοῦ ἐκ τοῦ τιμ.

Πάλιν τὸ τῆς ἀναπνοῆς ἴδωμεν πάθος, αἷς χρώμενον αἰτίαις τοιοῦτο γέγονεν οἷόν περ τὰ νῦν ἐστίν. ὧδ' οὖν· ἐπειδὴ κενὸν οὐδέν ἐστιν εἰς ὃ τῶν φερομένων δύναιτ' ἂν εἰσελθεῖν τι, τὸ δὲ πνεῦμα φέρεται παρ' ἡμῶν ἔξω· τὸ μετὰ τοῦτο ἤδη παντὶ δῆλον, ὡς οὐκ εἰς κενὸν, ἀλλὰ τὸ πλησίον ἐκ τῆς ἕδρας ὠθεῖ, ὁ τὴν ἀνάγκην πᾶν περιελαυνόμενον, εἰς τὴν ἕδραν ὅθεν ἐξῆλθεν τὸ πνεῦμα, εἰσιὸν ἐκεῖσε, καὶ ἀναπληροῦν αὐτὴν, ξυνέπεται τῷ πνεύματι. καὶ τοῦτο ἅμα πᾶν οἷον τροχοῦ περιαγομένου γίγνεται, διὰ τὸ κενὸν μηδὲν εἶναι. διὸ δὴ τῶν μὲν στηθῶν καὶ τοῦ πνεύμονος ἔξω μεθιέντων τὸ πνεῦμα πάλιν ὑπὸ τοῦ περὶ τὸ σῶμα ἀέρος, εἴσω διὰ μανῶν τῶν σαρκικῶν δυομένου, περιελαυνομένου, γίγνεται πλήρη. αὖθις δὲ ἀποτρεπόμενος ὁ ἀὴρ, καὶ διὰ τοῦ σώματος ἔξωθεν ἰὼν, εἴσω τὴν ἀναπνοὴν περιωθεῖ κατὰ τὴν στόματος καὶ τὴν τῶν μυκτήρων δίοδον. τὴν δ' αἰτίαν τῆς ἀρχῆς αὐτῶν, θετέον τήνδε. πᾶν ζῷον αὐτοῦ τὰ ἐντὸς περὶ τὸ αἷμα καὶ τὰς φλέβας θερμότητα ἔχει, οἷον ἐν αὐτῷ πηγήν τινα ἐνοῦσαν πυρός. ὃ δὴ καὶ προσῃκάζομεν τῷ τοῦ κύρτου πλέγματι κατὰ μέσον διατεταμένον ἐκ πυρὸς πεπλέχθαι πᾶν, τὰ δὲ ἄλλα ὅσα ἔξωθεν, ἀέρος. τὸ θερμὸν δὴ κατὰ φύσιν εἰς τὴν αὐτοῦ χώραν ἔξω πρὸς τὸ συγγενὲς ὁμολογητέον ἰέναι· δυοῖν δὲ ταῖν διεξόδοιν οὔσαιν, τῆς μὲν κατὰ σῶμα ἔξω, τῆς δ' αὖ κατὰ στόμα καὶ τὰς ῥῖνας· ὅταν μὲν ἐπὶ θάτερα ὁρμήσῃ, θάτερα περιωθεῖ· τὸ δὲ περιωσθὲν, εἰς τὸ πῦρ ἐμπίπτον θερμαίνεται, τὸ δ' ἐξιὸν, ψύχεται. μεταβαλλούσης δὲ τῆς ψυχρότητος, καὶ τῶν κατὰ τὴν ἑτέραν ἔξοδον θερμοτέρων γιγνομένων, πάλιν ἐκείνῃ ῥέπον αὖ τὸ θερμότερον μᾶλλον, πρὸς τὴν αὐτοῦ φύσιν φερόμενον, περιωθεῖ τὸ κατὰ θάτερα· τὸ δὲ τὰ αὐτὰ πάσχον, καὶ τὰ αὐτὰ ἀνταποδιδὸν ἀεὶ, κύκλον ἀεὶ σαλευόμενον, ἔνθα καὶ ἔνθα ἀπειργασμένον ὑπ' ἀμφοτέρων, τὴν ἀναπνοὴν καὶ ἐκπνοὴν γίγνεσθαι παρέχεται. καὶ δὴ καὶ τῶν περὶ τὰς ἰατρικὰς σικύας παθημάτων αἴτια, καὶ τὰ τῆς πόσεως, τά τε τῶν ῥιπτουμένων, ὅσα ἀφεθέντα μετέωρα, καὶ ὅσα ἐπὶ γῆς φέρεται, ταύτῃ διωκτέον. καὶ ὅσοι φθόγγοι ταχεῖς καὶ βραδεῖς, ὀξεῖς τε καὶ βαρεῖς φαίνονται,

Ἔτι

τοτὲ μὲν ἀνάρμοστοι φερόμενοι, δι' ἀνομοιότητα τῆς ἐν ἡμῖν ὑπ' αὐτῶν κινήσεως, τοτὲ δὲ ξύμφωνοι, δι' ὁμοιότητα. τὰς γὰρ τῶν προτέρων κινήσεις ἀποπαυομένας, ἤδη τε εἰς ὅμοιον ἐληλυθυίας, αἷς ὕστερον αὐτοὶ προσφερόμενοι, κινοῦσιν ἐκείνας, καταλαμβάνουσι. καταλαμβάνοντες δὲ, οὐκ ἄλλην ἐπεμβάλλοντες ἀνετάραξαν κίνησιν, ἀλλ' ἀρχὴν βραδυτέρας φορᾶς, καὶ κατὰ τὴν τῆς θάττονος ἀπολήγουσης δὲ ὁμοιότητα προσάψαντες, μίαν ἐξ ὀξείας καὶ βαρείας συνεκεράσαντο πάθην. ὅθεν ἡδονὴν μὲν τοῖς ἄφροσιν, εὐφροσύνην δὲ τοῖς ἔμφροσι, διὰ τὴν τῆς θείας ἁρμονίας μίμησιν ἐν θνηταῖς γενομένην φοραῖς, παρέσχον. καὶ δὴ καὶ τὰ τῶν ὑδάτων πάντα ῥεύματα, ἔτι τε τὰ τῶν κεραυνῶν πτώματα, καὶ τὰ θαυμαζόμενα ἠλέκτρων περὶ τῆς ἕλξεως, καὶ τῶν ἡρακλείων λίθων. πάντων τούτων ὁλκὴ μὲν οὐκ ἔστιν οὐδενί ποτε· τὸ δὲ κενὸν εἶναι μηδὲν, περιωθεῖν τε αὐτὰ ταῦτα εἰς ἄλληλα, τό τε διακρινόμενα καὶ συγκρινόμενα πρὸς τὴν αὐτῶν διαμειβόμενα ἕδραν ἕκαστα ἰέναι πάντα, τούτοις τοῖς παθήμασι πρὸς ἄλληλα συμπλεχθεῖσι, τεθαυματουργημένα, τῷ καταφανήσεται ζητοῦντι. καὶ δὴ καὶ τῆς ἀναπνοῆς ὅθεν ὁ λόγος ὥρμησε κατὰ ταῦτα καὶ διὰ τούτων γέγονεν, ὥσπερ ἐν τοῖς ἔμπροσθεν εἴρηται, τέμνοντος μὲν τὰ σιτία τοῦ πυρὸς, αἰωρουμένου ἐντὸς τῷ πνεύματι συνεπομένου, τὰς φλέβας δ' ἐκ τῆς κοιλίας τῇ συναιωρήσει πληροῦντος, τῷ τὰ τετμημένα αὐτόθεν ἐπαντλεῖν. καὶ διὰ ταῦτα δὴ καθ' ὅλον τὸ σῶμα πᾶσι τοῖς ζώοις τῆς τροφῆς νάματα οὕτως ἐπίρρυτα γεγονέναι. νεότμητα δὲ, καὶ ἀπὸ ξυγγενῶν ὄντα, τὰ μὲν καρπῶν, τὰ δὲ χλόης, ἃ ὁ θεὸς ἐπ' αὐτὸ τοῦθ' ἡμῖν ἐφύτευσεν εἶναι τροφὴν, παντοδαπὰ μὲν χρώματα ἴσχει διὰ τὴν ξύμμιξιν, ἡ δ' ἐρυθρὰ πλείστη περὶ αὐτὰ χρόα διαθεῖ, τῆς τοῦ πυρὸς τομῆς τε καὶ ἐξομόρξεως ἐν ὑγρῷ δεδημιουργημένη φύσει. ὅθεν τοῦ κατὰ σῶμα ῥέοντος τὸ χρῶμα ἔσχεν οἵαν ὄψιν διεληλύθαμεν. ὃ καλοῦμεν αἷμα, νομὴν σαρκῶν καὶ ξύμπαντος. ὅθεν ὑδρευόμενα ἕκαστα πληροῖ τὴν τοῦ κενουμένου βάσιν.

graues audiri solent, aliàs dissonæ propter motus eius qui in nobis ab ipsis fit, dissimilitudinẽ, aliàs propter similitudinem consonæ. Priorũ enim velociorumq́ cessantes motus, iamq́ ad simile quiddam progressos, tardiores ipsæ voces succedentes illis, eosq́ mouentes, occupant: comprehendentes verò non alium quidem motũ iniiciendo perturbant, sed tardioris lationis initium secundum principium velocioris inducunt. Dum verò desinentes motionis similitudinem sibi quandam accommodant, vnum ex acuta & graui concentum contemperant. Vnde insipientibus voluptatem, sapientibus gaudium, propter diuinæ harmoniæ imitationem, in lationibus mortalibus repertam, tribuunt. Eadem ratio est de aquarum fluxibus, de fulminum impetu, de electri mirabili illo attractu, lapidísve illius qui Heraclius nominatur. Reuera nullius horum attractio fit: sed cùm nusquam sit vacuum, & hæc se inuicem pulsent, atque repulsent, concretaq́ & discreta suum locum singula poscant, diligenti harum rerum inuestigatori ex his mutuis passionibus euentus illi mirabiles contingere videbuntur. Atqui respiratio, vnde huc digressi sumus, ab his causis, & hunc in modum, vt suprà diximus, prouenit. Dum videlicet ignis cibos diuidit, eleuaturq́ intrinsecus assecutus spiritum, venas à ventre communi eleuatione huiusmodi replet, ex eo quod attrita inde haurit, & ob hanc rationem per totum animaliũ omnium corpus alimentorũ liquores penitus diffunduntur. Statim verò attrita, & à cognatis suis ablata partim fructibus, partim graminibus, quæ Deus ad alimoniã corporis nostri produxit, colores propter mixtionem omnino varios habẽt: sed plurimus in his rubeus præualet color, cuius natura ex ignis portione & abstersione in humido facta prouenit. Propterea eius quod in totum corpus permanat, color talis aspectu est, qualem diximus. Id sanguinem nominauimus, carnium et vniuersi corporis pabulum: vnde irrigatio distributa passim exhausta cuncta replet.

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ.

ΙΩΑΝΝΟΥ

ΙΩΑΝΝΟΥ ΣΤΩΒΑΙΟΥ
ΕΚΛΟΓΩΝ ΑΠΟΦΘΕΓΜΑΤΩΝ
ΥΠΟΘΗΚΩΝ
ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

IOANNIS STOBÆI
ECLOGÆ ETHICÆ
LIBER POSTERIOR.

Interprete Gulielmo Cantero.

De sacrorum interpretibus, eorumq; veritatis ignoratione.

CAPVT I.

Aristarchi.

ATQVE hæc perinde est siue recte, siue non
Dicas; requiras siue, siue nescias.
Namque imperitis haud periti plusculum
Intelligunt hæc. sin quis alio rectius
Dicat alius quo, dictione vicerit.

Eurip. Philoct.

Argiua cur qui prenditis sedilia,
Diuina clarè scire vos contenditis:
Nam qui deorum scire se res autumat,
Haud nouit vltrà, quàm fidem verba faciunt.

Anaxandridis.

Diuina circum caudices cuncti sumus,
Nihilq; scimus.

Sophoc.

Diuina nunquam, quæ recondunt cælites,
Disces, tametsi cuncta vestigaueris.

Philemo.

Deum puta & venerare, sed non quærito.
Nam quæstionis nullus est fructus tibi.
Sit, siue non sit ille, noli discere.
Tanquam sit ille, & vsque præsentem cole.
At quid Deus sit, non sinit te discere.

Menand. Subditiuo.

Fortuna res est, nemo quam quit assequi.

Hesiodi.

Vitam cælestes mortalibus abscondere.

Pindari Pæanib. ᵃ φρενὶ pro φερνῶ.

Cur sapientiam ducis, qua homo hominē nonnihil superat? Non enim deorum consilia humano scrutari fas est ᵃpectore.

Iophõtis Bacchis.

Hoc quoque, tametsi mulierem, me non latet,
Quanto magis quis scire diuinas velit
Res, cogniturum protinus tanto minus.

Simonid.

Diis facile mentem fallere est mortalium.

** quærentibus quibusdam, an animal esset mundus, & an rotundus. De mundo quidem, respondit, inquiritis, vestrum autem mundum negligitis.*

Noli omnia discere, ne ignores omnia.

* * *

Περὶ τῶν τὰ θεῖα ἑρμηνευόντων, καὶ ὡς εἴη ἀνθρώποις ἡ τῆς νοητῆς κατὰ τὴν οὐσίαν ἀλήθειας.

ΚΑΙ τ' αὖ ἴσον μέν ἐστι λέγειν, ἴσον δὲ μή·
Ἴσον δ' ἐρωτᾶν, ἐξ ἴσου δὲ μὴ εἰδέναι.
Πλεῖον γὰρ οὐδὲν οἱ σοφοὶ τῶν μὴ σοφῶν
Εἰς ταῦτα γιγνώσκουσιν. εἰ δ' ἄλλου λέγει
Ἄμεινον ἄλλος, τῷ λέγειν ὑπερφέρει.

ἀριστάρχου ἐν πελάτ.

Τί δῆτα θάκοις ἀρχικοῖς ἐνήμενοι,
Σαφῶς διόμνυσθ' εἰδέναι τὰ δαιμόνων;
Οὐ τῶν δὲ χειρώνακτες ἄνθρωποι λόγων.
Ὅστις γὰρ αὐχεῖ θεῶν ἐπίστασθαι πέρι,
Οὐδέν τι μᾶλλον οἶδεν, ἢ πείθειν λέγων.

εὐριπίδ. φιλοκτήτ.

Ἅπαντες ἐσμὲν πρὸς τὰ θεῖα βέλτεροι,
Καὶ οὐκ ἴσμεν οὐδέν.

ἀλεξανδρίδου ἀναφόρ.

Ἀλλ' οὐ γὰρ ἂν τὰ θεῖα κρυπτόντων θεῶν,
Μάθοις ἂν οὐδ' εἰ πάντ' ἐπεξέλθοις σκοπῶν.

σοφοκλέους.

Θεὸν νόμιζε, καὶ σέβου, ζήτει δὲ μή.
Πλεῖον γὰρ οὐδὲν ἄλλο τοῦ ζητεῖν ἔχεις.
Εἴτ' ἔστιν, εἴτ' οὐκ ἔστι, μὴ βούλου μαθεῖν·
Ὡς ὄντα τοῦτον, καὶ παρόντ' ἀεὶ σέβου·
Τί ἐστιν ὁ θεός, οὐ θέλει σε μανθάνειν.

φιλήμ.

Δυσπαρακολούθητόν τι πρᾶγμ' ἐστὶ τύχη.

μενάνδρου ὑποβολιμ.

Κρύψαντες γὰρ ἔχουσι θεοὶ ἀνθρώποισι.

ἡσιόδου.

Τί ἔλπεαι σοφίαν ἔμμεν,
Ἃ ὀλίγον ἀνὴρ
Ὑπὲρ ἀνδρὸς ἰσχύει.
Οὐ γὰρ ἔσθ' ὅπως
Τὰ θεῶν βουλεύματα ἐρευνάσει
Βροτέᾳ φρενί.

πινδάρου.

Ἐπίσταμαι δὲ καὶ τάδε, οὖσά περ γυνή,
Ὡς μᾶλλον ὅστις εἰδέναι τὰ τῶν θεῶν
Ζητεῖ, τοσούτῳ μᾶλλον ἧσσον εἴσεται.

ἰοφῶντος βακχῶν.

Ῥεῖα θεοὶ κλέπτουσιν ἀνθρώπων νόον.

σιμωνίδου.

• ἐξεταζόντων τινῶν εἰ ὁ κόσμος ἔμψυχος, καὶ αὖθις εἰ σφαιροειδής· ὑμεῖς, ἔφη, περὶ μὲν τοῦ κόσμου πολυπραγμονεῖτε, περὶ δὲ τῆς αὐτῶν ἀκοσμίας οὐ φροντίζετε.

Μὴ πάντα ἐπίστασθαι προθυμέο, μὴ πάντων ἀμαθὴς γένῃ.

Ἀνθρώπων δὲ ψυχαῖς ἐνταυθοῖ μὲν ὑπὸ σωμάτων καὶ παθῶν περιεχομέναις οὐκ ἔστι μετουσία θεοῦ, πλὴν ὅσον ὀνείρατος ἀμαυροῦ θιγεῖν νοήσει διὰ φιλοσοφίας.

πλουτάρχου περὶ ἴσιδος.

Χαλεπὸν,

Πλάτ. ἐν τῷ πολιτ.

Χαλεπὸν, ὦ δαιμόνιε, μὴ παραδείγμασι χρώμενον, ἱκανῶς ἐνδείκνυσθαί τι τῶν μειζόνων. κινδυνεύει γὰρ ἡμῶν ἕκαστος οἷον ὄναρ εἰδὼς, ἅπαντα πάντα αὖ πάλιν ὥσπερ ὕπαρ ἀγνοεῖν.

Πλάτ. ἐν τῷ Τιμ.

Τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον, καὶ εὑρόντα, εἰς πάντας ἀδύνατον λέγειν.

Ἰαμβλίχου ἐκ τοῦ περὶ ψυχῆς.

Πόσῳ δὴ οὖν βέλτιον Ἡράκλειτος παίδων ἀθύρματα ἐνόμισεν εἶναι τὰ ἀνθρώπινα δοξάσματα.

Ξενοφάνης πρῶτος λόγος ἦλθεν εἰς τοὺς Ἕλληνας, ἄξιος γραφῆς, ἅμα παιδιᾷ τάς γε τῶν ἄλλων τόλμας ἐπιπλήττοντος, καὶ τὴν αὐτοῦ παριστάντος εὐλάβειαν, ὡς ἄρα θεὸς μὲν οἶδε τὴν ἀλήθειαν, δόκος δ' ἐπὶ πᾶσι τέτυκται.

Διδύμου ἐκ τοῦ περὶ αἱρέσεων.

Ἡ μὲν γὰρ φιλοσοφία, θήρα τῆς ἀληθείας ἐστὶ καὶ ὄρεξις, καὶ τῶν συγγενῶν, καὶ τῆς πρὸς αὐτὰς συμφωνίας, ἐπεὶ δὲ οἶδεν αὐτὴν, εἰ δὲ στρατιώτην, [a] πότερον δ' ὁ ἄνθρωπος αὐτὸς ὑφ' ἑαυτοῦ πεποιῆσθαί σοι δοκεῖ ζῶον, ἢ πρὸς κοινωνίαν, ὑπό τινος ὑπὸ τῆς φύσεως, τίνος οὔσης; καὶ πῶς διοικούσης τὰ ὅλα, καὶ πότερον ἄρτης ἢ μὴ, ταῦτα οὐκ ἔστιν ἀναγκαῖον πολυπραγμονεῖν.

Πορφυρίου ἐκ τοῦ περὶ Στυγ.

Ἔστι δὲ ἡ τοῦ ποιητοῦ δόξα οὐχ ὥς ἄν τις νομίσειεν εὔληπτος· πάντες μὲν γὰρ οἱ παλαιοὶ τὰ περὶ τῶν θεῶν καὶ δαιμόνων ᾐνίξαντο, ὅμηρος δὲ καὶ μᾶλλον τὰ περὶ τούτων ἀπέκρυψε, τὸ μὴ προηγουμένως περὶ αὐτῶν διαλέγεσθαι, καταχρῆσθαι τοῖς λεγομένοις εἰς παράστασιν ἄλλων. τῶν γοῦν ἀναπτύσσειν ἐπιχειρησάντων τὰ δὲ ὑπονοίας παρ' αὐτοῦ λεγόμενα ἱκανώτατα δοκῶν ὁ πυθαγόρειος Κρόνιος ἀπειργάσθαι, ὅμως ἐν τοῖς πλείστοις ἄλλα τε ἐφαρμόζει ταῖς τεθείσαις ὑποθέσεσι, τὰ ὁμήρου μὴ δυνάμενος, οὐ προσάγειν τοῦ ποιητοῦ τὰς δόξας, ταῖς δὲ παρ' αὐτοῦ προσάγειν τὸν ποιητὴν πεφιλοτίμηται.

Ξενοφῶντος.

Δαίμονες οἱ τὰ μέγιστα διαπραττόμενοι, ἥκιστα ἀνθρώποισι ἐπιφαίνονται. ὁ γοῦν πάντα σείων, καὶ ἀτρεμίζων, ὡς μὲν μέγας τις καὶ δυνατὸς, φανερὸς ὅμως δὲ τὴν μορφὴν, ἀφανής. οὐ δὲ μὴν ὁ παμφανὴς δοκῶν εἶναι ἥλιος, οὐδ' οὗτος αὐτὸν ὡς ἔοικεν ὁρᾶν ἐπιτρέπει, ἀλλ' ἄν τις ἀναιδῶς αὐτὸν θεάσηται, τὴν ὄψιν ἀφαιρεῖται.

Τὸν δὲ ἀσφαλῆ δεῖ πάντων μάλιστα περὶ τὰς ὁμοιότητας ποιεῖσθαι τὴν φυλακήν, ὀλισθηρότατον γὰρ τὸ γένος. ἐγὼ δὲ τοῖς διὰ τῶν εἰκότων τὰς ἀποδείξεις ποιουμένοις λόγοις ξύνοιδα οὖσι ἀλαζόσι, καὶ ἄν τις αὐτοὺς μὴ φυλάττηται, εὖ μάλα ἐξαπατῶσι καὶ ἐν γεωμετρίᾳ, καὶ ἐν ἄλλοις ἅπασι.

Ἐκ τοῦ αὐτοῦ περὶ πολιτ.

Οὐκοῦν ἡ διαλεκτικὴ μέθοδος μόνη ταύτῃ πορεύεται τὰς ὑποθέσεις ἀναιροῦσα ἐπ' αὐτὴν τὴν ἀρχὴν, ἵνα βεβαιώσηται καὶ τῷ ὄντι ἐν βορβόρῳ βαρβαρικῷ τινι τὸ τῆς ψυχῆς ὄμμα κατορωρυγμένον, ἠρέμα ἕλκει καὶ ἀνάγει ἄνω, συνερίθοις καὶ συμπεριαγωγοῖς χρωμένη αἷς διήλθομεν τέχναις· ἃς ἐπιστήμας μὲν πολλάκις προσείπομεν διὰ τὸ ἔθος. δέονται δὲ ὀνόματος ἄλλου, ἐναργεστέρου μὲν ἢ δόξης, ἀμυδροτέρου δ' ἢ ἐπιστήμης. διάνοιαν δὲ αὐτήν που ἐν γε τῷ πρόσθεν που ὡρισάμεθα.

Ἐκ τοῦ αὐτοῦ.

Ἆρ' οὖν δοκεῖ σοι, ἔφην ἐγὼ, ὥσπερ θριγκὸς τοῖς μαθήμασιν ἡ διαλεκτικὴ ἡμῖν ἐπάνω κεῖσθαι, καὶ οὐκ

Arduum est, ô beate, absque exemplis res magnas lucidè ostendere. Videtur enim vnusquisque nostrûm tanquam per somnium nosse omnia, renera autem rursus omnia ignorare.

Plat. Politic.

Atque illum quidem quasi parentem huius vniuersitatis inuenire difficile, & cùm iam inueneris, indicare in vulgus, nefas.

Plat. Timæo.

Quanto rectiùs Heraclitus puerorum ludibria vocabat humanas opiniones.

Iamblichi De anima.

Xenophanis primus in Græcos manauit sermo, relatu dignus, vt aliorum increpantis audaciam, ita suam aperientis prudentiam, Deum quidem veritatē scire, opinionem autē cerni in omnibus.

Nam philosophia quidem veritatis est indagatio & cupiditas, eiusq. sociarum, & earum inter se concordiæ: vtrùm [b] autem nautam, ac militem,

• Vtrùm igitur à se homo factus animal videatur, an à natura communionis causa, quidq. illa sit, & quomodo Vniuerso præsit, necesse non est inquirere.

Didymi De sectis.

b οἱ ζ ναύτην pro οἶδεν αὐτὴν.

Neq. verò tam intellectu facilis est Poëtæ opinio, quàm quis putarit. Cùm enim omnes antiqui de diis ac dæmonibus tectè sunt locuti, tum Homerus hæc occultauit maximè, [c] quòd non tam disertè de ipsis tractet, quàm iisdem ad alia declaranda abutatur. Qui quidem inter eos, quibus ipsius ænigmata curæ fuit enucleare, præstantissimus habetur Pythagoreus Cronius, in multis tamen aliena inter se connectit, nec tam se ad Poëtæ opiniones, quàm Poëtam ad suas accommodare nititur.

Porphyrii De Styge.

c τῷ pro τὸ.

Qui maximas res digerunt, rarissimè hominibus apparent. Sanè qui cuncta mouet ac quatit, potentiam quidem notam habet, formam autē obscuram. Ne is quidem, qui clarissimè cernitur, Sol planè videndum se præbet, sed visum, si quis audacius ipsum intueatur, adimit.

Xenophontis.

Prudentes autem à similitudinibus maximè sibi cauere debent, quoniam res ea maximè est lubrica. Demonstrationes autem verisimilibus nixæ, sunt fallaces, & incautos tum in Geometria, tum in aliis artibus probè fallunt.

Dialectica verò sola, sublatis suppositionibus omnibus, ad ipsum principium, vt compertum habeat, pergit, ac reuera animi oculum cœno barbarico obrutum, paulatim sursum trahit, ac ducit, tanquā adiutricibus ac ministris quibusdā vtens his artibus quas narrauimus. Eas porrò nos sæpè scientias propter consuetudinem nominauimus. Indigent autem alio nomine clariore quidē, quam sit opinio, obscuriore verò quàm scientia. Cogitationem certè nos in superioribus earum notionem cognominauimus.

Plat. De rep. 7.

An ergo videtur tibi doctrinis omnibus dialectica velut apex esse præposita, nec vlla doctrina

vlterius ac eminëtior reperiri, sed hic iam doctrinarum omnium esse finis?

Plat. Phæd. *At siqus duarum specierum, in quas modò fortuna incidimus, vim arte comprehenderit, opus non ingratum fuerit consecutus. Quas species dicis? Vt in vnam ideam conspiciens passim dispersa conducat: &c. rectène an contrà cognominem, deus ipse nouit. voco autem hactenus dialecticos.*

Archytæ De ente. *Valde falli mihi videntur, qui de quauis re duas contrarias ferri posse credunt sententias, vtramque vel veram, vel falsam. At ego primùm hoc nefas duco. siquidem nec pulcrum pulcro, nec album albo contrarium est, sed pulcrum ac turpe, album ac nigrum inter se sunt contraria. Sic etiã verum falso contrarium ponimus, nec duas veras sententias, vel duas falsas, sed alteram verã, alteram falsam. Non enim qui animum hominis laudat, corpus reprehendit, contraria dicit: nisi etiam, qui de cælo ac terra agat, de eodem agere dicamus. siquidẽ duo sunt illa, non vnum. Quid autem verbo opus est? Etenim qui Athenienses dixerit doctos, & qui ingratos, nequaquam contraria dixerit. Cùm enim inter se contraria pugnent in ᵃeodem, hic iam duo cernuntur.*

ᵃ τῶν τὸ pro τοῦτο.

Plat. Alcibiad. 2. *Qualem igitur ciuitatem eam putabis, quæ ex peritis sagittariis, & tibicinibus, athletisq; ac cæteris artificibus constet, sint insuper admisti militarem callentes artem, & qui ad interimẽdum prompti, nec non inflati ob ciuilium rerum administrationem: desit autem optimi scientia, & qui norit quando, & ad quem vnoquoque illorũ vti præstat? Ignobilem, ô Socrates.*

Plat. Gorg. *Nunc mihi videris, quam artem indicas esse, rhetoricam proximè ostẽdisse. Ac si rectè te capio, artem persuasionis effectricem ais esse rhetoricam, eiusq; omnẽ diligentiam & summam in hoc finiri. An quicquam amplius habes, quod de artis istius facultate referre possis, quàm vt persuasionem audientium animis afferat? Nihil aliud habeo Socrates, sed abundè mihi definiisse videris.*

Plat. Phæd.

Hic quoque locus in Platone reperiri non potuit.

Cùm videret quendam Plato ipsum quidẽ delinquentem, alteri autem patrocinãtem, Hic, inquit, mentem in lingua fert.

Plat. De legib. 4. *Vetus, ô legislator, fabula passim à nobis fertur, atque à cæteris omnibus confirmatur: poëtam, quando in Musæ tripode sedet, non esse mentis compotem, sed quasi fontem fluere, & quæcunq. influunt, prorsus effundere. cumq; ars eius imitatio quædam sit, & contrarios affectus hominum exprimat, sæpe cogi poëtam sibiipsi contraria dicere, neque scire vtrùm hæc an illa vera sint.*

Plat. Phæd. *Qui autem absque furore Musarum poëticas ad fores accedit, confidens arte quadam poëtam*

ἔτι ἄλλο τούτου ἀνώτερον μάθημα ὀρθῶς ἂν ἐπιτίθεσθαι, ἀλλ' ἔχειν ἤδη τέλος τὰ τῶν μαθημάτων.

Τούτων δέ τινων ἐκ τύχης ῥηθέντων δυοῖν, εἰ αὐτοῖν τὴν δύναμιν τέχνῃ λαβεῖν δύναιτό τις, οὐκ ἄχαρι. τίνοιν δή; εἰς μίαν τε ἰδέαν συνορῶντα ἄγειν τὰ πολλαχῇ διεσπαρμένα. εἰ μὲν ὀρθῶς ἢ μὴ προσαγορεύω θεὸς οἶδε, καλῶ δὲ οὖν μέχρι τοῦδε διαλεκτικούς. πλάτ. ἐν τῷ φαίδρῳ.

Πάντα μοι δοκοῦντι ἁμαρτάνειν, οἱ λέγοντες δύο λόγους περὶ παντὸς λέγεσθαι ἐναντίως ἀλλήλοις, ἢ ναμερτέας ἀμφοτέρως. ἐγὼ δὲ πρᾶτον τοῦτ' ἀδύνατον νομίζω ἀμφοτέρων πως ὂν ἐόντων ἀντίως, ἐν μὲν ἀλλάλοις τὸ καλὸν τῷ καλῷ, καὶ τὸ λευκὸν τῷ λευκῷ. ἀλλὰ γὰρ οὐχ οὕτως ἔχει. ἀλλά ἐστι τὸ καλὸν καὶ αἰσχρὸν ἐναντία, καὶ τὸ λευκὸν καὶ τὸ μέλαν. οὕτω δὲ καὶ τὸ ναμερτὲς τῷ ψεύδει φαμέν· οὐδὲ ναμερτέας δύο λόγους λέγεσθαι, ἢ δύο ψευδέας, ἀλλὰ τὸν μὲν ἀληθῆ, τὸν δὲ ψευδέα. οὐ γὰρ τὰν ψυχὰν ἐπαινῶν τῶ ἀνθρώπω, καὶ τὸ σῶμα μεμφόμενος, ἐναντίον τῷ λέγοντι· εἰ μὴ καὶ ὅτι περὶ τᾶς γᾶς λέγει καὶ τῶ ὠρανῶ, ταυτόν. ταῦτα γὰρ δύο ἐντί, ἀλλ' οὐχ ἓν ὄνομα. καὶ τί δὲ θέλω καὶ τοῦτο δεῖξαι; ὁ γὰρ λέγων περὶ ἀθηναίων, ὡς τε χρὴ λόγον ἄνδρες ἀγαθοί, καὶ ὁ λέγων ὡς ἐντὶ περὶ χάριτας φαῦλοι, οὐκ ἐναντία λέγοντι. τὰ γὰρ ἐναντία περὶ τοῦτο πρᾶγμα ἀντιπίπτει ἀλλάλοις, ταῦτα δὲ δύο ἐντὶ πράγματα. ἀρχύτου περὶ ὄντος.

Ποίαν οὖν οἴει πολιτείαν εἶναι, τοξοτῶν ἀγαθῶν, καὶ αὐλητῶν, ἔτι τε ἀθλητῶν τε καὶ τῶν ἄλλων τεχνιτῶν, ἀναμεμιγμένων ἐν τούτοις οἷς ἄρτι εἰρήκαμεν, τῶν τό, τε αὐτὸ τὸ πολεμεῖν εἰδότων, καὶ αὐτὸ τὸ ἀποκτιννύναι, πρὸς δὲ καὶ ἀνδρῶν ῥητορικῶν πολιτικὸν φύσημα φυσώντων, ἁπάντων δὲ τούτων ὄντων ἄνευ τῆς τοῦ βελτίστου ἐπιστήμης, καὶ τοῦ εἰδότος ὁπότε βέλτιστον ἑνὶ ἑκάστῳ τούτων χρῆσθαι, καὶ πρὸς τίνα; φαύλην τινὰ ἔγωγε, ὦ Σώκρατες. πλάτ. ἐν τῷ ἀλκιβιάδῃ β.

Νῦν μοι δοκεῖς δηλῶσαι, ὦ Γοργία, ἐγγύτατα τὴν ῥητορικὴν, ἥν τινα τέχνην ἡγῇ εἶναι, καὶ ἔτι ἐγὼ συνίημι, λέγεις ὅτι πειθοῦς δημιουργός ἐστιν ἡ ῥητορική, καὶ ἡ πραγματεία αὐτῆς ἅπασα, καὶ τὸ κεφάλαιον εἰς τοῦτο τελευτᾷ· ἢ ἔχεις τι λέγειν ἐπὶ πλέον τὴν ῥητορικὴν δύνασθαι, ἢ πειθὼ τοῖς ἀκούουσιν ἐν τῇ ψυχῇ ποιεῖν; οὐδαμῶς, ὦ Σώκρατες, ἀλλά μοι δοκεῖς ἱκανῶς ὁρίζεσθαι. τοῦ αὐτοῦ ἐν τῷ γοργίᾳ.

Ἂν γὰρ ἀποθάνῃ εἷς τις πονηρὸς, δύο ἀνέφυσαν ῥήτορες, οὐδεὶς γὰρ ἡμῶν ἰόλεως ἐν τῇ πόλει, ὅστις ἐπικαύσει τὰς κεφαλὰς τῶν ῥητόρων, κακολόγε δίκας, τοιγαροῦν ῥήτωρ ἔσῃ. τοῦ αὐτοῦ.

Ἰδὼν τινα Πλάτων φαῦλα μὲν πράττοντα, δίκας δὲ ὑπὲρ ἑτέρων λέγοντα, εἶπεν, οὗτος τὸν νοῦν ἐπὶ γλώσσῃ φέρει. τοῦ αὐτοῦ.

Παλαιὸς μῦθος, ὑπό τε αὐτοῦ ἡμῶν ἀεὶ λεγόμενός ἐστι, καὶ τοῖς ἄλλοις πᾶσι ξυνδεδογμένος, ὅτι ποιητὴς ὁπόταν ἐν τῷ τρίποδι τῆς μούσης καθίζηται, τότε οὐκ ἔμφρων ἐστὶν, οἷον δὲ κρήνη τις τὸ ἐπιὸν ῥεῖν ἑτοίμως ἐᾷ, καὶ τῆς τέχνης οὔσης μιμήσεως, ἀναγκάζεται ἐναντίως ἀλλήλοις ἀνθρώπους ποιῶν διατιθεμένους, ἐναντία λέγειν αὐτῷ πολλάκις, οἶδε δὲ οὔτε ταῦτα, οὔτε θάτερα ἀληθῆ τῶν λεγομένων. τοῦ αὐτοῦ νόμ. δ.

Ὃς δ' ἂν ἄνευ μανίας μουσῶν ἐπὶ ποιητικὰς θύρας ἀφίκηται, πεισθεὶς ὡς ἄρα ἐκ τέχνης ἱκανὸς τοῦ αὐτοῦ ἐν τῷ φαίδ.

ποιητὴς

ποιητὴς ἐσόμενος, ἀτελὴς αὐτός τε καὶ ἡ ποίησις.

Οὐκοῦν τὸ μὲν τέχνης τε καὶ ἀτεχνίας λόγων πέρι ἱκανῶς ἐχέτω πάνυ. τὸ δ' εὐπρεπείας πῇ γιγνόμενον, καιρῶς ἂν ἔχοι, καὶ ὅπῃ ἀπρεπῶς λοιπόν. ἦ γάρ. ναί. οἶσθ' οὖν ὅπῃ μάλιστα θεῷ χαριεῖ λόγων πέρι πράττων ἢ λέγων; οὐδαμῶς. σὺ δέ. ἀκοήν γ' ἔχω λέγειν τῶν προτέρων, τὸ δ' ἀληθὲς αὐτοὶ ἴσασιν. εἰ δὲ τοῦτο εὕροιμεν αὐτοί, ἆρά γ' ἂν ἔθ' ἡμῖν μέλοι τι τῶν ἀνθρωπίνων δοξασμάτων; γελοῖον ἤρου. ἢ τὸν εἰδότα ὑπομνῆσαι περὶ ὧν ἂν ᾖ τὰ γεγραμμένα. ὀρθότατα.

Πλάτ. ἐν Φαίδρῳ.

Δεινὸν γάρ που, ὦ Φαῖδρε, τοῦτ' ἔχει γραφὴ, καὶ ὡς ἀληθῶς ὅμοιον ζωγραφίᾳ. καὶ γὰρ τὰ ἐκείνης ἔκγονα ἕστηκε μὲν ὡς ζῶντα· ἐὰν δὲ ἔρῃ τι, σεμνῶς πάνυ σιγᾷ. ταυτὸν δὲ καὶ οἱ λόγοι. δόξαις μὲν ἂν ὥς τι φρονοῦντας αὐτοὺς λέγειν· ἐὰν δέ τι ἔρῃ τῶν λεγομένων βουλόμενος μαθεῖν, ἕν τι σημαίνει μόνον ταυτὸν ἀεί, ὅταν δὲ ἅπαξ γραφῇ, κυλινδεῖται μὲν πανταχοῦ πᾶς λόγος, ὁμοίως παρὰ τοῖς ἐπαΐουσι.

Πλάτ. ἐν Ἴωνι.

Ἔστι γὰρ τοῦτο τέχνη μὲν, οὐκ ἂν παρὰ σοὶ περὶ Ὁμήρου εὖ λέγειν, ὃ νῦν δὴ ἔλεγον, θεία δὲ δύναμις, ἥ σε κινεῖ, ὥσπερ ἐν τῇ λίθῳ ἣν Εὐριπίδης μὲν Μαγνῆτιν ὠνόμασεν, οἱ πολλοὶ δὲ Ἡράκλειον, καὶ γὰρ αὕτη ἡ λίθος οὐ μόνον αὐτοὺς τοὺς δακτυλίους ἄγει τοὺς σιδηροῦς, ἀλλὰ καὶ δύναμιν ἐντίθησι τοῖς δακτυλίοις.

Τοῦ αὐτ.

οἷς νοῦς μὲν πάρεστιν, ἀλλὰ ὁ θεὸς ἐστὶν αὐτὸς ὁ λέγων ταῦτα, διὰ τούτων δὲ φθέγγεται πρὸς ἡμᾶς.

Πλάτων τὰ πολλὰ ὧν τοῖς συγγράφουσι, τοῖς Ἀδωναικοῖς κήποις εἴκαζεν, οἳ τὴν ἀρχὴν ἐφ' ἡμέραν ἔχοντες, ῥᾳδίως μαραίνονται.

Περὶ ἠθικῆς, καὶ τῶν ἀκολούθων.

Ἠθική ἐστι δύναμις ψυχῆς, δι' ἧς ἀπηνθισμένης καλῶς, ἡ πρακτικὴ κατασκευάζεται ἀρετή, ἢ λόγος καθ' ὃν χρώμεθα ἠθικῇ ἀρετῇ. ἦθος δέ ἐστι ποιότης τοῦ ἀλόγου μέρους τῆς ψυχῆς ὑποτακτικῶς ἔχειν ἐθιζομένου τῷ λόγῳ.

Ζήνων.

Ἄλογον μέρος ψυχῆς εἰθισμένον ὑπακούειν τῷ λόγῳ, ἢ πάθος, ἢ παθητικὸν μέρος τῆς ψυχῆς, εἰθισμένον ὑπακούειν τῷ λογικῷ.

Ζήνων.

Πάθος, ἢ τὸ ὀρεκτικὸν πάθος τῆς ψυχῆς, εἰθισμένον ὑπακούειν τῷ λογικῷ. πάρεστι δὲ κἀκείνως ὁρίζεσθαι· ἀρχὴ πρακτικὴ ψυχῆς πραγματικῆς· ἢ, κίνησις τῆς ψυχῆς καθ' ὁρμήν· ἢ, ποιότης ἀλόγου μοίρας ψυχῆς· ἢ, ψυχῆς τοῦ ἀλόγου μέρους ποιότης, κατ' ἐπιτακτικὸν λόγον δυναμένη τῷ λογικῷ ἐπακολουθεῖν. οὕτως μὲν οὖν κατὰ Πλάτωνα φιλοσοφοῦντες ὁρίζονται. οἱ δὲ κατὰ Ζήνωνα τὸν στωϊκὸν, τροπικῶς, ἦθος ἐστι πηγὴ βίου, ἀφ' ἧς αἱ κατὰ μέρος πράξεις ῥέουσι. πάθος δ' ἐστὶν, ὡς μὲν Ἀριστοτέλης, ἄλογος ψυχῆς κίνησις πλεοναστική. τὸ μὲν οὖν ἄλογον, κατὰ τοῦ μὴ ἔχοντος τὸν προαιρετικὸν λόγον τάττει· τὸν γὰρ ὑποτακτικὸν ἔχει καθ' ὃ ὑπακούειν πέφυκε τῷ λογικῷ. τὸ δὲ πλεοναστικὸν, κατὰ τοῦ πεφυκότος ἐπιδέχεσθαι πλεονασμὸν, οὐ κατὰ τοῦ ἤδη πλεονάζοντος· ποτὲ μὲν γὰρ πλεονάζει, ποτὲ δ' ἐλλείπει. κἀκείνως δὲ ὁρίζεται, πάθος ἐστὶ κίνησις τοῦ ἀλόγου μέρους τῆς ψυχῆς, πλεοναστικὴ κατὰ φαντασίαν ἡδέος, ἢ λυπηροῦ. ὁ μὲν οὖν περιπατητικὸς, οὕτως. ὡς δ' ὁ στωϊκὸς ὡρίσατο Ζήνων· πάθος ἐστὶν ὁρμὴ πλεονάζουσα. οὐ λέγει πεφυκυῖα πλεονάζειν, ἀλλ' ἤδη ἐν πλεο-

se bonum enasurum, inanis ipse quidem atq. eius poësis præ illa, quæ ex furore procedit.

De arte hactenus, & inscitia orationis sit dictum. Satis profectò. Reliquum est vt scribendo quid deceat, quid dedeceat dicamus. Planè. Scisne quo pacto maximè de sermonibus dicendo vel agẽdo deo placere potes? Minimè. Tu verò. Audiui equidem nonnulla à veteribus tradita: verum autem ipsi intelligunt. Id verò si nos inueniremus, nunquid humanarum deinceps nobis opinationũ cura nulla futura sit? Ridicula sanè interrogatio, &c. præter id quod scienti res ipsas quæ in literis significantur, commemorant. Rectissimè.

Graue id habet, ò Phædre, scriptura, & picturæ re vera persimile. Picturæ namque opera tanquam viuentia extant: si quid verò rogaueris, verecundè admodũ silent. Non aliter sermones putabis fortasse quasi aliquid ipsos intelligentes dicere. verùm si sciendi auidus ab iis dictorum aliquid sciscitaberis, idem in his semper, & vnum significatur. omnisq́ sermo cùm semel scriptus est, passim reuoluitur æquè apud intelligentes, atque alios.

Vt bene de Homero loquaris, ars tibi non præstat, vt modò dicebam, sed diuina vis est quæ te mouet, sicut in lapide quem Magnetem Euripides nominauit, nonnulli Heraclium vocant, qui lapis non solùm ferreos anulos trahit, sed vim etiam anulis ipsis infundit, &c. cùm sua mentis compotes minimè sint, sed hæc deum loqui, & per hos nobis hæc clamare. Plat. Ione.

Plato scripta pleraque cum Adonidis hortis comparabat, qui breui concinnati facilè pereunt.

De morum scientia, eiusque consequentibus. CAP. II.

Morũ scientia facultas est animæ, quæ probè exculsa virtutem agentem procreat: vel ratio, secundum quam virtute morum vtimur.

Mores autem sunt animæ partis ratione carẽtis qualitas, rationi parere assueta: vel affectibus obnoxia pars animæ, rationis participi parere assueta.

Licebit etiam definire initium agens animæ agentis, vel motum animæ cum appetitione. Atq. ita quidem Platonici definiunt, Stoici autem per figuram vitæ fontem, de quo singulæ fluũt actiones. Affectus verò secundum Aristotelem quidẽ est rationis expers animi motus nimius. Ac rationis quidem expers ratione duce carenti tribuitur, quandoquidem sequentem habet, secundum quam rationis participi paret: abundans autem abundantiæ capaci, non iam abundanti, siquidem nunc abundat, nunc deficit. Definit quoque motum ratione carentis animæ partis per imaginationem voluptatis vel doloris nimium. Atque hoc quidem pacto Peripateticus: Stoicus autem Zeno sic definit: Affectus est appetitio nimia. Non dicit nimÿ capacem, sed iam nimiam: nec quæ talis esse possit,

possit, sed iam sit. Definit etiam animæ volatũ, cum auium motu celeritatem affectuum comparans. Morum fictio autem est morum attributio. Morum scientia verò virtus est affectuũ medietatis; vel habitus, affectus abundantiam vel defectũ prudentia componens; vel habitus honesti circa voluptates ac dolores appetens. Atque hactenus quidem de definitionibus dictũ sit. (sæpius enim de illis sermo incidet) nunc autem ad morũ scientiæ diuisionem pergemus.

Philo quidam Larissæus fuit, Academicus, Clitomachi discipulus, in ᵃliteris celeberrimi. Is cùm alia dextrè tradidit, tum hanc, de qua agimus, diuisionem. Ait enim philosophum esse medico similem. Quemadmodum igitur medici est officium, primùm quidem ægroto persuadere, vt curationem admittat; deinde verò aduersariorũ rationes confutare: sic etiã philosophi, qui vtrunque in adhortatione positum habet. Est enim adhortatio ad virtutem incitans oratio; cuius altera pars magnum ipsius vsum exponit, altera aduersarios, vel philosophiam aliquo pacto calumniantes refellit. Secundo porrò modo sic instituitur comparatio. Quemadmodum est medici, postquam persuasit admittendam curationem, eam adhibere, partim sublatis morborum causis, partim sanitatis efficientibus substitutis: sic etiam in hac scientia se res habet. Etenim post adhortationem studet curationem adhibere, partim falsas opiniones, quibus animæ iudicium inficitur, tollens, partim veras substituens. Secundo igitur de bonis ac malis agitur, propter quæ fuerat instituta adhortatio. Tertio denique modo sic instituitur comparatio. Sicut medicinæ studium omne refertur ad finem, siue sanitatem; sic huius philosophia ad beatitudinem. Coniungitur autem cũ tractatu de finibus alter de vita. Etenim sicut medicina non sufficit sanitatem restituere, nisi etiam præcepta tradat, quibus obsequentes bonam corporis valetudinem conseruẽt: sic etiam in vita præceptis quibusdam est opus ad finem conseruandum. Verùm hic quoque tractatus duplex est, vel priuatus, vel communis: quorum ille singulorum res considerat, ᵇvelut an prudenti sit gerenda respublica, an cum principibus viuendũ, an sapienti vxor ducẽda; hic omnium, velut quæ sit optima respublica, vtrùm pro censu magistratus, an pro capite tribuendi sint. Communem sanè hunc licet quidem appellare ciuilem, conuenit autem separatim tractare, quamuis in parte ponatur, quoniam latissimè patet. Iam si quidem omnes contingeret esse sapientes, pluribus locis non esset opus, quandoquidem subtiliores diuisiones de præcedentibus subnascuntur: quoniam

a λόγοις pro λοιποῖς.

b οἷον εἰ τῷ νῷ pro οἱονεὶ τῷ οὖν.

νασμένη οὖσα· οὐ γὰρ δυνάμει, μᾶλλον δ' ἐνεργείᾳ. ὡρίσατο δὲ κἀκείνως· πάθος ἐστὶ ποιὰ ψυχῆς ἀπὸ τῆς τῶν πτηνῶν φορᾶς, τὸ εὐκίνητον τοῦ παθητικοῦ παρεικάσας. ἠθοποιία δ' ἐστὶν ἠθῶν ἐμποίησις. ἠθικὴ δ' ἐστὶν ἀρετὴ μεσότης παθῶν, ἢ ἕξις, ὁρίζουσα τῶν παθῶν τὴν ὑπερβολὴν καὶ τὴν ἔλλειψιν, τῷ τῆς φρονήσεως λόγῳ· ἢ ἕξις προαιρετικὴ τοῦ καλοῦ περὶ ἡδονὰς καὶ λύπας. ταῦτα μὲν οὖν αὐτάρκη περὶ τῶν ὅρων, (πολλάκις γὰρ οἱ περὶ αὐτῶν λόγοι παρεμπεσοῦνται)· χωρητέον δὲ ἐπὶ τὴν διαίρεσιν τοῦ ἠθικοῦ τόπου, εὐθὺς ἀπ' αὐτοῦ τοῦ κατὰ διαφορὰν ἐνδεικνυμένου.

Διαίρεσις ἠθικοῦ τόπου.

Φίλων ἐγένετο Λαρισσαῖος φιλόσοφος ἀκαδημαϊκός, ἀκουστὴς Κλειτομάχου, τοῦ ἱκανὴν εἰσενεγκαμένου προκοπὴν ἐν τοῖς λοιποῖς. οὗτος ὁ Φίλων τά τε ἄλλα πραγματεύεται δεξιῶς, καὶ διαίρεσιν τοῦ κατὰ φιλοσοφίαν λόγου, ἣν ἐγὼ προχειρῶμαι, περὶ ἧς ὁ λόγος. ἐοικέναι δή φησι τὸν φιλόσοφον ἰατρῷ. καθάπερ οὖν ἔργον ἰατροῦ, πρῶτον μὲν πεῖσαι τὸν κάμνοντα παραδέξασθαι τὴν θεραπείαν· δεύτερον δὲ, τοὺς τῶν ἀντισυμβουλευόντων λόγους ὑφελέσθαι· οὕτως καὶ τοῦ φιλοσόφου. κεῖται τοίνυν ἑκάτερον τούτων ἐν τῷ προσαγορευομένῳ προτρεπτικῷ λόγῳ. ἔστι γὰρ ὁ προτρεπτικὸς, ὁ παρορμῶν ἐπὶ τὴν ἀρετήν. τούτου δ' ὁ μὲν ἐνδείκνυται τὸ μεγαλωφελὲς αὐτῆς· ὁ δὲ τοὺς ἀνασκευάζοντας ἢ κατηγοροῦντας, ἢ πως ἄλλως κακοηθιζομένους τὴν φιλοσοφίαν, ἀπελέγχει. δεύτερος δὴ μετὰ τοῦτον, ὁ πρὸς τὴν ἰατρικὴν ἀναλογίαν δευτέραν ἔχων τάξιν. ὡς γὰρ ἰατροῦ, μετὰ τὸ πεῖσαι παραδέξασθαι τὴν θεραπείαν, τὸ προσάγειν ἐστὶ ταύτην τοῦ μὲν θεραπευτικοῦ, τὰ μὲν ἐν τῷ προσεκκομίσαι τὰ νοσοποιὰ τῶν αἰτιῶν, τὰ δὲ ἐν τῷ παρασκευαστικὰ τῆς ὑγείας ἐνθεῖναι· οὕτως αὖ κἀπὶ τῆς ἐπιστήμης ἔχει. μετὰ γὰρ τὰ προτρεπτικὰ, πειρᾶται τὰ θεραπευτικὰ προσάγειν, ἐφ' ἃ διὰ τῆς παρορμητικῆς κέχρηται διμερῶς· τὸ μὲν γὰρ, ὑπεξαιρετικὸν τῶν ψευδῶς γεγενημένων δοξῶν, δι' ἃς τὰ κριτήρια νοσοποιεῖται, τῆς ψυχῆς προσάγει λόγον· τὸ δὴ, τῶν ὑγιῶς ἐχουσῶν εἰσθετικόν. δεύτερος οὖν ὁ περὶ ἀγαθῶν καὶ κακῶν τόπος, ἐφ' ὃν καὶ δι' ὃν ἡ προτροπή. τῷ δὲ τρίτῳ πάλιν ὁ τρίτος ἀναλογήσει. καὶ γὰρ τῇ ἰατρικῇ σπουδὴ πᾶσα περὶ τὸ τέλος, τοῦτο δ' ἦν ὑγεία· καὶ τῇ φιλοσοφίᾳ, περὶ τὴν εὐδαιμονίαν. συνάπτεται δὲ τῷ περὶ τελῶν λόγῳ λόγος περὶ βίου. ἐπεὶ γάρ τι τῆς ἰατρικῆς οὐκ ἀρκεῖ τὴν ὑγείαν ἐμποιῆσαι· χρεία δὴ καὶ τῶν παραχεῖν παραγγέλματα περὶ τῆς ὑγείας, οἷς προσέχοντες τὸν νοῦν, τὴν εὐεξίαν τοῦ σώματος διαφυλάξουσιν· καὶ δὴ κἀπὶ τοῦ βίου θεωρημάτων τινῶν ἐστι χρεία, δι' ὧν ἡ φυλακὴ γενήσεται τοῦ τέλους. διττὸς δὲ καὶ ὁ περὶ βίων λόγος, ὁ μὲν ἴδιος, ὁ δὲ κοινός· οὖν τὸ μὲν ἴδιον, ἐπισκοπεῖν δέον ἐστὶ τὰ πρὸς ἕκαστον, οἱονεὶ τῷ οὖν ἔχοντι πολιτευτέον, ἢ τοῖς ἡγεμονικοῖς συμβιωτέον, ἢ γαμητέον τῷ σοφῷ· τὸ δὲ κοινὸν, πρὸς ἅπαντας, οἷον ἐκ τοῦ τίς ἀρίστη πολιτεία· εἰ κοινὰς ποιητέον τὰς ἀρχὰς ἢ τιμητάς. τοῦτον δὲ τὸν κοινὸν, προσαγορευτέον μὲν πολιτικόν· τακτέον δὲ καθ' αὑτὸν, καίπερ ὄντα μέρος τοῦ περὶ βίον, διά τε τὸ μέγεθος, καὶ τὴν κοινότητα. εἰ μὲν οὖν ἐνεδέχετο πάντας εἶναι σοφούς, οὐκ ἂν ἔδει πλειόνων ἔτι τόπων· οἱ γὰρ κατὰ λεπτὸν διῃρημένοι, παραφυάδες εἰσὶ τῶν προκειμένων·

ἐπεὶ δὲ

ἐπεὶ δὲ καὶ τῶν μέσως διακειμένων ἀνθρώπων πρόνοιαν ποιητέον, οἷς τινας ἐκ τοῦ παραινετικοῦ λόγου ἀφελεῖσθαι συμβαίνει, μὴ δυναμένους πρὸς ἐκκαιρεῖν τοῖς διεξοδικοῖς πλάτεσιν, ἢ διὰ χρόνου στενοχωρίας, ἢ διά τινας ἀνάγκας ἀχολίας, ἐπισυνεκτέον τὸν ὑποθετικὸν λόγον, δι' οὗ τὰ πρὸς τὴν ἀσφάλειαν, καὶ τὴν ὀρθότητα τῆς ἑκάστου χρήσεως, ὑποθήκας ἐν ἐπιτομαῖς ἕξουσιν. οὕτω μὲν οὖν ἡ Φίλωνος ἔχει διαίρεσις. ἐγὼ δ' εἰ μὲν ἀργότερος διεκείμην, ἀρκεσθεὶς ἂν αὐτῇ συνεῖρον ἤδη τὰ περὶ τῶν ἀρεσκόντων τῇ τῆς διαιρέσεως ἐπιψηφιζόμενος περιγραφῇ· ἡγούμενος δ' ἐμαυτῷ πρέπειν, πρὸ παντὸς τὴν οὐσίαν δεῖν ἐπισκοπεῖν, οὗτ' εἰς πραγματεύεται), κἄπειτα ποιότητα τὴν περὶ αὐτήν, καὶ ποσότητα, καὶ τούτοις ἐφεξῆς τὸ πρός τι νομίζω προσεπισκοπητέον εἶναι), καὶ τὰ τῶν ἄλλων ἐπισκοπεῖν, καθάπερ οὖν πάντων, οὕτω τῶν περὶ ταῦτα διενεγκάντων. ἔστιν οὖν Εὐδώρου τοῦ Ἀλεξανδρέως ἀκαδημαϊκοῦ φιλοσόφου διαίρεσις τοῦ κατὰ φιλοσοφίαν λόγου βιβλίον ἀξιόκτητον, ἐν ᾧ πᾶσαν ἐπεξελήλυθε προβληματικῶς τὴν ἐπιστήμην, ἧς ἐγὼ διαιρέσεως ἐκθήσομαι τὸ τῆς ἠθικῆς οἰκεῖον. ἔχει δ' οὕτω· τριμεροῦς ὄντος τοῦ κατὰ φιλοσοφίαν λόγου, τὸ μέν ἐστιν αὐτοῦ ἠθικόν, τὸ δὲ φυσικόν, τὸ δὲ λογικόν· τοῦ δ' ἠθικοῦ, τὸ μὲν περὶ τὴν θεωρίαν τῆς καθ' ἑκάστου ἀξίας, τὰ δὲ περὶ τὴν πρᾶξιν. ταῦτ' ἐστὶν ἀνδρομερῆ τῆς ἠθικῆς εἴδη· πρῶτον μέν, τὸ θεάσασθαι τὴν ἀξίαν τοῦ πράγματος ὅπερ αἱρεῖσθαι μέλλομεν, οὐδὲ γὰρ οἷόν τε γενέσθαι τὴν ὁρμὴν εὔλογον, εἰ μὴ κατὰ τὴν θεωρίαν· ἡ θεωρία δ' ἐστί, περίσκεψις τοῦ πράγματος, καὶ οἷον ἐπίκρισις, κατὰ τὸν περὶ αὐτοῦ λογισμόν. δεύτερον δέ, τὸ τὴν ὁρμὴν τῷ προσνοηθέντι καλῶς ἐπιβάλλεσθαι. τρίτον, τὸ τὴν πρᾶξιν αὐτοῖς ἐπισυνάψαι. τοιαῦτά ἐστι τὰ πρῶτα μέρη τοῦ ἠθικοῦ λόγου, θεωρητικόν, ὁρμητικόν, πρακτικόν· τούτων δ' ἕκαστον ὑποδιαιρεῖται. τῆς δὲ περὶ τὴν θεωρίαν τῆς καθ' ἕκαστον ἀξίας, τὸ μὲν περὶ τῶν σκοπῶν, καὶ τῶν λεγομένων σκοπῶν τοῦ βίου· τὸ δέ, περὶ τῶν συμβαλλομένων εἰς τὴν τούτων περιποίησιν· τὸ μέν ἐστι περὶ τὴν ἀρετὴν καὶ τὴν κακίαν· τὸ δέ, περὶ τῶν κατὰ τὰς ἀρετὰς ποιῶν, ὅπερ καὶ καλεῖται χαρακτηριστικόν· τὸ δέ, περὶ τεχνῶν· τὸ δέ, περὶ ἐπιτηδευμάτων. τοῦ μὲν περὶ ἀρετῆς, τὸ μὲν κοινόν, τὸ δ' ἴδιον· κοινὸν μέν, οἷον, περὶ δικαιοσύνης, περὶ ἀνδρείας, σωφροσύνης, φρονήσεως, τῶν ἄλλων· ἴδιον δέ, τὸ προτρεπτικόν, τοῦτο γὰρ εἰς τὸ μόνως ἐνδείξασθαι τὴν ἀρετὴν καὶ τὴν κακίαν. καὶ ὁ μὲν περὶ τὴν θεωρίαν τῆς καθ' ἕκαστον ἀξίας λόγος, εἰς τοσούτους τόπους γενικοὺς τέμνεται. ὁ γὰρ περὶ ἀγαθῶν καὶ κακῶν, πολλὰς περιέχει διαιρέσεις, αὐτίκα τὴν περὶ τῶν λεγομένων προηγμένων, τὴν περὶ φιλίας, καὶ ἡδονῆς, καὶ δόξης, καὶ εὐφυΐας. τοῦ δὲ περὶ φιλίας κατὰ γειτνίασιν ὑπάγει τὸν περὶ ἔρωτος, τὸν περὶ συμποσίων. οὐ μὴν ἀλλ' ὅμως τὸ δὴ σύμπαντος εἰς τὸ περὶ ἀγαθῶν καὶ κακῶν ὡς γενικώτατον ἀπέταξε λόγον· τὸν δὲ περὶ τῆς ὁρμῆς λόγου ὁ μέν ἐστι περὶ τῆς ἰδικῆς ὁρμῆς, ὁ δὲ περὶ παθῶν· ἤτοι γὰρ πᾶν πάθος ὁρμὴ πλεονάζουσα, ἢ τά γε πλεῖστα μεθ' ὁρμῆς καὶ τὰ ἀρρωστήματα. τὸν δὲ περὶ τῆς πράξεως λόγου, ὁ μέν ἐστι περὶ τῶν οἰκειούντων πρός τινας πράξεις, ὁ δὲ περὶ τῶν ἀλλοτριούντων ἀπό τινων πράξεων, ὁ δὲ τῶν αἰτιῶν ἀποδοτικὸς τῶν ἐπιγινομένων τινὰς σχέσεις ἢ κινήσεις, ὁ δὲ περὶ τῆς ἀσκήσεως, ὁ δὲ περὶ τῆς ἰδίως καὶ ὁμωνύμως τῷ γένει λεγομένης πράξεως. καὶ ὁ μὲν περὶ τῶν οἰκειούντων πρός τινας πράξεις, διαιρεῖται εἴς τε τὸ ὑποθετικόν, καὶ τὸ προτρεπτικόν. ἔνιοι γὰρ καὶ τοῦτον ὑπὸ

verò mediocrium quoque hominum est gerenda cura, qui cùm disputationibus grauioribus vel per temporis penuriam, vel per alia negotia [c] *vacare non poßint, magnũ ex praeceptis usum capiunt; non est omittendus praeceptorum tractatus, qui de recto singulorum usu breues tradat regulas. Atque haec quidem Philonis est diuisio: ego verò si quidem ignauiam calerem, illa contentus iam dogmata connecterem, sex descriptis partibus; cùm autem existimem primùm naturam rei tractandae, deinde qualitatẽ, tum quantitatem, postremò relata inspici debere; alios quoque consulendos iudico, ut non omnes, ita in his praecipuos. Eudorus Alexandrinus igitur, Academicus, philosophiae diuisionem praeclarè tradidit, totam scientiam ad quaestiones referens; unde quantum ad nostrum negatium pertinet, desumam. Triplex, inquit, est philosophia, naturae, morum, ac differendi. Morum porrò philosophia partim circa contemplationem singulorum dignitatis, partim circa appetitionem, partim circa actionem versatur. Etenim hae tres sunt morum scientiae species, contemplatio dignitatis rei, quam sectari volumus, posteaquam nulla appetitio ante contemplationem ratione nititur, contemplatio autem est rei consideratio, deq; ea iudicium; appetitio rei probè considerata adhibeta; actio vtriq. subiuncta. Quapropter hae primae sunt morũ scientiae partes, contemplans, appetens, & agens; quarum singulae rursum diuiduntur. Contemplatio primùm vel vitae fines tractat, vel quae ad eos consequẽdos pertinent; ad quae tum virtutes & vitia referuntur, tum qualitates ab iisdem profecta, tum artes ac studia. Virtutum* [d] *porrò tractatio partim communis est, partim propria: quarũ illa de iustitia, fortitudine, temperantia, prudentia, reliquis agit; haec adhortationem complectitur, quae virtutem ac vitium dumtaxat demonstrat. Et contemplatio quidẽ singulorum dignitatis in tot generales locos secatur. siquidem bonorum locus & malorum multas diuisiones continet, quibus de amicitia, verbi gratia, de voluptate, de gloria, de bona indole agitur; quemadmodum ad amicitiam refertur amoris & conuiuiorum tractatio. Veruntamen haec quidem omnia generali bonorũ ac malorum loco subiicit: appetitionis autem locus partim de speciali appetitione, partim de affectibus tractat; siquidem vel omnis affectus est appetitio nimia, vel ferè omnis. Actionis denique locorum alius de rebus ad actiones facientibus, alius de rebus ab iisdem alienis, alius de causis habituum aut motuum efficientibus, alius de exercitatione, alius de speciali actione disserit. Primus quidem locus in praecepta diuiditur & adhortationem, posteaquam nonnulli*

c [illegible] pro [illegible]

d γ pro τ.

nullis hanc etiam huc referunt. Secundus verò consolatio vocatur, aut secundum alios affectuum tractatio. Postremus denique vel de officiis, vel de rectè factis agit: quæ quoniam partim per se subsistunt, partim ad alios referuntur, ac his posterioribus gratiarum locus promanauit, cumq; rursus eadem partim composita sint, partim simplicia; de prioribus vitæ ac nuptiarū locus extitit, qui tamen propter quæstionum multitudinem separatim excutitur. Ac morum quidem scientia tot partes habet; deinceps autem quæstiones aggrediemur iuxta ordinem à nobis clarissimè, vt putamus, institutum.

De fine.

CAPVT III.

Τέλος multa significat, vt finem, cui respondent principium ac medium; vt pensionem tributi; vt sumtum, quo pacto quis εὐτελὴς dicitur; vt nuptias Dyrice, vel quòd iuuentutem absoluant, vel quòd virum cum muliere congressum perficiant, qua ratione pronubam Iunonem Perfectam vocarunt; vt actionis omnis euentum, quemadmodū dixit Euripides, Ἀχαλίνων στομάτων ἀνόμου τ' ἀφροσύνας τέλος δυστυχία; vt magistratus publicos, velut Lacedæmoniorum τέλη. Cùm autem dixit Homerus Iliadis decima,

Αἶψα δ' ἐπὶ Θρηκῶν ἀνδρῶν τέλος ἷξαν ἰόντες.

cohortem militarem intellexit. Finem porrò Stoici definiunt, cuius causa fiunt omnia, cùm ipse causam non habeat; vel ad quem omnia referuntur in vita, cùm ipse ad nihil referatur. Recentiores autem Peripatetici quod ex omnibus tribus bonis compleretur, posuerunt; haud rectè. siquidem non omnia bona finis partes sunt, vt nec corporis, nec fortunæ, sed solius virtutis functiones. Quocirca debuerant pro Compleretur dicere Efficeretur, vt virtutis vsum ostenderent. Epicurei sanè hoc efficiens non admittunt, quòd in patiendo finem, non in agendo ponant. Voluptas enim, quam pro fine habent, commodum alicuius habitum erga se absq. omni alterius consideratione denotat. Ac vox quidē τέλος etiā apud Homerū reperitur,

Οὐ γὰρ ἔγωγέ τί φημι τέλος χαριέστερον εἶναι.

verùm hic quidem vulgarem finem tradidit; Plato autem primus eius differentiam pro vitæ genere in Timæo & Protagora tradidit, nec non scopi & finis discrimen. Est enim scopus quidem, quod assequi cupimus, vt Apin sagittarij, finis autem, ipsa assecutio. Subiectū autem

τὸ δὲ τάττουσι· ὁ δὲ περὶ τῶν ἀποτρεπόντων, καλεῖται παραμυθητικός, ὃς καλούμενός ἐστι πρὸς ἐνίων παθολογικός. ὁ δὲ περὶ τῆς ὁμωνυμίας λεγομένης πράξεως, καὶ ἰδικῆς, ὁ μὲν ἐστὶ περὶ τῶν καθηκόντων, ὁ δὲ περὶ τῶν κατορθωμάτων. ἐπεὶ δὲ τῶν καθηκόντων, καὶ τῶν κατορθωμάτων, ἃ μὲν ἐστὶ καθ' ἑαυτά, ἃ δὲ κατὰ τὴν πρὸς τοὺς πλησίον χρῆσιν συνίσταται, τόπος ὁ περὶ τῶν χαρίτων ἐκ τοῦ λόγου τοῦ κατὰ τὴν πρὸς τοὺς πλησίον χρῆσιν ὑπάρχει. πάλιν δ' ἐπεὶ τῶν καθηκόντων καὶ τῶν κατορθωμάτων, ἃ μὲν λέγεται σύνθετα, ἃ δὲ ἀσύνθετα· συνέστηκε κατὰ σύνθετα ὁ περὶ βίου λόγος, ὧν ἐπεὶ γάμου, κατ' ἰδίαν ἐτάχθη, διὰ τὸ πλῆθος τῶν ἐν αὐτῷ ζητημάτων. ὥστ' εἶναι τοὺς πάντας τόπους κατὰ τὴν τῆς πράξεως τόπον, παραμυθητικόν, παθολογικόν, περὶ ἀσκήσεως, περὶ καθηκόντων, περὶ κατορθωμάτων, περὶ χαρίτων, περὶ βίου, περὶ γάμου. ὁ μὲν οὖν ἠθικὸς λόγος εἰς ταῦτα καὶ τοσαῦτα τέμνοιτ' ἂν μέρη· ἀρκτέον δὲ τῶν προβλημάτων, προστάττοντα τὰ μὲν κατὰ τὴν ἐμὴν φαινομένην διάταξιν, ἣν πως πείθομαι πρὸς τὸ σαφέστερον διῃρηκέναι.

Περὶ τέλους.

Τέλος λέγεται πολλαχῶς· ὡς τὸ πέρας, ᾧ ἀντιδιαιρεῖται ἀρχὴ καὶ μέσον· καὶ ὡς τὸ τέλεσμα φορικόν· ὡς τὸ ἀνάλωμα, καθ' ὃ λέγεται εὐτελής τις καὶ δυστελής· ὡς ὁ γάμος, παρὰ τοῖς ἀρχαίοις, ἤτοι παρὰ τὸ συμπέρασμα τῆς νεότητος, ἢ διὰ τὸ τελεῖν τὸν ἄνδρα τῇ πρὸς τὴν γυναῖκα συνόδῳ, καθ' ὃ τὴν γαμήλιον Ἥραν συζυγίαν καὶ τελείαν ἐπονομάζουσι· τέλος δὲ καὶ γνώσεως, καὶ πράξεως, καὶ ποιήματος, καὶ τὸ ἀποβαῖνον ὡς παρ' Εὐριπίδῃ,

Ἀχαλίνων στομάτων, ἀνόμου τ' ἀφροσύνας, τέλος δυστυχία.

τέλη δὲ λέγονται καὶ αἱ τῶν πολιτικῶν ἀρχαί, τὰ τέλη Λακεδαιμονίων εἰ τύχοι. παρὰ δ' Ὁμήρῳ ἐν τῷ τῆς Ἰλιάδος δεκάτῳ,

Αἶψα δ' ἐπὶ Θρηκῶν τέλος ἷξαν ἰόντες.

τοῦτο δ' ἐστὶν ἔναρχον τάγμα. λέγεται δ' ὑπὸ τῶν στωικῶν ὁρικῶς, τέλος ἐστὶν οὗ ἕνεκα πάντα πράττεται καθηκόντως, αὐτὸ δὲ πράττεται οὐδενὸς ἕνεκα. χειρότερος, οὗ χάριν τἄλλα, αὐτὸ δ' οὐδενὸς ἕνεκα. καὶ πάλιν ἐφ' ὃ πάντα τὰ ἐν τῷ βίῳ πραττόμενα καθηκόντως τὴν ἀναφορὰν λαμβάνει, αὐτὸ δ' ἐπ' οὐδενός. ὑπὸ δὲ τῶν νεωτέρων περιπατητικῶν, τὸ ἀπὸ Κριτολάου, τὸ ἐκ πάντων τῶν ἀγαθῶν συμπεπληρωμένον. τοῦτο δ' ἦν τὸ ἐκ τῶν τριῶν γενῶν. οὐκ ὀρθῶς. οὐ γὰρ πάντα τἀγαθὰ μέρη γίγνεται τοῦ τέλους· οὔτε γὰρ τὰ σωματικά, οὔτε τὰ ἀπὸ τῶν ἐκτός· τὰ δὲ τῆς ψυχικῆς ἀρετῆς ἐνεργήματα μόνης. κρεῖττον οὖν ἦν εἰπεῖν ἀντὶ τοῦ συμπεπληρωμένον, ἐνεργούμενον, ἵνα τὸ χρηστικὸν τῆς ἀρετῆς ἐμφαίνηται. τοῦτο δ' οἱ κατ' Ἐπίκουρον φιλοσοφοῦντες οὐ προσδέχονται λέγειν ἐνεργούμενον, διὰ τὸ παθητικὸν ὑποτίθεσθαι τὸ τέλος, οὐ πρακτικόν. ἡδονὴ γάρ, ὅθεν καὶ τὴν ἔννοιαν ἀποδιδόασι τοῦ τέλους, τὸ οἰκείως διατεθῆναι ἐξ ἑαυτοῦ πρὸς αὐτό, χωρὶς τῆς ἐπ' ἄλλο τι ἁπάσης ἐπιβολῆς. τὸ μὲν οὖν ὄνομα τοῦ τέλους εὑρίσκεται καὶ παρ' Ὁμήρῳ,

Οὐ γὰρ ἔγωγέ τί φημι τέλος χαριέστερον εἶναι.

ἀλλ' οὗτος μὲν δημοτελὲς εἰσήγαγε τὸ τέλος. Πλάτων δὲ διέστειλε πρῶτος τὸ κατ' ἄνδρα καὶ βίον ἰδιάζον, ἔν τε τῷ Τιμαίῳ, κἀν τῷ Πρωταγόρᾳ, καί γε τὴν τοῦ σκοποῦ διαφορὰν πρὸς τὸ τέλος. καὶ ἔστι σκοπὸς μέν, τὸ προκείμενον εἰς τὸ τυχεῖν, οἷον ἀσπὶς τοξόταις· τέλος δὲ τοῦ προκειμένου, τεῦξις. βούλονται γὰρ ἐνέργημα ἡμέτερον εἶναι

πρὸς

πρὸς τὸ τέλος. ὑποτελὶς δ' ἐστὶ τὸ πρῶτον οἰκεῖον τοῦ ζώου πάθος, ἀφ' οὗ κατήρξατο συναισθάνεσθαι τὸ ζῶον τῆς συστάσεως αὐτοῦ, οὔπω λογικὸν, ἀλλ' ἄλογον, κατὰ τοὺς φυσικοὺς, καὶ σπερματικοὺς λόγους· ὥσπερ τὸ θρεπτικὸν, καὶ τὸ αἰσθητικὸν, καὶ τῶν τοιούτων ἕκαστον. ῥίζης τόπον ἐπέχον, οὐδέπω φυτόν. γενόμενον γὰρ τὸ ζῶον, ᾠκειώθη τινὶ πάντως εὐθὺς ἐξ ἀρχῆς. ὅπερ ἐστὶ ὑποτελὶς καὶ ταῦτ' ἔν τινι τῶν τριῶν. ἢ γὰρ ἐν ἡδονῇ, ἢ ἐν ἀοχλησίᾳ, ἢ ἐν τοῖς πρώτοις κατὰ φύσιν. πρῶτα δ' ἐστὶ κατὰ φύσιν, περὶ μὲν τὸ σῶμα, ἕξις, κίνησις, χρῆσις, ἐνέργεια, δύναμις, ὄρεξις, ὑγεία, ἰσχὺς, εὐαισθησία, κάλλος, τάχος, ἀρτιότης, αἱ τῆς ζωτικῆς ἁρμονίας ποιότητες· περὶ δὲ τὴν ψυχὴν, εὐσυνεσία, εὐφυΐα, φιλοπονία, ἐπιμονή, μνήμη, τὰ τούτοις παραπλήσια, ἂν οὐδέποτε χρονειδὲς οὐδὲν, σύμφυτον δὲ μᾶλλον. τὴν δ' ὑποτελίδα, τῶν ἀρχαίων οὐδεὶς ὠνόμασεν, καίτοι τὸ πρᾶγμα γιγνώσκοντες, τὴν δ' εὐδαιμονίαν συνωνυμοῦσι τῷ τέλει λέγουσι. εὐδαιμονία δ' ἐστὶ τὸ ἄριστον ἐν τῷ βίῳ, ἢ τὸ μέγιστον τῶν ἀγαθῶν, ἢ τὸ κράτιστον: ταῦτα γάρ ἐστι τῶν περὶ αὐτοῦ ἐπονομάτων ἁπλούστερα. κἂν λέγῃ δέ τις μακαριότητα, ἢ τὸ μακαρίως ζῆν, εἰς τὸ αὐτὸ συνδραμεῖται τοῖς τελικοῖς. προσδιαιρετέον οὖν περὶ τέλους διαλεχθέντων. οἱ μὲν ψυχικὸν εἶναι ἐνενοήθησαν, οἱ δὲ σωματικὸν, οἱ δὲ μικτὸν ἐξ ἀμφοῖν. ἑκάστου δὲ παραδείγματος χάριν· ὁ μὲν τοίνυν ἀρετὴν λέγων, τουτέστιν ἐν ἀρετῇ κείμενον, ψυχικὸν ὑπείληφεν· ὁ δ' ἡδονὴν, σωματικόν· ὁ δὲ τὸ καλῶς, καὶ ἡδέως ζῆν, κοινόν. εἴη δ' ἄν τις ἀνὰ κἀκείνως, οἱ μὲν λογικὸν, οἱ δ' ἄλογον οἱ μὲν διανοητικὸν, οἱ δὲ παθητικόν. πάντα δὲ ταῦτα ἐν τούτοις ὀνόμασιν ἔχοντα διαφορὰν, εἰς ταυτὸ συντρέχει. ἐκ γὰρ σώματος καὶ ψυχῆς τοῦ ἀνθρώπου συνεστῶτος, ἀνάγκη δὲ τὴν εὐζωΐαν αὐτοῦ περὶ ταῦτα, καὶ διὰ τούτων συνίστασθαι. λέγομεν οὖν περὶ τῶν πρώτων εὐθὺς ὁποῖοι ἦσαν, οἱ ἀπὸ τῶν ψυχικῶν ἀναγόμενοι. ὅμηρος, δεδόσθω γὰρ τῇ ἀρχαιότητι πρεσβεία. ψυχικὸν ἀπεφήνατο τὸ τῆς εὐδαιμονίας τέλος, καὶ ταῦτα διὰ τοῦ παρεισαγομένου προσώπου σοφωτάτου παρ' αὐτῷ. πεποίηται γὰρ ὁ Ὀδυσσεὺς ἀναφωνῶν,

Καὶ γὰρ ἔγωγέ τί φημι τέλος χαριέστερον εἶναι,
Ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα.

ἡ δ' εὐφροσύνη ψυχική τίς ἐστι διάθεσις, ἣν ἄν τις ἐξηγήσαιτο καλὴν φρόνησιν ἤτοι τὴν ἐπὶ τοῖς καλοῖς φρόνησιν. ὁμήρῳ μὲν ἀρκείσθω προεξενεχθὲν τὸ τῆς τιμῆς διὰ τὴν ἀρχαιότητα· ἐπὶ δὲ τοὺς φιλοσόφους ἰτέον.

Σωκράτης, Πλάτων, ταυτὰ τῷ Πυθαγόρᾳ, τέλος ὁμοίωσιν θεοῦ. σαφέστερον δ' αὐτὸ διήρθρωσε Πλάτων, προσθεὶς τὸ κατὰ τὸ δυνατόν. φρονήσει δ' ἐστὶ μόνως δυνατὸν, τοῦτο δ' ἦν τὸ κατὰ ἀρετήν. ἐν μὲν γὰρ θεῷ τὸ κοσμοποιὸν, καὶ κοσμοδιοικητικόν· ἐν δὲ τῷ σοφῷ, βίου κατάστασις, καὶ ζωῆς διαγωγή. ὅπερ ἐοίκασι μὲν ὅμηρον, εἰπόντα,

κατ' ἴχνια βαῖνε θεοῖο.

Cùm autem satis multa de bonis ac malis, de expetendis & fugiendis, de fine & beatitudine dixerimus; indifferentia quoque suo loco indicamus excutienda. Vocant igitur indifferentia, quæ inter bona & mala sunt posita, bifariam ea sumentes, vel quæ nec bona sunt nec mala, nec expetenda nec fugienda, vel quæ appetitionem nec cient, nec reprimunt, vt digitũ in hanc vel illam partem mouere, vt festucam vel folium tollere. Priore quidem sensu quæ inter virtutem & vitium posita sunt, indifferentia vocantur, tamẽ vt nec fugienda sint nec

ἐμβάτως πρὸς τὸ τυγχάνειν τῶν προηγμένων κατὰ φύσιν. τὸ δὲ τέλος λέγεσθαι τριχῶς ὑπὸ τῶν ἐκ τῆς αἱρέσεως ταύτης, τό, τε γὰρ τελικὸν ἀγαθόν, λέγεσθαι τέλος ἐν τῇ φιλολόγῳ συνηθείᾳ, ὡς τὴν ὁμολογίαν λέγουσι τέλος εἶναι· λέγουσι δὲ καὶ τὸν σκοπὸν τέλος, οἷον τὸν ὁμολογούμενον βίον ἀναφορικῶς λέγοντες ἐπὶ τὸ παρακείμενον κατηγόρημα· κατὰ δὲ τὸ τρίτον σημαινόμενον λέγουσι τέλος τὸ ἔσχατον τῶν ὀρεκτῶν, ἐφ' ᾧ πάντα τὰ ἄλλα ἀναφέρεσθαι. διαφέρειν δὲ τέλος καὶ σκοπὸν ἡγοῦνται. σκοπὸν μὲν γὰρ εἶναι τὸ ἐκκείμενον σῶμα, οὗ τυχεῖν ἐφίεσθαι τοὺς τῆς εὐδαιμονίας στελλομένους. διὰ τὸ πάντα μὲν σπουδαῖον εὐδαιμονεῖν, πάντα δὲ φαῦλον ἐκ τῶν ἐναντίων κακοδαιμονεῖν. καὶ τῶν ἀγαθῶν τὰ μὲν ἀναγκαῖα εἶναι πρὸς εὐδαιμονίαν, τὰ δὲ μή. καὶ ἀναγκαῖα μὲν, τάς τε ἀρετὰς πάσας, καὶ τὰς ἐνεργείας τὰς χρηστικὰς αὐτῶν· οὐκ ἀναγκαῖα δὲ, χαράν τε, καὶ εὐφροσύνην, καὶ τὰ ἐπιτηδεύματα. παραπλησίως δὲ καὶ τῶν κακῶν τὰ μὲν ἀναγκαῖα, ὡς ἂν κατὰ πρὸς εὐδαιμονίαν εἶναι, τὰ δ' οὐκ. ἀναγκαῖα μὲν, τάς τε κακίας πάσας, καὶ τὰς ἐνεργείας τὰς ἀπ' αὐτῶν· οὐκ ἀναγκαῖα δὲ, τά τε πάθη πάντα, καὶ τὰ ἀρρωστήματα, καὶ τὰ τούτοις παραπλήσια. τέλος δέ φασιν εἶναι, τὸ εὐδαιμονεῖν, οὗ ἕνεκα πάντα πράττεται μὲν, οὐδενὸς δὲ ἕνεκα. τοῦτο δ' ὑπάρχειν ἐν τῷ κατ' ἀρετὴν ζῆν, ἐν τῷ ὁμολογουμένως ζῆν, ἔτι τοῦ ὄντος ἐν τῷ κατὰ φύσιν ζῆν. τὴν δὲ εὐδαιμονίαν ὁ Ζήνων ὡρίσατο τὸν τρόπον τοῦτον, εὐδαιμονία δ' ἐστὶν εὔρροια βίου. κέχρηται καὶ Κλεάνθης τῷ ὅρῳ τούτῳ ἐν τοῖς ἑαυτοῦ συγγράμμασι, καὶ ὁ Χρύσιππος, καὶ οἱ ἀπὸ τούτων πάντες, τὴν εὐδαιμονίαν εἶναι λέγοντες οὐχ ἑτέραν τοῦ εὐδαίμονος βίου· καί τοι λέγοντες, τὴν μὲν εὐδαιμονίαν σκοπὸν ἐκκεῖσθαι, τέλος δ' εἶναι τὸ τυχεῖν τῆς εὐδαιμονίας· ὅπερ ταυτὸν εἶναι τὸ εὐδαιμονεῖν. δῆλον οὖν ἐκ τούτων, ὅτι ἰσοδυναμεῖ τὸ κατὰ φύσιν ζῆν, καὶ τὸ καλῶς ζῆν, καὶ τὸ εὖ ζῆν, καὶ πᾶν τὸ καλὸν καὶ ἀγαθόν· καὶ ἡ ἀρετή, καὶ τὸ μέτοχον ἀρετῆς· καὶ ὁ πᾶν τὸ ἀγαθόν, καλόν· ὁμοίως δὲ καὶ πᾶν αἰσχρόν, κακόν. διὸ καὶ τὸ στωϊκὸν τέλος ἴσον δύνασθαι τὸν κατ' ἀρετὴν βίον, διαφέρειν δὲ λέγουσι τὸ αἱρετόν. αἱρετὸν μὲν εἶναι τὸ πᾶν, αἱρετὸν δὲ ὠφέλημα πᾶν, ὃ θεωρεῖται παρὰ τὸ ἔχειν τὸ ἀγαθόν. διὸ αἱρούμεθα μὲν τὸ αἱρετέον, οἷον τὸ φρονεῖν, ὃ θεωρεῖται παρὰ τὸ ἔχειν φρόνησιν· τὸ δὲ αἱρετὸν ἀλλ' αἱρούμεθα, ἀλλ' ἢ ἄρα ἔχειν αὐτὸ αἱρούμεθα. ὁμοίως δὲ καὶ τὰ μὲν ἀγαθὰ πάντα ἐστὶ πάντα ὑπομενετά, καὶ ἐμμενετά, κατὰ λόγον ἐπὶ τῶν ἄλλων αἱρετῶν ἐστι, εἰ καὶ μὴ κατ' ὀνόμασιν· τὰ δὲ ὠφέλιμα πάντα, ὑπομενετέα, καὶ ἐμμενετέα. καὶ κατὰ τὸν αὐτὸν λόγον ἐπὶ τῶν ἄλλων τῶν κατὰ τὰς οἰκείας.

Διεληλυθότες δ' ἱκανῶς περὶ ἀγαθῶν, καὶ κακῶν, καὶ αἱρετῶν, καὶ φευκτῶν, καὶ περὶ τέλους, καὶ εὐδαιμονίας, ἀναγκαῖον ἡγησάμεθα καὶ τὰ περὶ τῶν ἀδιαφόρων λεγόμενα, κατὰ τὴν οἰκείαν τάξιν ἐπελθεῖν. ἀδιάφορα δ' εἶναι λέγουσι, τὰ μεταξὺ τῶν ἀγαθῶν καὶ τῶν κακῶν. διχῶς τὸ ἀδιάφορον νοεῖσθαι φάμενοι· καθ' ἕνα μὲν τρόπον, τὸ μήτε ἀγαθὸν μήτε κακόν, καὶ τὸ μήτε αἱρετὸν μήτε φευκτόν· καθ' ἕτερον δὲ, τὸ μήτε ὁρμῆς μήτε ἀφορμῆς κινητικόν, καθὰ καὶ λέγεσθαί τινα καθάπαξ ἀδιάφορα εἶναι, οἷον τὸ προτεῖναι τὸν δάκτυλον ὡδὶ ἢ ὡδί, ἢ τὸ ἀνελέσθαι τι τῶν ἐμποδὼν κάρφος, ἢ φύλλον. κατὰ τὸ πρότερον δὴ λεκτέον, τὰ μεταξὺ ἀρετῆς καὶ κακίας ἀδιάφορα λέγεσθαι, καὶ τοὺς ἀπὸ τῆς αἱρέσεως ταύτης, οὐ μὴν πρὸς ἐκλογὴν καὶ ἀπεκλογήν· διὸ καὶ τὰ μὲν ἀξίαν ἐκλεκτικὴν ἔχειν, τὰ δ' ἀπαξίαν ἀπεκλε-

ἀπεκλεκτικήν, συμβλητικὴν δ᾽ οὐδαμῶς πρὸς τὸν εὐδαίμονα βίον. καὶ τὰ μὲν εἶναι κατὰ φύσιν, τὰ δὲ παρὰ φύσιν, τὰ δ᾽ οὔτε παρὰ φύσιν οὔτε κατὰ φύσιν. κατὰ φύσιν μὲν οὖν τὰ τοιαῦτα, ὑγίειαν, ἰσχὺν, αἰσθητηρίων ἀρτιότητα, καὶ τὰ παραπλήσια τούτοις· παρὰ φύσιν δὲ τὰ τοιαῦτα, νόσον, ἀσθένειαν, πήρωσιν, καὶ τὰ τοιαῦτα· οὔτε δὲ κατὰ φύσιν οὔτε παρὰ φύσιν, ψυχῆς κατάστασιν καὶ σώματος, καθ᾽ ἃς ἡ μέν ἐστι φαντασιῶν ψευδῶν δεκτική, τὸ δὲ τραυμάτων καὶ πηρώσεων δεκτικόν, καὶ τὰ τούτοις ὅμοια. ποιεῖσθαι δὲ λέγουσι τὸν περὶ τούτων λόγον τὸν πρῶτον, κατὰ φύσιν καὶ παρὰ φύσιν. τὸ γὰρ διαφέρον, καὶ τὸ ἀδιάφορον, τῶν πρός τι λεγομένων εἶναι, διόπερ κἂν φασὶ λέγωμεν ἀδιάφορα τὰ σωματικὰ, καὶ τὰ ἐκτὸς, πρὸς τὸ εὐσχημόνως ζῆν, ἐν ᾧ πάρεστι τὸ εὐδαιμόνως, ἀδιάφορα μὲν αὐτὰ εἶναι, οὐ μὰ Δία πρὸς τὸ κατὰ φύσιν ἔχειν, οὐδὲ πρὸς ὁρμὴν καὶ ἀφορμήν. ἔτι δὲ τῶν ἀδιαφόρων, τὰ μὲν πλείω ἀξίαν ἔχειν, τὰ δ᾽ ἐλάττω· καὶ τὰ μὲν καθ᾽ αὑτὰ, τὰ δὲ ποιητικά· καὶ τὰ μὲν προηγμένα, τὰ δὲ ἀποπροηγμένα, τὰ δ᾽ οὐδετέρως ἔχοντα. προηγμένα μὲν, ὅσα ἀδιάφορα ὄντα πολλὴν ἔχει ἀξίαν, ὡς ἐν ἀδιαφόροις· ἀποπροηγμένα, ὅσα πολλὴν ἔχει ἀπαξίαν ὁμοίως· οὔτε δὲ προηγμένα, οὔτε ἀποπροηγμένα, ὅσα μήτε πολλὴν ἔχει ἀπαξίαν. τῶν δὲ προηγμένων, τὰ μὲν εἶναι περὶ ψυχὴν, τὰ δὲ περὶ σῶμα, τὰ δ᾽ ἐκτός. περὶ ψυχὴν μὲν εἶναι τὰ τοιαῦτα, εὐφυΐαν, προκοπὴν, μνήμην, ὀξύτητα, διάνοιαν, ἕξιν, καθ᾽ ἣν ἐπίμονοί εἰσιν ἐπὶ τῶν καθηκόντων, καὶ τέχνας ὅσαι δύνανται συνεργεῖν ἐπὶ πλεῖον πρὸς τὸν κατὰ φύσιν βίον· περὶ σῶμα δ᾽ εἶναι προηγμένα, ὑγίειαν, εὐαισθησίαν, καὶ τὰ παραπλήσια τούτοις· τῶν δ᾽ ἐκτὸς, γονεῖς, τέκνα, κτῆσιν σύμμετρον, ἀποδοχὴν παρ᾽ ἀνθρώπων. τῶν δ᾽ ἀποπροηγμένων, περὶ ψυχὴν μὲν εἶναι τὰ ἐναντία τοῖς εἰρημένοις· περὶ σῶμα δὲ, καὶ ἐκτὸς, τὰ ὁμοίως ἀντιθέμενα τοῖς εἰρημένοις περὶ τι σῶμα καὶ τοῖς ἐκτὸς προηγμένοις. οὔτε δὲ τὰ προηγμένα, οὔτ᾽ ἀποπροηγμένα, περὶ ψυχὴν, φαντασίαν, καὶ συγκατάθεσιν, καὶ ὅσα τοιαῦτα· περὶ δὲ σῶμα, λευκότητα, καὶ μελανότητα, καὶ χαροπότητα, καὶ ἡδονὴν πᾶσαν, καὶ πόνον, καὶ εἴ τι ἄλλο τοιοῦτον· τῶν δ᾽ ἐκτὸς οὔτε προηγμένα εἶναι τὰ τοιαῦτα, ὅσα εὐτελῆ ὄντα καὶ μηδὲν χρήσιμον προσφερόμενα, μικρὰν παντελῶς ἔχει τὴν ἀπ᾽ αὐτῶν χρείαν, τῆς ψυχῆς οὔσης κυριωτέρας τοῦ σώματος. καὶ πρὸς τὸ κατὰ φύσιν ζῆν, φασὶ τὰ περὶ τὴν ψυχὴν, κατὰ φύσιν ὄντα καὶ προηγμένα, πλείονα τὴν ἀξίαν ἔχειν τῶν περὶ σῶμα, καὶ τῶν ἐκτὸς, οἷον εὐφυΐαν ψυχῆς πρὸς ἀρετὴν ὑπεράγειν τῆς τοῦ σώματος εὐφυΐας, καὶ ὁμοίως ἐπὶ τῶν ἄλλων ἔχειν. ἔτι δὲ τῶν ἀδιαφόρων φασὶ τὰ μὲν εἶναι ὁρμῆς κινητικὰ, τὰ δὲ ἀφορμῆς, τὰ δὲ οὔτε ὁρμῆς οὔτε ἀφορμῆς. ὁρμῆς μὲν οὖν κινητικὰ, ἅπερ ἐλέγομεν εἶναι κατὰ φύσιν· ἀφορμῆς, ὅσα παρὰ φύσιν· οὔτε δὲ ὁρμῆς οὔτε ἀφορμῆς, τὰ δὲ μηδ᾽ ἑτέρως ἔχοντα, οἷά ἐστι τὸ περιττὰς ἢ ἀρτίας ἔχειν τὰς τρίχας. τῶν δὲ κατὰ φύσιν ἀδιαφόρων ὄντων, τὰ μέν ἐστι πρῶτα κατὰ φύσιν, τὰ δὲ κατὰ μετοχήν. πρῶτα μέν ἐστι κατὰ φύσιν, κίνησις, ἢ σχέσις, κατὰ τοὺς σπερματικοὺς λόγους γινομένη, οἷον ὑγίεια, καὶ αἴσθησις, λέγω δὲ τὴν κατάληψιν, καὶ ἰσχύς· κατὰ μετοχὴν δὲ, ὅσα μετέχει κινήσεως, καὶ σχέσεως, κατὰ σπερματικοὺς λόγους, οἷον χεὶρ ἀρτία, καὶ σῶμα ὑγιαῖνον, καὶ αἰσθήσεις μήτι πεπηρωμέναι. ὁμοίως δὲ καὶ τῶν παρὰ φύσιν κατὰ ἀνάλογον. πάντα δὲ κατὰ φύσιν ληπτὰ εἶναι, καὶ ἅπαντα τὰ φύσιν, ἄληπτα. τῶν δὲ κατὰ φύσιν, τὰ μὲν καθ᾽ αὑτὰ ληπτὰ

expetenda, neque ad vitam beatam conducunt. Horum alia secundum naturam esse volunt, alia præter naturam, alia neutra: prima quidem sanitatem, robur, sensuum integritatem, & similia; secunda autem morbum, imbecillitatem, & similia; tertia verò constitutionem animi & corporis, qua ille quidem falsarum imaginationum, hic autem vulnerum est capax, & his similia. Indifferentia præterea alia maiorem habere dignitatem, alia minorem; alia per se consistere, alia dici efficientia; alia præposita esse, alia reiecta, alia neutra: præposita quidem, quæ magnam dignitatem habent; reiecta autem, quæ magnam indignitatem; neutra verò, quæ neutrum. Iam præpositorum alia in animo cerni; alia in corpore, alia extrà: in animo quidem ingenium, profectum, memoriam, acumen, intellectum, habitum, artes ad vitam secundum naturam cōducentes; in corpore autem sanitatem, sensus, & his similia; extrà verò parentes, liberos, opes mediocres, hominum fauorem. Reiectorum quoque in his tribus cerni, quæ sint prioribus contraria. Neutrorum deniq. in animo quidē cerni imaginationem, assensum, & similia; in corpore autem albedinem, nigredinem, voluptatem, dolorem, & similia; extrà verò quæ nullius dignitatis vel usus cùm sint, parum habent momenti, quando animus longè præstat corpori. Ad vitam quoque secundum naturam degendam animi præposita, quæ secundum naturam sint, plus aiunt valere, quàm corporis, aut externa: ut animi bonam indolem, quàm corporis, & similia. Indifferentia præterea alia dicunt appetitionem ciere, alia fugam, alia neutrum: appetitionem quidem, quæ secundum naturam dicta sunt; fugam autem, quæ præter naturam; neutrum vero, quæ neutra, ut parem vel imparem habere crinium numerum. Iam indifferentia secundum naturam alia esse principia natura, alia per communionem: illa quidem motum vel affectionem cum ratione conuenientem, ut sanitatem, & sensum; hæc autem cum quibus motus vel affectio communicatur, ut sanum corpus, & sensus integros. Neque aliter in iis, quæ præter naturam sunt, rem se habere. Quæcunque etiam secundum naturam sint, accepta esse: quæcunque autem præter naturam, non accepta. Illorum porrò alia per se accepta esse, alia propter aliud. illa

ἢ δι᾽ ἕτερο pro [illegible]

quidem quæ appetitionem ad se mouent, vt sanitatem, sensuum vigorem, pulcritudinem: hæc verò quæ appetitionem ad aliud mouent, vt diuitias, gloriam, & similia. Neque aliter in iis, quæ præter naturam sunt, rem se habere. Iam quæ secundum naturam sint, habere dignitatẽ; quæ præter naturam, indignitatem. Ac tribus modis dignitatẽ sumi, vel donationem per se, vel remunerationem approbantis, vel deniq. ^m ὧ pro ὃ ^m*quam eligentem vocat Antipater, quæ duobus propositis alterũ malumus, vt sanitatem quàm morbum, vitam quàm mortem, diuitias quàm paupertatem. Pari quoque ratione indignitatem tribus modis sumi, mutatis in contrarium nominibus. Ac donationẽ quidem vocat Diogenes iudicium rem secundum naturam esse, vel ei vsum adferre; approbationem autem in homine ponit, non in rebus; electionem verò bonis dumtaxat, non etiam indifferentibus tribuit. Iam quæ dignitatem habent, alia magnam habere dignitatem, alia paruam: ac similiter quæ indignitatem, alia magnam, alia paruam. Quæ quidem dignitatem magnam habeant, præposita dici; quæ autem indignitatem, reiecta, Zenone primo has voces rebus imponente. Ac præpositum quidem definiunt indifferens, quod secundum præcedentem rationem eligimus: reiectum autem contrà. Bonum autem nullum præpositum est, quia maximam dignitatem habet: sed præpositum, cùm secundam obtineat dignitatem, aliquatenus ad boni naturam accedit. siquidem nemo præcedentiũ* ^n τῇ ἐν αὐλῇ τῇ pro ἐν αὐλῇ. ^n*in aula rex habetur, sed qui subsequitur. Dicuntur autem præposita, non tam quòd ad beatitudinem multum conducant, quàm quòd à reiectis discernenda veniant.*

Sequitur autem tractatum de præpositis locus de officio. Definitur quidem officium consequens in vita, cuius recta potest reddi ratio. quodq; aliter se habet, cum officio pugnat. Atq. hoc ad bruta quoque protenditur, posteaquam illa quoque secundum naturam suam quadam gerunt. Officia porrò alia dicunt esse perfecta, quæ rectè facta dicantur, sintq; virtutum functiones, vt sapere, iustè agere; alia media, quæ non sint perfecta, vt vxorem ducere, legatione fungi, disputare, & similia. Ac rectè facta alia esse eorum, quæ oportet, alia quæ non oportet: illa quidem, vt prudentem esse, sempe-

εἶναι, τὰ δὲ δι' ἕτερα. καθ' αὐτὰ μὲν, ὅσα ἐστὶν ὁρμῆς κινητικὰ καὶ καταστρεπτικῶς ἐφ' ἑαυτὰ, ἢ ἐπὶ τὴν ἀντέχεσθαι αὐτῶν, οἷον ὑγίειαν, εὐαισθησίαν, ἀπονίαν, καὶ κάλλος σώματος· ποιητικὰ, ὅσα ἐστὶν ὁρμῆς κινητικὰ ἀνακτικῶς ἐφ' ἕτερα, καὶ μὴ καταστρεπτικῶς, οἷον πλοῦτον, δόξαν, καὶ τὰ τούτοις ὅμοια. παραπλησίως δὲ καὶ τῶν παρὰ φύσιν τὰ μὲν εἶναι καθ' αὐτὰ ληπτά, τὰ δὲ τῷ ποιητικὰ εἶναι. τῶν δὲ καθ' αὐτὰ ληπτῶν, πάντα δὲ τὰ κατὰ φύσιν ἀξίαν ἔχειν· καὶ πάντα τὰ παρὰ φύσιν, ἀπαξίαν. λέγεσθαι τριχῶς, τὴν δὲ δόσιν, καὶ τὴν καθ' αὐτὸ, καὶ τὴν ἀμοιβὴν τοῦ δοκιμαστοῦ, καὶ τὴν τρίτην, καὶ ὁ Ἀντίπατρος ἐκλεκτικὴν προσαγορεύει, καθ' ἣν διδόντων τῶν πραγμάτων, τάδε τινα μᾶλλον, ἀντὶ τῶνδε αἱρούμεθα, οἷον ὑγείαν ἀντὶ νόσου, καὶ ζωὴν ἀντὶ θανάτου, καὶ πλοῦτον ἀντὶ πενίας. κατὰ τὸ ἀνάλογον δὲ καὶ τὴν ἀπαξίαν τριχῶς φασὶ λέγεσθαι, ἀντιτιθεμένων τῶν σημαινομένων ἐπὶ τῆς πρώτης ἀξίας εἰρημένοις. τὴν δὲ δόσιν φησὶν ὁ Διογένης κρίσιν εἶναι ἐφ' ὅσον κατὰ φύσιν ἐστὶ, ἢ ἐφ' ὅσον χρείαν τῇ φύσει παρέχεται· τὸ δὲ δοκιμαστικὸν, οὐχ ὡς λέγεται τὰ πράγματα δοκιμαστὰ παραλαμβάνεσθαι, ἀλλ' ὡς δοκιμαστὸν φαμὲν εἶναι, καὶ ταύτας μὲν τὰς δύο ἀξίας καθ' ἃς λέγομεν τινας τῇ ἀξίᾳ προῆχθαι. τρίτην δέ φασιν εἶναι, καθ' ἣν φαμὲν ἀξίωμά τινας ἔχειν, καὶ ἀξίαν, ἥπερ περὶ ἀδιάφορα οὐ γίνεται, ἀλλὰ περὶ μόνα τὰ σπουδαῖα, χρῆσθαι δ' ἡμᾶς φησι ἐνίοτε τῷ ὀνόματι τῆς ἀξίας ἀντὶ τοῦ ἐπιβάλλοντος· ὡς ἐν τῷ τῆς δικαιοσύνης ὅρῳ παρείληπται, ὅταν λέγηται εἶναι ἕξις ἀπονεμητικὴ τοῦ κατ' ἀξίαν ἑκάστῳ, ἔστι γὰρ οἷον τοῦ ἐπιβάλλοντος ἑκάστῳ. τῶν δ' ἀξίαν ἐχόντων τὰ μὲν ἔχειν πολλὴν ἀξίαν, τὰ δὲ βραχεῖαν. ὁμοίως δὲ καὶ τῶν ἀπαξίαν ἐχόντων, ἃ μὲν ἔχειν πολλὴν ἀπαξίαν, ἃ δὲ βραχεῖαν. τὰ μὲν πολλὴν ἔχοντα ἀξίαν, προηγμένα λέγεσθαι. τὰ δὲ πολλὴν ἀπαξίαν, ἀποπροηγμένα· Ζήνωνος ταύτας τὰς ὀνομασίας θεμένου πρώτου τοῖς πράγμασι. προηγμένον δ' εἶναι λέγουσιν, ὃ ἀδιάφορον ὂν, ἐκλεγόμεθα κατὰ προηγούμενον λόγον. τὸν δ' ὅμοιον ἀνάλογον, ἐπὶ τὸ ἀποπροηγμένον εἶναι, καὶ τὰ παραδείγματα κατὰ τὴν ἀναλογίαν ταὐτά. οὐδὲν δὲ τῶν ἀγαθῶν εἶναι προηγμένον διὰ τὸ τὴν μεγίστην ἀξίαν αὐτὰ ἔχειν. τὸ δὲ προηγμένον, τὴν δευτέραν χώραν καὶ ἀξίαν ἔχον συνεγγίζει πως τῇ τῶν ἀγαθῶν φύσει. οὐδὲ γὰρ ἂν αὐλῇ τῶν προαγομένων εἶναι τὸν βασιλέα, ἀλλὰ τοὺς μετ' αὐτὸν τεταγμένους. προηγμένα δὲ λέγεσθαι, οὐ τῷ πρὸς εὐδαιμονίαν τινὰ συμβάλλεσθαι, συνεργεῖν τι πρὸς αὐτήν· ἀλλὰ καὶ τὸ ἀναγκαῖον εἶναι τούτων τὴν ἐκλογὴν ποιεῖσθαι παρὰ τὰ ἀποπροηγμένα.

Ἀκόλουθος δ' ἐστὶ τῷ λόγῳ τῷ περὶ τῶν προηγμένων, ὁ περὶ τοῦ καθήκοντος τόπος. ὁρίζεται δὲ τὸ καθῆκον, τὸ ἀκόλουθον ἐν ζωῇ, ὃ πραχθὲν, εὔλογον ἀπολογίαν ἔχει· παρὰ τὸ καθῆκον δὲ, τὸ ἐναντίως. τοῦτο διατείνει καὶ εἰς τὰ ἄλογα τῶν ζώων, ἐνεργεῖ γάρ τι κἀκεῖνα ἀκολούθως τῇ ἑαυτῶν φύσει· ἐπὶ τῶν λογικῶν ζώων, οὕτως ἀποδίδοται τὸ ἀκόλουθον ἐν βίῳ. τῶν δὲ καθηκόντων, τὰ μὲν εἶναι φασὶ τέλεια, ἃ δὴ καὶ κατορθώματα λέγεται· κατορθώματα δ' εἶναι, τὰ κατ' ἀρετὴν ἐνεργήματα, οἷον τὸ φρονεῖν, τὸ δικαιοπραγεῖν· οὐκ εἶναι δὲ κατορθώματα τὰ μὴ οὕτως ἔχοντα, ἃ δὴ οὐδὲ τέλεια καθήκοντα προσαγορεύουσιν, ἀλλὰ μέσα, οἷον τὸ γαμεῖν, τὸ πρεσβεύειν, τὸ διαλέγεσθαι, τὰ τούτοις ὅμοια. τῶν δὲ κατορθωμάτων, τὰ μὲν εἶναι, ὧν χρὴ, τὰ δ' οὔ. ὧν χρὴ μὲν εἶναι κατηγόρημα ὠφέλημα, οἷον τὸ φρονεῖν, τὸ σωφρονεῖν, οὐκ εἶναι δὲ, ὧν χρὴ τὰ

μὴ

μὴ οὕτως ἔχοντα. ὁμοίως δὲ καὶ τὸ παρὰ τὸ καθῆκον, τὴν αὐτὴν γίγνεσθαι τεχνολογίαν. πᾶν δὲ τὸ παρὰ τὸ καθῆκον ἐν λογικῷ γιγνόμενον, ἁμάρτημα εἶναι· τὸ δὲ καθῆκον τελειωθὲν, κατόρθωμα γίγνεσθαι. παραμετρεῖσθαι δὲ τὸ μέσον καθῆκον ἀδιαφόροις τισὶ, καλουμένοις δὲ παρὰ φύσιν, καὶ κατὰ φύσιν, τοιαύτην δὲ φέρουσι προσφερομένοις, ὥστε μὴ λαμβάνοιμεν αὐτὰ, ἢ διωθοίμεθα ἀπερισπάστως, μὴ ἂν εὐδαιμονεῖν. τὸ δὲ κινοῦν τὴν ὁρμὴν οὐδὲν ἕτερον εἶναι λέγουσιν, ἀλλὰ φαντασίαν ὁρμητικὴν τοῦ καθήκοντος αὐτόθεν, τὴν δὲ ὁρμὴν εἶναι φορὰν ψυχῆς ἐπί τι κατὰ τὸ γένος. ταύτης δ' ἐν εἴδει θεωρεῖσθαι τήν τε ἐν τοῖς λογικοῖς γιγνομένην ὁρμὴν, καὶ τὴν ἐν τοῖς ἀλόγοις ζώοις. οὐ κατωνομασμέναι δ' εἰσίν. ἡ γὰρ ὄρεξις, οὐκ ἔστι λογικὴ ὁρμὴ, ἀλλὰ λογικῆς ὁρμῆς εἶδος. τὴν δὲ λογικὴν ὁρμὴν δεόντως ἀφορίζοιντο, λέγοντες εἶναι φορὰν διανοίας ἐπί τι τῶν ἐν τῷ πράττειν· ταύτῃ δ' ἀντιτίθεσθαι ἀφορμὴν φοράν τινα, ἰδίως δὲ καὶ τὴν ὄρουσιν, ὁρμὴν λέγουσι τῆς πρακτικῆς ὁρμῆς, οὖσαν εἶδος. εἶναι δὲ τὴν ὄρουσιν φορὰν διανοίας ἐπί τι μέλλον. ὥστε μέχρι μὲν τούτων τετραχῶς ὁρμὴν λέγεσθαι, διχῶς δ' ἀφορμὴν, προστεθείσης καὶ τῆς ἕξεως τῆς ὁρμητικῆς, ἣν δὴ καὶ ἰδίως ὁρμὴν λέγουσιν, ἀφ' ἧς συμβαίνει ὁρμᾶν πανταχοῦ. τῆς δὲ πρακτικῆς ὁρμῆς εἴδη πλείονα εἶναι, ἐν οἷς καὶ ταῦτα, πρόθεσιν, ἐπιβολὴν, παρασκευὴν, ἐγχείρησιν, προαίρεσιν, θέλησιν. πρόθεσιν μὲν οὖν εἶναι λέγουσι, σημείωσιν ἐπιτελέσεως· ἐπιβολὴν δὲ, ὁρμὴν πρὸ ὁρμῆς· παρασκευὴν δὲ, πρᾶξιν πρὸ πράξεως· ἐγχείρησιν, ὁρμὴν ἐπί τινος ἐγχείρησιν ἤδη ὄντος· αἵρεσιν δὲ, βούλησιν ἐξ ἀναλογισμοῦ· προαίρεσιν δὲ, αἵρεσιν πρὸ αἱρέσεως· βούλησιν δὲ, εὔλογον ὄρεξιν· θέλησιν δὲ, ἑκούσιον βούλησιν. πάσας δὲ τὰς ὁρμὰς, συγκαταθέσεις εἶναι. τὰς δὲ πρακτικὰς, καὶ τὸ κινητικὸν περιέχειν, ἤδη δὲ ἄλλων μὲν εἶναι συγκαταθέσεις, ἐπ' ἄλλο δὲ ὁρμάς· καὶ συγκαταθέσεις μὲν, ἀξιώμασί τισι, ὁρμὰς δὲ ἐπὶ κατηγορήματα, τὰ περιεχόμενα πως ἐν τοῖς ἀξιώμασιν αἱ συγκαταθέσεις. ἐπεὶ δ' ἂν εἴδη τὸ πάθος τῆς ὁρμῆς ἐστι, λέγωμεν ἑξῆς περὶ παθῶν.

Πάθος δ' εἶναί φασιν, ὁρμὴν πλεονάζουσαν καὶ ἀπειθῆ τῷ αἱροῦντι λόγῳ, ἢ κίνησιν ψυχῆς παρὰ φύσιν. εἶναι δὲ πάθη, πάντα τοῦ γένους, τὰ τῆς ψυχῆς· διὸ καὶ πᾶσαν πτοίαν πάθος εἶναι, πάλιν πάθος πτοίαν. τοῦ δὲ πάθους τοιούτου ὄντος, ὑποληπτέον, τὰ μὲν πρῶτα εἶναι, καὶ ἀρχηγὰ, τὰ δ' εἰς ταῦτα τὴν ἀναφορὰν ἔχειν. πρῶτα δ' εἶναι τῷ γένει ταῦτα τέτταρα, ἐπιθυμίαν, φόβον, λύπην, ἡδονήν. ἐπιθυμίαν μὲν οὖν καὶ φόβον προηγεῖσθαι, τὴν μὲν πρὸς τὸ φαινόμενον ἀγαθὸν, τὴν δὲ πρὸς τὸ φαινόμενον κακόν. ἐπιγίγνεσθαι τούτοις ἡδονὴν, καὶ λύπην, ἡδονὴν μὲν, ὅταν τυγχάνωμεν ὧν ἐπεθυμοῦμεν, ἢ περιπίπτωμεν οἷς ἐφοβούμεθα. ἐπὶ πάντων δὲ τῶν τῆς ψυχῆς παθῶν ἐπὶ δόξας αὐτὰ λέγουσιν εἶναι, παραλαμβάνεσθαι τὴν δόξαν ἀντὶ τῆς ἀσθενοῦς ὑπολήψεως. τὸ δὲ πρόσφατον, ἀντὶ τοῦ κινητικοῦ συστολῆς ἀλόγου ἐπάρσεως· τὸ δὲ ἄλογον, καὶ τὸ παρὰ φύσιν, οὐ κοινῶς. ἀλλὰ τὸ μὲν ἄλογον ἴσον τῷ ἀπειθὲς τῷ λόγῳ, πᾶν γὰρ πάθος βιαστικόν ἐστι, καὶ πολλάκις ὁρῶντας τοὺς ἐν τοῖς πάθεσιν ὅτι συμφέρει τόδε οὐ ποιεῖν, ὑπὸ τῆς σφοδρότητος ἐκφερομένους καθάπερ ὑπό τινος ἀπειθοῦς ἵππου ἀνάγεσθαι πρὸς τὸ ποιεῖν αὐτό, παρὸ καὶ πολλάκις τινὰς ἐξομολογεῖσθαι λέγοντας τὸ θρυλλούμενον τοῦτο,

Γνώμην δ' ἔχοντά μ' ἡ φύσις βιάζεται,

rantem esse: hæc autem contraria. Neque aliter in iis, quæ præter officium sunt, rem se habere. Præterea quicquid præter officium in rationis participe fiat, peccatum esse, vt perfectum officium rectè factum. Medium quidem officium indifferentibus quibusdam definiri, quæ præter naturam & secundũ naturam vocentur. Iam quod appetitum mouet, imaginationem duntaxat aiunt esse, cùm appetitus sit impetus quidam animi ad aliquid. Diuersum autem esse volunt ratione præditorum appetitum & brutorum, cùm ὄρεξις non sit ratione præditus appetitus, verùm eius forma. At ratione præditum appetitum definiunt intellectus impetum ad aliquid agendum; cui fuga opponitur. Ac similiter ὄρουσιν ponunt appetitus agentis formã, quæ sit intellectus ad aliquid futurũ impetus. Ex quibus efficitur, vt quatuor modis appetitus dicatur, duobus fuga, si habitus appetendi adiungatur, qui etiam appetitus dicitur, omnium appetitionum auctor. Iam agentis appetitus multas species ponunt, in his istas, πρόθεσιν, ἐπιβολὴν, παρασκευὴν, ἐγχείρησιν, αἵρεσιν, προαίρεσιν, βούλησιν, θέλησιν. Harũ πρόθεσιν definiunt designationem; ἐπιβολὴν appetitum ante appetitum; παρασκευὴν actionem ante actionem; ἐγχείρησιν appetitum ad aliquid iam existens; αἵρεσιν voluntatem ex ratiocinatione; προαίρεσιν voluntatem ante voluntatem; βούλησιν cum ratione coniunctum appetitum; θέλησιν spontaneam voluntatem. Omnes porrò appetitus volunt assensus esse, atque agentes etiam in se motionem continere. nec nõ aliis quidẽ nos assentiri, alia verò appetere. Et quoniam appetitus quædam species affectus est, deinceps de affectibus dicamus.

De affectibus.

Affectum definiũt appetitionem nimiam, nec rationi °obtemperantem; vel animi præter naturam motum. Quod cùm ita sit, sciendũ est, alios primos esse ac principes, alios huc referri. Ac primos esse quatuor, cupiditatem, metum, dolorem, voluptatem: quorum cupiditas quidem & metus antecedant, illa bonum apparens, hic malum; dolor autem & voluptas subsequantur, cùm vel sperata assequimur, vel in formidata incidimus. In omnibus porrò animi affectibus opinionem assumunt, vt & quod ratione caret, ac præter naturam est. Sed horũ illud quidem rationi non obtemperari indicat, quandoquidem affectus omnis vim adfert, ac sæpe videntes affectibus rapti, quid conducat, nihilominus tanquam ab equo cõtumaci in diuersum feruntur, ideoq́ sæpe vulgatum hoc in ore habent,

Natura me mentis refellit compotem:

° ἀπειθῆ [illegible]

*hoc autem rectam rationem & cum natura conuenientem negligi ostendit. Atque omnes affectibus ducti rationem auersantur, quanquam alio modo, quàm decepti. Etenim qui decepti atomos pro principiis habent, verbi gratia, aliter edocti opinionem mutant: qui autem affectibus laborant, etiamsi doceantur nec dolendum, nec timendum esse, nec prorsus vllo animi affectu laborandum, affectuum tamen iugum non exuunt. Et cupiditatem quidem dicunt appetitum esse rationi haud obtemperãtem, cuius causa sit opinio boni cõsequentis; metum autem esse contractionem rationi haud obtemperantẽ, cuius causa sit opinio *mali consequentis; dolorem verò esse animi contractionem rationi haud obtemperantẽ, cuius causa sit opinio mali præsentis; gaudium denique, ob quod efferri quẽ oporteat. Ac sub cupiditatem quidem referuntur* ὀργὴ, *eiusq; species,* θυμὸς, χόλος, μῆνις, κότος, πικρία, *tum* ἔρως, πόθος, ἵμερος, φιληδονία, φιλοπλουτία, φιλοδοξία, *& similia: sub voluptatem autem* ἐπιχαιρεκακία, ἀσμενισμὸς, γοητεία; *sub metum verò* ὄκνος, ἀγωνία, αἰσχύνη, θόρυβος, ἔκπληξις, δεισιδαιμονία, δέος, δεῖμα· *sub dolorem denique* φθόνος, ζῆλος, ζηλοτυπία, ἔλεος, πένθος, ἄχθος, ἄχος, ἀνία, ὀδύνη, ἄση. *Horum* ὀργὴ *est cupiditas vlciscendi eius, qui videatur iniuria læsisse;* θυμὸς *ira incipiẽs;* χόλος *ira intumescens;* μῆνις *ira inueterata;* κότος *ira vlciscendi occasionem aucupans;* πικρία *ira confestim erumpens;* ἔρως *beneuolentiæ impetus pulcritudinis causa;* πόθος *cupiditas absentis;* ἵμερος *cupiditas cõsuetudinis absentis;* φιληδονία *cupiditas voluptatis;* φιλοπλουτία *diuitiarum;* φιλοδοξία *gloriæ;* ἐπιχαιρεκακία *voluptas de alienis malis;* ἀσμενισμὸς *voluptas de nec opinatis,* γοητεία *voluptas oculorum per dolum;* ὄκνος *metus futuræ actionis;* ἀγωνία *metus offensionis, vel lapsus;* ἔκπληξις *metus de insueta imaginatione;* αἰσχύνη *metus ignominiæ;* θόρυβος *metus cum voce trepidãs;* δεισιδαιμονία *metus deorum ac dæmonum;* δέος *metus rei grauis;* δεῖμα *metus cum ratione coniunctus;* φθόνος *dolor de alienis bonis;* ζῆλος *dolor de aliena felicitate, quam sibi quis optaret, vel imitatio tanquam potioris;* ζηλοτυπία *ferè idem;* ἔλεος *dolor de eo, qui præter meritum videatur miser;* πένθος *dolor de morte immatura;* ἄχθος *dolor ingrauescẽs;* ἄχος *dolor vocem eripiens;* ἀνία *dolor cum ratiocinatione;* ὀδύνη *dolor penetrans;* ἄση *dolor cum iactatione. Horum autem affectuum alios naturam suam *significare, vt* ἔλεος, φθό-

γνώμην γὰρ λέγει ἀντὶ τοῦ εἰδότος καὶ γνόντος τοῦ ὀρθοῦ παραγγέλματος, καὶ τὸ παρὰ φύσιν δ' εἴληπται ἐν τῇ τοῦ πάθους ὑπογραφῇ, ὡς συμβαίνοντος παρὰ τὸν ὀρθὸν, καὶ κατὰ φύσιν λόγον. πάντες δ' οἱ ἐν τοῖς πάθεσιν ὄντες ἀποστρέφονται τὸν λόγον, οὐ παραπλησίως δὲ τοῖς ἐξηπατημένοις ἐν ὁτῳοῦν, ἀλλ' ἰδιαζόντως. οἱ μὲν γὰρ ἠπατημένοι, λόγου χάριν, περὶ τὰς ἀτόμους ἀρχὰς εἶναι, διδαχθέντες ὅτι οὐκ εἰσὶν, ἀφίστανται τῆς κρίσεως· οἱ δ' ἐν τοῖς πάθεσιν ὄντες, κἂν μάθωσι, κἂν μεταδιδαχθῶσιν ὅτι οὐ δεῖ λυπεῖσθαι, ἢ φοβεῖσθαι, ἢ ὅλως ἐν τοῖς πάθεσιν εἶναι τῆς ψυχῆς, ὅμως οὐκ ἀφίστανται τούτων, ἀλλ' ἄγονται ὑπὸ τῶν παθῶν εἰς τὸ ὑπὸ τῆς τούτων κρατεῖσθαι τυραννίδος. τὴν μὲν οὖν ἐπιθυμίαν λέγουσιν ὄρεξιν εἶναι ἀπειθῆ λόγῳ· αἴτιον δ' αὐτῆς, τὸ δοξάζειν ἀγαθὸν ἐπιφέρεσθαι, οὗ παρόντος, εὖ ἀπαλλάξομεν, τῆς δόξης αὐτῆς ἐχούσης τὸ ἀτάκτως κινητικὸν, καὶ πρόσφατον. φόβον δ' εἶναι ἔκκλισιν ἀπειθῆ λόγῳ· αἴτιον δ' αὐτοῦ τὸ δοξάζειν κακὸν ἐπιφέρεσθαι, τῆς δόξης τὸ κινητικὸν, καὶ πρόσφατον ἐχούσης τοῦ ὄντως αὐτὸ φευκτὸν εἶναι. λύπην δ' εἶναι συστολὴν ψυχῆς ἀπειθῆ λόγῳ· αἴτιον δ' αὐτῆς, τὸ δοξάζειν πρόσφατον, καὶ παρεῖναι. ἐφ' ᾧ καθήκει ἐπαίρεσθαι. ὑπὸ μὲν οὖν τὴν ἐπιθυμίαν ὑπάγεται τὰ τοιαῦτα, ὀργὴ, καὶ τὰ εἴδη αὐτῆς, θυμὸς, καὶ χόλος, καὶ μῆνις, καὶ κότος, καὶ πικρίαι, καὶ τὰ τοιαῦτα, ἔρωτες σφοδροὶ, καὶ πόθοι, καὶ ἵμεροι, καὶ φιληδονίαι, καὶ φιλοπλουτίαι, καὶ φιλοδοξίαι, καὶ τὰ ὅμοια· ὑπὸ δὲ τὴν ἡδονὴν, ἐπιχαιρεκακίαι, καὶ ἀσμενισμοὶ, καὶ γοητεῖαι· ὑπὸ δὲ τὸν φόβον, ὄκνοι, καὶ ἀγωνίαι, καὶ αἰσχύναι, καὶ θόρυβοι, καὶ ἐκπλήξεις, καὶ δεισιδαιμονίαι, ἢ δέος, καὶ δείματα· ὑπὸ δὲ τὴν λύπην, φθόνος, ζῆλος, ζηλοτυπία, ἔλεος, πένθος, ἄχθος, ἄχος, ἀνία, ὀδύνη, ἄση. ὀργὴ μὲν οὖν ἐστιν ἐπιθυμία τιμωρήσασθαι τὸν δοκοῦντα ἠδικηκέναι παρὰ τὸ προσῆκον· θυμὸς δὲ, ὀργὴ ἐναρχομένη· χόλος δὲ, ὀργὴ διοιδοῦσα· μῆνις δὲ, ὀργὴ εἰς παλαίωσιν ἀποτεθειμένη, ἢ ἐναποκειμένη· κότος δὲ, ὀργὴ ἐπιτηροῦσα καιρὸν εἰς τιμωρίαν· πικρία δὲ, ὀργὴ παραχρῆμα ἐκρηγνυμένη· ἔρως δὲ, ἐπιβολὴ φιλοποιίας διὰ κάλλος ἐμφαινόμενον· πόθος δὲ, ἐπιθυμία τῷ ἔρωτι ἀπόντος· ἵμερος δὲ, ἐπιθυμία φίλου ἀπόντος ὁμιλίας· φιληδονία δὲ, ἐπιθυμία ἡδονῶν· φιλοπλουτία δὲ, πλούτου· φιλοδοξία δὲ, δόξης· ἐπιχαιρεκακία δὲ, ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς· ἀσμενισμὸς δὲ, ἡδονὴ ἐπὶ ἀπροσδοκήτοις· γοητεία δὲ, ἡδονὴ δι' ὄψεως κατὰ ἀπάτην· ὄκνος δὲ, φόβος μελλούσης ἐνεργείας· ἀγωνία δὲ, φόβος διαπτώσεως, καὶ ἑτέρως, φόβος ἥττης· ἔκπληξις δὲ, φόβος ἐξ ἀσυνήθους φαντασίας· αἰσχύνη δὲ, φόβος ἀδοξίας· θόρυβος δὲ, φόβος μετὰ φωνῆς κατεπείγων· δεισιδαιμονία δὲ, φόβος θεῶν, καὶ δαιμόνων· δέος δὲ, φόβος δεινοῦ· δεῖμα δὲ, φόβος ἐκ λόγου· φθόνος δὲ, λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· ζῆλος δὲ, λύπη ἐπὶ τὸ ἕτερον ἐπιτυγχάνειν, ὧν αὐτὸς ἐπιθυμεῖ, αὐτὸν δὲ μή· λέγεσθαι δὲ καὶ ἑτέρως ζῆλον, μακαρισμὸν ἐνδεοῦς, καί τι ἄλλως μίμησιν ὡς ἂν κρείττονος· ζηλοτυπίαν δὲ, λύπην ἐπὶ τὸ ἕτερον ἐπιτυγχάνειν, ὧν αὐτὸς ἐπιθυμεῖ· ἔλεος δὲ, λύπην ἐπὶ τῷ δοκοῦντι ἀναξίως κακοπαθεῖν· πένθος δὲ, λύπην ἐπὶ θανάτῳ ἀώρῳ· ἄχθος δὲ, λύπην βαρύνουσαν· ἄχος δὲ, λύπην ἀφωνίαν ἐμποιοῦσαν· ἀνίαν δὲ, λύπην κατὰ διαλογισμόν· ὀδύνην δὲ, λύπην εἰσδύνουσαν καὶ καθικνουμένην· ἄσην δὲ, λύπην μετὰ ῥιπτασμοῦ. τούτων δὲ τῶν παθῶν, τὰ μὲν ἐμφαίνει τὸ ἐφ' ᾧ γίγνεται.

* κακοῦ pro ἀγαθ.

* ἐμφαίνειν pro ἐμφαίνει.

γίγνεσθαι), οἷον ἔλεον, φθόνον, ἐπιχαιρεκακίαν, αἰσχύνην· τὰ δὲ τὴν ἰδιότητα τῆς κινήσεως, οἷον ὠδῖνα, δεῖμα. εὐεμπτωσίαν δ' εἶναι εὐκαταφορίαν εἰς πάθος, εἴς τι τῶν παρὰ φύσιν ἔργων, οἷον ἐπιλυπίαν, ὀργιλότητα, φθονερίαν, ἀκροχολίαν, καὶ τὰ ὅμοια. γίγνεσθαι δὲ εὐεμπτωσίας καὶ εἰς ἄλλα ἔργα τῶν παρὰ φύσιν, οἷον εἰς κλοπὰς, καὶ μοιχείας, καὶ ὕβρεις, καθ' ἃς κλέπται, καὶ ὑβρισταὶ καὶ μοιχοὶ λέγονται. νόσημα δ' εἶναι δόξαν ἐπιθυμίας ἐρρυηκυῖαν εἰς ἕξιν καὶ ἐνεσκιρωμένην, καθ' ἣν ὑπολαμβάνουσι τὰ μὴ αἱρετὰ, σφόδρα αἱρετὰ εἶναι, οἷον φιλογυνίαν, φιλοινίαν, φιλαργυρίαν· εἶναι δέ τινα καὶ ἐναντία τοῖς νοσήμασι κατὰ προσκοπὴν γιγνόμενα, οἷον μισογυνίαν, μισοινίαν, μισανθρωπίαν. τὰ δὲ νοσήματα μετ' ἀσθενείας συμβαίνοντα, ἀῤῥωστήματα καλεῖσθαι. κατόρθωμα δ' εἶναι λέγουσι καθῆκον, πάντας ἐπέχον τοὺς ἀριθμοὺς· ἢ, καθάπερ προείπομεν, τέλειον καθῆκον. ἁμαρτήματα, τὸ παρὰ τὸν ὀρθὸν λόγον πραττόμενον, ἢ ἐν ᾧ παραλέλειπταί τι καθῆκον ὑπὸ λογικοῦ ζώου. τά γε ἀγαθὰ πάντα, τῶν σπουδαίων εἶναι λέγουσι, καθὸ καὶ τὸν ὠφελοῦντά τινα τὸν πλησίον, καὶ ἐφ' ἑαυτὸν ὠφελεῖν. τήν τε ὁμόνοιαν, ἐπιστήμην εἶναι κοινῶν ἀγαθῶν· διὸ καὶ τοὺς σπουδαίους πάντας ὁμονοεῖν ἀλλήλοις, διὰ τὸ συμφωνεῖν ἐν τοῖς κατὰ τὸν βίον· τοὺς δὲ φαύλους διαφωνοῦντας πρὸς ἀλλήλους ἐχθροὺς εἶναι καὶ κακοποιητικοὺς ἀλλήλων, καὶ πολεμίους. τό, τε δίκαιόν φασι φύσει εἶναι, καὶ μὴ θέσει, ἑπόμενον δὲ τούτοις ὑπάρχειν, καὶ τὸ πολιτεύεσθαι τὸν σοφὸν, καὶ μάλιστα ἐν ταῖς τοιαύταις πολιτείαις ταῖς ἐμφαινούσαις τινὰ προκοπὴν πρὸς τὰς τελείας πολιτείας, καὶ τὸ νομοθετεῖν δὲ, καὶ τὸ παιδεύειν ἀνθρώπους, ἔτι δὲ συγγράφειν τὰ δυνάμενα ὠφελεῖν τοὺς ἐντυγχάνοντας τοῖς γράμμασιν. οἰκεῖον εἶναι σπουδαίοις, καὶ τὸ συγκαταβαίνειν καὶ εἰς γάμον καὶ εἰς τεκνογονίαν, καὶ αὐτοῦ χάριν, καὶ τῆς πατρίδος, καὶ ὑπομένειν περὶ ταύτης, ἐὰν ᾖ μετρία, καὶ πόνους, καὶ θάνατον. παρακεῖσθαι δὲ τούτοις φαῦλα, τό, τε δημοκοπεῖν, καὶ τὸ σοφιστεύειν, καὶ τὸ συγγράφειν ἐπιβλαβῆ τοῖς ἐντυγχάνουσιν, ἅπερ εἰς σπουδαίους οὐκ ἂν πέσοι. τριχῶς δὲ λεγομένης τῆς φιλίας, καθ' ἕνα μὲν τρόπον τῆς κοινῆς ἕνεκα φιλίας, καθ' ἣν φίλοι εἶναι λέγονται, ταύτην μὲν οὔ φασι τῶν ἀγαθῶν εἶναι, διὰ τὸ μηδὲν ἐκ διεστηκότων ἀγαθὸν εἶναι κατ' αὐτούς· τὴν δὲ κατὰ τὸ δεύτερον σημαινόμενον λεγομένην φιλίαν, κατὰ σχέσιν οὖσαν φιλικὴν πρὸς τοὺς πέλας, τῶν ἐκτὸς λέγουσιν ἀγαθῶν· τὴν δὲ περὶ αὐτὸν φιλίαν, καθ' ἣν φίλος ἐστὶ τῶν πέλας, τῶν περὶ ψυχὴν ἀποφαίνουσιν ἀγαθῶν. εἶναι δὲ καὶ θάτερον τρόπον κοινὰ τἀγαθά. πάντα γὰρ τὸν ὁντινοῦν ὠφελοῦντα ἴσην ὠφέλειαν ἀπολαμβάνειν νομίζουσι παρ' αὐτὸ τοῦτο, μηδένα δὲ φαῦλον μήτε ὠφελεῖσθαι. εἶναι γὰρ τὸ ὠφελεῖν ἴσχειν κατ' ἀρετὴν, καὶ τὸ ὠφελεῖσθαι κινεῖσθαι κατ' ἀρετήν. οἰκονομικὸν δ' εἶναι μόνον λέγουσι τὸν

τον, ἐπιχαιρεκακίαν, αἰσχύνην: alios motionis proprietatem, vt ὠδῖνα, δεῖμα. Proclinitatem porrò esse facilitatem recipiendorum affectuũ, vt ἐπιλυπίαν, ὀργιλότητα, φθονερίαν, ἀκροχολίαν, & similia. nec non ad alias actiones proclinitates protendi, vt furta, adulteria, & iniurias. Morbum quoque esse cupiditatis opinionem in habitum trãslatam, qua res minùs expetendæ valde expetantur, vt φιλογυνίαν, φιλοινίαν, φιλαργυρίαν. nec non his existere contraria μισογυνίαν, μισοινίαν, μισανθρωπίαν. Iam rectè factum vocãt officium, quod omnes numeros habeat; vel, vt antè diximus, perfectũ officium: peccatum autem, quod præter rectam rationem fit; vel in quo officij aliquid omissum est. Ac bona omnia proborũ esse dicunt, quemadmodum & qui alteri prosit, seipsum iuuet: & concordiam bonorũ communium esse scientiam; ideoq́ probus inter se conuenire, improbus nequaquam. Ius quoque naturæ non constitutioni referunt acceptum. Ex his effici, remp. gerere sapientem, præsertim quæ propè à perfectione absit. Ac similiter leges ferre, homines instruere, vtilia conscribere, proborum esse; nec non ad nuptias et liberorum procreationem se demittere, horumq́ causa, si necesse sit, labores & mortem subire: quibus opponantur populo blandiri, sophistam agere, inutilia conscribere, quæ in probos non cadant. Iam cùm trifariam sumatur amicitia, primam quidem communẽ inter bona non habẽt, secundam autem ad alios relatam inter externa bona, tertiam verò ad ipsum vnumquemque inter animi bona. Alio quoque pacto bona ponunt communia, posteaquam qui alterum iuuet, sibi ipse tantundem prosit. Improbum quidem neminem nec iuuare, nec iuuari, cùm alterum sit mouere secundum virtutem, alterũ moueri. Oeconomicum quoque solum concedunt esse probum, & œconomum bonum, [*] itémque acquirendi peritum. siquidem œconomicen quidem esse habitum agentem & contemplantem in re familiari; œconomiam autem sumtuum dispositionem, & operum ac possessionum curam; acquirendi verò peritiam opum comparandarum rationem. hanc sanè alij indifferentem, alij bonam duxerunt. At improbum neminem rectè familiæ præesse, cùm solus probus acquirẽdi sit peritus, qui vnde, quando, quomodo, & quatenus acquirendum sit, sciat. Eundem nunquam volunt

[*] Ita pro in.

σπουδαῖον, καὶ τὸν ἀγαθὸν οἰκονόμον, ἔτι δὲ χρηματιστικόν. τὴν μὲν γὰρ οἰκονομικὴν, εἶναι θεωρητικὴν ἕξιν καὶ πρακτικὴν τῶν οἴκῳ συμφερόντων· τὴν δ' οἰκονομίαν, διάταξιν περὶ ἀναλωμάτων, καὶ ἔργων, καὶ κτήσεως ἐπιμέλειαν, καὶ τῶν κατ' αὐτὸν ἐργαζομένων· τὴν δὲ χρηματιστικὴν, ἐμπειρίαν περιποιήσεως χρημάτων. ἀφ' ὧν δέος, καὶ ἕξιν ὁμολογουμένην, ὡς ἀναστρέφεσθαι ποιοῦσαν ἐν συναγωγῇ χρημάτων, καὶ τηρήσει, καὶ ἀναλώσει, πρὸς εὐπορίαν. τὸ δὲ χρηματίζεσθαι τινὲς μὲν μέσον εἶπον εἶναι, τινὲς δὲ ἀστεῖον. φαῦλον δὲ μηδένα προστάτην ἀγαθὸν οἴκου γίγνεσθαι, μηδὲ δύνασθαι οἰκίαν εὖ οἰκουμένην παρέχειν. μόνον δὲ τὸν σπουδαῖον ἄνδρα χρηματιστικὸν εἶναι, γινώσκοντα ἀφ' ὧν χρηματιστέον, καὶ πότε, καὶ πῶς, καὶ μέχρι πότε. φασὶ μηδέποτε

lunt ignoscere, cùm existimet, quicunque peccet, suo vitio peccare. Eundem negant benignũ esse, quòd benignus iustum supplicium deprecetur, & legibus inflicta supplicia iusto duriora ducat. Legem quoque bonam existimant, cùm sit recta ratio, quid faciendum vel omittẽdum sit, præcipiens. Iam opera alia aiunt esse rectè facta, alia peccata, alia neutra: rectè facta quidem sapere, iustè agere, gaudere, benefacere, prudenter viuere, & quæcunq. secundum rectam rationem fiunt; peccata autem desipere, iniustè agere, dolere, furari, et quæcunque præter rectam rationem fiunt; neutra verò loqui, interrogare, & respondere, ambulare, peregrinari, & similia. Differre porrò aiunt inter se αἱρετὸν *&* αἱρετέον, ὀρεκτὸν *&* ὀρεκτέον, βουλητὸν *&* βουλητέον, ἀποδεκτὸν *&* ἀποδεκτέον. *siquidem* αἱρετέα, βουλητέα, ὀρεκτέα, *&* ἀποδεκτέα *esse voces ipsas cum bonis coniunctas, quandoquidem ad has electiones, appetitus, & & voluntates referuntur; bona autem ipsa* αἱρετὰ, βουλητὰ, *&* ὀρεκτὰ *esse, quandoquidem prudentiam ac temperantiam habere cupimus, non voces ipsas, prudentem esse, ac temperantem esse. Iam probum virum quemuis perfectum esse dicunt, quòd nulla virtute careat; improbum contrà imperfectum, quòd virtutem nullã habeat. ideoq́ semper probos beatos esse, improbos autem miseros. Atque hanc beatitudinem nihil à diuina differre vult Chrysippus, neque illa minùs expetendam esse concedit. Ponit enim Zeno cum suis duo hominum genera, alterum proborum, alterum improborum: quorum illud per omnem vitam virtutes colat, hoc vitia; ideoq́ illud semper rectè agat, hoc peccet: & illud quidem vitæ vsu adhibito probè omnia gerat, vt prudenter, temperanter, & secundum alias virtutes; hoc autem improbè: & illud quidem magnum sit, obesum, excelsum, & validum. (magnum, quod propositum queat obtinere; obesum, quod vndique sit au-*

συγγνώμην ἔχειν, καὶ νομίζειν τὸν ἡμαρτηκότα μὴ παρ' αὐτὸν ἡμαρτηκέναι, πάντων ἁμαρτανόντων παρὰ τὴν ἰδίαν κακίαν, διὸ καὶ δεόντως λέγεσθαι τὸ μηδὲν συγγνώμην ἔχειν τοῖς ἁμαρτάνουσιν. οὐκ ἐπιεικῆ δέ φασιν εἶναι τὸν ἀγαθὸν ἄνδρα, τὸν γὰρ ἐπιεικῆ παραιτητικὸν εἶναι τῆς κατ' ἀξίαν κολάσεως, καὶ τοῦ αὐτοῦ εἶναι ἐπιεικῆ τε εἶναι, καὶ ὑπολαμβάνειν τὰς ἐκ τῶν νόμων τεταγμένας κολάσεις τοῖς ἀδικοῦσι σκληροτέρας εἶναι, καὶ τὸ ἡγεῖσθαι παρὰ τὴν ἀξίαν ἀπονέμειν τὰς κολάσεις τὸν νομοθέτην. τόν τε νομοθέτην, τόν τε νόμον σπουδαῖον εἶναί φασι, λόγον ὀρθὸν ὄντα προστακτικὸν μὲν τῶν ποιητέων, ἀπαγορευτικὸν δὲ τῶν οὐ ποιητέων. τοῦ δὲ νόμου ἀστείου ὄντος, καὶ ὁ νόμιμος ἀστεῖος ἄν. νόμιμον μὲν γὰρ εἶναι ἄνδρα, καὶ ἀκολουθητικὸν τοῦ νόμου, καὶ πρακτικὸν τῶν ὑπ' αὐτοῦ προστασσομένων· νομικὸν δὲ, τὸ ἐξηγητικὸν τοῦ νομίμου. μηδένα δὲ τῶν φαύλων μηδὲ νόμιμον εἶναι, μήτε νομικόν. ἔτι δὲ τῶν ἐνεργημάτων φασὶ τὰ μὲν εἶναι κατορθώματα, τὰ δὲ ἁμαρτήματα, τὰ δ' οὐδέτερα. κατορθώματα μὲν τὰ τοιαῦτα, φρονεῖν, σωφρονεῖν, δικαιοπραγεῖν, χαίρειν, εὐεργετεῖν, εὐφραίνεσθαι, φρονίμως περιπατεῖν, πάνθ' ὅσα κατὰ τὸν ὀρθὸν λόγον πράττεται· ἁμαρτήματα δ' εἶναι, τό, τε ἀφρονεῖν, καὶ τὸ ἀκολασταίνειν, καὶ τὸ ἀδικεῖν, καὶ τὸ λυπεῖσθαι, καὶ τὸ κλέπτειν, καὶ καθόλου ὅσα παρὰ τὸν ὀρθὸν λόγον πράττεται· οὔτε δὲ κατορθώματα οὔτε δὲ ἁμαρτήματα, τὰ τοιαῦτα, λέγειν, ἐρωτᾶν, ἀποκρίνεσθαι, περιπατεῖν, ἀποδημεῖν, καὶ τὰ τούτοις παραπλήσια. πάντα δὲ τὰ κατορθώματα δικαιοπραγήματα εἶναι καὶ εὐνοήματα, καὶ εὐτακτήματα, καὶ ἐπιτηδεύματα, καὶ εὐτυχήματα, καὶ εὐδαιμονήματα, καὶ εὐκαιρήματα, καὶ εὐσχημονήματα. οὐκ ἔτι μέντοι γε φρονιμεύματα, ἀλλὰ μόνα τὰ ἀπὸ φρονήσεως, καὶ ὁμοιώσεως ἐπὶ τῶν ἄλλων ἀρετῶν, εἰ καὶ μὴ ὠνόμασται. οἷον σωφρονήματα μὲν τὰ ἀπὸ σωφροσύνης· δικαιώματα δὲ, τὰ ἀπὸ δικαιοσύνης. τὰ δὲ ἁμαρτήματα ἐκ τῶν ἀντικειμένων ἀδικοπραγήματα, καὶ ἀνοήματα, καὶ ἀτακτήματα. διαφέρειν δὲ λέγουσιν ὥσπερ αἱρετὸν καὶ αἱρετέον, οὕτω καὶ ὀρεκτὸν καὶ ὀρεκτέον, καὶ βουλητὸν καὶ βουλητέον, καὶ ἀποδεκτὸν καὶ ἀποδεκτέον. αἱρετὰ μὲν γὰρ εἶναι, καὶ βουλητὰ καὶ ὀρεκτὰ, καὶ ἀποδεκτὰ, κατηγορήματα ὄντα, παρακείμενα δ' ἀγαθοῖς. αἱρεῖσθαι μὲν γὰρ ἡμᾶς τὰ αἱρετέα, καὶ βούλεσθαι τὰ βουλητέα, καὶ ὀρέγεσθαι τὰ ὀρεκτέα· κατηγορημάτων δὲ αἵ τε αἱρέσεις, καὶ ὀρέξεις, καὶ βουλήσεις γίνονται, ὥσπερ καὶ αἱ ὁρμαί· ἔχειν μέντοι αἱρούμεθα, καὶ βουλόμεθα, καὶ ὁμοίως ὀρεγόμεθα τἀγαθά· διὸ καὶ αἱρετὰ, καὶ βουλητὰ, καὶ ὀρεκτὰ ἀγαθά ἐστι. τὴν γὰρ φρόνησιν αἱρούμεθα ἔχειν, καὶ τὴν σωφροσύνην· οὐ μὰ Δία τὸ φρονεῖν, καὶ σωφρονεῖν, ἀσώματα ὄντα, καὶ κατηγορήματα. λέγουσι δὲ ὁμοίως καὶ τὰ ἀγαθὰ πάντα εἶναι ὑπομενετὰ, καὶ ἐμμενετὰ, κατὰ λόγον ἐπὶ τῶν ἄλλων ἀρετῶν, εἰ καὶ μὴ κατωνόμασται. τὰ δὲ ὠφελήματα πάντα, ὑπομενετέα, καὶ ἐμμενετέα. καὶ τὰ ὅμοια. ὡσαύτως δὲ διαφέρειν ὑπολαμβάνουσι καὶ τὰ εὐλαβητέα. καὶ ἀνυπομενετέα. τῶν δ' ἄλλων τῶν κατὰ τὰς κακίας ὁ αὐτὸς λόγος. πάντα δὲ τὸν καλὸν καὶ ἀγαθὸν ἄνδρα τέλειον εἶναι λέγουσι, διὰ τὸ μηδεμιᾶς ἀπολείπεσθαι ἀρετῆς· τὸν δὲ φαῦλον τοὐναντίον ἀτελῆ, διὰ τὸ μηδεμιᾶς μετέχειν ἀρετῆς. διὸ καὶ πάντως εὐδαιμονεῖν ἀεὶ τῶν ἀνθρώπων τοὺς ἀγαθοὺς, τοὺς δὲ φαύλους κακοδαιμονεῖν. καὶ τὴν εὐδαιμονίαν, μὴ διαφέρειν τῆς θείας εὐδαιμονίας, μηδὲ τὴν ἀμεριμνίαν ὁ Χρύσιππός φησι διαφέρειν τῆς τοῦ Διὸς εὐδαιμονίας, κατὰ μηδένα αἱρετωτέραν εἶναι, μήτε καλλίω, μήτε σεμνοτέραν τὴν τοῦ Διὸς εὐδαιμονίαν τῆς τῶν σοφῶν ἀνδρῶν. ἀρέσκει γὰρ τῷ τε Ζήνωνι, καὶ τοῖς ὑπ' αὐτοῦ Στωϊκοῖς φιλοσόφοις, δύο γένη τῶν ἀνθρώπων εἶναι, τὸ μὲν τῶν σπουδαίων, τὸ δὲ τῶν φαύλων· καὶ τὸ μὲν τῶν σπουδαίων, διὰ παντὸς τοῦ βίου χρῆσθαι ταῖς ἀρεταῖς, τὸ δὲ τῶν φαύλων, ταῖς κακίαις· ὅθεν τὸ μὲν ἀεὶ κατορθοῦν ἐν ἅπασιν ἀνθρώποις οἷς προτίθεται, τὸ δὲ ἁμαρτάνειν· καὶ τὸ μὲν σπουδαῖον, ταῖς περὶ τὸν βίον ἐμπειρίαις χρώμενον, ἐν τοῖς πραττομένοις ὑπ' αὐτοῦ, πάντ' εὖ ποιεῖν, καθάπερ φρονίμως καὶ σωφρόνως, καὶ κατὰ τὰς ἄλλας ἀρετὰς, τὸν δὲ φαῦλον κατὰ τοὐναντίον κακῶς. καὶ τὸν μὲν σπουδαῖον μέγαν εἶναι, καὶ ἁδρὸν, καὶ ὑψηλὸν, καὶ ἰσχυρόν. μέγαν μὲν, ὅτι δύναται ἀφικνεῖσθαι τῶν κατὰ προαίρεσιν ὄντων αὐτῷ καὶ προκειμένων· ἁδρὸν δὲ, ὅτι ἐστὶν ηὐξημένος πάντοθεν· ὑψηλὸν δὲ, ὅτι με-

τείληφε

περιείληφε τοῦ ἐπιβάλλοντος ὕψους ἀνδρὶ γενναίῳ καὶ σοφῷ· καὶ ἰσχυρὸν δ' ὅτι τὴν ἐπιβάλλουσαν ἰσχὺν περιπεποίηται, ἀήττητος ὢν, καὶ ἀκαταγώνιστος, παρὸ καὶ οὔτε ἀναγκάζεται ὑπό τινος, οὔτε ἀναγκάζει τινὰ, οὔτε κωλύεται οὔτε κωλύει, οὔτε βιάζεται ὑπό τινος, οὔτ' αὐτὸς βιάζει τινὰ, οὐ δεσπόζει οὔτε δεσπόζεται, οὔτε κακοποιεῖ τινὰ, οὔτ' αὐτὸς κακοποιεῖται, οὔτε κακοῖς περιπίπτει, οὔτε ἀπατᾶται, οὔτε ἐξαπατᾷ ἄλλον, οὔτε διαψεύδεται, οὔτε ἀγνοεῖ, οὔτε λανθάνει ἑαυτὸν, οὔτε καθόλου ψεῦδος ὑπολαμβάνει, εὐδαίμων δ' ἐστὶ μάλιστα, καὶ εὐτυχὴς, καὶ μακάριος, καὶ ὄλβιος, καὶ εὐσεβὴς, καὶ θεοφιλὴς, καὶ ἀξιωματικὸς, βασιλικός τε, καὶ στρατηγικὸς, καὶ οἰκονομικὸς, καὶ χρηματιστικός· τοὺς δὲ φαύλους ἅπαντα τούτοις ἐναντία ἔχειν. καθόλου δὲ τοῖς μὲν σπουδαίοις πάντα τἀγαθὰ ὑπάρχειν, τοῖς δὲ φαύλοις πάντα τὰ κακά. οὐ νομιστέον δὲ λέγειν αὐτοὺς οὕτως, ὡς εἴ τινά ἐστιν ἀγαθὰ, ἐκεῖνα ὑπάρχειν τοῖς σπουδαίοις, ὁμοίως δὲ καὶ ἐπὶ τῶν κακῶν· ἀλλὰ τοὺς μὲν τοσαῦτα ἔχειν ἀγαθὰ ὥστε μηδὲν ἐλλείπειν εἰς τὸ τέλειον αὐτοῖς εἶναι τὸν βίον, τοὺς δὲ τοσαῦτα κακὰ ὥστε τὸν βίον ἀτελῆ εἶναι, καὶ κακοδαίμονα. Τὴν δ' ἀρετὴν πολλοῖς ὀνόμασι προσαγορεύουσιν. ἀγαθόν τε γὰρ λέγουσιν αὐτὴν, ὅτι ἄγει ἡμᾶς ἐπὶ τὸν ὀρθὸν βίον· καὶ ἀρεστὸν, ὅτι δοκιμαστόν ἐστιν ἀνυπόπτως, καὶ πολλοῦ ἄξιον, ἀνυπέρβλητον ἔχει τὴν ἀξίαν· καὶ σπουδαῖον, ἄξιον γὰρ εἶναι πολλῆς σπουδῆς· καὶ ἐπαινετὸν, εὐλόγως γὰρ ἄν τις αὐτὴν ἐπαινοίη· καὶ καλὸν, ὅτι πρὸς ἑαυτὴν καλεῖν πέφυκε τοὺς ὀρεγομένους αὐτῆς· καὶ συμφέρον, φέρειν γὰρ τοιαῦτα ἃ συντείνει πρὸς τὸ εὖ ζῆν· καὶ χρήσιμον, ὅτι ἐν τῇ χρείᾳ ὠφέλιμόν ἐστι· καὶ αἱρετὸν, συμβαίνει γὰρ ἀπ' αὐτῆς ἃ εὐλόγως ἐστὶν αἱρεῖσθαι· καὶ ἀναγκαῖον, ὅτι παροῦσά τε ὠφελεῖ, καὶ μὴ παρούσης οὐκ ἔστιν ὠφελεῖσθαι· καὶ λυσιτελὲς, τὰς γὰρ ἀπ' αὐτῶν ὠφελείας κρείττους εἶναι τῆς πραγματείας τῆς εἰς ταύτας συντεινούσης· καὶ αὔταρκες, ἐξαρκεῖν γὰρ τῷ ἔχοντι· καὶ ἀνενδεὲς, ὅτι ἐνδείας ἀπαλλάττει πάσης· καὶ ἀπόχρων, διὰ τὸ ἐν τῇ χρήσει κοινὸν εἶναι καὶ διατείνειν εἰς πᾶσαν τὴν κατὰ τὸν βίον χρείαν. τῶν τε ἀγαθῶν οὐδενὸς μετέχειν τοὺς φαύλους, ἐπειδὴ τὸ ἀγαθὸν ἀρετή ἐστι, καὶ τὸ μετέχον ἀρετῆς, τά τε προκείμενα τοῖς ἀγαθοῖς, ἅπερ ἐστὶν ὧν χρὴ, ὠφελήματα ὄντα, μόνοις τοῖς σπουδαίοις συμβαίνειν· καθάπερ καὶ τὰ προκείμενα τοῖς κακοῖς, ἅπερ ἐστὶν οὐ χρὴ, μόνοις τοῖς κακοῖς. βλάμματα γὰρ εἶναι, καὶ διὰ τοῦτο τοὺς μὲν ἀγαθοὺς ἀβλαβεῖς εἶναι κατ' ἀμφότερα, οὔτε βλάπτειν οἵους τε ὄντας, οὔτε βλάπτεσθαι, τοὺς δὲ φαύλους κατὰ τοὐναντίον. τὸν δὲ κατ' ἀλήθειαν πλοῦτον, ἀγαθὸν εἶναι λέγουσι, καὶ τὴν κατ' ἀλήθειαν πενίαν, κακόν· καὶ τὴν μὲν κατ' ἀλήθειαν ἐλευθερίαν, ἀγαθὸν, τὴν δὲ κατ' ἀλήθειαν δουλείαν, κακόν. διὸ δὴ καὶ τὸν σπουδαῖον εἶναι μόνον πλούσιον, καὶ ἐλεύθερον· τὸν δὲ φαῦλον τοὐναντίον πένητα, τῶν εἰς τὸ πλουτεῖν ἀφορμῶν ἐστερημένον, καὶ δοῦλον, διὰ τὴν ὑποπτωτικὴν ἐν αὐτῷ διάθεσιν. τὰ δ' ἀγαθὰ πάντα κοινὰ εἶναι τῶν σπουδαίων, τῶν δὲ φαύλων τὰ κακά. διὸ καὶ τὸν ὠφελοῦντά τινα, καὶ αὐτὸν ὠφελεῖσθαι· τὸν δὲ βλάπτοντα, καὶ αὐτὸν βλάπτειν. πάντας δὲ τοὺς σπουδαίους ὠφελεῖν ἀλλήλους, οὔτε φίλους ὄντας ἀλλήλων πάντως, οὔτε εὔνους, εὐδοκίμους, οὔτε ἀποδεχομένους, διὰ τὸ μήτε καταλαμβάνεσθαι μήτε ἐν ταυτῷ καθεστάναι τόπῳ, εὐνοητικῶς μέντοι γε· τοὺς δὲ ἄφρονας, ἐν τοῖς ἐναντίοις τούτων ὑπάρχειν. τὸν δὲ νόμον ὄντα σπουδαῖον, καθάπερ εἴπομεν, ἐπειδὴ λόγος ὀρθός ἐστι μὲν προστακτικὸς ὧν ποιητέον, ἀπαγορευτικὸς δὲ ὧν οὐ ποιητέον, μόνον τὸν σοφὸν εἶναι λέγουσι νόμιμον, πρακτικὸν ὄντα τῶν ὑπὸ τοῦ νόμου προστατ-τομένων, καὶ μόνον ἐξηγητικὸν τούτου, διὸ καὶ νομικὸν εἶναι· τοὺς δὲ ἠλιθίους ἐναντίως ἔχειν. ἀστεῖος δ' εἶναι καὶ τὴν ἀρχὴν κατανέμησαν ἐπιστασίαν. καὶ τὰ ταύτης εἴδη, βασιλείαν, στρατηγίαν, ναυαρχίαν, καὶ ταύταις παραπλησίως, κατὰ τοῦτο δὴ καὶ μόνος ὁ σπουδαῖος ἄρχει, καὶ εἰ μὴ πάντως κατ' ἐνέργειαν, κατὰ διάθεσιν δὲ καὶ πάντως. καὶ

ctum; excelsum quod iustam magnitudinem sit assecutum; validum, quod abũdantes vires nactum sit, inuictum existens & insuperabile, ideoq́; nec cogatur nec cogat, nec vetetur nec vetet, nec pareat nec imperet, nec iniuriam inferat nec accipiat, nec decipiatur nec decipiat, nec fallat nec fallatur, verùm beatum, felix, pium, ac regium sit, & rei militaris ac familiaris peritum.) hoc autem omnibus praeditum sit contrariis: & illud denique omnia habeat bona, hoc omnia mala, quae quidem ad beatitudinem vel miseriam constituendam sufficiant.

Iam virtutem variis nũcupant nominibus. siquidem ἀγαθὸν vocant, quòd ad rectam vitã nos ducat; ἀρεστὸν, quòd contra omnem controuersiam probetur; σπουδαῖον, quòd multo studio digna sit; ἐπαινετὸν, quòd rectè laudari possit; καλὸν, quòd ad se studiosos vocare soleat; συμφέρον, quòd ad vitae bonitatem conferat; χρήσιμον, quòd vsum adferat; αἱρετὸν, quòd rectè [1] expetatur; ἀναγκαῖον, quòd & praesens prosit, nec ea absente prosit quicquam; λυσιτελὲς, quòd vsum labore potiorem habeat; αὔταρκες, quòd ipsa praedito sufficiat; ἀνενδεὲς, quod omnem tollat inopiam; ἀπόχρων, quòd ad omnem vitae vsum pertineat. Boni quoque nullius participes esse improbos, quoniam bonũ sit virtus, & quod eius est particeps: quaeq́; bonis adiuncta sunt, quae videlicet oporteat, cùm sint commoda, solis probis tribui, vt quae malis adiuncta sunt, quae videlicet nõ oporteat, cùm sint incommoda, solis improbis. ideoq́; probos quidẽ noxa in vtramque partem carere, cùm eam nec dent, nec accipiant; improbos autem contrà se habere. Iam veras diuitias bonum dicunt, & veram paupertatem malum; vt veram libertatem bonum, & veram seruitutem malũ. ideoq́; solum probum esse diuitem & liberum; improbum autem pauperem, cùm occasione ditescendi careat, & seruum propter subiectam affectionem. Bona quoque omnia proborum esse communia, vt mala improborũ. ideoq́; tum qui alicui prosit, sibi prodesse, tum qui obsit, sibi obesse. Omnes quoque probos inter se iuuare, quamuis nec amicitia nec beneuolentia coniungantur; improbos contrà se habere. Probis quoque imperium conuenire, & eius species, regnũ, praeturam, ac similes. ideoq́; solum probum imperare, vt non re vera omnem, ita affectione quem-

[1] αἱρεῖσθαι pro αἱρεῖσθαι.

quemlibet. Eundem quoque solum parere nosse, cùm improborum nullus vel parere vel imperare possit. Rectè quoque cuncta sapientem agere, & prudenter videlicet, & moderatè, et modestè, perpetuo vitæ usu adhibito, cuius imperitus improbus omnia secus agat, natura †varius, ac plerumque pœnitentia ductus, quæ sit de rebus malè gestis dolor, miser ac turbulentus animi affectus. quantum siquidem de re gesta dolet, quem pœnitet, tantum sibi tanquã auctori irascitur, ideoq; inhonestum volunt esse omnem improbum. siquidem cùm honor sit virtutis præmium, illa qui careat, rectè inhonestus dici. Exulem quoque dicunt esse quemuis improbum, quatenus lege & ciuitate careat. vtramque enim probam esse. Cleanthes quidem hoc pacto ciuitatem esse probam confirmabat: Si quod, inquiebat, esset domicilium, ad quod confugientibus ius daretur, id probum foret: tale autẽ domicilium ciuitas est: ergo proba ciuitas est. Cùm autem trifariam dicatur ciuitas, vel vt domicilium, vel vt hominum congeries, vel vt vtrumque, secundum posteriora duo ciuitatem probam dici. Rusticum quoque dicunt esse quemuis improbum, cùm sit rusticitas legum ac morum ciuitatis ignorantia, cumq; secundum leges viuere nolit, ferarũ more noxius. Eundem quoque ferum esse ac tyrannicum, ita vt crudelia, violenta, & iniusta nactus occasionem perpetret. ingratum quoque esse, nec referentem gratiam, nec ineuntem, quòd nihil per amicitiam faciat. neque discendi vel audiendi cupidum esse, quòd minimè sit v scitorum sermonum propter imprudentiam capax, posteaquam nec ad virtutem incitetur improbus quisquã, nec incitet. Cùm enim qui incitari vel incitare possit, ad philosophandũ debeat paratus esse, id improbo nulli cõuenire. Non enim tã qui diligenter audiat, quæ dicuntur à philosophis, ad philosophandum paratum esse, quàm qui ea factis & vita velit exprimere. At improbum nullum ita se habere, qui vitiorum decretis fuerit praeoccupatus. Si enim incitatus fuisset improbus, à vitio fuisset abactus. siquidem nemo vitio præditus ad virtutem incitatur, vt nec morbo ad sanitatem. At solum sapientem incitari & incitare posse, stultum neminem. præcepta siquidem negligere, soloq; verbis vacantem, ad facta nunquã progredi. neque enim laboris esse studiosum, cùm sit laboris studium scientia assequẽdi propositum, labore non deterrita. neque etiam re-

† ἀμετάπτωτος pro εὐμετάπτωτος.

v ἱρῶν pro ὀρρῶν.

πειθαρχικός, μόνον ὁ σπουδαῖος ἐστὶν ἀκολουθητικὸς ὢν ἄρχοντι. τῶν δ' ἀφρόνων οὐδεὶς τοιοῦτος· οὔτε γὰρ ἄρχειν οὔτ' ἄρχεσθαι οἷός ἐστιν ὁ ἄφρων, αὐθάδης τις ὢν, καὶ ἀνάγωγος. πάντα τε εὖ ποιεῖ ὁ νοῦν ἔχων· καὶ γὰρ φρονίμως, καὶ ἐγκρατῶς καὶ κοσμίως, καὶ εὐτάκτως τῶν περὶ τὸν βίον ἐμπειρίαις χρώμενος συνεχῶς. ὁ δὲ φαῦλος, ἄπειρος ὢν τῆς ὀρθῆς χρήσεως, πάντα κακῶς ποιεῖ, καθ' ἣν ἔχει διάθεσιν ἐνεργῶν εὐμετάπτωτος, καὶ παρ' ἕκαστα μεταμελείας συνεχόμενος· εἶναι δὲ τὴν μεταμέλειαν, λύπην ἐπὶ πεπραγμένοις, ὥσπερ αὐτοῦ ἡμαρτημένοις, κακοδαιμονικόν τι πάθος ψυχῆς, καὶ στασιῶδες· ἐφ' ὅσον γὰρ ἄχθεται τοῖς συμβεβηκόσιν ὁ ἐν τῇ μεταμελείᾳ ὤν, ἐπὶ τοσοῦτον ἀγανακτεῖ πρὸς ἑαυτόν, ὡς αἴτιον γεγονότα τούτων· διὸ καὶ ἄτιμον εἶναι πάντα φαῦλον, μήτε τιμῆς ἄξιον ὄντα μήτε τίμιον ὑπάρχοντα. τὴν γὰρ τιμὴν εἶναι γέρως ἀξίωσιν, τὸ δὲ γέρας ἆθλον ἀρετῆς εὐεργετικῆς. τὸ οὖν ἀρετῆς ἀμέτοχον, ἄτιμον δικαίως λέγεσθαι. λέγουσι καὶ φυγάδα πάντα φαῦλον εἶναι, καθόσον στέρεται νόμου καὶ πολιτείας, κατὰ φύσιν ἐπιβαλλούσης. τὸν γὰρ νόμον εἶναι, καθάπερ εἴπομεν, σπουδαῖον· ὁμοίως δὲ καὶ τὴν πόλιν. ἱκανῶς δὲ καὶ Κλεάνθης περὶ τὸ σπουδαῖον εἶναι τὴν πόλιν λόγον ἠρώτησε τοιοῦτον· Πόλις μὲν ἐστὶν οἰκητήριον κατασκεύασμα, εἰς ὃ καταφεύγοντας ἐστὶ δίκην δοῦναι, καὶ λαβεῖν, οὐκ ἀστεῖον δὴ πόλις ἐστίν· ἀλλὰ μὴν τοιοῦτόν ἐστιν ἡ πόλις οἰκητήριον. ἀστεῖον ἄρ' ἐστὶν ἡ πόλις. τριχῶς δὲ λεγομένης τῆς πόλεως, τῆς τε κατὰ τὸ οἰκητήριον, καὶ τῆς κατὰ τὸ σύστημα τῶν ἀνθρώπων, καὶ τρίτον τὸ κατ' ἀμφότερα τούτων, κατὰ δύο σημαινόμενα λέγεσθαι τὴν πόλιν ἀστείαν, κατά τε σύστημα τῶν ἀνθρώπων, καὶ κατὰ τὸ συναμφότερον διὰ τὰ ἐνοικοῦντας ἀναφοράν. φασὶ δὲ καὶ ἄγροικον εἶναι πάντα φαῦλον, τὴν γὰρ ἀγροικίαν ἀπειρίαν εἶναι τῶν κατὰ πόλιν ἐθῶν καὶ νόμων, καὶ πάντα φαῦλον ἔνοχον ὑπάρχειν. εἶναι δὲ καὶ ἄγριον, ἐναντιωτικὸν ὄντα τῇ κατὰ νόμον διεξαγωγῇ, καὶ θηριώδη, καὶ βλαπτικὸν ἀνθρώπου. τὸν δ' αὐτὸν τοῦτον καὶ ἀνήμερον ὑπάρχειν καὶ τυραννικόν, οὕτως διακείμενον ὥστε δεσποτικὰ ποιεῖν, ἔτι δὲ ὠμά, καὶ βίαια, καὶ παράνομα, καιρῶν ἐπιλαβόμενον. εἶναι δὲ ἀχάριστον, οὔτε πρὸς ἀνταπόδοσιν χάριτος οἰκείως ἔχοντα, οὔτε πρὸς μετάδοσιν, διὰ τὸ μηδὲ κοινῶς τι ποιεῖν, μηδὲ φιλικῶς, μηδ' ἀμελήτως. μηδὲ φιλόλογον εἶναι τὸν φαῦλον, μηδὲ φιλήκοον, παρὰ τὸ μηδ' ἀρχὴν παρασκευάσθαι πρὸς τὴν ὀρρῶν λόγων παραδοχήν, διὰ τὴν ἀπήχησιν ἐκ τῆς διαστροφῆς ἀφροσύνην, παρὰ τὸ μήτε προτετράφθαι τινὰ τῶν φαύλων μήτε προτρέπειν πρὸς ἀρετήν. τὸν γὰρ προτετραμμένον, καὶ προτρεπόμενον ἑτέρους, ἕτοιμον εἶναι δεῖ πρὸς τὸ φιλοσοφεῖν, τὸν δ' ἕτοιμον, ἀνεμποδίστως ἔχειν. μηδένα τῶν ἀφρόνων εἶναι τοιοῦτον. οὐ γὰρ τὸν προθύμως ἀκούοντα καὶ ὑπομνηματιζόμενον τὰ λεγόμενα ὑπὸ τῶν φιλοσόφων, ἕτοιμον εἶναι πρὸς τὸ φιλοσοφεῖν, ἀλλὰ τὸν ἑτοίμως ἔχοντα πρὸς τὸ τὰ διὰ τῆς φιλοσοφίας παραγγελλόμενα μεταφέρειν ἐπὶ τὰ ἔργα, καὶ κατ' αὐτὰ βιοῦν. οὐδένα δὲ τῶν φαύλων τοιοῦτον εἶναι, προκαταλειμμένον τοῖς τῆς κακίας δόγμασιν. εἰ γὰρ προετέτραπτό τις τῶν φαύλων, καὶ ἀπὸ τῆς κακίας ἀνατέτραπτο. οὐδεὶς γὰρ δὲ ἔχων τὴν κακίαν, πρὸς ἀρετὴν τετράπται, ὡς οὐδ' ἂν νοσῶν πρὸς ὑγείαν. μόνον δὲ προτετράφθαι τὸν σοφόν, καὶ μόνον προτρέπειν δύνασθαι. τῶν δ' ἀφρόνων μηδένα. κατὰ γὰρ παραγγέλματα βιοῦν μηδένα τῶν ἀφρόνων, μηδ' εἶναι φιλόλογον· λογόφιλον δὲ μᾶλλον, μέχρι λαλιᾶς ἐπιπολαίου προβαίνοντα, μηκέτι δὲ καὶ τοῖς ἔργοις ἐκβεβαιούμενον τὸν τῆς ἀρετῆς λόγον. μήτε γὰρ φιλόπονόν τινα τῶν φαύλων εἶναι· τὴν γὰρ φιλοπονίαν διάθεσιν ἐξεργαστικὴν εἶναι τῶν ὑποβαλλόντων ἀνυποπτώτως διὰ

πθον. μηδὲ γὰρ τὴν κατ' ἀξίαν ποιεῖσθαι δόσιν τῆς ἀρετῆς τῶν σπουδαίων τινά· σπουδαῖον μὲν γὰρ εἶναι τὴν δόσιν, ὅτις ἡμῖν ἔσται, καθ' ἣν ἀξιόλογόν τι ἡγούμεθα περιποιεῖσθαι, τῶν δὲ σπουδαίων μηδὲν εἰς φαύλους πίπτειν, ὥστε μηδὲ τὴν ἀξίαν τοὺς ἐποιεῖτο δόσιν τῶν ἀφρόνων τῆς ἀρετῆς, ἐφ' ὅσον ἐτίμα ταύτην, ἀποκονομαῖτο ἂν τῆς κακίας. πᾶς δέ τις ἄφρων συνήσιν ἡδέως τῇ ἑαυτοῦ κακίᾳ. σκοπεῖν γὰρ δεῖ μὴ τὸν ἔξω φθεγγον αὐτὸν λόγον, φαῦλον ὄντα, ἀλλὰ τὴν τῶν πράξεων· ἐκ τούτων γὰρ ἀπελέγχονται καὶ μὴ περὶ τὰ καλὰ καὶ σπουδαῖα παρεσπαρμένοι, ἀλλὰ περὶ τὰς ἀνδραποδώδεις ἀμέτρους ἀπολαύσεις. ἀρέσκει δὲ καὶ πᾶν ἁμάρτημα ἀσέβημα εἶναι· τὸ γὰρ παρὰ τὴν βούλησίν τι πράττεσθαι, τοῦ θεοῦ ἀσεβείας εἶναι τεκμήριον. τῶν γὰρ θεῶν οἰκειουμένων μὲν τῇ ἀρετῇ, καὶ τοῖς ταύτης ἔργοις, ἀλλοτριουμένων δὲ τῇ κακίᾳ, καὶ τοῖς ἀπὸ ταύτης συντελουμένοις, τοῦ δ' ἁμαρτήματος ὄντος ἐνεργήματος κατὰ κακίαν· καταφαίνοιτο πᾶν ἁμάρτημα ἀπαρεστὸν θεοῖς ὑπάρχον, τοῦτο δ' ἐστὶν ἀσέβημα, καὶ καθ' ἕκαστον γὰρ ἁμάρτημα ὁ φαῦλος ἀπαρεστόν τι ποιεῖ θεοῖς. ἔτι δὲ ἐπεὶ πᾶς φαῦλος ὅσα ποιεῖ, κατὰ κακίαν ποιεῖ, καθάπερ ὁ σπουδαῖος κατ' ἀρετήν, καὶ ὁμοίαν κακίαν ἔχων πάσας ἔχει, ἐν δὲ ταύταις ὁρᾶσθαι καὶ τὴν ἀσέβειαν, οὐ τὴν τεταγμένην κατὰ τὴν ἐνέργειαν, ἀλλὰ τὴν τῇ εὐσεβείᾳ ἐναντίαν ἕξιν, τὸ δὲ κατ' ἀσέβειαν πεπραγμένον, ἀσέβημα εἶναι, πᾶν ἁμάρτημα ἀσέβημα εἶναι. ἔτι δ' ἀρέσκει αὐτοῖς καὶ πάντ' εἶναι τὸν ἄφρονα θεοῖς ἐχθρόν· τὴν γὰρ ἔχθραν ἀσυμφωνίαν εἶναι τῶν κατὰ τὸν βίον, καὶ διχόνοιαν, ὥσπερ καὶ τὴν φιλίαν συμφωνίαν καὶ ὁμόνοιαν. διαφέρονται δ' οἱ φαῦλοι πρὸς τοὺς θεοὺς περὶ τῶν κατὰ τὸν βίον, διόπερ πᾶς ἄφρων θεοῖς ἐχθρός ἐστι, ἐπεὶ πάντες τοὺς ἐναντίους αὐτοῖς ἐχθροὺς εἶναι νομίζουσι· τῷ δὲ σπουδαίῳ ὁ φαῦλός ἐστιν ἐναντίος, καὶ σπουδαῖός ἐστιν ὁ θεός· ὁ φαῦλος θεοῖς ἐστιν ἐχθρός. Ἴσα τε πάντα λέγουσιν εἶναι τὰ ἁμαρτήματα, οὐκ ἔτι δ' ὅμοια. καθάπερ γὰρ ἀπὸ μιᾶς τινος πηγῆς, τῆς κακίας φέρεσθαι πέφυκε, τῆς κρίσεως οὔσης ἐν πᾶσι τοῖς ἁμαρτήμασι τῆς αὐτῆς· παρὰ δὲ τὴν ἔξωθεν αἰτίαν τῶν ἐφ' οἷς αἱ κρίσεις ἀποτελοῦνται μόνων διαλλαττόντων, διάφορα κατὰ ποιότητα γίγνεσθαι τὰ ἁμαρτήματα. λάβοις δ' ἂν ἐκεῖνα σαφῆ τοῦ δηλουμένου, τὸ δ' ἐπιστήσας· πᾶν γὰρ τὸ ψεῦδος συμβέβηκεν οὐ γὰρ εἶναι ἕτερον ἑτέρου μᾶλλον διεψευσμένον· τό, τε γὰρ νύκτα εἶναι, ψεῦδός ἐστι, καθάπερ τὸ ἱπποκένταυρον ζῆν· καὶ οὐ μᾶλλον εἰπεῖν ἐστι ψεῦδος εἶναι θάτερον θατέρου· ἀλλ' οὐχὶ τὸ ψεῦδος ἐπίσης ψεῦδός ἐστι, οὐχὶ δὲ καὶ οἱ διεψευσμένοι ἐπίσης εἰσὶ διεψευσμένοι· διαμαρτάνειν δὲ μᾶλλον καὶ ἧττον οὐκ ἔστι, πᾶσαν γὰρ ἁμαρτίαν κατὰ διάψευσιν πράττεσθαι. ἐπὶ οὐχὶ κατόρθωμα μὲν μεῖζον καὶ ἔλαττον γίγνεσθαι· ἁμάρτημα δὲ μεῖζον καὶ ἔλαττον γίγνεσθαι. πᾶν γάρ ἐστι τέλειον, διόπερ οὔτ' ἐλλείπειν, οὔθ' ὑπερέχειν δύναιντ' ἂν ἀλλήλων, ἴσα τοιγαροῦν ἐστι πάντα τὰ ἁμαρτήματα. Περὶ δὲ εὐφυῶν, ἔτι δὲ εὐγενῶν, οἱ μὲν τῶν ἐκ τῆς αἱρέσεως ἀπηνέχθησαν ἐπὶ τὸ λέγειν πάντα σοφὸν τοιοῦτον εἶναι, οἱ δ' οὔ. οἱ μὲν γὰρ οἴονται, οὐ μόνον εὐφυεῖς γίγνεσθαι πρὸς ἀρετὴν ἐκ φύσεως, ἀλλὰ καὶ τοὺς ἐκ κατασκευῆς, καὶ τὸ ἐν ταῖς παροιμίαις λεγόμενον, τοῦτο ἀπεδέξαντο, μελέτη χρονισθεῖσα εἰς φύσιν καθίσταται. τὸ δ' ὅμοιον καὶ περὶ εὐγενείας ὑπέλαβον, ὥστε εὐφυΐαν μὲν εἶναι κοινῶς ἕξιν ἐκ φύσεως ἢ ἐκ κατασκευῆς, οἰκείαν πρὸς ἀρετήν, ἢ ἕξιν, καθ' ἣν εὐανάληπτοι ἀρετῆς εἰσί τινες· τὴν δ' εὐγένειαν, ἕξιν εὐγενῆς, ἢ ἐκ κατασκευῆς, οἰκείαν πρὸς ἀρετήν. τὸν δὲ σπουδαῖον, ὁμιλητικὸν ὄντα, καὶ ἐπιδέξιον, καὶ προτρεπτικόν, καὶ θηρευτικὸν διὰ τῆς ὁμιλίας, εἰς εὔνοιαν καὶ φιλίαν, καὶ δυνατὸν διαρμόσαι εἶναι πρὸς πλῆθος ἀνθρώπων, παρὸ καὶ ἐπαφρόδιτον εἶναι, καὶ ἐπίχαριν,

ctam virtutis donationem facere [x] improbum quemquam. Cùm enim res proba donatio sit, quæ rerum dignitatem æstimat, probum nihil in improbos cadere, ideóque rectam eos virtutis donationem non facere. quantum enim hanc præferrent, tantum à vitio desisterent. Stultus quoque omnis vitio suo delectatur, quandoquidem non sermonem eius oportet, sed facta spectare, quæ illum non ad honesta & præclara, verùm turpia ac vilia ferri ostendunt. Omne præterea peccatum volunt impietatem esse, cùm sit huius proprium, deorum voluntati resistere. Cùm autē dij virtutem eiusque opera diligant, vitium eiusque opera oderint, peccatum autem vitij sit opus, efficitur omne peccatum diis displicere, ideóque impietatem esse. Præterea cùm improbus omnia secundum vitium faciat, quemadmodum probus secundum virtutem, quisque [y] vnum habet vitium, omnia habeat, in his autem cernatur etiam impietas, vt functione carens, ita pietati contraria, omne peccatum necessariò sit impietas. Stultū quoque omnem diis inimicum censent, cùm sit inimicitia vitæ discordia, quemadmodum amicitia concordia. Cùm autem stulti à diis in vita differant, fit vt stultus [z] omnis diis sit inimicus, quatenus cunctis sibi contrarios pro inimicis habent. At probo cùm sit improbus contrarius, Deus autem sit probus, diis inimicus fit improbus. Æqualia quoque dicunt esse omnia peccata, non [a] item similia. Cùm enim ab vno vitij tanquam fonte profluant, iudicio in omnibus eodem existente, per externam eorum causam, de quibus iudicium fiat, dissimilia reddi peccata. Id autem hoc pacto licet cognoscere. Omne mendacium est æquale, nec aliud alio magis est falsum. Sed quanquam omne mendacium æquè est mendacium, non tamē omnes qui mentiuntur, æquè mentiuntur. Ac similiter omne peccatum æquè est peccatum, quandoquidem omne peccatum mendacio constat. Iam de ingenuo ac nobili, quidam Stoicorum omnem sapientem talem esse dixerunt, quidam negarunt. Nannulli enim horum vtrumque non ad naturam tantùm, sed ad institutionem etiam retulerunt, ac veteris prouerbium, Vsum inueteratū naturam fieri, approbarunt: sic vt ingenuitas quidem sit habitus natura vel institutionis ad virtutem aptus, nobilitas autem habitus [b] generis vel institutionis ad virtutem aptus. Probum quoque aiunt, cùm dexter sit, & ad consuetudinē aptus, multitudini esse commodum, ideóque gratiosum esse, persuadendi peritum, oportunum,

[x] φαύλων pro σπουδαίων.

[y] ὁ μίαν pro ὁμοίαν.

[z] πᾶς pro ὁ.

[a] [illegible]

[b] ἐκ γένους, pro εὐγενοῦς.

prudentem, ac simplicem. improbum autem contrario modo se habere. Ironiam autem improbam esse, cùm ea proborum nullus vtatur. Amicitiam quoq. sapientibus dumtaxat relinquũt, in quibus solis vitæ cernatur cõcordia. esse autem concordiam communium bonorum scientiam. Cùm enim vera amicitia absque fide constare nequeat, in improbis fide carentibus ac hostilibus decretis imbutis amicitiam non cerni, sed connexiones alias necessitatibus & opinionibus vinctas. Solum quoque sapientem regem & regium esse asserunt, haud improbũ quemquam. esse autem regnum liberum imperium, ac summum. Medicum quoque optimum esse virum probum tradunt, posteaquam naturam suam consideret, & quæ ad sanitatem conducunt, norit. Negant autem inebriari sapientẽ, quod ebrietas peccato non careat, cùm sit in c vino insania, sapiens autem nusquam peccet, omnia secundum virtutem agens. Iam vitæ tria ponunt genera, regium, ciuile, & philosophicum: ac similiter acquirendi tres rationes, vnã per regnum, qua vel ipse regnet, d vel regum instar opibus abundet; alteram per remp. qua matrimonium contrahat, & liberos procreet. De sophistica autem eiusq. commodis inter se Stoici secundũ notionem dissenserunt. Vt enim de mercede à discipulis accipienda consenserũt, ita de notione quadam fuit inter illos dissensio, cùm alij hoc esse dicerent sophistam agere, mercede philosophiam docere, alij rem eam improbum quiddam & mechanicum continere suspicarentur, nec æquum e ducerent mercedem disciplinæ à quibusuis poscere, quòd id præter philosophiæ dignitatem videretur. Probos quoque aiunt vitam rectè posse abrumpere, cùm improbos nunquam vita deceat, in qua nec virtutem comparent, nec vitium reiiciant. officiis autem eorumq. cõtrariis vitam ac mortem definiri. Sapientem quoque iniuria carere volunt, quam nec accipiat, nec inferat, quòd iniuria sit iniustitia lædens, quæ in sapientem non cadat, quamuis eum per iniustitiam quidam aggrediantur. siquidem cùm bonum & virtutem in se contineat, omni vitio ac noxa carere. Regnaturum quoq. nonnunquam aiunt sapientem & cum regibus victurum, quemadmodũ & remp. recturum diximus, nisi magnum sibi ex eo proditurum sine vllo fructu periculum videat. Mentiri quoque sapientem negant,

c οἴνῳ pro νῷ.

d ἢ pro καὶ.

e φαῦλον pro φαμέν.

καὶ πιθανόν, ἔτι δὲ αἱμύλιον, καὶ εὔστοχον, καὶ εὔκαιρον, καὶ ἀγχίνουν, καὶ ἀφελῆ, καὶ ἀπερίεργον, καὶ ἁπλοῦν, καὶ ἄπλαστον· τὸν δὲ φαῦλον, ἔνοχον πᾶσι τοῖς ἐναντίοις. τὸ δ' εἰρωνεύεσθαι φαύλων εἶναί φασιν. οὐδένα γὰρ ἐλεύθερον καὶ σπουδαῖον εἰρωνεύεσθαι. ὁμοίως δὲ καὶ τὸ σαρκάζειν, ὅ ἐστιν εἰρωνεύεσθαι μετ' ἐπισυρμοῦ τινος. ἐν μόνοις τε τοῖς σοφοῖς ἀπολείπουσι φιλίαν· ἐπεὶ ἐν μόνοις τούτοις ὁμόνοια γίνεται περὶ τῶν κατὰ τὸν βίον, τὴν δ' ὁμόνοιαν εἶναι κοινῶν ἀγαθῶν ἐπιστήμην. φιλίαν γὰρ ἀληθινήν, καὶ μὴ ψευδώνυμον ἀδύνατον χωρὶς πίστεως καὶ βεβαιότητος ὑπάρχειν· ἐν δὲ τοῖς φαύλοις ἀπίστοις καὶ ἀβεβαίοις οὖσι, καὶ δόγματα πολεμικὰ κεκτημένοις, οὐκ εἶναι φιλίαν, ἑτέρας δέ τινας ἐπιπλοκὰς καὶ συνδέσεις ἔξωθεν ἀνάγκαις καὶ δόξαις κατεχομένας γίνεσθαι. φασὶ δὲ καὶ τὸ ἀγαπᾶν, καὶ τὸ ἀσπάζεσθαι, καὶ τὸ φιλεῖν, μόνον εἶναι τὸν σοφόν, βασιλέα τε καὶ βασιλικόν. τὸν δὲ φαῦλον μηδένα· τὴν δὲ βασιλείαν ἀρχὴν ἀνυπεύθυνον εἶναι, καὶ τὴν ἀνωτάτω, καὶ τὴν ἐπὶ πάσαις. λέγουσι δὲ καὶ ἄριστον αὐτοῦ ἰατρὸν εἶναι τὸν σπουδαῖον ἄνδρα. ἐπιμελῆ γὰρ ὄντα τῆς ἰδίας φύσεως, παρατηρητικὸν ὑπάρχειν, καὶ τῶν πρὸς ὑγίειαν ἐπιστήμονα συμφερόντων. οὐχ οἷόν τε δὲ μεθυσθήσεσθαι τὸν νοῦν ἔχοντα. τὸ γὰρ μέθυσιν ἁμαρτητικὸν περιέχειν, λῆρησιν εἶναι παρὰ τὸν οἶνον, ἐν μηδενὶ δὲ τὸν σπουδαῖον ἁμαρτάνειν, διὸ πάντα κατ' ἀρετὴν ποιεῖν, καὶ τὸν ἀπὸ ταύτης ὀρθὸν λόγον. τρεῖς δὲ προηγορευμένους εἶναι βίους, τόν τε βασιλικόν, καὶ τὸν πολιτικόν, καὶ τρίτον τὸν ἐπιστημονικόν. ὁμοίως δὲ καὶ χρηματιστικόν, τρεῖς προηγουμένους, τόν τε ἀπὸ τῆς βασιλείας, καθ' ὃν ἢ αὐτὸς βασιλεύσει, καὶ μοναρχικοῖς χρημάτων εὐπορήσει· δεύτερον δὲ, τὸν ἀπὸ τῆς πολιτείας. πολιτεύεσθαι γὰρ κατὰ τὸν προηγούμενον λόγον. καὶ γὰρ γαμήσειν, καὶ παιδοποιήσεσθαι, ἀκολουθεῖν ταῦτα τῇ τοῦ λογικοῦ ζῴου, καὶ κοινωνικοῦ, καὶ φιλαλλήλου χρηματιεῖσθαι οὖν καὶ ἀπὸ τῆς πολιτείας, καὶ ἀπὸ τῶν φίλων τῶν ἐν ὑπεροχαῖς ὄντων. περὶ δὲ τοῦ σοφιστεύειν, καὶ ἀπὸ σοφιστείας εὐπορήσειν χρημάτων, διέστησαν οἱ ἀπὸ τῆς αἱρέσεως κατὰ τὸ σημαινόμενον. τὸ μὲν γὰρ χρηματιεῖσθαι ἀπὸ τῶν κατὰ τὴν παιδείαν, καὶ μισθούς ποτε λήψεσθαι παρὰ τῶν φιλομαθούντων, διωμολογήσαντο· περὶ δὲ τὸ σημαινόμενον ἐγένετό τις ἐν αὐτοῖς ἀμφισβήτησις, τῶν μὲν αὐτὸ τοῦτο λεγόντων σοφιστεύειν, τὸ ἐπὶ μισθῷ μεταδιδόναι τῶν τῆς φιλοσοφίας δογμάτων, τῶν δ' ὑποτοπησάντων ἐν τῷ σοφιστεύειν περιέχεσθαί τι φαῦλον, οἱονεὶ λόγους καπηλεύειν, οὐ φαμένων, δεῖν ἀπὸ παιδείας παρὰ τῶν ἐπιτυχόντων χρηματίζεσθαι, καταδεέστερον γὰρ εἶναι τὸν τρόπον τοῦτόν τινα χρηματισμοῦ, τοῦ τῆς φιλοσοφίας ἀξιώματος. φασὶ δέ ποτε καὶ τὴν ἐξαγωγὴν ἐκ τοῦ βίου τοῖς σπουδαίοις καθηκόντως κατὰ πολλοὺς τρόπους, τοῖς φαύλοις μονὴν ἐν τῷ ζῆν, καὶ εἰ μὴ μέλλοιεν ἔσεσθαι σοφοί, οὔτε γὰρ τὴν ἀρετὴν κατέχειν ἐν τῷ ζῆν, οὔτε τὴν κακίαν ἐκβάλλειν· τοῖς δὲ καθήκουσι, καὶ τοῖς παρὰ τὸ καθῆκον μετρεῖσθαι τήν τε ζωήν, καὶ θάνατον. λέγουσι δὲ καὶ τὸν σοφὸν ἀνύβριστον εἶναι, οὔθ' ὑβρίζεσθαι γὰρ οὔθ' ὑβρίζειν, διὰ τὸ τὴν ὕβριν ἀδικίαν εἶναι καταισχύνουσαν καὶ βλάβην· μήτε δὲ ἀδικεῖσθαι μήτε βλάπτεσθαι τὸν σπουδαῖον, ἀδικητικῶς μὲν τοίγε τινὰς αὐτῷ προσφέρεσθαι καὶ ὑβριστικῶς, καὶ κατὰ τοῦτο δικαιοπραγεῖν, πρός τε τὸ μηδὲν τυχοῦσαν ἀδικίαν εἶναι τὴν ὕβριν, ἀλλὰ καταισχύνουσαν, καὶ ὑβριστικὴν οὖσαν. ἀπειρῆσθαι τῶν δ' ὑπάρχειν τὸν νοῦν ἔχοντα τούτοις, καὶ μηδαμῶς καταισχύνεσθαι, ἐν ἑαυτῷ γὰρ ἔχειν τὸ ἀγαθὸν καὶ τὴν θείαν ἀρετήν, διὸ καὶ πάσης ἀπηλλάχθαι κακίας καὶ βλάβης. καὶ βασιλεύσειν τέ ποτε τὸν νοῦν, καὶ βασιλεῖ συμβιώσεσθαι, καθόσον φυΐαν ἐμφαίνοντι, καὶ φιλομάθειαν. ἑπομένως δ' ὅτι καὶ πολιτεύεσθαι κατὰ τὸν προηγούμενον λόγον, οἷον μή τι, μὴ πολιτεύεσθαι δὲ ἐάν τι καὶ μάλιστα μηδὲν ὠφελεῖν μέλλει τὴν πατρίδα, κινδύνους δὲ παρακολουθεῖν ὑπολαμβάνῃ μεγάλους καὶ χαλεποὺς ἐκ τῆς πολιτείας. λέγεσθαι δὲ μὴ ψεύδεσθαι τὸν σοφόν, ἀλλ' ἐν πᾶσιν ἀληθεύειν· οὐ γὰρ ἐν τῷ

λέγειν

λέγειν τὶ ψεῦδος τὸ ψεύδεσθαι ὑπάρχειν, ἀλλ' ἐν τῷ διαψευστῶς τὸ ψεῦδος λέγειν, καὶ ἐπὶ ἀπάτῃ τῶν πλησίον. τῷ μέντοι ψεύδει ποτὲ συγχρήσασθαι νομίζουσιν αὐτὸν κατὰ πολλοὺς τρόπους ἄνευ συγκαταθέσεως· καὶ γὰρ κατὰ στρατηγίαν τῶν ἀντιπάλων, καὶ κατὰ τὴν τοῦ συμφέροντος προόρασιν, καὶ κατ' ἄλλας οἰκονομίας τοῦ βίου πολλάς. ψεῦδος δ' ὑπολαμβάνειν οὐδέποτέ φασι τὸν σοφὸν, οὐδέποτε παράπαν ἀκαταλήπτῳ τινὶ συγκατατίθεσθαι, διὰ τὸ μηδὲ δοξάζειν αὐτὸν, μηδ' ἀγνοεῖν μηδὲν, τὴν γὰρ ἄγνοιαν μεταπτωτὴν εἶναι συγκατάθεσιν καὶ ἀσθενῆ, μηδὲν δ' ὑπολαμβάνειν ἀσθενῶς, ἀλλὰ μᾶλλον ἀσφαλῶς καὶ βεβαίως, διὸ καὶ μηδὲ δοξάζειν τὸν σοφὸν, διττὰς γὰρ εἶναι δόξας, τὴν μὲν ἀκαταλήπτῳ συγκατάθεσιν, τὴν δ' ὑπόληψιν ἀσθενῆ, ταύτας ἀλλοτρίους εἶναι τῆς τοῦ σοφοῦ διαθέσεως. διὸ καὶ τὸ προπίπτειν πρὸ καταλήψεως, συγκατατίθεσθαι κατὰ τὸν προπετῆ μᾶλλον εἶναι καὶ μὴ πίπτειν εἰς τὸν εὐφυῆ καὶ τέλειον ἄνδρα, καὶ σπουδαῖον. οὐδὲ λανθάνειν δὲ αὐτόν τι, τὴν γὰρ λῆσιν εἶναι ψευδοῦς ὑπόληψιν ἀποφαντικοῦ περιπτώματος· τούτοις δ' ἀκολούθως οὐκ ἀπιστεῖν, τὴν γὰρ ἀπιστίαν εἶναι ψευδοῦς ὑπόληψιν, τὴν δὲ πίστιν ἀστεῖον ὑπάρχειν. εἶναι γὰρ ὑπόληψιν ἰσχυρὰν βεβαιοῦσαν τὸ ὑπολαμβανόμενον, ὁμοίως δὲ καὶ τὴν ἐπιστήμην ἀμετάπτωτον ὑπὸ λόγου, διὰ ταῦτά φασι μήτε ἐπίστασθαί τι τὸν φαῦλον, μήτ' ἐπιστεύειν. ἑπομένως δὲ τούτῳ πλανᾶσθαι τὸν σοφὸν, οὔτε βουκολεῖσθαι, οὔτε διαπατᾶσθαι, οὔτε παραριθμεῖν, οὔτε ὑφ' ἑτέρου παραριθμεῖσθαι. ταῦτα γὰρ πάντα τὴν ἀπάτην περιέχειν, καὶ πῶς κατὰ τὸν τόπον ψεύδεσι πρόσθεσιν. οὐδένα δὲ τῶν ἀστείων οὔθ' ὁδοῦ διαμαρτάνειν, οὔτ' οἰκίας, οὔτε σκοποῦ· ἀλλ' οὐδὲ παρορᾶν, ἀλλ' οὐδὲ παρακούειν νομίζουσι τὸν σοφὸν, οὐδὲ τὸ σύνολον παραπαίειν κατά τι τῶν αἰσθητηρίων· καὶ γὰρ τούτων ἕκαστον ἔχεσθαι νομίζουσι τῶν ψευδῶν συγκαταθέσεων· οὐδ' ὑπονοεῖν δέ φασι τὸν σοφὸν, καὶ γὰρ τὴν ὑπόνοιαν ἀκατάληπτον εἶναι τῷ γένει συγκατάθεσιν· οὐδὲ μετανοεῖν δ' ὑπολαμβάνουσι τὸν νοῦν ἔχοντα, καὶ γὰρ τὴν μετάνοιαν ἔχεσθαι ψευδοῦς συγκαταθέσεως ἂν πρὸς διαπεπτωκότος· οὐδὲ μεταβάλλεσθαι δὲ κατ' οὐδένα τρόπον, οὐδὲ μετατίθεσθαι, οὐδὲ σφάλλεσθαι, ταῦτα γὰρ εἶναι πάντα τῶν τοῖς δόγμασι μεταπιπτόντων, ὅπερ ἀλλότριον εἶναι τοῦ νοῦν ἔχοντος· οὐδὲ δοκεῖν αὐτῷ τι φασὶ παραπλησίως τοῖς εἰρημένοις. γίνεσθαι δὲ καὶ διαλεληθότα τινὰ σοφὸν νομίζουσι κατὰ τοὺς πρώτους χρόνους, οὔτε ὀρεγόμενόν τινος, οὔτε νομίζειν βουλόμενον ἔν τινι τὸν ἐν τῷ βούλεσθαι ἰδικὸν ὄντα, διὰ τὸ μὴ κρίνειν αὐτῷ παρεῖναι ὧν χρή. οὐ μόνον δ' ἐπὶ τῆς φρονήσεως, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν τὰς τοιαύτας ἔσεσθαι διαλήψεις. ἐκ πάντων τε τῶν ἁμαρτημάτων ἴσων ὄντων καὶ τῶν κατορθωμάτων, καὶ τοὺς ἄφρονας εἶναι τὴν αὐτὴν καὶ ἴσην ἔχοντας διάθεσιν· ἴσων δὲ ὄντων τῶν ἁμαρτημάτων, εἶναί τινας ἐν αὐτοῖς διαφορὰς, καθ' ὅσον τὰ μὲν αὐτῶν ἀπὸ σκληρᾶς καὶ δυσιάτου διαθέσεως γίγνεται, τὰ δ' οὔ. καὶ τῶν σπουδαίων δὲ ἄλλους ἄλλων προτρεπτικωτέρους γίγνεσθαι, καὶ πιστικωτέρους, ἔτι δὲ καὶ ἀγχινουστέρους, κατὰ τὰ μέσα τὰ ἐμπεριλαμβανόμενα τῶν ἐπιτάσεων συμβαινουσῶν. εὐτεκνεῖν δὲ μόνον τὸν σπουδαῖον, οὐ μὴν πάντα, δεῖν γὰρ τὸν εὐτεκνοῦντα ἀστεῖα τέκνα ἔχοντα χρῆσθαι αὐτοῖς ὡς τοιούτοις. εὐγηρεῖν τε μόνον καὶ εὐθανατεῖν τὸν σπουδαῖον. εὐγηρεῖν γὰρ εἶναι τὸ μετὰ ποιοῦ γήρως διεξάγειν, κατ' ἀρετὴν εὐθανατεῖν, τὸ μετὰ ποιοῦ θανάτου κατ' ἀρετὴν τελευτᾶν. καὶ τὰ ὑγιεινὰ καὶ νοσερὰ πρὸς ἄνθρωπον λέγεσθαι, καὶ ὡς τρόφιμα, καὶ τὰ λυτικὰ, καὶ σηπτικὰ, καὶ τὰ τούτοις παραπλήσια. ὑγιεινὰ μὲν γὰρ εἶναι, τὰ εὐφυῶς ἔχοντα πρὸς τὸ περιποιεῖν ὑγίειαν, καὶ συνέχειν· νοσερὰ δὲ, τὰ ἐναντίως ἔχοντα τούτοις. παραπλήσιον δὲ εἶναι καὶ τὸν ἐπὶ τῶν ἄλλων λόγον. καὶ μαντικὸν δὲ μόνον εἶναι τὸν σπουδαῖον, ὡς ἂν ἐπιστήμην ἔχοντα διαγνωστικὴν σημείων τῶν ἀπὸ θεῶν ἢ δαιμόνων πρὸς ἀνθρώπινον βίον τεινόντων· διὸ καὶ τὰ εἴδη τῆς μαντικῆς εἶναι περὶ αὐτὸν, τό, τε ὀνειροκριτικὸν, καὶ τὸ οἰωνοσκοπικὸν, καὶ θ ή. καὶ εἴ τινα ἄλλα τούτοις ἐστὶ παραπλήσια. αὐστηρόν τε λέγεσθαι τὸν σπου-

cùm non tam qui mendacium dicat, quàm qui mendaciter ac dolo id faciat, mentiatur, mendacio tamen vti variis modis posse credût absq. assensu, vt in militia contra hostes, aut alia necessitate. At mendacio nunquam assensurum sapientem existimant, quòd nec opinetur, nec ignoret quicquam, cùm ignorantia sit infirmus assensus, nihil autē ille nisi firmiter existimet. Cùm porrò duæ sint opinionis species, altera nō comprehensorum assensus, altera debilis existimatio, vtramque à sapiente alienam esse, qui absque comprehensione nunquam assentiatur. Neque quicquam latere illum volunt, cùm id falsam existimationem contineat; neque etiam diffidere, quod eodem pertineat, cùm fides probum deceat, quæ sit existimatio firma, quemadmodum scientia firmus habitus. ideoq́ nec scire quicquam improbum dicunt, nec credere. Præterea nec decipi sapientem volunt, nec decipere, cùm nusquam peccet; nec malè videre, vel audire, vel aliquo sensu vti; nec suspicari, vel pœnitentia duci, quòd vtraque fallaci assensu constent: neque mutari vllo pacto, vel errare, vel denique quicquam opinari. Primis quoq. temporibus clàm sapientem aliquem extitisse credunt, qui nihil appeteret nec vellet, cùm nondum sibi ea, quæ requireret, suppetere putaret. Cùm autem peccata sint æqualia, quasdam in ipsis cerni differentias, quatenus alia de dura & insanabili affectione, alia de contraria proficiscantur. Probos quoq. alios magis aliis adhortatione, fide, & prudētia valere, secundum comprehensa media rebus intensis. Probo quoque soli εὐτεκνίαν contingere, (licet non omni) quæ sit vsus proborum liberorum secundum naturam se habentium: nec non εὐγηρίαν & εὐθανασίαν, quarum illa sit vsus senectutis secundum virtutem, hæc mors secundum eandem. Solum quoque probum vatem esse, tanquam præditum scientia considerationis signorum, quæ à diis vel dæmonibus ad humanam vitam pertinentia ostenduntur; ideoq́ vaticinij species in ipso cerni, tum quod è somniis, tū quod ex auibus, tum quod aliis è rebus petitur. Austerum quoque sapientem ponunt, quate-

nus ad gratiam sermonem nec profert, nec admittit. Cynicum quoque fore sapientem dicūt, sic vt in Cynismo permaneat, haud eum auspicetur. Iam amorem definiunt beneuolentia impetum pulcritudinis causa. ideoq́ sapientem ingenuos & nobiles amaturum aiunt. Neque quicquam probum præter appetitum vel impetum agere, quòd in iis priuatio cernatur, neque quicquam illi aduersi præter opinionem contingere. Mansuetum quoque esse dicunt, cùm mansuetudo sit habitus, quo mansuetè res suas agunt, nec vnquam in iram prorumpunt: nec non tranquillum & modestum, cùm modestia quidem sit scientia decētium motionum, tranquillitas autem ordo naturalium motionum; quorum contraria cernantur in improbis. Calumnia quoq. vacare omnem probum, cùm nec recipiat in se calumniam, nec in alium cōferat. Cùm sit autem calumnia fictorum amicorū per mendacium discidium, id non in probos, sed in improbos cadere, cùm illi veri sint amici, hi ficti. Neque differre probum quicquam, cùm dilatio sit functionis per ignauiam omissio. Ac de dilatione hæc Hesiodum dixisse,

Nec differre die quicquā, vel mense, vel anno:
& Semper dilator cum noxis prælia miscet.

tanquam dilatio decentium operum omissionē conciliet. Atque hæc quidem hactenus; siquidē de omnibus decretis cùm alibi Chrysippus, tum in libro De decretis, & in Typo egit: quoniam autem Stoicorum de morum scientia decreta per capita satis abundè tractaui, finem huic imponam commentario:

Aristotelis ac reliquorum Peripateticorū de morum scientia decreta.

Mores quidem à more dictos ait. quorum enim natura principia nobis ac semina dederit, ea more ac recta institutione perfici. ideóque morum scientiam in solis animantibus cerni, ac potissimùm in homine. nam vt illa necessitate consuetudinem induant, sic hominem ratione virtutis capace. Animæ enim partem alteram esse ratione præditam, alteram priuatam; illam iudicij, hanc appetitus domicilium. Ac prioris quidem vnam speciem in rebus diuinis & contemplatione versantem, scientiam vocari; alteram in humanis et actione positam, consilium: posterioris autem vnam speciem appetitum cōtinentem, cupiditatem dici; alteram iniuriam propulsantem, iram itaq́ duplex etiā virtutum genus existere, alterum cum ratione coniunctum, alterū ab ea remotum. Virtutem

διαῖον, καθ' ὅσον οὔτε προσφέρεται τινί, οὔτε προσίεται τὸν πρὸς χάριν λόγον. κυνιεῖν τε τὸν σοφὸν λέγουσιν, ἴσον τῷ ἐπιμένειν τῷ κυνισμῷ, οὐ μὴν σοφὸν ὄντα ἐνάρξασθαι τοῦ κυνισμοῦ. τὸν δὲ ἔρωτα φασὶ ἐπιβολὴν εἶναι φιλοποιΐας διὰ κάλλος ἐμφαινόμενον νέων ὡραίων· διὸ καὶ ἐρωτικὸν εἶναι τὸν σοφόν, καὶ ἐρασθήσεσθαι τῶν ἀξιεράστων, εὐγενῶν ὄντων, καὶ εὐφυῶν, λέγουσι. καὶ μηδὲ παρὰ τὴν ὄρεξιν, μηδὲ παρὰ τὴν ὁρμήν, μηδὲ παρὰ τὴν ἐπιβολὴν γίνεσθαί τι περὶ τὸν σπουδαῖον· διὰ τὸ μεθ' ὑπεξαιρέσεως πάντα ποιεῖν τὰ τοιαῦτα, καὶ μηδὲν αὐτῷ τῶν ἐναντιουμένων ἀπρόληπτον προσπίπτειν. εἶναι δὲ καὶ πρᾶον, τῆς πρᾳότητος οὔσης ἕξεως καθ' ἣν πράως ἔχουσι πρὸς τὸ ποιεῖν τὰ ἐπιβάλλοντα ἐν πᾶσι, καὶ μὴ ἐκφέρεσθαι εἰς ὀργὴν ἐν μηδενί· καὶ ἡσύχιον δὲ καὶ κόσμιον εἶναι, τῆς κοσμιότητος οὔσης ἐπιστήμης κινήσεων πρεπουσῶν· ἡσυχιότητος δέ, εὐταξίας περὶ τὰς κατὰ φύσιν κινήσεις, καὶ μονὰς ψυχῆς καὶ σώματος, τῶν ἐναντίων τούτοις περὶ πάντας φαύλους γινομένων. ἀδιάβολον δ' εἶναι πάντα τὸν καλὸν κἀγαθόν, ἀπαράδεκτον ὄντα διαβολῆς, ὅθεν καὶ ἀδιάβολον εἶναι κατά τε τοῦτον τὸν τρόπον, καὶ τὸ μὴ διαβάλλειν ἕτερον· εἶναι δὲ τὴν διαβολὴν, διάστασιν φαινομένων φίλων ψευδεῖ λόγῳ· τοῦτο δὲ μὴ γίνεσθαι περὶ τοὺς ἀγαθοὺς ἄνδρας· μόνους τε τοὺς φαύλους καὶ διαβάλλεσθαι καὶ διαβάλλειν, διὸ καὶ τοὺς μὲν κατ' ἀλήθειαν φίλους μήτε διαβάλλειν, μήτε διαβάλλεσθαι, τοὺς δὲ κακοὺς ὄντας καὶ φαινομένους. οὐδ' ἀναβάλλεσθαι δὲ τὸν σπουδαῖον οὐδέν, εἶναι γὰρ τὴν ἀναβολὴν ὑπέρθεσιν ἐνεργείας δι' ὄκνον, ὑπερτίθεσθαι δέ τινα μόνον, ἀνεγκλήτου τῆς ὑπερθέσεως οὔσης. ἐπεὶ γὰρ τὸ ἀναβάλλεσθαι τὸν ἡσίοδον ταῦτ' εἰρηκέναι,

Μηδ' ἀναβάλλεσθαι ἐς τ' αὔριον ἔς τ' ἔνηφι. καὶ,
Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.

τῆς δ' ἀναβολῆς ἔκπτωσίν τινα τῶν προσηκόντων ἔργων ἐμποιούσης. ταῦτα μὲν ἐπὶ τοσοῦτον. περὶ γὰρ πάντων τῶν παραδόξων δογμάτων ἐν πολλοῖς μὲν καὶ ἄλλοις ὁ χρύσιππος διηνέχθη. καὶ γὰρ ἐν τῷ περὶ δογμάτων, καὶ ἐν τῇ ὑπογραφῇ τοῦ λόγου, καὶ ἐν ἄλλοις πολλοῖς τῶν κατὰ μέρος συγγραμμάτων. ἐγὼ δ' ὁπόσα προὐθέμην ἐπελθεῖν, ἐν κεφαλαίοις τῶν ἠθικῶν δογμάτων, κατὰ τὴν τῶν στωϊκῶν φιλοσόφων αἵρεσιν, διεληλυθὼς ἱκανῶς, ἤδη τοῦτον τὸν ὑπομνηματισμὸν αὐτόθι καταπαύσω.

Τῶν λοιπῶν περιπατητικῶν, περὶ τῶν ἠθικῶν.

Τὸ μὲν οὖν ἦθος τοὔνομα λαβεῖν φησὶν ἀπὸ τοῦ ἔθους· ὧν γὰρ ἐκ φύσεως ἀρχὰς ἔχομεν καὶ σπέρματα, τούτων τὰς τελειότητας περιποιεῖσθαι τοῖς ἔθεσι καὶ ταῖς ὀρθαῖς ἀγωγαῖς· διὸ καὶ τὴν ἠθικὴν εἶναι καὶ περὶ μόνα τὰ ζῷα γίνεσθαι, καὶ μάλιστα περὶ ἄνθρωπον. τὰ μὲν γὰρ ἐθισθέντα, οὐ λόγῳ, ἀλλὰ τῇ ἀνάγκῃ γίνεσθαι ποιά ἄττα· τὸν ἄνθρωπον τῷ λόγῳ, ὁποῖον ἐστὶ τὸ παθητικὸν τοῦτο, καὶ τῆς ἀρετῆς δεκτικόν. τῆς γὰρ ψυχῆς τὸ μὲν εἶναι λογικόν, τὸ δ' ἄλογον. λογικὸν μὲν τὸ κριτικόν, ἄλογον δὲ τὸ ὁρμητικόν. τοῦ δὲ λογικοῦ τὸ μὲν περὶ τὰ ἴδια καὶ τὰ θεῖα θεωρητικόν, ἐπιστημονικὸν καλεῖσθαι· τὸ δὲ περὶ τὰ ἀνθρώπινα καὶ τὰ πρακτικά, βουλευτικόν. καὶ τοῦ ἀλόγου τὸ μὲν ὀρεκτικὸν τῶν ἐν ἡμῖν, ἐπιθυμητικόν· τὸ δὲ πρὸς τοὺς πλησίον, οἷον ἀμυντικόν, θυμικόν. ὥστε διττὸν εἶναι καὶ τῆς ἀρετῆς τὸ εἶδος, τὸ μὲν λογικόν, τὸ δὲ ἄλογον, ἐπειδὴ καὶ ταῦτα πεφύκαμεν θεωρίαν, καὶ πρᾶξιν, ὅθεν καὶ τὸν ἠθικὸν ἀρετὴν οὐκ εἶναι μὲν ἐπιστήμην, προαιρετικὴν δὲ τῶν καλῶν ὑπάρχειν. ἐκ τριῶν δὲ συμβεβηκέναι τὴν ἀρετὴν

ἀρετὴν τελειοῦσθαι, φύσεως, ἔθους, λόγου. τὸν γὰρ ἄνθρωπον διαφέροντα κατά τε σῶμα καὶ ψυχὴν τῶν ἄλλων ζώων, διὰ τὸ μεταξὺ τῶν ἀθανάτων ὄντα καὶ τῶν θνητῶν κοινωνίαν ἐξῆφθαι πρὸς ἄμφω, πρὸς μὲν τὰ λογικὰ τῷ κατὰ τὴν ψυχὴν θείῳ, πρὸς δὲ τὰ ἄλογα τῷ κατὰ τὸ σῶμα θνητῷ, κατὰ λόγον ἀμφοῖν τὴν τελειότητα ἐφίεσθαι καὶ πρῶτον μὲν ὀρέγεσθαι τοῦ εἶναι, φύσει γὰρ ᾠκειῶσθαι πρὸς ἑαυτόν, διὸ καὶ προσηκόντως ἀσμενίζειν μὲν ἐν τοῖς κατὰ φύσιν, δυσχεραίνειν δὲ ἐπὶ τοῖς παρὰ φύσιν. τήν τε γὰρ ὑγείαν περιποιεῖσθαι σπουδάζειν, καὶ τῆς ἡδονῆς πόθον ἔχειν, καὶ τὸ ζῆν ἀντιποιεῖσθαι, τῷ ταῦτα μὲν εἶναι κατὰ φύσιν καὶ αὐθαίρετα καὶ τὰ ἀγαθά· κατὰ δὲ τοὐναντίον τὴν νόσον καὶ τὴν ἀλγηδόνα καὶ τὴν φθορὰν διακρούεσθαι καὶ ἐκκλίνειν, τῷ παρὰ φύσιν ὑπάρχειν, καὶ διὰ ταῦτα φευκτὰ καὶ κακά. φίλον γὰρ εἶναι ἡμῖν τὸ σῶμα, φίλην δὲ τὴν ψυχήν, φίλα δὲ τὰ τούτων μέρη, καὶ τὰς δυνάμεις, καὶ τὰς ἐνεργείας, ὧν κατὰ τὴν πρόνοιαν τῆς σωτηρίας, τὴν ἀρχὴν γίγνεσθαι τῆς ὁρμῆς, καὶ τῶν καθηκόντων, καὶ τῆς ἀρετῆς. εἰ μὲν γὰρ περὶ τὰς τῶν ἐρημίων αἱρέσεις καὶ φυγὰς μηδεμία συνέβαινε πλάνη καθάπαξ, ἀλλὰ τῶν μὲν ἀγαθῶν ἐπήβολοι, τῶν δὲ κακῶν ἄμοιροι διετελοῦμεν ὄντες, οὐδέποτ' ἂν τὴν ὀρθὴν καὶ ἄπταιστον ἐν τούτοις ἐπεζητήσαμεν ἐκλογήν. ἐπεὶ δὲ πολλάκις δι' ἄγνοιαν περὶ τὰς αἱρέσεις καὶ φυγὰς ἀπατώμεθα, καὶ τὰ μὲν ἀγαθὰ παραπέμπομεν, τοῖς κακοῖς δ' ὡς ἀγαθοῖς ἐντυγχάνομεν, ἀναγκαίως τὴν τῆς ἐπικρίσεως βέβαιον εἴδησιν ἐπεζητήσαμεν, ἣν καὶ συνῳδὸν εὑρόμενοι τῇ φύσει, διὰ τὸ τῆς ἐνεργείας μεγαλοπρεπὲς ἀρετὴν προσαγορεύσαμεν, καὶ μόνως ὡς θαυμάσαντες, ἐπετιμήσαμεν περὶ τῶν ἄλλων ἁπάντων. τὰς γὰρ πράξεις ἀπό τε τῆς τῶν κατὰ φύσιν ἐκλογῆς, καὶ τῆς ἀπ' ἐκλογῆς τῶν παρὰ φύσιν τὰς ἀρχὰς ἔχειν συμβέβηκε, καὶ τὰ λεγόμενα καθήκοντα· διὸ καὶ τὰς τε κατορθώσεις καὶ τὰς ἁμαρτίας ἐν τούτοις καὶ περὶ ταῦτα γίγνεσθαι. σχεδὸν γὰρ τὴν ὅλην τῆς αἱρέσεως ὑπογραφὴν ἀπὸ τούτων ὁρμᾶσθαι, καθάπερ ἐπιδείξω διὰ βραχυτάτων. ὅτι γὰρ οὐ μόνον αἱρετὰ τὰ τέκνα τοῖς γεναμένοις ἐστὶ διὰ τὰς χρείας, ἀλλὰ καὶ δι' ἑαυτά, γνώριμον ἐκ τῆς ἐναργείας. οὐδεὶς γοῦν οὕτως ὠμὸς ἐστὶ καὶ θηριώδης τὴν φύσιν, ὃς οὐκ ἂν σπουδάζοι μὲν μετὰ τὴν ἑαυτοῦ τελευτὴν εὐδαιμονεῖν τὰ τέκνα, καὶ καλῶς ἐπανάγειν μᾶλλον, ἢ τοὐναντίον. ἀπὸ ταύτης γοῦν τῆς φιλοστοργίας καὶ διαθήκας τελευτᾶν μέλλοντας τίθεσθαι, καὶ τῶν ἐπὶ κυοφορουμένων φροντίζειν, ἐπιτρόπους ἀπολείποντας, καὶ κηδεμόνας, καὶ τοῖς φιλτάτοις παρατιθεμένους, καὶ παρακαλοῦντας ἐπικουρεῖν αὐτοῖς, καί τινας μὲν ἀποθνήσκουσι τοῖς τέκνοις συναποθνήσκειν. τῶν δὴ τέκνων οὕτως ἀγαπωμένων κατὰ τὸ αὐθαίρετον, ἀναγκαῖον καὶ τοὺς γονεῖς, καὶ τοὺς ἀδελφούς, καὶ τὴν τοῦ λέχους κοινωνόν, καὶ τοὺς συγγενεῖς, καὶ τοὺς ἄλλους οἰκείους, καὶ πολίτας, ὡς δι' αὐτοὺς φιλίας τυγχάνειν· ἔχειν γὰρ ἐκ φύσεως ἡμᾶς καὶ πρὸς τούτους τινὰς οἰκειότητας. φιλάλληλον γὰρ εἶναι καὶ κοινωνικὸν ζῷον τὸν ἄνθρωπον. εἰ δὲ τῶν φιλιῶν τὰς μὲν εἶναι πόρρω συμβέβηκε, τὰς δὲ προσεχεῖς, οὐδὲν πρὸς ἔπος· πᾶσαν γὰρ δι' αὑτὴν ὑπάρχειν, καὶ μὴ μόνον διὰ χρείας. εἰ δὲ πρὸς τοὺς πολίτας φιλίαν δι' αὑτὴν αἱρεῖν, ἀναγκαῖον εἶναι καὶ τὴν πρὸς ὁμοεθνεῖς καὶ ὁμοφύλους, ὥστε καὶ τὴν πρὸς πάντας ἀνθρώπους. καὶ γὰρ δὴ πάντας τοὺς σώζοντας οὕτως ἔχειν πρὸς τοὺς πλησίον, ὥστε μὴ τὰς πράξεις, ἀλλὰ κατὰ τὸ δι' αὐθαίρετον τὰ πλεῖστα δρᾶν. τίνα γὰρ οὐκ ἂν ὀξύνεσθαι θεασάμενον

porrò tribus rebus absolui, natura, more, ac ratione. Cùm enim à reliquis animalibus homo tum corpore tum animo differat, quatenus inter diuina & bruta positus cum vtrisque societate coniungatur, cum illis animo, cum his corpore; vtriusque cum ratione perfectionem appetere. ac primùm quidem vitam diligere, quoniam natura secum coniungatur, ideoq́ rectè tum quæ secundum naturam sunt, amare, tum quæ præter naturam, odisse. siquidem & sanitati, voluptati, vitaq́ studere, quòd hæc cum natura coniuncta, per se expetenda bonaq́ sint; & contrà morbum, dolorem, mortemq́ vitare, quòd ea cum natura pugnent, ideoq́ fugienda sint & mala. Cùm enim & corpus amemus, & animam, & horum partes, vires, ac functiones; ex horum salutis cura principium appetitus, officij, et virtutis nasci. Etenim si nullus in rebus expetendis & fugiendis error interueniret, verum & bonorum participes & malorum vacui semper degeremus: nunquam in his rectam & veram quæreremus electionem. Cùm autem sæpe per ignorantiam in expetendis & fugiendis fallamur, ac tum bona reiiciamus, tum mala pro bonis recipiamus; necessariò iudicij constantiam requisiuimus, quam etiam naturæ conuenientem nacti, virtutem propter functionis dignitatem nuncupauimus. Nam & actiones, & quæ dicuntur officia, tùm de electione rerum cum natura coniunctarum, tum de reiectione ab ea remotarum nasci contingit, ideoq́ tam rectè facta, quàm peccata in his cerni, totamq́ ferè electionis rationem ab his dependere, quemadmodum paucissimis ostendemus. Expetendos enim parentibus esse liberos non tantùm propter vsum, sed etiam propter se, res ipsa testatur. Nemo siquidem tam crudelis ac ferus est, qui non post mortem suam cupiat felices viuere liberos, ac beatè potius agere,[a] quàm secus. Per hunc sanè affectum & testamenta morituri condunt, & nondum natorum curam gerunt, tutoribus & curatoribus in auxilium aduocatis. Cùm autem liberi sic propter se amentur, parentes quoque, fratres, vxorem, cognatos, & reliquos familiares ac ciues propter ipsos amamus, quando per naturam cum illis quoque coniungimur, posteaquam societate gaudens animal est homo. Quamuis enim amicitia alia propior sit alia, nihil hoc ad rem facit, cùm per se sit omnis expetenda, non tantùm propter vsum. Quòd si cum ciuibus amicitia per se est expetenda, cum gentilibus quoque ac tribulibus & omnibus denique hominibus expetenda veniet. siquidem omnes, qui aliis prosunt, ita sunt erga eos affecti, vt pleraque ipsius officij causa faciant. Quis enim non eri-

[a] ἢ pro καὶ

piat hominem à fera, si posit, oppressum? aut quis non erranti viam ostendat? aut quis non fome pereunti opituletur? aut quis non in solitudine fontem [b] repertum indicet eandem viam insistentibus? aut quis non bonam post mortem famam mogni faciat? aut quis non has voces, tanquam cum natura pugnantes humana, oderit,

Me mortuo igni terra iungatur licet:
Nil ista curo, namque rectè sunt meo.

Ex quo fit, vt naturalis nobis erga omnes insit beneuolentia, cùm quod per se est expetendum, tum quod cum ratione coniungitur, demonstrans. Vnum siquidem deorum atque hominum est genus, deq; vno naturæ ventre vtrique proficiscimur. Iam quoniam communis nobis inest humanitas, multo magis in familiaribus amicis quod per se expetendum est cernitur, cùm sit amicus res per se expetenda, vt & amicitia ac beneuolentia. Quocirca laus quoq. per se est expetenda, posteaquam cum laudantibus societate iungimur. quòd si laus, etiam gloria, quam nihil aliud esse volumus, quàm laudem multorũ. Cùm igitur ex his bona externa per se expetenda esse satis cõstet, multo magis corporis & animi bona per se expetenda indicabuntur. Etenim si homo per se est expetendus, partibus quoque idem continget. Cùm sint autem partes hominis præcipua, corpus & animus, corpus quoq. per se expetendum erit. Cur enim alterius corpus nobis carum sit, nostrum nõ item? aut cur alter nobis carus, ipsi nõ item? aut corpus nobis carũ sit, partes eius, partiumq; [c] facultates non item? Quocirca propter se expetuntur sanitas, robur, pulcritudo, celeritas, sensuum vigor, ac reliqua. Nemo siquidẽ mentis compos velit deformis ac mutilus viuere, tametsi nulla inde prorsus secutura sit [d] incommoditas; sic vt etiam citra incommoditatem rectè fugienda videatur deformitas. Iam si per se fugienda deformitas est, pulcritudo quoque non tantùm propter vsum, sed etiam propter se erit expetenda. Nam pulcritudinem per se placere vel inde constat, quòd omnes naturo pulcris etiam præter vsum afficimur, iisq; benefacere cupimus, ita vt beneuolẽtiam illa videatur parere. Quamobrem hac quoque ratione pulcritudo per se indicatur expetenda, turpitudo per se fugienda. Neque alia sanitatis est & morbi, roboris & imbecillitatis, celeritatis & tarditatis, sensus & priuationis ratio. Quocirca si [e] corporea bona videntur per se expetenda, & contraria mala fugienda; animi quoque partes earumq; virtutes per se necesse est expeti. Nam à corporis & externis bonis initium sumens, vt diximus, virtus, ac seipsum considerans multo illis magis cum naturo coniungi,

b ἐντυχόντα pro τυχόντα.

Pind.

c αἱρεταὶ pro αἱρεταί.

d ἀχρηστία pro δυσχρηστία.

e σωματικὰ pro σώματα κατὰ.

ἄνθρωπον ὑπὸ θηρίου καταδυναστευόμενον, εἰ δύναιτο; τίνα δ' οὐκ ἂν ὁδὸν πλανωμένῳ μηνύσαι; τίνα δ' οὐκ ἐπαρκέσαι ὑπ' ἐνδείας ἀπολλυμένῳ; τίνα δ' οὐκ ἂν ἐπ' ἐρημίας ἀνύδρου νάματι τυχόντα γνωρίσμασι διασημῆναι τοῖς τὴν αὐτὴν ὁδὸν βαδίζουσι; τίνα δ' οὐ τῆς μετὰ τὸν βίον εὐφημίας πολλὴν ποιεῖσθαι λόγον; τίνα δ' οὐκ ἀποστυγεῖν τὰς τοιαύτας φωνάς, ὡς παρὰ τὴν ἀνθρωπίνην οὔσας φύσιν,

Ἐμοῦ θανόντος γαῖα μιχθήτω πυρί,
Οὐδὲν μέλει μοι, τἀμὰ γὰρ καλῶς ἔχει.

φανερὸν οὖν ὅτι πρὸς πάντας ἐστὶν ἡμῖν εὔνοια φυσική, καὶ φιλία, τό, τ' αὐθαίρετον ἐμφαίνουσα, καὶ τὸ κατὰ λόγον. ἓν γὰρ ἀνδρῶν, ἓν θεῶν γένος, ἐκ μιᾶς δὲ πνέομεν ματρὸς ἀμφότεροι τῆς φύσεως. ἐπεὶ δὴ κοινή τις ἡμῖν ὑπάρχει φιλανθρωπία, πολὺ μᾶλλον πρὸς τοὺς ἐν συνηθείᾳ φίλους τὸ δι' αὑθαίρετον φανερώτερον. ὁ δὲ φίλος δι' αὐτὸν αἱρετός, καὶ ἡ φιλία, καὶ ἡ εὔνοια, καὶ παρὰ πάντων τῶν τοῦ βίου κοινωνούντων, καὶ παρὰ τῶν πλείστων ἀνθρώπων. ὥστε καὶ τὸν ἔπαινον εἶναι δι' αὐτὸν αἱρετόν, οἰκειοῦσθαι γὰρ ἡμᾶς πρὸς τοὺς ἐπαινοῦντας. εἰ δ' ὁ ἔπαινος δι' ἑαυτὸν αἱρετός, καὶ ἡ ἐνδοξία. καὶ γὰρ οὐδὲν ἕτερον τὴν ἐνδοξίαν κατὰ τὴν ὑπογραφὴν παρειλήφαμεν, εἰ μὴ παρὰ τῶν πολλῶν ἔπαινον. ὥστε ταύτῃ μὲν τὰ λειπόμενα τῶν ἀγαθῶν, ἐξ ὧν ὅτι δι' αὑθαίρετα πέφυκεν ἐπιδείκνυσθαι σαφῶς, πῶς οὐ πολὺ μᾶλλον τὰ περὶ ἡμᾶς καὶ ἐν ἡμῖν; λέγω δὴ τὰ περὶ σῶμά τε καὶ ψυχήν. εἰ γὰρ ὁ ἄνθρωπος δι' αὑτὸν αἱρετός, καὶ τὰ μέρη τοῦ ἀνθρώπου δι' αὑτὰ ἂν εἴη αἱρετά. μέρη δ' ἐστὶν ἀνθρώπου ὁλοσχερέστερα, σῶμα καὶ ψυχή. ὥστε καὶ τὸ σῶμα δι' αὑτὸ ἂν εἴη αἱρετόν· καὶ γὰρ τοῦ μὲν τοῦ πλησίον σῶμα δι' αὑτὸν αἱρετὸν ἐστιν ἡμῖν, τὸ δ' ἡμέτερον οὐκ ἔτι; ἢ πῶς ὁ μὲν πλησίον ἄνθρωπος δι' αὑτόν ἐστιν αἱρετόν, οὐχὶ δὲ καὶ ἕκαστος ἡμῶν αὑτῷ δι' ἑαυτὸν αἱρετός; ἢ πῶς τὸ μὲν, οὐχὶ δὲ καὶ τὰ μέρη τὰ τοῦ σώματος, καὶ αἱ τῶν μερῶν αἱρεταί, καὶ αἱ τοῦ ὅλου σώματος ἂν εἶεν αἱρεταί; ὥστε δι' αὑτὰ αἱρετὰ ἡμῖν εἶναι τὴν ὑγείαν, τὴν ἰσχύν, τὸ κάλλος, τὴν ποδωκείαν, τὴν εὐεξίαν, τὴν εὐαισθησίαν, καθόλου πάσας, ὡς ἔπος εἰπεῖν. καὶ γὰρ ἄλλως οὐδεὶς ἂν εὖ φρονῶν δέξαιτο ἄμορφος καὶ λελωβημένος εἶναι κατὰ τὸ εἶδος, κἂν εἰ μηδεμία μέλλοι δυσχρηστία τὸ παράπαν ἐπακολουθεῖν δι' αὐτοῦ τοιαύτην εἰδέχθειαν. ὥστε καὶ δίχα τῆς δυσχρηστίας εὔλογον φυγὴν φαίνεσθαι τοῦ αἴσχους. εἰ δὲ δι' αὐτὸ φευκτόν ἐστι τὸ αἶσχος, καὶ τὸ κάλλος οὐ μόνον διὰ τὴν χρείαν αἱρετόν, ἀλλὰ καὶ δι' αὐτό. ὅτι γὰρ ἐξ αὑτοῦ προσκλητικὸν ἔχει τὸ κάλλος, ἐμφανές, πάντας γοῦν φυσικῶς οἰκειοῦσθαι τοῖς καλοῖς χωρὶς πάσης χρείας, καὶ γὰρ πρὸς τὸ εὖ ποιεῖν αὐτοὺς καὶ εὐεργετεῖν ἑτοίμως ἔχειν, ὅθεν δὴ καὶ δοκεῖν εὐνοίας εἶναι παρασκευαστικόν. ὥστε καὶ κατὰ τοῦτον τὸν λόγον τὸ μὲν κάλλος τῶν δι' αὐτὸ αἱρετῶν ὑπάρχειν· τὸ δὲ αἶσχος, τῶν δι' αὐτὸ φευκτῶν. τὸν δ' αὐτὸν λόγον καὶ περὶ ὑγείας εἶναι, καὶ νόσου, καὶ ἰσχύος, καὶ ἀσθενείας, καὶ ποδωκείας, καὶ βραδυτῆτος, καὶ αἰσθήσεως, καὶ πηρώσεως. ὥστ' εἰ καὶ τὰ σώματα κατὰ τῶν ἀγαθῶν δι' (αὐτὰ) καὶ αὐθαίρετα, καὶ τἀναντία τούτων κακὰ δι' αὐτὰ φευκτά· καὶ τὰ τῆς ψυχῆς ἀναγκαῖον μέρη δι' αὐθαίρετα ὑπάρχειν, καὶ τὰς ἀρετὰς αὐτῶν, καὶ τῆς ὅλης ψυχῆς. τὴν γὰρ εἴσοδον ἡ ἀρετὴ λαβοῦσα, καθάπερ ὑπεδείξαμεν, ἀπὸ τῶν σωματικῶν, καὶ τῶν ἔξωθεν ἀγαθῶν, καὶ πρὸς ἑαυτὴν ἐπιστρέψασα, καὶ θεασαμένη διότι ἐστὶν αὐτὴ τῶν κατὰ φύσιν πολὺ μᾶλλον τῶν τοῦ σώματος ἀφῖχθαι

ᾠκειώθη

ᾠκειῶσθαι πρὸς ἑαυτὴν, ὡς πρὸς δι' αὑτὴν αἱρετὴν, καὶ μᾶλλόν γε πρὸς ἑαυτὴν, ἢ πρὸς τὰς τοῦ σώματος ἀρετάς· ὥστε παρὰ πολὺ τιμιωτέρας εἶναι τὰς τῆς ψυχῆς ἀρετάς. οὐ μὴν ἀλλὰ καὶ ἀπὸ τῶν προειρημένων τοῦτ' ἄν τις ἐπιλογήσαιτο. ἡ γὰρ ἡ τοῦ σώματος ὑγεία αἱρετὴ δι' αὑτὴν, καὶ πολὺ μᾶλλον ἡ τῆς ψυχῆς σωφροσύνη, τῆς σφοδρότητος ἀπολύουσα τῶν παθῶν ἡμᾶς· καὶ ἡ ἰσχὺς ἡ σώματι τῶν ἀγαθῶν ἐστι, πολὺ μᾶλλον ἡ ψυχὴ καὶ δι' αὑτὴν ἂν εἴη αἱρετὴ, καὶ ἀγαθὸν, ψυχῆς δ' ἐστὶ ἰσχὺς ἀνδρεία καὶ καρτερία, εὐρώστους τὰς ψυχὰς κατασκευάζουσα, ὥσπερ ἂν εἴη καὶ ἡ ἀνδρεία δι' αὑτὴν αἱρετὴ, καὶ ἡ καρτερία· κατὰ τὸ ἀνάλογον εἰ τὸ κάλλος τὸ σωματικὸν δι' αὑτὸν αἱρετὸν, καὶ τὸ τῆς ψυχῆς κάλλος εἴη ἂν δι' αὑτὸν αἱρετὸν, κάλλος δὲ ψυχῆς ἐστὶν ἡ δικαιοσύνη, τὸ γὰρ μηδὲν ἀδικεῖν, καὶ καλοὺς ἡμᾶς ποιεῖ.

secum arctiorem, quàm cum illis, societatem iniit; sic vt multo potiores sint animi, quàm reliquorum virtutes. Atque hoc etiam de superioribus facilè quis collegerit. Etenim [f]si corporis sanitas per se est expetenda, multo magis animi temperantia, quæ perturbationum furore nos liberat: & si corporis robur inter bona recensetur, multo magis [g]animi, fortitudo videlicet, quæ robustos reddit animos: & si corporis pulcritudo propter se expetitur, multo magis animi, iustitia videlicet.

f αἱ pro ἡ.

g ψυχικὴ pro ψυχὴ.

Ὅτι τὰ τρία γένη τῶν ἀγαθῶν, τὰ περὶ σώματα, τὰ περὶ ψυχὴν, τὰ ἐκτὸς, ἀναλογίαν πρὸς ἄλληλα ἔχει, καί τοι διαφέροντα.

Tria bonorum genera, quamuis diuersa, inter se tamen respondere.

Τὸν παραπλήσιον δ' εἶναι λόγον καὶ ἐπὶ τῶν ἀρετῶν, διὰ τὸ δοκεῖν τὰ τρία γένη τῶν ἀγαθῶν ἐκ πλείστης διαφορᾶς τοῖς ἐν ἀλλήλοις, ὅμως ἔχειν τινὰ πρὸς τὸν λόγον ἀναλογίαν. τοῦτ' ἐν τῇ ψυχῇ καλεῖσθαι σωφροσύνην, ἐν δὲ τοῖς ἐκτὸς, πλοῦτον, περιστέλλειν γὰρ τὰ πολλὰ τῶν ἁμαρτημάτων· καὶ τοῦτο δὲ ὅπερ ἐν τῷ σώματι ἰσχὺν, τοῦτ' ἐν τῇ ψυχῇ τὴν ἀνδρείαν, ἐν δὲ τοῖς ἐκτὸς τὴν ἀρχήν· ὅπερ ἐν τῷ σώματι εὐαισθησίαν, τοῦτ' ἐν τῇ ψυχῇ φρόνησιν, ἐν δὲ τοῖς ἐκτὸς εὐτυχίαν· ὅ, τι δ' ἐν σώματι κάλλος, τοῦτ' ἐν ψυχῇ δικαιοσύνην, ἐν δὲ τοῖς ἐκτὸς τὴν φιλίαν. ὥστε τρία γένη τῶν ἀγαθῶν δι' αὑθαίρετα ὑπάρχειν, τά τε περὶ ψυχὴν, καὶ τὰ περὶ τὸ σῶμα, καὶ τὰ ἐκτὸς, καὶ μακρῷ αἱρετώτερα τὰ περὶ ψυχὴν, τῷ, ἐπειδὴ καὶ ἡγεμονικώτερον καὶ αἱρετώτερον ψυχὴ σώματος. δῆλον οὖν ὅτι τῶν τοῦ σώματος ἀρετῶν, καὶ τῶν ἐκτὸς, αἱ τῆς ψυχῆς ὑπάρχουσιν αἱρετώτεραι, ὑπεροχὴν ὁμοίως φερόμεναι, στοχάζονται καὶ τῶν ἄλλων, περὶ τούτων μὲν ὡς δι' αὑθαιρέτων, ἐπειδὴ ὡς χρησίμων πρός τε τὸν πολιτικὸν καὶ τὸν κοινωνικὸν βίον, καὶ δὴ πρὸς τὸν θεωρητικόν. παραμετρεῖσθαι γὰρ τὸν βίον ταῖς πολιτικαῖς καὶ ταῖς κοινωνικαῖς πράξεσι, καὶ ταῖς θεωρητικαῖς· οὐ γὰρ φίλαυτον εἶναι τὴν ἀρετὴν, καὶ τὴν αἵρεσιν ταύτην, ἀλλὰ κοινωνικὴν καὶ πολιτικήν. τούτοις δὲ ἀκόλουθα καὶ τὰς μονὰς αἱ ἐν τῷ ζῆν παραμετρεῖσθαι ταῖς κοινωνικαῖς καὶ θεωρητικαῖς πράξεσι, καὶ τὰς ἀφόδους ἐκ τῶν ἐναντίων. ἐπεὶ δὲ γὰρ πρὸς ἑαυτὴν ᾠκειῶσθαι μάλιστα πάντων ἔφαμεν τὴν ἀρετὴν, δῆλον ὡς καὶ πρὸς τὴν τῆς ἀληθείας ἐπιστήμην ἀναγκαίως ᾠκειῶσθαι φυσικῶς αὐτήν· ὥστε καὶ τοῖς σοφοῖς εὔλογον ἐξαγωγὴν ἐκ τοῦ ζῆν θεωρεῖσθαι, καὶ τοῖς φαύλοις εὔλογον ἐν τῷ ζῆν μονήν. τοῖς γὰρ ἐκτελεῖν δυναμένοις, εὔλογον ἐκ τοῦ ζῆν ἀπαλλάττειν. ἐπεὶ δὴ μεγάλη τῆς ἀρετῆς ἐστὶν ὑπεροχὴ κατά τε τὸ ποιητικὸν, καὶ κατὰ τὸ ἀεὶ αὑθαίρετον, παρὰ τὰ σωματικὰ καὶ τὰ ἔξωθεν ἀγαθὰ, κατὰ τὸν λόγον οὐκ εἶναι συμπλήρωμα τὸ τέλος ἐκ τῶν σωματικῶν καὶ τῶν ἔξωθεν ἀγαθοῖς, καὶ πᾶσιν, καὶ τοῖς πλείστοις, καὶ κυριωτάτοις· ὅθεν ἐνάργειαν εἶναι τὴν εὐδαιμονίαν κατ' ἀρετὴν ἐν πράξεσι προηγουμέναις, κατ' εὐχήν· τὰ δὲ περὶ σῶμα, καὶ τὰ ἔξωθεν ἀγαθὰ, ποιητικὰ λέγεσθαι τῆς εὐδαιμονίας, τῷ συμβάλλεσθαί τι παρόντα· τοὺς δὲ νομίζοντας αὐτὰ συμπληροῦν, τῆς εὐδαιμονίας ἀγνοεῖν, ὅτι ἡ μὲν εὐδαιμονία βίος ἐστὶν, ὁ δὲ βίος ἐκ πράξεως συμπεπλήρωται. τῶν δὲ σωματικῶν

Ac similis est inter virtutes ratio, cùm videantur tria bonorum genera in maxima differentia quandam inter se obtinere rationem. Etenim quod in corpore sanitas est, id in animo temperantia vocatur, & in externis diuitiæ, quoniam vitia multa tegunt: & quod in corpore robur est, id in animo fortitudo vocatur, & in externis imperium: & quod in corpore sensuum vigor est, id in animo vocatur prudentia, & in externis felicitas: & quod in corpore pulcritudo est, id in animo vocatur iustitia, & in externis amicitia. Ita fit, vt tria bonorum genera per se sint expetenda, maximè autē animi, quatenus reliquis præstat animus. Quamuis autem corporis atque externas virtutes antecellant animi virtutes, alias tamen haud negligunt, partim vt per se expetendas, partim vt ad vitam ciuilem ac socialem atque etiam contemplantem vtiles. definiri siquidem vitam ciuilibus, socialibus, & contemplantibus actionibus. cùm non sit sui amans [h]secundum hanc sectam virtus, sed ciuilis ac socialis. Cùm enim sibi maximè affinem esse virtutem diximus, veritatis quoque cognitionem necessariò illam expetere consequitur; sicut & sapientes rectè vitam abrumpant, et stulti rectè conseruent. siquidem perfectionis compotes æquū est de vita discedere. Cùm autem magna sit virtutis præ corporeis & externis bonis excellentia, non potest illis vllo pacto finis compleri, ideoq́ functio virtutis est beatitudo per actiones successus compotes. Corporis autem & externa bona dicuntur beatitudinis efficientia, quòd ad eam nonnihil conferant, non quòd expleant, cùm beatitudo vita sit, vita autem constet actionibus, illa verò nec actionum nec fun-

h αὐτὸ pro ἑ

i ζῆν pro ...

ctionum loco haberi possint. Quibus ita constitutis, extitit beneficentia, gratia, humanitas, liberorum ac fratrum amor, nec nõ patriæ, parentum, et propinquorum beneuolentia, amicitia, æqualitas, iustitia, totusq́ virtutum chorus;[k] quem qui negligunt, in bonis expetendis & malis fugiendis, inq́ acquisitione & vsu bonorum manifestò peccant, in electione quidẽ per iudicium, in acquisitione autem per modũ, in vsu verò per ignorantiam. Atque in [l]electione quidem peccant, cùm vel quod bonũ non est, vel quod minùs bonum est, expetunt, quemadmodum plerique iucundum vtili, & vtile honesto præferunt: in acquisitione autem, cùm nec vnde, nec quo pacto, nec quatenus acquirendum sit, considerant: in vsu verò, cùm, postea quam vsus omnis[m] vel ad ipsum, vel ad aliũ refertur, nec in priore modum rebus adhibent, nec in posteriore decorum seruant. Ac si peccant in his improbi, rectè se gerunt probi, qui virtutem ducem sequuntur. In omnibus sanè virtutibus iudicium cernitur, electio, & actio, cùm his nulla virtus careat; veruntamen prudentia quidem principem locum tenet, reliqua autem sua singula procurant.

k ĩ pro ὶ.

l αἵρεσιν pro χρῆσιν

m ĩ pro ἢ.

De virtute.

Virtus porrò vocatur optima affectio, quemadmodum per inductionẽ colligitur. siquidem & sutoris virtus dicitur, secũdum quam probum calceum nouit parare, & architecti, secundum quam domum pulcram potest extruere. Atque optimam quidem affectionem virtutem dici manifestum est, duo autem virtutum[n] tanquam principia ponuntur, ratio & perturbatio; quæ nunc inter se conueniunt, nunc dissentiunt, idq́ propter voluptatem ac dolorem. Ac rationis quidem victoria continentiam sibi cognominem asciscit, perturbationis autem incontinentiam, vtriusque verò concordia virtutem, altera rectè imperante, altera parente.

n ἀντίταξιν pro ἀντ...

De expetendis & fugiendis.

Expetendum dicitur, quod appetitum ad se attrahit, vt fugiendum, quod a se repellit, quando consentit ratio. Expetendum porrò ac bonũ veteres pro eodem habuerunt, quandoquidem bonum ponunt id, quod omnes expetunt. Bona vero alia propter nos dicunt expetenda, alia propter alios; & horum priora vel honesta, vel necessaria: honesta quidem virtutes, & earum

καὶ τῶν ἐκτὸς ἀγαθῶν οὐδὲν ἐπὶ πρᾶξιν εἶναι καθ' ἑαυτό, οὐδ' ὅλως ἐνέργειαν. τούτων δὴ τῶν ὑποκειμένων λόγων, ἥ τε εὐεργεσία συνέστηκε, καὶ ἡ χάρις, καὶ ἡ εὐχαριστία, καὶ φιλανθρωπία, καὶ φιλοτεκνία, καὶ φιλαδελφία, καὶ πρὸς ταύταις δέ, τὸ φιλόπατρις, καὶ φιλοπάτωρ, καὶ φιλοικεῖος, καὶ κατὰ τὸ προσῆκον ἥ τε εὐκοινωνησία, καὶ ἡ εὔνοια, καὶ ἡ φιλία, καὶ ἡ ἰσότης, καὶ ἡ δικαιοσύνη, καὶ πᾶς ὁ τῶν ἀρετῶν θεῖος χορός, οὗ τοὺς καταλιγωροῦντας ἁμαρτάνειν φανερὸς περί τε τὰς αἱρέσεις τῶν ἀγαθῶν, καὶ τὰς φυγὰς τῶν κακῶν, καὶ περὶ τὴν κτῆσιν, καὶ περὶ τὴν χρῆσιν τῶν ἀγαθῶν, ὁμολογουμένως τε διασφάλλεσθαι, περὶ μὲν τὴν αἵρεσιν παρὰ τὴν κρίσιν, περὶ δὲ τὴν κτῆσιν παρὰ τὸν τρόπον, περὶ δὲ τὴν χρῆσιν παρὰ τὴν ἀμαθίαν. παρὰ μὲν οὖν τὴν κρίσιν ἁμαρτάνειν, ὅταν τὸ μηδ' ὅλως ὂν ἀγαθὸν αἱρῶνται, ἢ τὸ ἧττον σφοδρότερον ἤδη· τοῦτο δὲ περὶ τοὺς πλείστους ὑπάρχειν, τὸ μὲν ἡδὺ τοῦ συμφέροντος, τὸ δὲ συμφέρον τοῦ καλοῦ προκρίνοντας, καὶ τῆς ὁρμῆς ἀμέτρως προσποιοῦντας· παρὰ δὲ τὴν κτῆσιν, ὅταν μήτε ὅθεν, μήθ' ὅπως, μήτε ἐφ' ὅσον χρὴ περιποιεῖσθαι, ταῦτα προσδιαλάβωσι· παρὰ δὲ τὴν χρῆσιν, ἐπεὶ πᾶσα χρῆσις καὶ πρὸς αὐτὸν ἔχει τὴν ἀναφοράν, ἢ πρὸς ἕτερον· ἐν μὲν πρὸς ἑαυτόν, ὅταν μὴ προσφέρωνται τοῖς πράγμασι συμμέτρως· ἐν δὲ τῇ πρὸς ἕτερον, ὅταν τὸ κατ' ἀξίαν μὴ φυλάττωσι τοῦ πρέποντος. εἰ δὲ περὶ αὐτὰ ἁμαρτάνουσιν οἱ φαῦλοι, περὶ τὰ ἐναντία πάντως κατορθοῦσιν οἱ σπουδαῖοι, καθηγεμόνα τῶν πράξεων ἔχοντες τὴν ἀρετήν. πάσαις γοῦν ὡς ἔοικε ταῖς ἀρεταῖς κοινὸν ὑπάρχειν τό, τε κρίνειν, καὶ τὸ αἱρεῖσθαι, καὶ πράττειν. οὔτε γὰρ ἄκριτον, οὔτ' ἀπροαίρετον, οὔτ' ἄπρακτον εἶναι τὴν ἀρετήν, ἀλλὰ τὴν μὲν φρόνησιν διαφέρειν ὥσπερ ἡγεμονικὸν οὖσαν, καὶ τῶν ὑφ' ἑαυτὴν ὑπὸ τὰς ἄλλας αἱρετῶν, καὶ φευκτῶν, καὶ πρακτῶν, καὶ οὐ πρακτῶν, καὶ τοῦ μᾶλλον καὶ ἧττον, τῶν δ' ἄλλων ἑκάστην ἀποτέμνεσθαι μόνα τὰ καθ' ἑαυτήν.

Περὶ ἀρετῆς.

Ἀρετὴν δ' ὀνομάζεσθαι τὴν ἀρίστην διάθεσιν, ἢ καθ' ἣν ἄριστα διάκειται τὸ ἔχον. τοῦτο δὲ ἐκ τῆς ἐπαγωγῆς δῆλον. σκυτοτόμου γὰρ ἀρετὴν λέγεσθαι καθ' ἣν ἀποτελεῖν ἄριστον ὑπόδημα δύναται· καὶ οἰκοδόμου, καθ' ἣν ἄριστα διάκειται πρὸς οἰκοδόμησιν οἰκίας καλῆς. ὅτι μὲν τὰ ἄριστα διατιθέναι ἐστὶν ἀρετή, ὁμολογούμενον ἐστί. δύο δ' ὡς ὑπὸ ἀρχὰς τῆς ἀρετῆς ὑπάρχειν, τὸν λόγον, καὶ τὸ πάθος· ταῦτα δὲ ὁτὲ μὲν ἀλλήλοις ὁμονοητικῶς συμφωνεῖν, ὁτὲ δὲ στασιαστικῶς διαφωνεῖν· τὴν δ' ἀντίταξιν αὐτῶν γίγνεσθαι δι' ἡδονάς, καὶ λύπας. τὴν μὲν οὖν τοῦ λόγου νίκην ἀπὸ τοῦ κράτους παρωνύμως ἐγκράτειαν ἐπωνυμίαν ἔχειν· τὴν δὲ τοῦ ἀλόγου, διὰ τὸ τῆς ὁρμῆς ἀπειθές, ἀκρασίαν· τὴν δ' ἀμφοῖν ἁρμονίαν καὶ συμφωνίαν, ἀρετήν· τοῦ μὲν ἄγοντος, ἐφ' ὃ δεῖ, τοῦ δ' ἑπομένου πειθηνίως.

Περὶ αἱρετῶν, καὶ φευκτῶν.

Αἱρετὸν δὲ λέγεσθαι, τὸ ὁρμὴν ἐφ' ἑαυτὸ κινοῦν· φευκτὸν δέ, τὸ ἀφ' αὑτοῦ, ὅταν λόγος σύμψηφος ᾖ. καθάπερ γὰρ τὸ βουλητόν, κατὰ τὴν βούλησιν ἔχειν τὴν ἐπωνυμίαν ταύτην, οὕτω καὶ τὸ αἱρετόν, κατὰ τὴν αἵρεσιν. τὸ δ' αἱρετὸν καὶ ἀγαθὸν ταυτὸν δοκεῖ τοῖς ἀρχαίοις εἶναι. τὸ γοῦν ἀγαθὸν ὑπογράφοντες, οὕτως ἀφωρίζοντο· ἀγαθόν ἐστιν, οὗ πάντες ἐφίενται. τῶν δ' ἀγαθῶν ἔλεγον τὰ μὲν δι' ἡμᾶς αἱρετὰ ὑπάρχειν, τὰ δὲ διὰ τοὺς πλησίον. τῶν δὲ δι' ἡμᾶς, τὰ μὲν καλά, τὰ δὲ ἀναγκαῖα· καλὰ μέν, τάς τε ἀρετάς, καὶ τὰς ἐνεργείας τὰς ἀπ' αὐτῶν, φρόνησίν τε, καὶ τὸ φρονεῖν, καὶ δικαιοσύνην, καὶ τὸ δικαιοπραγεῖν, καὶ κατὰ τὸ

ἀνάλογον

ἀνάλογον ἐπὶ τῶν ἄλλων· ἀναγκαῖά τε τό, τε ζῆν, καὶ τὰ πρὸς τοῦτο συντείνοντα, καὶ τῶν ποιητικῶν ἔχοντα χώραν, οἷον τό, τε σῶμα, καὶ τὰ τούτου μέρη, καὶ τὰς αὐτῶν, καὶ τὰς χρήσεις, καὶ τῶν ἐκτὸς λεγομένων, εὐγένειαν, πλοῦτον, δόξαν, εἰρήνην, ἐλευθερίαν, φιλίαν, τούτων γὰρ ἕκαστον συμβάλλεσθαί τι πρὸς τὴν ἀρετῆς χρῆσιν.

Ἐκ τίνων ἡ εὐδαιμονία.

Τὴν εὐδαιμονίαν ἐκ τῶν καλῶν γίγνεσθαι καὶ προηγουμένων πράξεων, διὸ καὶ δι᾽ ὅλων εἶναι καλήν, καθάπερ ἡ τῶν ἐν τοῖς αὐλοῖς ἐνέργειαν, δι᾽ ὅλων ἔντεχνον. οὐ γὰρ ἐμβιβάζειν τὴν παράληψιν τῶν ὑλικῶν τῆς εἰλικρινείας τοῦ καλοῦ τῆς εὐδαιμονίας, ὡς οὐδὲ τὴν τῆς ἰατρικῆς ἔντεχνον δι᾽ ὅλως ἐνέργειαν τὴν τῶν ὀργάνων χρῆσιν. πᾶσαν μὲν γὰρ πρᾶξιν ἐνέργειαν εἶναί τινα ψυχῆς. ἐπεὶ δ᾽ ὁ πράττων συγχρῆταί τισι πρὸς τὴν τελειότητα προσθήκαις, μέρη ταῦτα οὐ χρὴ νομίζειν τῆς ἐνεργείας, καί τοι γε ἐπιζητούσης ἑκατέρας τῶν εἰρημένων, ἑκάτερον οὐ μὲν ὡς μέρος οὐδὲ ποιητικὸν τῆς τέχνης. τὰ γὰρ ὧν ἄνευ πράττειν ὁτιοῦν ἀδύνατον, μέρη τῆς ἐνεργείας λέγειν οὐκ ὀρθόν. τὸ μὲν γὰρ μέρος ἐπινοεῖσθαι, καὶ τὸ συμπληρωτικὸν εἶναι τοῦ ὅλου, τὰ δ᾽ ὧν οὐκ ἄνευ κατὰ τὸ ποιητικὸν τῷ φέρειν καὶ συνεργεῖν εἰς τὸ τέλος.

Πόσα μέρη τοῦ ἀγαθοῦ, καὶ περὶ σκοποῦ.

Διαιρεῖσθαι τἀγαθὸν εἴς τε τὸ καλὸν, καὶ εἰς τὸ συμφέρον, καὶ εἰς τὸ ἡδύ· καὶ τῶν μὲν κατὰ μέρος πράξεων τούτους εἶναι σκοπούς· τὸ δ᾽ ἐκ πάντων αὐτῶν, εὐδαιμονίαν· εὐδαιμονίαν δ᾽ εἶναι χρῆσιν ἀρετῆς τελείας ἐν βίῳ τελείῳ προηγουμένην, καὶ ζωῆς τελείας ἐνέργειαν κατὰ ἀρετὴν, καὶ χρῆσιν ἀρετῆς κατὰ φύσιν ἀνεμπόδιστον. τὸ δ᾽ αὐτὸ καὶ τέλος ὑπάρχειν. εἰ δὲ τὸ μὲν εὐδαιμονεῖν, τέλος, ἡ εὐδαιμονία λέγεται σκοπὸς, καὶ ὁ μὲν πλοῦτος ἀγαθὸν, τὸ δὲ πλουτεῖν, ὃν χρή. τοῖς μὲν οὕτως ὁρίζουσι τῆς ἀκριβείας τῶν ὀνομάτων χάριν. ἀκολουθητέον μέντοι τῇ τῶν ἀρχαίων συνηθείᾳ, καὶ λεκτέον τέλος εἶναι, οὗ χάριν πάντα πράττομεν, αὐτὸ δὲ οὐδενός· ἢ τὸ ἔσχατον τῶν ὀρεκτῶν· ἢ τὸ κατ᾽ ἀρετὴν ζῆν ἐν ἀγαθοῖς τοῖς περὶ σῶμα, καὶ τοῖς ἔξω, ἢ πᾶσιν ἢ τοῖς πλείστοις, καὶ κυριωτάτοις. τοῦτο δὲ μέγιστον ὂν τῶν ἀγαθῶν καὶ τελειότατον, ἐκ τῶν ἄλλων ἁπάντων ὑπηρετεῖσθαι. τὰ μὲν γὰρ συμβαλλόμενα πρὸς αὐτὸ, τῶν ἀγαθῶν ὁμολογουμένως χρὴ λέγειν· τὰ δ᾽ ἐναντιούμενα, τῶν οὐκ ἀγαθῶν, ἀλλὰ τῶν ἀδιαφόρων. οὐ πᾶσαν δὲ καλὴν πρᾶξιν εὐδαιμονικὴν ὑπάρχειν. τελείας δ᾽ εἶπεν ἀρετῆς χρῆσιν, τὴν εὐδαιμονίαν· ὅτι τῶν ἀρετῶν τὰς μὲν τελείας εἶναι, τὰς δὲ ἀτελεῖς· τελείας μὲν, τήν τε δικαιοσύνην, καὶ τὴν καλοκαγαθίαν· ἀτελεῖς δὲ, τὴν εὐφυΐαν, καὶ τὴν προκοπήν. τῷ δὲ τελείῳ τὸ τέλειον ἁρμόττειν· τέλος οὖν εἶναι τῆς τοιαύτης ἀρετῆς ἐνέργειαν, καὶ οὐθὲν ἀπέστη μέρος. καὶ τὸ ἐν βίῳ δὲ τελείῳ προσέθεσαν, ἐνδείξασθαι βουληθέντες, ὅτι περὶ τοὺς ἤδη προήκοντας ἄνδρας εὐδαιμονία γίγνεται· τὸ γὰρ μειράκιον ἀτελὲς, καὶ ὁ τούτου βίος· διὸ οὐκ ἀνύεσθαι περὶ τοῦτ᾽ εὐδαιμονίαν οὐδ᾽ ὅλως ἐν ἀτελεῖ χρόνῳ, ἀλλ᾽ ἐν τῷ τελείῳ· τέλειον δ᾽ εἶναι τοῦτον, ὅσον ὥρισεν ἡμῖν πλεῖστον ὁ θεὸς, εἴρισε δὲ κατὰ πλάτος, καθάπερ καὶ τὸ τοῦ σώματος μέγεθος. ὡς οὐχ ἕνα στίχον συστήσειν ὑπόκρισιν, μηδὲ μίαν χειρὸς ἔκτασιν ὄρχησιν, μηδὲ μίαν χελιδόνα ποιήσειν ἔαρ· οὕτω μηδὲ βραχὺν χρόνον εὐδαιμονίαν. τελείαν γὰρ δεῖν τὴν εὐδαιμονίαν ἐκ τελείων συνεστάναι ἀνδρὸς καὶ χρόνου καὶ δαίμονος. προηγουμένην καὶ τὴν τῆς ἀρετῆς ἐνέρ-

functiones, necessaria autem vitam, & quæ ad eam pertinent, vt corpus cum suis partibus & vsibus, vt de externis nobilitatem, diuitias, gloriam, pacem, libertatem, amicitiam. siquidem horum singula nonnihil ad virtutis vsum conferunt.

Ex quibus constet beatitudo.

Beatitudo autem probis & successu præditis constat actionibus, sic vt tota sit proba, [o] quemadmodum tibiarum vsus totus est artificiosus. Neque enim vsus materiæ probitatem beatitudini adimit, vt nec instrumentorum vsus medicinæ artem. Cùm autem ad perfectionem quædam assumantur, ea pro partibus habenda non sunt, cùm illa, sine quibus actio non cõstat, partes haud rectè censeantur. Vt enim partes totum complent, ita reliqua ad finem conferũt.

o καθάπερ ἡ pro καθάπερ.

De boni partibus, ac de scopo.

Diuiditur bonum in honestum, vtile, & iucundum. Ac singularum quidem actionum hi sunt scopi, de omnibus autem conflatur beatitudo. Ea est virtutis perfecta vsus in vita perfecta cum successu; et vita perfecta secundum virtutem functio; & virtutis secundum naturam vsus absque impedimento. Et quamuis nonnulli finem dicant beatum esse, & beatitudinem scopum, vt diuitias bonum, & diuitem esse, id quod oportet; veterum tamen sequi præstat consuetudinem, qui finem dicunt esse, cuius causa fiunt omnia, cùm ipse causam nõ habeat; vel extremum expetendorum; vel vitam secundum virtutem in bonis corporeis & externis, vel omnibus, vel præcipuis. Id autem cùm maximum sit bonum, reliquorum vtitur ministerio. Vt enim quæ ad id conferunt, pro bonis habenda sunt, ita quæ resistunt, pro indifferentibus, cùm non omnis proba actio beatitudinem conficiat. Ac perfectæ virtutis vsum dixerunt beatitudinem, quoniã virtutes alias perfectas ponebant, alias imperfectas; perfectas quidem iustitiam & probitatem, imperfectas autem ingenuitatem & profectum: perfectum verò perfecto conuenit, sic vt finis sit eius virtutis functio, [q] cui nulla pars deest. Vitam quoque perfectam addiderunt, ostendentes in viris prouecta ætatis beatitudinem cerni. siquidem adolescẽs imperfectus est, eiusq́ vita. ideoq́ in perfecto tempore beatitudinem cerni, quãtum videlicet longissimũ nobis Deus constituit. itaque quemadmodum nec vnus versus fabulam conficiat, nec vna manus extensio saltationem, nec vna hirundo ver, sic nec tempus breue beatitudinem collaturum, cùm illa perfecta sit, ac perfectum hominẽ tempusq́ desideret. [r] Iam succedentem

εἶπον pro εἶπεν.

q ἧς pro καὶ

r ἑξῆς pro καὶ

dentem virtutis functionem adiunxerūt, quòd ad beatitudinem necessariò requirantur natura bona, cùm probus vt in malis etiam posit virtutem exercere, ita beatus esse non posit. Vt enim virtus honestorum dumtaxat efficiens est, ita beatitudo praeclarorum, quae non tam in malis perseuerare, quàm bonis frui vult, nec vel contemplationis bonis, vel vitae commodis priuari. Etenim cùm iucundissimū sit & pulcerrimum beatitudo, more artis instrumentorum crescit multitudine: neque eadem Dei est & hominis, cùm nec proborum virtus omnino sit stabilis, quandoquidem malorum magnitudine tolli potest. Quocirca dubitari poterit, an rectè beatus, qui adhuc viuit, dicatur, cùm incerta sit fortuna, rectèq́ue intulerit Solo longae vitae finem spectari. Dormientes autem beatitudinis non sunt participes, nisi aliquatenus, cùm animi functio ad vigiliam pertineat. Naturam denique adiecerunt, quòd non omnis proborum vigilia perfecta sit virtutis vsus, nisi quae secundum naturam sit, hoc est, insania careat; cùm haec, vt & somnus, hoc vsu illos, atque etiam ratione priuet, & bruta reddat. Quemadmodū porrò beatitudo dicitur virtutis vsus, sic miseria vitij, non tamen vt quemadmodum hoc ad miseriam sufficiat, sic ad beatitudinem illa. Acerba verò redditur vita bonis quidem in nimiis rebus aduersis, malis autem etiam in secundis, quoniam plus peccant, nec rectè felices dici possunt.

ἀτυχίαις pro ἀτυχίαις.

γίας, διὰ τὸ πάντως ἀναγκαῖον ἐν τοῖς κατὰ φύσιν ἀγαθοῖς ὑπάρχειν, ἐπεὶ καὶ ἐν κακοῖς ἀρετῇ χρήσαιτ' ἂν καλῶς ὁ σπουδαῖος, οὐ μήν γε μακάριος ἔσται, οὐδ' ἐν αἰκίαις ὑποδείξαιτ' ἂν τὸ γενναῖον, οὐ μὴν εὐδαιμονήσει. αἴτιον δέ, ὅτι ἡ μὲν ἀρετὴ καλῶν μόνον ἐστὶν ἀπεργαστικὴ καθ' ἑαυτήν, ἡ δ' εὐδαιμονία καὶ καλῶν κἀγαθῶν. οὐ γὰρ ἐγκαρτερεῖν βούλεται τοῖς δεινοῖς, ἀλλὰ τῶν ἀγαθῶν ἀπολαβεῖν, πρὸς τῷ καὶ σώζειν τὸ ἐν κοινωνίᾳ δίκαιον, καὶ μήτε ἀποστερεῖν ἑαυτὴν τῶν ἐν τῇ θεωρίᾳ καλῶν, μήτε τῶν κατὰ τὸν βίον ἀναγκαίων, ἥδιστον γάρ τι καὶ κάλλιστον εἶναι τὴν εὐδαιμονίαν, ὥσπερ δὲ ἐπιτίθεσθαι καθάπερ τέχνην ὀργάνων πλήθει καὶ παρασκευῇ. οὔτε τὴν αὐτὴν εἶναι θεοῦ καὶ ἀνθρώπου, οὔτε γὰρ τὴν ἀρετὴν ἀναπόβλητον ἐπὶ τῶν σπουδαίων τὸ παράπαν, δύνασθαι γὰρ ὑπὸ πλήθους καὶ μεγέθους ἀφαιρεθῆναι κακῶν. ὅθεν ἐνδοιάσειεν ἄν τις μήποτε οὐδὲ κυρίως εὐδαιμονιστέον τὸν ἔτι ζῶντα, διὰ τὸ τῆς τύχης ἄδηλον· τὸ γὰρ τοῦ Σόλωνος ὡς δεῖ ἔχειν τέλος ὁρᾶν μακροῦ βίου. μαρτυρεῖ δὲ τοῦτο καὶ τὸ βίον εὐδαιμονίζοντας τοὺς ἀνθρώπους, ἣν κἂν θνήσκωσι, τὸ ἀφαιρεθέντα τῆς εὐδαιμονίας οὐκ εἶναι κακοδαίμονα, καθάπερ μηδὲ τὸν ὅλως ἔχοντα ταύτην, μέσον λεγόμενον βίον, τὸ μήτε εὐδαίμονα μήτε κακοδαίμονα. περὶ δὲ τοὺς κοιμωμένους οὐκ εἶναι τὴν εὐδαιμονίαν, ἢ οὐκ ἐντελέχειάν γε. τὴν γὰρ ἐνέργειαν τῆς ψυχῆς περὶ τὴν ἐγρήγορσιν εἶναι τῷ τῇδε προστίθεσθαι τὸ κατὰ φύσιν, διὰ τὸ μὴ πᾶσαν τὴν ἐγρήγορσιν τῶν σπουδαίων τελείας εἶναι χρῆσιν ἀρετῆς, ἀλλὰ τὴν κατὰ φύσιν, ταύτην δὲ εἶναι τὴν τοῦ μὴ μαινομένου, μηδ' ἐξεστηκότος, ἐπεὶ τήν γε μανίαν, καὶ τὴν ἔκστασιν, καὶ τὸν ὕπνον ἐξιστάναι αὐτὸν ταύτης τῆς χρήσεως, τάχα δὲ καὶ τοῦ λόγου, καὶ ποιεῖν θηρίον· οἷς γὰρ λογικόν ἐστι τὸ ζῆν, τούτοις καὶ τὸ εὐδαιμονεῖν ὑπάρχειν· οὐκ ἀεὶ δὲ οὐδὲ τούτοις, ἀλλὰ τοῦτο προηγούμενον ἔχουσι τὸ ζῆν. ὡς δὲ τὴν εὐδαιμονίαν λέγεσθαι χρῆσιν ἀρετῆς, οὕτω καὶ τὴν κακοδαιμονίαν λέγεσθαι χρῆσιν κακίας· οὐ μὴν ὡς τὴν κακίαν αὐτάρκη πρὸς κακοδαιμονίαν, οὕτω καὶ τὴν ἀρετὴν πρὸς εὐδαιμονίαν· ὡς δὲ τὸν σπουδαῖον τἀγαθὰ ἔχειν, καὶ αὐτῷ συμφέρειν, καὶ τοῖς ἄλλοις. φευκτὸν δὲ τὸν βίον γίγνεσθαι, τοῖς μὲν ἀγαθοῖς ἐν τῇ ἄγαν δυστυχίαις, τοῖς δὲ κακοῖς, καὶ ἐν ταῖς ἄγαν εὐτυχίαις. πλεῖον γὰρ ἁμαρτάνειν, διὸ καὶ μηδὲ κυρίως εὐτυχεῖς εἶναι καὶ τοὺς φαύλους.

Quot modis bonum dicatur.

Quoniam beatitudinem maximum bonū ponimus, quot modis bonum dicatur, exponemus. Tribus enim modis dicitur, primùm quod omnibus salutis est causa, deinde quod omni bono tribuitur, tum quod per se est expetendū: quorum primum Deus est, alterum genus bonorum, tertium finis, ad quem omnia referuntur, siue beatitudo. Iam quod per se expetendū est, tribus modis dicitur, vel cuius causa sit aliquid, vel etiam cuius causa fiunt omnia, vel denique horum pars aliqua. Horum quoque alia ad vltimum pertinent, alia sunt efficientia, illa quidē succedentes secundum virtutem actiones, haec autem quae materiam habent. Bona porrò alia sunt honesta, alia laudanda, alia facultates, alia vtilia: honesta quidem, vt Deus, princeps, pater; laudanda autem, vt iustitia, prudentia; facultates verò, vt diuitiae, imperium, libertas; vtilia denique efficientia, vt sanitas. Praeterea bona expetenda alia per se sunt expetenda, alia

εἶν pro ἐν.

Ποσαχῶς λέγεται τὸ ἀγαθόν.

Ἐπειδὴ μὲν εὐδαιμονίαν τὸ μέγιστον ἀγαθόν, διαιρετέον ποσαχῶς λέγεται τὸ ἀγαθόν. τριχῶς δή φασι λέγεσθαι. τό, τε γὰρ πᾶσι τοῖς οὖσι σωτηρίας αἴτιον, καὶ τὸ κατηγορούμενον παντὸς ἀγαθοῦ, καὶ τὸ δι' αὑθαίρετον. ὧν τὸ μὲν δὴ θεὸν εἶναι τὸν πρῶτον, τὸ δὲ γένος τῶν ἀγαθῶν, τὸ δὲ τέλος, ἐφ' ὃ πάντα ἀναφέρομεν, ὅπερ ἐστὶν εὐδαιμονία. καὶ τὸ δι' αὑθαίρετον δέ, τριχῶς λέγεσθαι· ἢ οὗ χάριν πράττομεν ὡς ἐσχάτου· ἢ οὗ χάριν πάντα· ἢ τρίτον, ὃ μέρος γίγνεται τούτων. τῶν δὲ δι' αὑθαιρέτων τὰ μὲν εἶναι τελικά, τὰ δὲ ποιητικά. τελικὰ μὲν τὰς κατ' ἀρετὴν προηγουμένας πράξεις· ποιητικὰ δὲ, τὰ ὑλικὰ τῶν αἱρετῶν. τῶν δ' ἀγαθῶν τὰ μὲν εἶναι τίμια, τὰ δὲ ἐπαινετά, τὰ δὲ δυνάμεις, τὰ δὲ ὠφέλιμα. τίμια μὲν, οἷον θεόν, ἄρχοντα, πατέρα· ἐπαινετὰ δὲ, οἷον δικαιοσύνην, φρόνησιν· δυνάμεις δὲ, οἷον πλοῦτον, ἀρχήν, ἐξουσίαν· ὠφέλιμα δὲ, τὰ ποιητικά. οἷον ὑγίειαν, καὶ εὐεξίαν. ὅτι τῶν αἱρετῶν καὶ ἀγαθῶν τὰ μὲν καθ' ἑαυτὰ εἶναι αἱρετά,

τὰ

τὰ δι᾽ ἕτερα. τὰ μὲν γὰρ τίμια, καὶ ἐπαινετὰ, καὶ τὰς δυνάμεις, ὑπάρχειν τῶν καθ᾽ αὑτὰ ἀγαθῶν, οἷον πλοῦτον, καὶ ἀρχὰς, οἷς ἂν χρήσαιτο καὶ ὁ σπουδαῖος καὶ ἀγαθὸς ἀνὴρ, καὶ οἷς δύναται δεῖ χρῆσθαι, ἀγαθὰ, καὶ καθ᾽ αὑτὰ ἀγαθὰ πεφυκέναι, ὥσπερ ὑγιεινὰ, ἃ καὶ ζητήσειεν ἂν ὁ ἰατρὸς καὶ δύναιτο χρῆσθαι· τὰ δὲ ὠφέλιμα, δι᾽ ἕτερα· τῷ γὰρ ποιεῖν ἕτερα καὶ σώζειν, τῶν ἀγαθῶν ὑπάρχειν. ἄλλη διαίρεσις, τῶν καθ᾽ αὑτὰ ἀγαθῶν τὰ μὲν εἶναι τέλη, οἷον δικαιοσύνην μὲν, καὶ ἀρετὴν, καὶ ὑγείαν, τέλη, καὶ ἁπλῶς ὅσα ἐκ τῶν καθ᾽ ἕκαστα γινομένων, καὶ κεφαλαιούμενα, ὑπάρχει. ὥσπερ τὴν ὑγείαν, οὐ μὴν τό, τι ὑγιαῖνον, οὐδὲ τὴν θεραπείαν τοῦ κάμνοντος· εὐφυΐαν δὲ, καὶ ἀναμνήσεις, καὶ μαθήσεις, οὐ τέλη. ἄλλη διαίρεσις, τῶν τελείων τὰ μὲν παντὶ ἀγαθὰ εἶναι, τὰ δ᾽ οὐ παντί. τὴν μὲν ἀρετὴν καὶ φρόνησιν παντὶ ἀγαθὰ, ὅτῳ γὰρ ἂν παραγένηται, ὠφελεῖν· πλοῦτον δὲ καὶ ἀρχὰς καὶ δυνάμεις, οὐ παντί. πρὸς ὃν ἀγαθὰ, καθόσον ἀφορίζεσθαι τὸ εἶναι ἀγαθά τινι τῇ τοῦ ἀγαθοῦ ἀνδρὸς χρήσει. φαίνεσθαι δὲ ταῦτα καὶ ζητεῖν, καὶ χρωμένοις ὠφελεῖν. οἷς δὲ τὸν ἀγαθὸν δεῖ χρῆσθαι, τούτοις τὸν κακὸν κακῶς· ὥσπερ οἷς ἂν ὁ τὸν μουσικὸν, τούτοις τὸν ἄμουσον κακῶς. ἅμα δὲ κακῶς χρώμενον βλάπτεσθαι· καθάπερ ἵππον ἀγαθὸν ὄντα, τὸν μὲν ἱππικὸν ὠφελεῖν, βλάπτειν δὲ τὸν ἄπειρον οὐ μετρίως. ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι περὶ ψυχὴν, τὰ δὲ περὶ σῶμα, τὰ δ᾽ ἐκτός. περὶ ψυχὴν μὲν, οἷον εὐφυΐαν τε, καὶ τέχνην, καὶ ἀρετὴν, καὶ σοφίαν, καὶ φρόνησιν, καὶ ἡδονήν· περὶ σῶμα δὲ, ὑγείαν, καὶ εὐαισθησίαν, καὶ κάλλος, καὶ ἰσχὺν, καὶ ἀρτιότητα, καὶ πάντα τὰ μόρια σὺν ταῖς δυνάμεσι καὶ ἐνεργείαις· ἐκτὸς δὲ πλοῦτον, καὶ δόξαν, καὶ εὐγένειαν, καὶ δυναστείαν, καὶ φίλους, καὶ συγγενεῖς, καὶ πατρίδα. τῶν δὲ περὶ ψυχὴν ἀγαθῶν τὰ μὲν ἀεὶ φύσει παρεῖναι, καθάπερ γὰρ ὀξύτητα, καὶ μνήμην, τό, τε ὅλον εὐφυΐαν· τὰ δ᾽ ἐξ ἐπιμελείας περιγίγνεσθαι, ὡς τάς τε προπαιδείας, καὶ διαίτας ἐλευθερίους· τὰ δ᾽ ἐκ τελειότητος ὑπάρχειν, οἷον φρόνησιν, δικαιοσύνην, τελευταῖον δὲ σοφίαν. ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν εἶναι καὶ κτήσασθαι, καὶ ἀποβαλεῖν, ὡς πλοῦτον· τὰ δὲ κτήσασθαι μὲν, ἀποβαλεῖν δ᾽ οὐ, ὡς εὐτυχίαν, ἀθανασίαν· τὰ δὲ ἀποβαλεῖν μὲν, κτήσασθαι δ᾽ οὐ, ὡς αἴσθησιν, ὡς τὸ ζῆν· τὸ δ᾽ οὔτε κτήσασθαι, οὔτ᾽ ἀποβαλεῖν, ὡς εὐγένειαν. ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι δι᾽ αὑτὰ αἱρετὰ μόνον, ὡς ἡδονὴν, καὶ ὀχλησίαν· τὰ δὲ ποιητικὰ μόνον, ὡς πλοῦτον· τὰ δὲ ποιητικὰ, καὶ δι᾽ αὑτὰ αἱρετὰ, ὡς ἀρετὴν, φίλους, ὑγείαν. καὶ ἄλλως δὲ πολλαχῶς ἐξαιρεῖσθαι τἀγαθὰ, διὰ τὸ μὴ ἓν εἶναι γένος αὐτῶν, ἀλλὰ κατὰ τὰς δέκα καλεῖσθαι κατηγορίας. ἐν ὁμωνυμίᾳ γὰρ ἐκφέρεσθαι τἀγαθὸν, τά τε τοιαῦτα πάντα ὄνομα κοινὸν ἔχειν μόνον, τὸν δὲ κατὰ τοὔνομα λόγον διάφορον.

Περὶ τῆς ἠθικῆς ἀρετῆς, ὅτι μεσότητες.

Τούτων δὴ διωρισμένων, ἐπελθεῖν ἀκριβέστερον ἀναγκαῖον τὰ περὶ τῆς ἠθικῆς ἀρετῆς λεγόμενα. ταύτην γὰρ ὑπολαμβάνουσι περὶ τὸ ἄλογον μέρος γίγνεσθαι τῆς ψυχῆς, ἐπειδὴ διμερῆ πρὸς τὴν παροῦσαν θεωρίαν ὑπέθεντο τὴν ψυχὴν, τὸ μὲν λογικὸν, τὸ δὲ ἄλογον· καὶ περὶ μὲν τὸ λογικὸν τὴν καλοκἀγαθίαν γίγνεσθαι, καὶ τὴν φρόνησιν, καὶ τὴν ἀγχίνοιαν, καὶ σοφίαν, καὶ εὐμάθειαν, καὶ μνήμην καὶ τὰς ὁμοίας· περὶ δὲ τὸ ἄλογον, σωφροσύνην, καὶ δικαιοσύνην, καὶ ἀνδρείαν, καὶ τὰς ἄλλας τὰς ἠθικὰς καλουμένας ἀρετάς. ταύτας δή φησιν ὑπ᾽ ἐνδείας, καὶ ὑπερβολῆς, φθείρεσθαι. πρὸς δὲ τὴν ἔνδειξιν τούτου, τοῖς ἐκ τῶν αἰσθητῶν μαρτυρίοις χρῶνται,

propter aliud: per se quidem, vt honesta, laudanda, & facultates; propter aliud autem, vt vtilia, quæ efficiunt & conseruant alia. Præterea per se bona quædam fines sunt, quædam non sunt: illa quidem iustitia, virtus, sanitas, & quæcunque de singulis componuntur; hæc autem ingenuitas, memoria, disciplina. Præterea perfecta quædam omnibus bona sunt, quædam non sunt: illa quidem virtus, & prudentia, quæ omnibus prosunt; hæc autem diuitiæ & imperia, quæ boni viri vsum requirunt. Etenim quibus vir bonus rectè vtitur, his malus malè; quemadmodum quibus musicus rectè, his musicæ imperitus malè. At quisquis malè vtitur, læditur, quemadmodum equus bonus equitandi peritum iuuat, imperitum lædit. Præterea bona alia in animo cernuntur, alia in corpore, alia foris. in animo quidem ingenuitas, ars, virtus, sapientia, prudentia, voluptas; in corpore autem sanitas, sensuum vigor, pulchritudo, robur, membrorum integritas, omnesq́; partes cum facultatibus & functionibus; foris verò diuitiæ, gloria, nobilitas, potentia, amici, cognati, patria. Animi porro bona vel natura contingunt, vt acumen, & memoria; vel diligentia comparantur, vt liberales disciplinæ; vel in perfectionem cadunt, vt prudentia, & iustitia, ac postremò sapientia. Præterea bona quædam comparare licet & amittere, vt diuitias; quædam comparare, non item amittere, vt felicitatem, & immortalitatem; quædam amittere, non item comparare, vt sensum, et vitam; quædam nec comparare nec amittere, vt nobilitatem. Præterea bona sunt alia per se expetenda tantùm, vt voluptas, & molestiarum vacuitas; alia efficientia tantùm, vt diuitiæ; alia simul efficientia & per se expetenda, vt virtus, amici, sanitas. Aliis quoque modis bona diuiduntur, cùm non vnū sit eorum genus, verùm per decem categorias diuidantur.

Virtutes esse mediocritates.

Atque his ita definitis, accuratiùs de virtute differendum est. Etenim hanc in rationis experte animi parte ponunt, dū eam bifariam diuidunt, & in ratione quidem prædita parte collocant probitatem, prudentiam, sapientiam, memoriam, & similes; in rationis autē experte temperantiam, iustitiam, fortitudinem, & reliquas virtutes. Has porrò per inopiā & abundantiam *aiūt interire, sensuum ad id adducto testimonio,

* ean pro eam.

testimonio, vt ex manifestis obscura comprobent. Cùm enim per exercitia maiora quidem vel minora iusto corrumpatur sanitas, moderata verò, conseruetur; eodem se pacto in temperantia, fortitudine, aliisq; virtutibus rem habere. Vt enim eum, qui ne fulmen quidem timeat, insanum vocemus, non fortem; ita contra qui vel vmbram metuat, ignauum dici at fortem [z] *vocari, qui nec omnia, nec nihil formidet. Hæc igitur virtutem & augere & extinguere, sic vt moderati quidem timoris fortitudinem augeant, maiores autem aut minores extinguant. Neque aliter reliquas virtutes inopia quidem & abundãtia extingui, mediocritate verò augeri. Nec his tantùm virtutem definiri, verùm etiam voluptate ac dolore, cùm & propter voluptatem nequiter agimus, & propter dolorem honesta fugiamus. Atque hoc vt manifestum redderent, animum ante cognoscendum proponebant, in quo hæc tria cernerentur, affectus, facultates, habitus. Et affectus quidem esse iram, metum, odium, desiderium, æmulationem, misericordiam, ac similia, quæ voluptas ac dolor subsequantur; facultates autem, secundum quas affectibus vtimur, & irascimur, æmulamur, vel* [y] *ita de quid facimus; habitus verò, à quibus horum functio rectè vel secus procedit. Quare si quis ita sit affectus, vt quauis de causa irascatur, eum iracundiæ habitum tenere: sin ita, vt nulla de causa, negligentiæ. cumq; vtrumque sit vituperandum, laudari mansuetudinis habitum, secundum quem suo tempore ac loco irascimur. Habitus igitur esse virtutes, per quos affectuum functiones laudari contingat. Cùm ergo virtus in actione cernatur, actio autem omnis continua sit, omne verò continuũ, non aliter quàm magnitudo, nimium, parum, & medium habeat, quæ* [z] *vel inter se, vel ad nos referantur, medium autem ad nos relatum vbique sit optimum, (id enim non quantum, sed quale censeri, ideoq; perfectum esse, contraria autem & inter se & cum medio pugnare, nimium videlicet & parum, medium verò ad vtrumque sic se habere, vt æquale ad inæquale, partim minore maius, partim maiore minus) idcirco virtutem habitum esse consilio præditum, in mediocritate ad nos relata positum. Theophrastus quidem paribus aliquot expositis, per singula deinde conatur magistrum secutus concludere. Exempla sanè hæc ab eo ponantur,* σωφροσύνη, ἀκολασία, ἀναισθησία, πρᾳότης, ὀργιλότης, ἀναλγησία, ἀνδρεία, θρασύτης, δειλία, δικαιοσύνη, ἐλευθεριότης, ἀσωτία, ἀν-

[z] κομψολογουμένου pro ὁμολογουμένου in.

[y] ὅτι οὖν pro πεπόνθαμεν.

[z] ἢ pro καὶ

βουλόμενοι τῶν ἀφανῶν τὴν ἐκ τῶν φανερῶν παρέχεσθαι πίστιν. ὥσπερ γὰρ ὑπὸ τῶν γυμνασίων πλειόνων τε ὡσαύτως καὶ ἐλαττόνων προσφερομένων φθείρεσθαι τὴν ὑγίειαν· συμμέτρων δὲ τῶν εἰρημένων ὄντων, σώζεσθαι τήν τε ἰσχύν, καὶ τὴν ὑγίειαν παραπλησίως ἂν ἔχειν καὶ ἐπὶ τῆς σωφροσύνης, καὶ ἀνδρείας, καὶ τῶν ἄλλων ἀρετῶν. τὸν μὲν γὰρ τοιοῦτον ὄντα τὴν φύσιν, ὥστε μηδὲ τὸν κεραυνὸν φοβεῖσθαι μαινόμενον, ἀλλ' οὐκ ἀνδρεῖον εἶναι· τὸν δ' ἔμπαλιν πάντα φοβούμενον, ὥστε καὶ τὴν σκιάν, ἀγεννῆ καὶ δειλόν· ἀνδρεῖον δ' ὁμολογούμενον ὡς τὸν μήτε πάντα, μήτε μηδὲν φοβούμενον. ταῦτ' ἄρα καὶ αὔξειν καὶ φθείρειν τὴν ἀρετήν, ὥστε τοὺς μὲν μετρίους φόβους αὔξειν τὴν ἀνδρείαν, τοὺς δὲ μείζονας ἢ ἐλάττονας φθείρειν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν, τὰς μὲν οὕτως κατὰ πάντας ὑπερβολάς, καὶ ἐλλείψεις, φθείρειν αὐτάς· τὰς δὲ μετριότητας αὔξειν. οὐ μόνον δὲ τούτοις ἀφορίζεσθαι τὴν ἀρετήν, ἀλλὰ καὶ ἡδονῇ, καὶ λύπῃ· διὰ γὰρ τὴν ἡδονὴν τὰ φαῦλα πράττειν ἡμᾶς, διὰ δὲ τὴν λύπην ἀπέχεσθαι τῶν καλῶν· οὐκ εἶναι δὲ λαβεῖν οὔτ' ἀρετήν, οὔτε κακίαν ἄνευ λύπης καὶ ἡδονῆς· τὴν οὖν ἀρετήν, περὶ ἡδονὰς καὶ λύπας ὑπάρχειν. πρὸς δὲ τὸ σαφῶς δηλῶσαι τὰ περὶ τούτων, ἀναγκαῖον ἡγοῦντο τὰ περὶ ψυχὴν γιγνόμενα προλαβεῖν τῷ λόγῳ· ταῦτα δή φασιν ὑπάρχειν ἐν ταῖς ψυχαῖς τῶν ἀνθρώπων, πάθη, δυνάμεις, ἕξεις. πάθη δ' εἶναι, ὀργήν, φόβον, μῖσος, πόθον, ζῆλον, ἔλεον, τὰ παραπλήσια τούτοις, οἷς καὶ παρακολουθεῖν ἡδονήν, καὶ λύπην· δυνάμεις, καθ' ἃς παθητικοὶ τούτων εἶναι λεγόμεθα, οἷον καθ' ἃς ὀργιζόμεθα, ζηλοῦμεν, τῶν τοιούτων, ὅτι οὖν πεπόνθαμεν· ἕξεις δέ, καθ' ἃς πρὸς ταῦτα πως ἔχομεν, καὶ ἀφ' ὧν ἡ τούτων ἐνέργεια εὖ ἢ κακῶς ἀποτελεῖται. διὸ εἰ μὲν οὕτω τις ὀργίζοιτο ῥᾳδίως, ὥστε ἐπὶ πάντα, καὶ πάντως, τὴν ἕξιν ἂν ἔχειν φανείη τὴν τῆς ὀργιλότητος· εἰ δὲ οὕτως, ὥστε μηδέν, μήτε ἐφ' ὅτῳ οὖν, τὴν τῆς ῥαθυμίας· ἀμφοτέρας δ' εἶναι ψεκτάς, ἐπαινουμένην δὲ ἕξιν ὑπάρχειν τὴν πρᾳότητα, καθ' ἣν ὅτε δεῖ, καὶ ᾧ δεῖ ὀργιζόμεθα. διόπερ ἕξεις εἶναι τὰς ἀρετάς, ἀφ' ὧν τὰς ἐν τοῖς πάθεσιν ἐνεργείας ἐπαινεῖσθαι συμβέβηκεν. ἐπεὶ οὖν ἡ ἀρετὴ τῶν πρακτικῶν, πᾶσαν δὲ πρᾶξιν ἐν συνεχείᾳ θεωρεῖσθαι συμβέβηκεν, παντὸς δὲ συνεχοῦς ὥσπερ ἐν τοῖς μεγέθεσιν εἶναί τινα ὑπερβολήν, καὶ ἔλλειψιν, καὶ μεσότητα, καὶ ταῦτα καὶ πρὸς ἄλληλα ὑπάρχειν, ἢ πρὸς ἡμᾶς, ἐν πᾶσι δὲ τὸ μέσον τὸ πρὸς ἡμᾶς, βέλτιστον, τοῦτο γάρ ἐστιν ὡς ἐπιστήμη, καλοῦσι καὶ ὁ λόγος· (τὸ γὰρ μέσον οὐ τὸν τοῦ ποσοῦ τόπον ὁρίζειν, ἀλλὰ τὸν ποιοῦ, διὸ καὶ τέλειον εἶναι τοῦ οὕτω, καὶ ἄκρως ἔχειν, τὰ δ' ἐναντία πως καὶ ἀλλήλοις ἀντικεῖσθαι, καὶ τῷ μέσῳ, ἐναντία δ' εἶναι τήν τ' ἔλλειψιν, καὶ τὴν ὑπερβολήν, τὸ δὲ μέσον πρὸς ἑκάτερον ἔχειν ὅπερ τὸ ἴσον πρὸς τὸ ἄνισον πέπονθε, τοῦ μὲν ἐλάττονος πλεῖον ὄν, τοῦ δὲ πλείονος ἔλαττον) τὸ οὖν πρὸς ἡμᾶς, μέσον ἄριστον, οἷον φησὶ ὁ Θεόφραστος ἐν τῇ ἐντυχίαις· ὁ δὲ μὲν πολλὰ διηγῶν, καὶ μακρὰς ἀδολεσχήσας, ὁ δὲ δ' ὃ πρὸς ἡμᾶς, αὐτὴ γὰρ ὑφ' ἡμῶν ὥρισται τῷ λόγῳ. διὸ ἔστω ἡ ἀρετὴ ἕξις προαιρετικὴ ἐν μεσότητι οὖσα τῇ πρὸς ἡμᾶς ὡρισμένη, λόγῳ δ' ὅσ' ἂν ὁ φρόνιμος ὁρίσειεν, εἶτα παραθέμενος τινὰς συζυγίας, ἀκολούθως τῷ ὑφηγητῇ σκοπεῖν, ἐπειρᾶτο καθ' ἕκαστα ἐπάγων, ἐπεὶ ἐράθη τὸν τρόπον τοῦτον· ἐλήφθησαν δὲ παραδειγμάτων χάριν, αἱ δὲ σωφροσύνη. ἀκολασία, ἀναισθησία, πρᾳότης, ὀργιλότης, ἀναλγησία, ἀνδρεία, θρασύτης, δειλία, δικαιοσύνη, ἐλευθεριότης, ἀσωτία, ἀνελευθερία,

ἀληθεία, μεγαλοψυχία, μικροψυχία, χαυνότης, μεγαλοπρέπεια, σαλακωνία. τούτων δὲ τῶν ἕξεων αἱ μὲν περὶ ὑπερβάλλειν, ἢ ἐλλείπειν, περὶ πάθη, φαῦλα εἰσίν· αἱ διὰ σπουδαῖαι τὸ μεσότητος εἶναι. δηλονότι σώφρονά τε γὰρ εἶναι, οὔτε τὸν καθάπαξ ἀνεπιθύμητον, οὔτε τὸν ἐπιθυμητικόν. τὸν μὲν γὰρ λίθου δίκην μηδὲ τῶν κατὰ φύσιν ὀρέγεσθαι· τὸν δὲ περὶ ὑπερβάλλειν τῶν ἐπιθυμίαις, ἀκόλαστον εἶναι· τὸν δὲ μέσον τούτων, ὧν δεῖ, καὶ ὁπότε, καὶ ὁπόσον ἐπιθυμοῦντα, καὶ περὶ λόγῳ κατὰ τὸ προσῆκον ὁρίζοντα· καθάπερ κανόνι, σώφρονα λέγεσθαί τε, καὶ κατὰ φύσιν εἶναι πρᾶόν τε, οὔτε τὸν ἐπὶ παντὶ ὀργιζόμενον, κἂν μὴ πρόσταιον ᾖ, ἀλλὰ τὸν τὴν μέσην ἔχοντα ἕξιν· ἀνδρεῖόν τε, οὔτε τὸν μηδὲν φοβούμενον, κἂν ᾖ θεὸς ὁ ἐπιών, οὔτε τὸν πάντα, καὶ τὸ δὴ λεγόμενον τὴν σκιάν· δίκαιον δὲ, οὔτε τὸ πλεῖον ἑαυτῷ νέμοντα, οὔτε τὸν τὸ ἔλαττον, ἀλλὰ τὸν τὸ ἴσον, τὸ δ' ἴσον τὸ κατὰ τὸ ἀνάλογον, οὐ κατ' ἀριθμόν τε· οὔτε τὸν προετικὸν, ὅπως ἔτυχεν, οὔτε τὸν ἀπροαίρετον· μεγαλόψυχόν τε, οὔτε τὸν μεγάλων πάντων ἀξιοῦντα ἑαυτὸν, οὔτε τῶν μηδενὸς ὅμως, ἀλλὰ τὸν τὸ δέον ἀφ' ἑκάστου λαμβάνοντα, καὶ εἰς τὸ κατ' ἀξίαν· μεγαλοπρεπῆ τε, οὔτε τὸν πάντοτε, καὶ ἔνθα μὴ δεῖ λαμπρὸν, οὔτε τὸν μηδαμοῦ, ἀλλὰ τὸν κατὰ καιρὸν ἁρμόττοντα εἰς ἕκαστον. τοιοῦτον μὲν τὸ τῆς ἠθικῆς ἀρετῆς εἶδος παθητικὸν, καὶ κατὰ μεσότητα θεωρούμενον, ὃ δὴ καὶ τὴν ἀντακολουθίαν ἔχει, πλὴν οὐχ ὁμοίως, ἀλλ' ἡ μὲν φρόνησις ταῖς καθηκαῖς κατὰ τὸ ἴδιον, αὗται δ' ἐκείνῃ κατὰ συμβεβηκόν. ὅτι μὲν γὰρ δίκαιός ἐστι καὶ φρόνιμος, ὁ γὰρ τοιόσδε αὐτὸν λόγος εἰδοποιεῖ, οὐ μὴν ὅτι φρόνιμος καὶ δίκαιος, ἀλλ' ὅτι τῶν καλῶν κἀγαθῶν κοινὸς πρακτικὸς, φαύλου δ' οὐδενός.

Περὶ παθῶν ψυχῆς.

Τῶν δὲ παθῶν καὶ ὁρμῶν τὰ μὲν εἶναι ἀστεῖα, τὰ δὲ φαῦλα, τὰ δὲ μέσα. ἀστεῖα μὲν, φιλίαν, χάριν, νέμεσιν, αἰδῶ, θάρσος, ἔλεον· φαῦλα δὲ, φθόνον, ἐπιχαιρεκακίαν, ὕβριν· μέσα δὲ, λύπην, φόβον, ὀργὴν, ἡδονὴν, ἐπιθυμίαν. τούτων δὲ τὰ μὲν αἱρετέον καθάπαξ, τὰ δὲ ὁριστέον. πᾶν δὲ πάθος περὶ ἡδονὴν συνίσταται καὶ λύπην, διὸ καὶ περὶ ταύτας τὰς ἠθικὰς ἀρετὰς ὑπάρχειν· φιλαργυρίαν δὲ, καὶ φιληδονίαν, καὶ ἐρωτομανίαν, καὶ τὰ τοιαῦτα, ἕξεις εἶναι ἀλλοίας παρὰ τὰς κακίας. ἔρωτα δ' εἶναι τὸν μὲν φιλίας, τὸν δὲ συνουσίας, τὸν δὲ ἀμφοῖν· διὸ καὶ τὸν μὲν σπουδαῖον, τὸν δὲ φαῦλον, τὸν δὲ μέσον.

Περὶ φιλίας.

Τῆς φιλίας δ' εἶναι διαφορὰς τέσσαρας, ἑταιρικὴν, συγγενικὴν, ξενικὴν, ἐρωτικήν. εἰ δὲ καὶ τὴν εὐεργετικὴν καὶ θαυμαστικὴν συγκαταριθμητέον, λόγου δεῖ. ἀρχὴν δὲ τῆς μὲν ἑταιρικῆς εἶναι τὴν συνήθειαν, τῆς δὲ συγγενικῆς τὴν φύσιν, τῆς δὲ ξενικῆς τὴν χρείαν, τῆς δὲ ἐρωτικῆς τὸ πάθος, τῆς δὲ εὐεργετικῆς τὴν χάριν, τῆς δὲ θαυμαστικῆς τὴν δύναμιν. πασῶν συλλήβδην εἶναι τέλη τρία, τὸ καλὸν, τὸ συμφέρον, τὸ ἡδύ. πάντα γὰρ τὸν ὁπωσοῦν πρὸς φιλίαν ἰόντα διά τι τούτων ἢ διὰ πάντα, τὴν φιλίαν αἱρεῖσθαι. προτέραν μὲν οὖν, ὡς προέφην, εἶναι τὴν πρὸς ἑαυτὸν φιλίαν, δευτέραν δὲ τὴν πρὸς τοὺς γεναμένους, ἐφεξῆς δὲ τὰς πρὸς τοὺς ἄλλους οἰκείους, καὶ ὀθνείους· διὸ καὶ ἐν μὲν τῇ πρὸς ἑαυτὸν εὐλαβεῖσθαι δεῖ τὴν ὑπερβολὴν, ἐν δὲ τῇ πρὸς τοὺς ἄλλους, τὴν ἔλλειψιν· τὸ μὲν γὰρ φιλαυτίας, τὸ δὲ φειδωλίας ἔχει διαβολήν.

ἀλήθεια, μεγαλοψυχία, μικροψυχία, χαυνότης, μεγαλοπρέπεια, σαλακωνία. *Horum enim habituum alios per inopiam vel abundantiam malos esse, alios per mediocritatem probos. Nam nec temperantem esse, qui vel nihil cupiat, vel omnia, cùm alter lapidis more ne naturalia quidem appetat, alter nimia cupiditate reddatur intemperans, sed qui honesta tempore ac modo cum ratione cupiat; nec mansuetū, qui vel omni, vel nulla de causa irascatur, sed qui medio præditus sit habitu; nec fortem, qui vel nihil, ne Deum quidem, vel omnia, etiam umbram timeat; nec iustum, qui vel nimium vel parum sibi tribuat, sed qui æquale, idq; secundum proportionem, non secundum numerum; nec liberalem, qui vel omnia, vel nihil donet; nec magnanimū, qui vel omnibus magnis, vel nullo dignum se putet, sed qui decorū consideret; nec magnificum, qui vel ubiq. vel nusquam sit splendidus; sed qui loco ac tempore. Ac tale quidem esse virtutum genus in mediocritate positum, & inter se consequens, nō tamen similiter, cùm prudētia quidem reliquas secundum proprium, reliqua autem ipsam secundum euentum consequātur: siquidem quòd iustus quis sit, etiam prudentē esse, non contrà.*

De affectibus.

Affectus autem & appetitus alios esse probos, alios improbos, alios medios: probos quidē amicitiam, gratiam, indignationem, pudorem, fidentiam, misericordiam; improbos autem inuidiam, maleuolentiam, iniuriam; medios verò dolorem, metum, iram, voluptatem, cupiditatem. Omnem autem affectum circa voluptatem ac dolorem versari, ideoq; ab his virtutes pendere. At φιλαργυρίαν, φιληδονίαν, ἐρωτομανίαν, *& similia, habitus esse à vitiis diuersos. Amorem quidē alium esse amicitiæ, alium congressus, alium utriusque, ideoq; primum probum esse, alterum improbum, tertium medium.*

Amicitiæ autem quatuor esse genera, sodalium, cognatorum, hospitum, amantium. an autem beneficorum etiam et admirantium sit adiungenda, inquirendū esse. Originem autem ducere primam à consuetudine, alteram à natura, tertiam ab usu, quartam ab affectu, quintam à gratia, postremam à facultate. Omnium quidem in uniuersum tres esse fines, honestū, utile, & iucundum, cùm omnes amicitiæ studiosi vel propter aliquod horū, vel propter omnia simul eam ambiant. Ac primam quidem esse cuiq; secum amicitiam, alteram autem cum parentibus, reliquas verò cum aliis familiaribus et propinquis. ideoq; in prima quidem exuperantiam, in aliis autem defectum esse vitandum, cùm illud pro philautia, hoc pro parsimonia habeatur.

Gratiam porrò tribus modis dici, vel beneficium vtile; vel remunerationem beneficij vtilem, vel memoriam beneficij. Eandem quoque in facie & sermone poni, secundum quam vel εὔχαρις *quis, vel* ἐπίχαρις *dicatur. Vitam autem secuturum probum cum virtute coniunctam, siue magistratum tempore exigente gerat, siue cum regibus degat, siue leges ferat, aut aliam quam reip. partem administret. Sin hæc non attingat, populari vitæ se dediturum, vel contemplando, vel agendo, vel, quod medium est, instituendo. Quamuis enim & actionem & contemplationem rerum præclararum sit secuturus, tamen si vtramque temporum culpa nequeat assequi, altera vsurum, præferentem quidem vitam contemplantem, remp. tamen haud negligentem. Ideoq. & vxorem ducturũ, & liberos procreaturum, & amori casto operã daturũ, & vino per occasionem se largiùs perfusurum, ac denique virtutem colendo tum vitam seruaturum, tum cogente necessitate relicturum, cùm sepulcri* [a] *secundum ritus patrios & iustorum curam gesserit. Iam vitæ* [b] *tres esse species, agentẽ, contemplantem, ac de vtraque compositam. siquidem vt voluptuaria minor quàm pro hominis dignitate censeatur, ita contemplantem reliquis præferri. Ac remp. gesturum probum consultò, non casu, cùm agẽs vita versetur in reipubl. negotiis. Cùm autem optima quidem vita sit, quæ secundum virtutem ac naturam degitur, proxima verò, quæ secundum vtrumque mediocriter se habeat; vtramq. quidem expetendam esse, fugiendam autem cum vitio coniunctam. Differre porrò in hoc vitam beatam ab honesta, quòd illa cum natura semper coniungitur, hæc nonnunquam pugnat; quodq. ad illam sola virtus non requiritur, ad hanc requiritur. Mediam autem vitam esse, quæ sit in mediocritate posita, nec officiis destituatur. Etenim rectè facta quidem in vita secundum virtutem cerni, peccata autẽ in vita secundum vitium, officia verò in medio vitæ genere. Quibus ita declaratis, hæc quoq. sunt addenda, virtutem esse habitum mediocres voluptates ac dolores expetentem, honestum, quatenus honestum est, sectantem; vitium huic repugnare; sapientiam primarum causarum scientiam; prudentiam habitum examinantem & agentem bona, quatenus bona sunt; fortitudinem habitum inter audaciam & metum inculpatum; temperantiam habitum in expetendo & fugiendo sine crimine* [c] *procedentem;* πρᾳότητα *medium* ὀργιλότητος *&* ἀναλγησίας· ἐλευθεριότητα *medium* ἀσωτίας *&* ἀνελευθερίας· μεγαλοψυχίαν *medium* χαυνότητος *&* μικροψυχίας· μεγαλοπρέπειαν *medium* φθονερίας *&* ἐπιχαιρεκακίας· σεμνότητα *medium* αὐθαδείας *&* ἀρεσκείας· αἰδῶ *medium* ἀναισχυντίας *&* καταπλήξεως·

[a] κτ pro καὶ

[b] τρεῖτας pro μετρίας.

[c] προϊοῦσαν pro ποιοῦσαν.

Περὶ χάριτος.

Χάριν λέγεσθαι τριχῶς, τὴν μὲν ὑπουργίαν ὠφέλιμον αὐτῆς ἐκείνης ἕνεκα, τὴν δ' ἀμοιβὴν ὑπουργίας ὠφέλιμον, τὴν δὲ μνήμην ὑπουργίας τοιαύτης, διὰ τοῦδε καὶ τὰς δὲ μόνας τρεῖς ὁ βίος κατεφήμισε. λέγεσθαι γὰρ χάριν καὶ τὴν ἐν ὄψει, ἢ ἐν λόγοις, καθ' ἣν τὸν μὲν εὔχαριν ὀνομάζεσθαι, τὸν δ' ἐπίχαριν. βίον δ' αἱρήσεσθαι τὸν σπουδαῖον τὸν μετ' ἀρετῆς, εἴτ' ἐφ' ἡγεμονίας ποτὲ γένοιτο, τῶν καιρῶν αὐτὸν προσαγαγόντων, εἴτ' ἐπὶ βασιλεῖ δέοι συμβιοῦν, εἴτε καὶ νομοθετεῖν, ἢ ἄλλως πολιτεύεσθαι. τούτων δὲ μὴ τυγχάνοντα, πρὸς τὸ δημοτικὸν τραπήσεσθαι σχῆμα διαγωγῆς, ἢ τὸ θεωρητικόν, ἢ μέσον, παιδευτικόν. προαιρήσεσθαι μὲν γὰρ καὶ πράττειν, καὶ θεωρεῖν τὰ καλά· κωλυόμενον δὲ περὶ ἄμφω γίνεσθαι, διὰ καιρούς, θατέρῳ χρῆσθαι, προτιμῶντα μὲν τὸν θεωρητικὸν βίον, διὰ δὲ τὸν κοινωνικὸν ἐπὶ τὰς πολιτικὰς ὁρμῶντα πράξεις· διὸ καὶ γαμήσειν, καὶ παιδοποιήσεσθαι, καὶ πολιτεύσεσθαι, καὶ ἐρασθήσεσθαι τὸν σώφρονα ἔρωτα, καὶ μεθυσθήσεσθαι κατὰ συμπεριφοράς, κἂν εἰ μὴ προηγουμένως, καὶ καθόλου τὴν ἀρετὴν ἀσκοῦντα, καὶ μένειν ἐν τῷ βίῳ, καὶ πάλιν εἰ δέοι ποτὲ δι' ἀνάγκας ἀπαλλαγήσεσθαι, ταφῆς προνοήσαντας, καὶ τὸ πάτριον ἔθος, καὶ τῶν ἄλλων ὅσα τοῖς κατοιχομένοις ἐπιτελεῖν ὅσιον. βίων δὲ τρεῖς τὰς ἰδέας εἶναι, πρακτικόν, θεωρητικόν, σύνθετον ἐξ ἀμφοῖν. τὸν μὲν γὰρ ἀπολαυστικὸν ἥττονα ἢ κατ' ἄνθρωπον εἶναι, προκρίνεσθαι δὲ τῶν ἄλλων τὸν θεωρητικόν. πολιτεύεσθαί τε τὸν σπουδαῖον προηγουμένως, μὴ κατὰ περίστασιν· τὸν γὰρ πρακτικὸν βίον τὸν αὐτὸν εἶναι τῷ πολιτικῷ. βίον δὲ κράτιστον μὲν τὸν εὖ κατ' ἀρετήν, ἐν τοῖς κατὰ φύσιν, δεύτερον δέ, τὸν κατὰ τὴν μέσην ἕξιν, τὰ πλεῖστα, καὶ κυριώτατα, τῶν κατὰ φύσιν ἔχοντα· τούτους μὲν αἱρετούς, φευκτέον δὲ τὸν κατὰ κακίαν. διαφέρειν δὲ τὸν εὐδαίμονα βίον τοῦ καλοῦ, καθόσον ὁ μὲν ἐν τοῖς κατὰ φύσιν εἶναι βούλεται διαπαντός, ὁ δὲ καὶ ἐν τοῖς παρὰ φύσιν· καὶ πρὸς ὃν μὲν οὐκ αὐτάρκης ἡ ἀρετή, πρὸς ὃν δὲ αὐτάρκης. μέσον δέ τινα βίον εἶναι, τὸν κατὰ τὴν μέσην ἕξιν· ἐν ᾧ καὶ τὰ καθήκοντα ἀποδίδοσθαι. τὰ μὲν γὰρ κατορθώματα, ἐν τῷ κατ' ἀρετὴν εἶναι βίῳ· τὰ δ' ἁμαρτήματα, ἐν τῷ κατὰ κακίαν· τὰ δὲ καθήκοντα, ἐν τῷ μέσῳ καλουμένῳ βίῳ. τεθεωρημένων δὲ τούτων, καὶ ταῦτα διαλάβωμεν, εἶναι μὲν γὰρ τὴν ἠθικὴν ἀρετήν, κοινῶς ἕξιν προαιρετικὴν τῶν μέσων ἡδονῶν τε, καὶ λυπῶν, στοχαστικὴν τοῦ καλοῦ, ᾗ καλόν· τὴν δὲ κακίαν, ὑπεναντίον εἶναι ταύτην κοινὴν δὴ δοξαστικῆς καὶ ἠθικῆς ἕξιν θεωρητικήν, καὶ προαιρετικήν, καὶ πρακτικήν, τῶν ἐν ταῖς πράξεσι καλῶν, τὴν δὲ κοινήν, ἐκ τοῦ ἐπιστημονικοῦ κοινὴν ἀκρότητα λογικῆς κατασκευῆς εἶναι θεωρητικὴν καὶ πρακτικήν· σοφίαν δέ, ἐπιστήμην τῶν πρώτων αἰτιῶν· φρόνησιν δέ, ἕξιν βουλευτικήν, καὶ πρακτικὴν ἀγαθῶν καὶ καλῶν, ᾗ καλά· ἀνδρείαν δέ, ἕξιν ἐν θάρσει καὶ φόβοις τοῖς μέσοις ἄμεμπτον· σωφροσύνην δέ, ἕξιν ἐν αἱρέσει καὶ φυγῇ ἀμέμπτως ποιοῦσαν, διὰ τὸ καλόν· πρᾳότητα δέ, ἕξιν μέσην ὀργιλότητος καὶ ἀναλγησίας· ἐλευθεριότητα δέ, μεσότητα ἀσωτίας καὶ ἀνελευθερίας· μεγαλοψυχίαν δέ, μεσότητα χαυνότητος καὶ μικροψυχίας· μεγαλοπρέπειαν δέ, μεσότητα φθονερίας καὶ ἐπιχαιρεκακίας· σεμνότητα δέ, μεσότητα αὐθαδείας καὶ ἀρεσκείας· αἰδῶ δέ, μεσότητα ἀναισχυντίας καὶ καταπλήξεως· εὐτρα-

πελίαν δὲ, βωμολοχίας καὶ ἀγροικίας· φιλίαν δὲ, μεσότητα καλοκαγαθίας καὶ ἔχθρας· ἀλήθειαν δὲ, μεσότητα εἰρωνείας καὶ ἀλαζονείας· δικαιοσύνην δὲ, μεσότητα ὑπεροχῆς καὶ ἐλλείψεως, καὶ πολλοῦ, καὶ ὀλίγου. πολλὰς δὲ καὶ ἄλλας οὔσας ἀρετὰς, τὰς μὲν καθ' αὑτὰς, τὰς δ' ἐν εἴδεσι τῶν εἰρημένων· οἷον ὑπὸ μὲν τὴν δικαιοσύνην, εὐσεβείας, ὁσιότητος, εὐκοινωνησίας, εὐσυναλλαξίας· ὑπὸ δὲ τὴν σωφροσύνην, εὐκοσμίας, εὐταξίας, αὐταρκείας· ἐπιδραμεῖν οὐκ ἄτοπον καὶ τοὺς τούτων ὅρους. εὐσέβειαν μὲν οὖν εἶναι ἕξιν θεῶν καὶ δαιμόνων θεραπευτικὴν, μεταξὺ οὖσαν ἀθεότητος καὶ δεισιδαιμονίας· ὁσιότητα δὲ, ἕξιν δικαίων τῶν πρὸς τοὺς θεοὺς, καὶ κατοιχομένους τηρητικὴν, μεταξὺ ἀνοσιότητος οὖσαν καὶ ἀνωνύμου τινός· χρηστότητα δὲ, ἕξιν ἑκουσίως εὐποιητικὴν ἀνθρώπων αὐτῶν οἰκείων χάριν, μεταξὺ πονηρίας οὖσαν καὶ ἀνωνύμου· εὐκοινωνησίαν δὲ, ἕξιν ἀμέμπτους ὅθεν κοινωνία παρεχομένην, μεταξὺ ἀκοινωνησίας οὖσαν καὶ ἀνωνύμου· εὐσυναλλαξίαν δὲ, ἕξιν εὐλαβητικὴν τῆς ἐν τοῖς συμβαλλομένοις ἀδικίας, μεταξὺ συναλλαξίας οὖσαν καὶ ἀνωνύμου (τὸν δὲ ἀνώνυμον, κατὰ τὸ ἀκροδίκαιον εἶναί πως.) εὐκοσμίαν, ἕξιν στοχαστικὴν τοῦ περὶ τάξιν καλοῦ, μεταξὺ ἀταξίας οὖσαν καὶ ἀνωνύμου· αὐτάρκειαν δὲ, ἕξιν ἀρκουμένην τοῖς τυχοῦσι μετ' ἐλευθεριότητος, μεταξὺ πτωχείας οὖσαν καὶ πολυτελείας· εὐψυχίαν δὲ, ἕξιν ἀήττητον ἐν δειναῖς ὑπομοναῖς, μεταξὺ ἀψυχίας καὶ ἀριμαχιότητος· φιλοπονίαν, ἕξιν ἀνένδοτον πόνοις, ἐξεργαστικὴν τοῦ καλοῦ, μεταξὺ μαλακίας τε καὶ ματαιοπονίας. τὴν δ' ἐκ πασῶν τῶν ἠθικῶν ἀρετὴν συνεστηκυῖαν λέγεσθαι μὲν καλοκαγαθίαν, τελείαν δὲ ἀρετὴν εἶναι, τά τε ἀγαθὰ ὠφέλιμα καὶ καλὰ ποιοῦσαν, τά τε καλὰ δι' αὑτὰ αἱρουμένην.

Διωρισμένων δ' ἱκανῶς τῶν περὶ τὰς ἀρετὰς, καὶ σχεδὸν τῶν πλείστων ἀνειλημμένων κεφαλαίων τοῦ ἠθικοῦ τόπου, ἀναγκαῖον ἐφεξῆς καὶ περὶ τοῦ οἰκονομικοῦ τε καὶ πολιτικοῦ διελθεῖν, ἐπειδὴ φύσει πολιτικὸν ζῶον ἄνθρωπος. πολιτεία δὲ πρώτη, σύνοδος ἀνδρὸς καὶ γυναικὸς κατὰ νόμον ἐπὶ τέκνων γενέσει, καὶ βίου κοινωνία· τοῦτο δὲ προσονομάζεται μὲν οἶκος, ἀρχὴ δὲ πόλεως ἐστὶ, περὶ οὗ δὴ καὶ λεκτέον. μικρὰ γάρ τις ἔοικεν εἶναι πόλις, ὁ οἶκος. εἴ γε κατ' εὐχὴν αὐξομένου τοῦ γάμου, καὶ τῶν παίδων ἐπιδιδόντων, καὶ συνδυαζομένων ἀλλήλοις, ἕτερος οἶκος ἀφίσταται· καὶ τρίτος οὕτω, καὶ τέταρτος. ἐκ δὲ τούτων κώμη, καὶ πόλις. πλειόνων γὰρ γινομένων κωμῶν, πόλις ἀποτελεῖται. διὸ καὶ τὰ σπέρματα καθάπερ τῆς γενέσεως τῇ πόλει παρέχει ὁ οἶκος, οὕτω καὶ τῆς πολιτείας. καὶ γὰρ βασιλείας ὑπογραφὴν εἶναι περὶ τὸν οἶκον, καὶ ἀριστοκρατίας, καὶ δημοκρατίας. γονέων μὲν γὰρ πρὸς τὰ τέκνα κοινωνίαν τὸ σχῆμα βασιλικόν· ἀνδρῶν πρὸς γυναῖκας, ἀριστοκρατικόν. συνέρχεται γὰρ τὸ θῆλυ τῷ ἄρρενι, κατὰ πρόθεσιν τεκνώσεως, καὶ τῆς τοῦ γένους διαμονῆς. ἐφίεσθαι γὰρ ἑκάτερον γεννήσεως. συνελθόντων δὲ, καὶ συνεργὸν τῆς κοινωνίας προσλαβομένων, εἴ τε φύσει δοῦλον, ἰσχυ-

ἐξαπελίαν medium βωμολοχίας & ἀγροικίας· φιλίαν medium καλοκαγαθίας & ἔχθρας· ἀλήθειαν medium εἰρωνείας & ἀλαζονείας· iustitiam medium exuperantia & defectus. Cùm porrò alia quoque numerentur virtutes, partim per se posita, partim sub prioribus, ut sub iustitia quidem εὐσέβεια, ὁσιότης, χρηστότης, εὐκοινωνησία, εὐσυναλλαξία· sub temperantia autem εὐκοσμία, εὐταξία, αὐτάρκεια, εὐψυχία, φιλοπονία. harum quoque definitiones nihil vetabit addere. Εὐσέβειαν igitur volunt esse habitum deos ac dæmones colentē, medium ἀθεότητος & δεισιδαιμονίας· ὁσιότητα habitum iuris erga deos ac mortuos seruantem, medium ἀνοσιότητος & nomine carentis; χρηστότητα habitum sponte hominibus [d] ipsorum causa benefacientem, medium πονηρίας et nomine carentis; εὐκοινωνησίαν habitum gratos homines in societate præstātem, medium ἀκοινωνησίας & nomine carentis; εὐσυναλλαξίαν habitum iniustitiæ in contractibus fugientem, medium ἀσυναλλαξίας & nomine carentis; (quæ quidem nomine careant, ad summum ius pertinere) εὐκοσμίαν habitū ordinem sectantem; medium ἀταξίας & nomine carentis; αὐτάρκειαν habitum præsentibus cum liberalitate contentum, medium πτωχείας & πολυτελείας· εὐψυχίαν habitum in grauibus perferendis inuictū, medium ἀψυχίας & ἀριμαχιότητος· φιλοπονίαν habitum sine fatigatione præclara peragentem, medium μαλακίας & ματαιοπονίας. Postremò de omnibus compositam virtutem probitatem quidem dici, perfectam autem esse, cùm bona reddentem honesta & utilia, tum honesta propter se expetentem.

[d] οἰκείων pro οἰκείων

Cùm verò satis iam explicatæ sint virtutes, ac pleraque morum doctrinæ capita pertractata; reliquum est de re familiari & publica dicere, quandoquidem natura politicum animal est homo. Prima sanè resp. legitimus est viri & mulieris cōgressus ob liberorum procreationem & vitæ societatem. Atque hoc ut familia vocatur, ita ciuitatis est initium, de quo dicere statuimus. Etenim parua quædam ciuitas videtur familia esse. quandoquidem pro voto succedentibus nuptiis, & liberis succrescentibus atque inter se coniunctis, altera deducitur familia, nec non tertia, & quarta. de his porrò vicinia constituitur et ciuitas, quoniam plures viciniæ ciuitatem conficiunt. Quocirca quemadmodum [e] ortus semina præbuit ciuitati familia, sic etiam reipublicæ. siquidem & regni forma in familia cernitur, & optimatium imperij, & popularis status. Nam parentum quidem cum liberis societas regni formam gerit, virorum autem cum mulieribus, optimatium, quandoquidem mulier cum viro liberorū causa congreditur, utroque gignere cupiente, assumto verò ad societatem vel natura seruo,

[e] γενέσεως pro γνώσεως.

 ut

vt corpore ad ministerium valente, ita tardita-te dominum requirente, vel etiam lege, de hoc in idem conuentu, omniumq́; in communem vsum labore familia cõstituitur. Atq. huius principatum natura vir habet, quãdo consilium mulier quidem deterius habet, pueri autem nondum, serui verò nunquam, viro deniq. tota rei familiaris prudentia tribuitur. Eo porrò partim est paterno, partim nuptialis, partim herilis, partim acquirens. Quemadmodum enim exercitus apparatum, ciuitas vectigalia, ars instrumenta, sic familia necessaria requirit, cùm ad communem vitam, tum ad commodum. Quapropter horum primam debet curam paterfamilias gerere, ac tum reditus honestis modis augere, tum sumtus minuere. Quod cùm præcipuum sit rei familiaris caput, multarum debet ille rerũ habere peritiã, vt agriculturæ, ouium alendarum, rei metallicæ, quò citra cuiusquam iniuriam vtilitatem suam procuret. Rei quidẽ acquirendæ ratio alia præstantior est, alia deterior; illa natura, hæc arte constans.

Atq. hæc quidem de re familiari dixisse sufficiat; nunc de rep. breuiter dicemus. Primùm quidem ciuitates tum ob naturalem hominum ad societatem propensionem, tum propter vtilitatem constitutæ sunt. Deinde perfectissima societas ciuitas est: ac ciuis quidem, qui magistratus est particeps; ciuitas autem talium virorũ iustus numerus. is verò hactenus protenditur, quatenus nec secum dissentiens, nec cõtemnenda reddatur ciuitas, verùm et vitam commodè tolerare, & hostes facilè propulsare possit. Est enim prudentia alia rei familiaris, alia legumlationis, alia reip. alia militiæ. Præsunt autem ciuitatibus vel vnus, vel pauci, vel omnes; idq́; vel rectè, vel secus: rectè quidem, cùm principes communem spectant vtilitatem, secus autẽ, cùm propriam. Ac regnum quidem, optimatiũ imperium, & popularis status rectè se habent; tyrannis autem, paucorum imperium, & multitudinis dominatus secus. Atq. etiam mixtũ quoddam de bonis rebusp. constituitur imperiũ. Cùm autem sæpe resp. in melius vel deterius mutentur, optima quidẽ est, quæ secũdum virtutem dirigitur, pessima verò, quæ secundum vitium. Iam qui imperent, vel consulant, vel iudicẽt, in democratia quidem de omnibus, aut suffragiis aut sorte, in oligarchia autem de opulentioribus, in aristocratia verò de melioribus desumũtur. Seditiones porrò in ciuitatibus vel secundum rationẽ, vel secundum affectum existunt: secundum illam quidem, cùm æquales ad
sanum pro som.
inæqualia rediguntur; secundum hunc autem propter honorem, imperium, aut lucrum. Intereunt autem resp. vel vi, vel dolo; quemadmodũ diutiùs, quæ communem spectant vtilitatem, consistunt. Ac iudicia, curiæ, conciones, & magistratus pro reip. genere constituuntur.

ρὸν μὲν τῷ σώματι πρὸς ὑπηρεσίαν, νωθῆ δὲ καὶ καθ' ἑαυτὸν ἀδύνατον διαζῆν, ᾧ τὸ ἄρχεσθαι συμφέρει, εἴ τι καὶ νόμῳ, δοῦλον ἐκ τῆς ἐπὶ τὸ αὐτὸ συνόδου, καὶ τῆς πάντων πρὸς ἓν συμφέρον προθυμίας, οἶκον συνίστασθαι. τούτου δὲ τὴν ἀρχὴν κατὰ φύσιν ἔχειν τὸν ἄνδρα. τὸ γὰρ βουλευτικὸν ἐν γυναικὶ μὲν χεῖρον, ἐν παισὶ δ' οὐδέπω, περὶ δούλους οὐδ' ὅλως, τὴν δ' οἰκονομικὴν φρόνησιν, διοικητικὴν οὖσαν αὐτοῦ τε καὶ τῶν κατ' οἶκον, οἰκείαν ἀνδρὸς ὑπάρχειν. ταύτης δὲ τὸ μὲν εἶναι πατρικὸν, τὸ δὲ γαμικὸν, τὸ δὲ δεσποτικὸν, τὸ δὲ χρηματιστικόν. δεῖν γὰρ ὥσπερ στρατιᾷ μὲν παρασκευῆς, πόλει δὲ προσόδων, τέχνῃ δ' ὀργάνων, οὕτω καὶ οἴκῳ τῶν ἀναγκαίων. διττὰ δὲ ταῦτα, πρός τε τὸ κοινότερον ζῆν, καὶ πρὸς τὸ εὖ. τούτων γὰρ πρῶτον ἔχειν δεῖ πρόνοιαν τὸν οἰκονομικὸν, καὶ τὰς προσόδους αὔξοντα διὰ πόρων μὲν ἐλευθερίων, ἢ τὰ δαπανήματα συστέλλοντα. μέγιστον δὴ τοῦτο τὸ κεφάλαιον τῆς οἰκονομικῆς. διὸ καὶ πολλῶν ἔμπειρον εἶναι τὸν οἰκονομικὸν, γεωργίας, προβατείας, μεταλλείας, ἵνα τὰς λυσιτελεστάτους ἅμα καὶ δικαιοτάτους διαγινώσκῃ. τῆς δὲ χρηματιστικῆς τὴν μὲν εἶναι κρείττω, τὴν δὲ χείρω. κρείττω μὲν, τὴν φύσει γιγνομένην· χείρω δὲ, τὴν διὰ καπηλικοῖς.

Α'πόχρη περὶ δὲ πολιτικῆς ταῦτ' ἂν εἴη κεφάλαια· πρῶτον μὲν, ὅτι συνέστησαν αἱ πόλεις τῇ μὲν διὰ τὸ φύσει κοινωνικὸν εἶναι τὸν ἄνθρωπον, τῇ δὲ διὰ τὸ συμφέρον. εἶτα ὅτι ἡ τελειοτάτη κοινωνία πόλις ἐστὶ, καὶ ὅτι πολίτης ἐστὶν ᾧ μέτεστι πολιτικῆς ἀρχῆς, πόλις δὲ τὸ ἐκ τῶν τοιούτων πλῆθος ἱκανὸν πρὸς αὐτάρκειαν ζωῆς· τοῦ δὲ πλήθους ὅρον εἶναι τοιοῦτον, ὥστε τὴν πόλιν ἀσυμπαθῆ, μήτ' εὐκαταφρόνητον ὑπάρχειν, παρασκευάσασθαι δὲ καὶ τὰ πρὸς ζωὴν ἀνενδεῶς, καὶ τὰ πρὸς τοὺς ἔξωθεν ἐπιόντας ἱκανῶς. εἶναι γὰρ τῆς φρονήσεως τὸ μὲν οἰκονομικὸν, τὸ δὲ νομοθετικὸν, τὸ δὲ πολιτικὸν, τὸ δὲ στρατηγικόν. οἰκονομικὸν μὲν, ὡς εἶπον, τὸ διοικητικὸν αὐτοῦ τε καὶ τῶν περὶ οἶκον· νομοθετικὸν δὲ, τὸ περὶ τὴν θεωρίαν καὶ διοίκησιν τῶν στρατοπέδων συμφερόντων. ἄρχειν δ' ἀναγκαῖον τῶν πόλεων ἢ ἕνα, ἢ ὀλίγους, ἢ πάντας. τούτων δ' ἕκαστον ὀρθῶς, ἢ φαύλως ἔχειν. ὀρθῶς μὲν, ὅταν οἱ ἄρχοντες τοῦ κοινοῦ συμφέροντος στοχάζωνται· φαύλως δὲ, ὅταν τοῦ ἰδίου. τὸ δὲ φαῦλον, παρέκβασιν εἶναι τοῦ ὀρθοῦ. βασιλείαν μὲν οὖν, καὶ ἀριστοκρατίαν, καὶ δημοκρατίαν ἀφίεσθαι τῶν ὀρθῶν· τυραννίδα δὲ, καὶ ὀλιγαρχίαν, καὶ ὀχλοκρατίαν, τῶν φαύλων. γίγνεσθαι δέ τινα καὶ μικτὴν ἐκ τῶν ὀρθῶν πολιτειῶν ἀρχήν. μεταβάλλειν δὲ τὰς πολιτείας πολλάκις πρὸς τὸ ἄμεινον, καὶ τὸ χεῖρον· καθόλου δ' ἀρίστην εἶναι πολιτείαν, τὴν κατ' ἀρετὴν διακεκοσμημένην· χειρίστην δὲ τὴν κατὰ κακίαν. ἄρχειν δὲ, καὶ βουλεύειν, καὶ δικάζειν, ἐν μὲν ταῖς δημοκρατίαις ἐκ πάντων, ἢ αἱρέσει, ἢ κλήρῳ· ἐν δὲ ταῖς ὀλιγαρχίαις, ἐκ τῶν εὐπόρων· ἐν δὲ ταῖς ἀριστοκρατίαις, ἐκ τῶν ἀρίστων. στάσεις δ' ἐν ταῖς πόλεσι γίγνεσθαι, τὰς μὲν κατὰ λόγον, τὰς δὲ κατὰ πάθος. κατὰ λόγον μὲν, ὅταν οἱ ἴσοι ὄντες, ἴσα ἔχειν ἀναγκάζωνται· κατὰ πάθος δὲ, διὰ τιμὴν, ἢ φιλαρχίαν, ἢ κέρδος, ἢ φιλαρχίαν, ἢ εὐπορίαν. καταλύεσθαι δὲ τὰς πολιτείας διὰ δύο αἰτίας, ἢ βίᾳ, ἢ ἀπάτῃ. μονιμωτέρας δὲ γίγνεσθαι, τὰς τοῦ κοινοῦ συμφέροντος ἐπιμελουμένας. δικαστήρια δὲ, καὶ βουλευτήρια, καὶ ἐκκλησίας, καὶ ἀρχὰς, διαιρεῖσθαι τῶν πο-

λιτείαις

λιτείαις οἰκείαις. κοινοτάτας δ' ἀρχὰς εἶναι, ἱερωσύνην θεῶν, στρατηγίαν, ναυαρχίαν, ἀγορανομίαν, γυμνασιαρχίαν, γυναικονομίαν, παιδονομίαν, ἀστυνομίαν, ταμιείαν, νομοφυλακίαν, πρακτορείαν. τούτων δ' εἶναι τὰς μὲν κατὰ πόλεις, τὰς δὲ περὶ τοὺς λιμένας, καὶ τὰς ἐμπορείας. πολιτικοῦ δ' ἀνδρὸς ἔργον εἶναι, καὶ τὸ διορθῶσαι πολιτείαν· ὃ πολὺ χαλεπώτερον φαίνεται τοῦ κτῆσαι· καὶ τὸ διανεῖμαι τοῦ πλήθους τῶν ἀνθρώπων, τὸ μὲν πρὸς τἀναγκαῖα, τὸ δὲ πρὸς τὰ σπουδαῖα. δημιουργοὺς μὲν γὰρ, καὶ θῆτας, καὶ γεωργοὺς, καὶ ἐμπόρους, πρὸς τὸ ἀναγκαῖον, ὑπηρέτας γὰρ εἶναι τοῖς πολιτικοῖς τούτους· τὸ δὲ μάχιμον πᾶν, καὶ βουλευτικὸν, κυριώτερον εἶναι, διὰ τὸ καὶ ἀρετῆς ἐπιμελεῖσθαι, καὶ περὶ τὰ καλὰ σπουδάζειν. τούτων δὲ τὸ μὲν πρεσβύτερον προβουλεύειν, τὸ δὲ γεραρώτερον θεραπεύειν τὸ θεῖον, τὸ δὲ νέον ἅπαν προπολεμεῖν. ταύτην δ' ἀρχαίαν πάνυ τὴν διάταξιν, αἰγυπτίων πρώτων κατασησαμένων, πολιτικῶν δὲ καὶ τῶν ἄλλων οὐχ ἧττον, καὶ τὸ τὰ ἱερὰ τῶν θεῶν ἐν τοῖς ἐπιφανεστάτοις ἱδρύεσθαι τόποις· καὶ τὸ τῆς τῶν ἰδιωτῶν χώρας, τὸ μὲν ἕτερον πρὸς ταῖς ἐσχατιαῖς διατετάχθαι, τὸ δ' ἕτερον πρὸς τῇ πόλει. ἵνα δύο κλήρων ἑκάστῳ νεμηθέντων, ἀμφότερα τὰ μέρη τῆς χώρας συνοικειούμενα ὑπάρχῃ. χρήσιμον δὲ καὶ τὸ νομοθετεῖν συσσίτια ποιεῖσθαι· καὶ τὸ περὶ τῆς κοινῆς παιδείας τῶν τέκνων σπουδάζειν· καὶ τὸ πρὸς τὴν ῥώμην τῶν σωμάτων καὶ τελειότητα δεῖν μήτε νεωτέρους ἄγαν, μήτε πρεσβυτέρους τοὺς γάμους ποιεῖσθαι, ἀτελῆ γὰρ γίγνεσθαι κατ' ἀμφοτέρας τὰς ἡλικίας, καὶ τελείως ἀσθενῆ τὰ ἔκγονα· καὶ τὸ νομοθετεῖν δὲ, μηδὲν ἐκτρέφειν πεπηρωμένον, μηδ' ἐκτιθέναι τέλειον, μηδ' ἐξαμβλοῦν, συμφορώτατον δή που. καὶ τῶν μὲν πολιτικῶν τὰ κεφάλαια ταῦτα.

Περὶ τῶν ἐφ' ἡμῖν.

φιλήμονος. Ὅσα διὰ τοὺς πράττοντας αὐτοὺς γίγνεται,
Οὐδενὶ πρόσεστιν οὐδὲ κοινωνεῖν τύχῃ.

εὐριπ. πελιάσι. Οὐκ ἔστι τὰ τῶν θεῶν ἄδικα, ἐν ἀνθρώποισι δὲ
Κακοῖς νοσοῦντα σύγχυσιν πολλὴν ἔχει.

μενάνδρου. Εἰ πάντες ἐβοηθοῦμεν ἀλλήλοις ἀεὶ,
Οὐδεὶς ἂν ὢν ἄνθρωπος ἐδεήθη τύχης.

εὐριπ. πειρίθῳ. Ὁ πρῶτος εἰπὼν, οὐκ ἀγυμνάστῳ φρενὶ
Ἔρριψεν, ὅστις τόνδ' ἐκαίνισεν λόγον,
Ὡς τοῖσιν εὖ φρονοῦσι συμμαχεῖ τύχη.

μενάνδρῳ. Ἀδύνατον ὡς ἔοικε τὸ σῶμα τῆς τύχης·
Οἱ μὴ φέροντες δὲ κατὰ φύσιν τὰ πράγματα,
Τύχην προσαγορεύουσι τὸν ἑαυτῶν τρόπον.

φιλήμονος παγκρατ. Καί τοί τι πράττειν οὐ μόνον τὰς ἐλπίδας
Ἐπὶ τύχῃ παιδίον πάντως ἔχειν,
Ὧν βούλεταί τις· ἀλλὰ καὶ τὸ τῇ τύχῃ
Συλλαμβάνεσθαι ῥᾷον ἡ τύχη ποιεῖ,
Καὶ ἐὰν μεθ' ἑτέρου τοῦτο μὴ μόνη ποιῇ.

μενάνδρῳ. Ἀτύχημα καὶ ἀδίκημα διαφορὰν ἔχει.
Τὸ μὲν γὰρ διὰ τύχην γίγνεται, τὸ δ' αἱρέσει.

εὐριπ. ὀρέστ. Σὺ νῦν διάφερε τῶν κακῶν, ἔξεστι γὰρ,
Καὶ μὴ μόνον φρόνει, ἀλλὰ καὶ φρόνει τάδε.

μενάνδρῳ ῥαπιζομένῳ. Ὁ μὴ δεχόμενος τῶν θεῶν τὸ σύμφορον,
Αὐτοὶ διδόντων ἕνεκα τοῦ ζῆν, οὐ βούλεται,
Τὸ δ' ἀτυχεῖν, ἢ τὸ μὴ θεὸς δίδωσιν,
Οὐ τρόπου δ' ἐσθ' ἁμάρτημα.

αἰσχύλου. Κοινὸν τύχη, γνώμη δὲ τῶν κεκτημένων,

Sunt quidem vulgatissimi magistratus, sacerdotium, pratura, adilitas, gymnasiorum, mulierum, puerorum, & vrbis prafectura, quastura, legum custodia; quorum alij ad ciuitates, alij ad portus & mercaturas referuntur. Est autem viri politici, cùm remp. emendare, id quod multo difficilius est quàm constituere; tum alteram multitudinis partem in necessaria, alteram in honesta tribuere. Etenim opifices quidem, agricola, & mercatores ad necessaria referuntur, cùm inseruiant reipublica; milites autem & senatores, cùm & virtutem colant, et res praclarius gerant, prastantiores ducuntur. Ac de his senes quidē consulant, sacerdotes autem deos colant, iuuenes verò bellum gerant. Hic sanè ordo perantiquus est, ab AEgyptiis primùm constitutus, qui cùm alia rectè disposuerūt, tum vt deorum templa in editissimis constitucrentur locis; vtq; priuatorum agri partim ad fines regionis, partim ad vrbem locarentur, quò sic duabus vnicuique tributis partibus, vtraque regionis pars secum coniungeretur. Vtiliter quoque pracipiunt leges sodalitates instituì, & communis liberorum institutionis curam geri, corporumq; roboris causa nec iuniores iūsti, nec seniores matrimonio iungi, quòd ætas vtraque debiles gignat liberos; tum nec mutilum quicquam tolli, nec perfectum exponi, neque abortus procurari. Atque hac hactenus de republica.

De iis quæ sunt in nostra potestate.

Quacunq. fieri per homines ipsos solent, — Philem.
In his nihil Fortuna iuris possidet.

Iniusta non sunt numina, at mortalium — Eurip. Peliad.
Mentes inepta plurimas turbas cient.

Quòd si iuuaret semper alter alterum; — Menand.
Fortuna nulli deforet mortalium.

Quicunq. primus dixit, haud dixit malè, — Eurip. Pirith.
Prudentibus prodesse fortunam leuem.

Haud corpus vllum extare Fortuna potest. — Menand.
Quicunq. rerum ferre non didicit vices,
Mores vocauit ipse Fortunam suos.

Quisquis etenim res gerere praclaras cupit; — Philem. Panctar.
Non vt puer spectare Fortunam potest:
Sed propriam iuuare fortunam decet.

Iniuria hoc differt ab infortunio, — Menand.
Quòd alterum mens, alterum casus parit.

Tum tute differ à malis, quando licet: — Eurip. Oreste.
Nec loquere tantùm, sed etiam senti secus.

Qui porrigentibus nequit diis commoda — Menand. Verberar.
Sumere, quid est cur cupiat auo perfrui:
At miseria sunt causa mores, non Deus.

Fortuna cunctis, sana mens paucis datur. — AEschyli.

Pleraq. homines sibi sponte consciscunt mala.

Eurip. Varios amores vita nostra continet.
Namq. alius horum nobilis haberi cupit:
Alius vocari diues expetit magis:
Alium iuuat suadere quæ damnum ferant:
Nec turpe desunt vsque sectantes lucrum.
Adeò referta errore vita degitur.
At nihil ego horum, sed bonam famam expeto.

Hom. Odyss. Si noxam tolles, Ithacam ex discrimine cernes:
Sin noceas, tum pernicies te certa sequetur.

Hom. Il. Nam me diua refert genitrix pedibus Thetis albis
Ad mortis metas geminam deducere sortem.
Quòd si Troianã remanens pugnauero ad vrbẽ,
Interiit reditus, sed erit laus immortalis:
Sin patriam repeto, periit laus illa perennis,
Sed longum deinceps vita extendetur in æuum.

Demosth. De corona. Etenim quæ viros fortes decebant, à cunctis gesta sunt; quam autem cuique fortunam Deus tribuit, eam sortitus est.

Democr. Fortunæ simulacrum homines, prætexentum imprudentiæ suæ, finxerunt; quandoquidem parum resistit prudentiæ fortuna, at pleraque prudens animus in vita moderatur.

Anaximenis. Quod in humana vita ratione caret, fortunã solemus vocare. Si enim consilio cuncta gererentur, fortunæ nomen haud extaret.

Epandridis. Prudentia fortunam plerumque conciliat, nõ fortuna prudentiam.

Prudens est, qui per se felix est; beatus, qui per fortunam.

Thucyd. lib. 1. Nemini vitio datur suis rebus in maximis periculis consulere.

Diogenes videbatur sibi videre fortunã ipsum intuentem, ac dicentem,
Ast hunc non potui tetigisse canem rabiosum.

Epicteti. Morbus est corporis impedimentum, institutè non itẽ, nisi ipse velis. Claudicatio pedis est impedimentum: instituti non item. Quod si singulis in rebus, quæ incidũt, consideraris: inuenies eas alterius cuiuspiam rei, non tui, esse impedimentũ.

paulo antè. Ne postules, ea quæ fiunt, arbitratu tuo fieri: sed si sapis, ita fieri quæq. velis, vt fiunt.

Critonis Pythag. De prudẽtia. Etenim Deus hominẽ sic fabricatus est, vt nec potestate nec voluntate à rerum præclararum appetitione abhorreret. Tale namq. insevit illi principium, quod et potestatem & voluntatem simul contineret, sic vt potestatis quidem et possessionis bonorum causam ipse præbeat, appetitus autem et secundum rectam rationem impetus Deus: ideoq. in cælum erectũ eum finxit, visumq. ei talem indidit, mentem dictam, quo Deum conspiceret. siquidem nec absq. Deo licebat optimum consequi, nec absq. mente Deum conspicere, quandoquidem omne mortale natura imprudẽtiæ est obnoxium, non eam Dei dono, quàm ortus proprietate, & animi impetu.

Plutarch. An futurorũ scientia sit vtilis. Neque imperitus est Nestor, cùm nauium custodes dormire vetat;

Τὰ πλεῖστα θνητοῖς τῶν κακῶν αὐθαίρετα.

Ἔρωτες ἡμῖν εἰσὶ παντοῖοι βίου. — εὐριπίδ.
Ὁ μὲν γὰρ εὐγένειαν ἱμείρεται λαβεῖν,
Τῷ δ' οὐχὶ τούτου φροντὶς, ἀλλὰ χρημάτων
Πολλῶν, κεκλῆσθαι βούλεται πατὴρ δόμοις,
Ἄλλῳ δ' ἀρέσκει μηδὲν ὑγιὲς ἐν φρεσὶν
Λέγοντα πείθειν τοὺς πέλας τόλμῃ κακῇ,
Οἱ δ' αἰσχρὰ κέρδη πρόσθε τῶν καλῶν βροτῶν
Ζητοῦσιν· οὕτω βίοτος ἀνθρώποις πλάνη.
Ἐγὼ δὲ τούτων οὐδενὸς χρῄζω τυχεῖν,
Δόξαν δ' ἐβουλόμην ἂν εὐκλείας ἔχειν.

Εἰ μέν κ' ἀσινέας ἐάας, νόστου τε μέδηαι, — ὁμ. ὀδυσ.
Καί κεν ἔτ' εἰς Ἰθάκην κακά περ πάσχοντες ἵκοισθε·
Εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον.

Μήτηρ γάρ τέ με φησὶ θεὰ Θέτις ἀργυρόπεζα — ὁμήρ. ἰλ.
Διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλοσδε.
Εἰ μέν κ' αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
Ὤλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται·
Εἰ δέ κεν οἴκαδ' ἵκωμαι φίλην ἐς πατρίδα γαῖαν,
Ὤλετό μοι κλέος ἐσθλὸν, ἐπὶ δηρὸν δέ μοι αἰὼν
Ἔσσεται, οὐδέ κ' ἐμ' ὦκα τέλος θανάτοιο κιχείη.

Ὁ μὲν γὰρ ἦν ἀγαθῶν ἀνδρῶν ἔργον, ἅπασι πέπρακται· ἣν ἡ τύχη δ' ἦν ὁ δαίμων ἔνειμεν ἑκάστῳ, ταύτῃ κέχρηνται. — δημοσθ. ἐν τῷ ὑπὲρ στεφάνου.

Ἄνθρωποι τύχης εἴδωλον ἐπλάσαντο, πρόφασιν ἰδίης ἀβουλίης. βαιὰ γὰρ φρονήσει τύχη μάχεται, τὰ δὲ πλεῖστα ἐν βίῳ ψυχὴ εὐξύνετος ὀξυδερκεῖν κατιθύνει. — δημοκρίτου.

Τὸ γὰρ δυσλόγιστον τοῦ βίου τοῖς ἀνθρώποις, τύχην προσαγορεύειν εἰώθαμεν. εἰ γὰρ ταῖς γνώμαις πάντα κατωρθοῦμεν, ὄνομα τῆς τύχης οὐκ ἂν εἴη. — ἀναξιμένους.

Φρόνησις εὐτυχίαν ὡς τὰ πολλὰ χαρίζεται, τύχη δὲ φρόνησιν οὐ ποιεῖ. Φρόνιμος ὁ δι' ἑαυτὸν εὐημερῶν, ὁ δὲ διὰ τὴν τύχην, μακάριος. — ἐπανδρίδου. τοῦ αὐτοῦ.

Πᾶσι δὲ ἀνεπίφθονον τὰ ξυμφέροντα τῶν μεγίστων πέρι κινδύνων εὖ τίθεσθαι. — θουκυδίδου ἱστοριῶν α.
Διογένης ἔφη νομίζειν ὁρᾶν τὴν τύχην ἐνορῶσαν αὐτῷ, καὶ λέγουσαν,
Τοῦτον δ' οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα.

Νόσος σώματός ἐστιν ἐμπόδιον, προαιρέσεως δὲ οὐκ ἔστιν ἐμπόδιον, σὺ δὲ μὴ. Μὴ ζήτει τὰ γινόμενα γίνεσθαι ὡς θέλεις· ἀλλὰ θέλε ὡς τὰ γινόμενα γίνεται, καὶ εὐρήσεις. — ἐκ τοῦ ἐπικτήτου ἐγχειριδίου.

Ὁ γὰρ θεὸς οὕτως τεχνάσατο τὸν ἄνθρωπον δηλούμενον αὐτὸν, μήτ' ἀδυνάτως ἔχειν ποτὶ ἄν τῶν καλῶν ὁρμᾶν, μήτε μὰν πάλιν ἀπροαιρέτως. ἀρχὰν γὰρ αὐτῷ ἐνέφυτευσε τοιαύταν, ἅ τις καὶ τὸ δυνατὸν ἅμα περιέχοι καὶ τὸ προαιρετὸν, ἵνα τᾶς μὲν δυνάμιος, καὶ κατοχᾶς τῶν ἀγαθῶν αὐτὸς αἴτιος ᾖ, τᾶς δ' ἐπὶ ταύτας παρορμάσιος κατ' ὀρθὸν λόγον ὁπαδήσιος ὁ θεὸς, καὶ διὰ τοῦτο ἀναθρώσκοντα αὐτὸν ἐποίησεν εἰς τὸν οὐρανὸν, καὶ αὐτῷ νοατικὸν, καὶ ὄψιν αὐτῷ ἐνέφυσε τοιαύταν, τὸν προσαγορευόμενον νόον, ὅταν θεὸν ὄψηται. οὔτε γὰρ ἄνευ θεῶ τὸ ἄριστον καὶ τὸ κάλλιστον ἦν εὑρεῖν, οὔτ' ἄνευ νόω ἰδεῖν τὸν θεὸν, ἐπειδὴ πᾶν τὸ θνατὸν φύσιν ἔχει μετ' ἀφροσύνας συγγενέος ῥιζοῦσθαι· καὶ ταῦτα οὐχ ὁ θεὸς ἐστὶν ὁ δωρούμενος, ἀλλὰ τᾶς γενέσιος ὠσία, καὶ τᾶς αὐτῶν ψυχᾶς ἁ προαίρεσις. — κρίτωνος πυθαγορείου ἐκ τοῦ περὶ φρονήσιος.

Ὁ δὲ Νέστωρ οὐκ ἀβέλτερος ὕπνου φθονῶν τοῖς τὰς ναῦς φυλάσσουσι, καὶ διακελευόμενος. — ἐκ τοῦ πλουτ. εἰ ἡ τῶν μελλόντων πρόγνωσις ὠφέλιμος.

Οὕτω

Οὕτω νῦν φίλα τέκνα φυλάσσετε, μηδέ τινα ὕπνος
Αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσιν.

οὐ γενησόμεθα, φησί τις, οὐδ' ἂν καθεύδωμεν, εἰ πεπρωμένον ἐστὶ μὴ ἁλῶναι τὸ δύσταθμον[a]. τίς οὐκ ἂν εἴποι πρὸς τοὺς ταῦτα ληροῦντας, ὅτι καθείμαρται μὲν ἴσως ἅπαντα ταῦτα, συγκαθείμαρται δὲ ἑκάστῳ τὸ διὰ τούτων, καὶ τὸ ἐν τούτοις, καὶ οὕτω, καὶ τὸ μὴ ἄλλως συντελεῖσθαι δίχα τούτων; οὐ γάρ ἐστι φυλακὴ καθευδόντων, οὐδὲ νίκη φευγόντων, οὐδὲ θερίσαι μὴ σπειράντων τὴν ἀγαθὴν γῆν καὶ καθαράν, οὐδὲ γεννῆσαι μὴ συγγενομένων γυναικὶ ἡλικίαν ἐχούσῃ, καὶ σώματος φύσιν γόνιμον, οὐδὲ ἀγρᾶς τυχεῖν ἐν ἀθήροις χωρίοις.

Αἰσχίνου. Ἀνθρώπῳ δέ τι οὐκ ἄπορον καλὸν κἀγαθὸν εἶναι.

Ἐπικτήτου ἐγχειρίδ. Μέμνησο ὅτι ὑποκριτὴς εἶ δράματος οἵου ἂν θέλῃ ὁ διδάσκαλος· ἂν βραχύ, βραχέος· ἂν μακρόν, μακροῦ. ἂν πτωχὸν ὑποκρίνασθαι θέλῃ, ἵνα καλῶς ὑποκρίνῃ· ἂν χωλόν, ἂν ἄρχοντα, ἂν ἰδιώτην. σὸν γάρ ἐστι τὸ δοθὲν πρόσωπον ὑποκρίνασθαι καλῶς, ἐκλέξασθαι δὲ τὸ πρόσωπον, ἄλλου.

Ἐπικούρου. Βραχεῖα σοφῷ τύχη παρεμπίπτει, τὰ δὲ μέγιστα καὶ κυριώτατα, λογισμὸς διῴκηκε, καὶ τὸν βίον, ἢ συνεχῆ χρόνον. Σωκράτης ἔφη μεγίστην μὲν ἀρχὴν εἶναι τὴν βασιλείαν, ἀρίστην δὲ τὸ ἑαυτοῦ ἄρχειν.

Ῥούφου ἐκ τοῦ περὶ φιλίας. Τῶν ὄντων τὰ μὲν ἐφ' ἡμῖν ἔθετο ὁ θεός, τὰ δ' οὐκ ἐφ' ἡμῖν. ἐφ' ἡμῖν μέν, τὸ κάλλιστον, καὶ σπουδαιότατον, ᾧ δὴ καὶ αὐτὸς εὐδαίμων ἐστί, τὴν χρῆσιν τῶν φαντασιῶν. τοῦτο γὰρ ὀρθῶς γιγνόμενον ἐλευθερία ἐστίν, εὔροια, εὐθυμία, εὐστάθεια, τοῦτο δὲ καὶ δίκη ἐστὶ καὶ νόμος καὶ σωφροσύνη, καὶ σύμπασα ἀρετή. τὰ δ' ἄλλα πάντα οὐκ ἐφ' ἡμῖν ἐποιήσατο. οὐκοῦν καὶ ἡμᾶς συμψήφους χρὴ τοῦ θεοῦ γενέσθαι, καὶ ταύτῃ διελόντας τὰ πράγματα, τῶν μὲν ἐφ' ἡμῖν ἐπιτρέψαι τῷ κόσμῳ, καὶ εἴτε τῶν παίδων δέοιτο, εἴτε τῆς πατρίδος, εἴτε τοῦ σώματος, εἴτε ὁτουοῦν, ἀσμένους παραχωρεῖν.

Ἑρμοῦ. Ἔστι τοίνυν οὐσία, καὶ λόγος, καὶ νόημα, καὶ διάνοια. φέρεται δὲ ἐπὶ τὴν διάνοιαν καὶ δόξα καὶ αἴσθησις· ἔρχεται δὲ ὁ λόγος ἐπὶ τὴν οὐσίαν· τὸ δὲ νόημα δι' αὑτοῦ ἔρχεται. ἐπιπλέκεται δὲ τὸ νόημα τῇ διανοίᾳ, ἐλθόντα δὲ δι' ἀλλήλων, μία ἰδέα ἐγένοντο, αὕτη δέ ἐστιν ἡ τῆς ψυχῆς. φέρεται δὲ ἐπὶ τὴν αὐτὴν διάνοιαν δόξα καὶ αἴσθησις· ταῦτα δὲ ἐπὶ τοῦ αὐτοῦ οὐ μένει, ἔνθεν καὶ ὑπερβάλλει καὶ ἐκλείπει, καὶ ἑαυτὸ διαφέρεται· χεῖρον μὲν γίγνεται ὅταν ἀποσπασθῇ τῆς διανοίας, ὅταν δὲ ἀκολουθῇ καὶ πείθηται, κοινωνεῖ τοῦ νοητικοῦ λόγου δι' αὐτῶν μαθημάτων. τὸ δὲ αἱρεῖσθαι ἔχομεν, τὸ γὰρ αἱρεῖσθαι τὸ κρεῖττον, ἐφ' ἡμῖν ἐστιν· ὁμοίως δὲ καὶ τὸ χεῖρον ἀκουσίως, ἐχομένη γὰρ αἵρεσις τῶν κακῶν πλησιάζει τῇ σωματικῇ φύσει, διὰ τοῦτο τοῦ ἑλομένου εἱμαρμένη δυναστεύει. ἐπεὶ τοίνυν ἡ ἐν ἡμῖν σωματικὴ οὐσία αὐτεξούσιός ἐστιν ὁ προνοηματικὸς λόγος, αὕτη δ' ἀεὶ κατὰ ταῦτα καὶ ὡσαύτως ἔχει, διὰ τοῦτο εἱμαρμένη τούτου οὐχ ἅπτεται, παραχθεῖσα δὲ τῶν πρώτων ἀπὸ τοῦ πρώτου θεοῦ, διανοητικὸν λόγον προσήνεσι, καὶ ὅλον τὸν λόγον ὃν συνέταξε φύσις τοῖς γιγνομένοις, τούτοις ψυχὴ κοινωνήσασα κοινωνεῖται τῶν τούτων εἱμαρμέναις, ἀμέτοχος οὖσα τῆς τῶν γιγνομένων φύσεως.

Πλουτάρχου ἐκ τοῦ περὶ φιλίας. Ὅθεν οὐ δὴ παντάπασι ταπεινοῦν τὴν φύσιν ὡς μηδὲν ἰσχυρόν, μηδὲ μόνιμον, μηδὲ ὑπὲρ[b] τὴν ψυχὴν ἔχουσαν, ἀλλὰ τοὐναντίον εἰδότας ὅτι μικρόν ἐστι μέρος τοῦ ἀνθρώπου, σαθρόν τι καὶ ἐπίκαιρον, ᾧ δέχεται τὴν ψυχήν, τῆς δὲ βελτίονος μερίδος αὐτὸ κρατοῦμεν, ἐν ᾗ τὰ μέγιστα τῶν ἀγαθῶν ἱδρυνθέντα, δόξαι τε χρησταί, καὶ μαθήματα, καὶ λόγοι, τελευτῶντες εἰς ἀρετὴν ἀναφαίρετον ἔχουσι τὴν οὐσίαν ἀδιάφο-

Sic, agite, ô nati care, seruate, nec vllum
Corripiat somnus, hosti ne gaudia simus.

At nō erimus, inquiet aliquis, etiamsi dormiamus, si non est in fatis capi navale. Quis autē huic deliro non respondeat, in fatis quidem hoc esse, verùm illa quoq. in fatis esse, sine quibus hoc euenire nequeat? Non enim custodire possunt dormientes, nec vincere fugientes, nec metere qui bonam terram nō conseruerint, nec gignere qui mulierem fecundam non sint nacti, nec venari in locis ferarum expertibus.

[a] ναύσταθμον pro δύσταθμον.

AEschin. *Homini difficile non est probo fieri.*

Epicteti. *Actorem esse fabulæ talis, qualis magistro probata fuerit, te memēto, si breuis, breuis: si lōga, longa. Si mendicum agere te voluerit: fac eam quoq. personam ingeniosè repræsentes. Ita si claudum, si principem, si plebeium. Hoc enim tuum est, datam personam bene effingere: eam autem eligere, alterius.*

Epicuri. *Parua in sapientem fortuna cadit, sed maxima & præcipua moderatur ratio.*

Socrates aiebat maximum quidem imperium regis esse, optimum autem sui ipsius.

Ruf. De amicitia. *Quædā in nostra potestate Deus posuit, quædam non posuit. In nostra quidem potestate posuit id, quod optimum est, quoq. beatus ipse censetur, vsum imaginationum. siquidem is rectè vsurpatus libertas est, & animi tranquillitas, nec non lex, temperātia, & quæuis virtus. Reliqua verò in nostra potestate nō posuit. Quapropter nos cum Deo sentire decet, & hac verū vtentes diuisione, quæ quidē in nostra sunt potestate, • quæ autem non sunt, mundo relinquere, ac siue liberos, siue patriam, siue corpus, siue quid aliud postulet, lubenter cedere.*

Mercurij. *Numerantur igitur natura, ratio, mens, & intellectus. Et ad intellectum quidem opinio et sensus feruntur, ratio autem ad naturam; mens verò per se consistit, cumq. intellectu permista, vnam animæ formam efficit. Cùm porrò opinio & sensus in eodem non maneant, exuperantiā ac defectum sentiunt, ac tum ab intellectu separati peiores euadunt, tum cum eo coniuncti, meliores. Vt autem vel melius vel peius eligamus, in nobis est. Cùm quidem mala sectamur, cum natura corporea coniungimur, ideoq. fato sumus obnoxij. mentis autem ratio semper in eodem manet, ideoq. fatum non sentit. Anima quidem cum nascentibus coniuncta, fatis quoq. ipsorum tenetur.*

Plut. De amicitia. *Quocirca non oportet omnino naturam deprimere, quasi nihil firmum, nec legitimum, nec super fortunam habeat, sed cōtrà cùm sciamus exiguam esse hominis infirmā partem, quæ fortunæ paret, meliorem autem ipsos tenere, in qua sanæ opiniones ac disciplinæ, bona maxima,*

[b] δὶ pro δι.

ma, cernantur, confidenter futura expectare, deq́ fortuna idem, quod Socrates de accusatoribus, dicere. Quemadmodum enim Anytus ac Melitus occidere poterant, nocere nō poterant; sic fortuna morbum quidem inferre, & opes tollere, & calumniari apud populum vel tyrannum potest, malum autē & ignauum & abiectum & inuidum reddere bonum & fortem & magnanimum non potest.

Plat. Menone.

Quæ enim fortuna contingunt, imperio hominis nequaquam fiunt: quibus autem homo ad rectum dux est, duo hæc sunt, opinio vera atque scientia.

Paulo antè.

Veræ opiniones quousq. stabiles perseuerant, pulcra quadam opera sunt, omniaq́ bona perficiunt. Attamen diu consistere nolunt, sed ex hominis animo confestim aufugiunt, quapropter non multi pretij sunt, donec quis illas ratiocinatione à causis dicta liget.

Plat. De rep. 6.

Postquā verò ligata sunt, primò quidem scientia fiunt, deinde perseuerantes, proptereaq́ scientia recta opinione præstantior est, ab eaq́ vinculo quodam discrepat. An nescis opiniones omnes absque scientia turpes esse, quarum quæ optima, cæca sunt? an eos qui absq. intelligentia verum aliquid opinantur, differre ab illis existimas, qui licet cæci sint, recto tamen tramite gradiūtur?

Reliqua sunt in Plat. quærenda.

* * *

Porphyr. De eo quod est in nostra potestate.

In prioribus disputationibus, Chrysaori, de viuēdi generibus institutis, externis animis arbitrij libertatem videbatur Plato tribuere, & hominibus prorsus adimere, quandoquidem ex anteacta vita vel amore vel odio, vel gaudio, vel dolore mores adepti ad electionem prodeūt. Sed hæc quidem omittenda putabamus, tanquā quæ defendi aliquo pacto possent: quæ autem illos post electionem in corpora ingressos pati volebat, grauia nobis videbantur, cum nunc quidē iuberet primùm sortiri primam vitam, quam necessariò degeret; nunc autem diceret genium nobis tributum ineuitabilem esse custodem. Lachesin enim, Necessitatis filiam, cuicunq. vitam sortito hunc adiungere custodem, qui viuendi genus expleat. Hunc autem ad Clothonis manū eum deductum, atque inde ad Atropon, stabilia reddentem fila, tum ad Necessitatis solium deferre, perq́ id in Obliuionis campum ad Ameletem fluuiū, de quo vt omnes ad mensuram necesse sit bibere, ita qui biberint, omniū obliuisci. Quæ cùm ita necessaria sint, aq́ Parcis, Obliuione, & Necessitate decreta, subsequente fati custode genio; quid nobis relictum sit, aut quomodo virtus adhuc sit libera, quam quò quisq. magis coluerit, eò citiùs adipiscatur.

c lā, pro ōō.

ρον, ἀνεκπλήκτους πρὸς τὸ μέλλον εἶναι, καὶ θαῤῥαλέως, καὶ πρὸς τὴν τύχην λέγοντας, συνεχέστατα δοκεῖν πρὸς τοὺς κατηγόρους λέγειν πρὸς τοὺς δικαστὰς ἔλεγεν, ὡς ἀποκτεῖναι μὲν ἄνυτος, ἢ μέλιτος δύναται, βλάψαι δὲ οὐ δύναται. καὶ γὰρ ἡ τύχη δύναται νόσῳ περιλαβεῖν, ἀφελέσθαι χρήματα, διαβάλλειν πρὸς δῆμον, ἢ τύραννον· κακὸν δὲ, καὶ δειλὸν, καὶ ταπεινόφρονα, καὶ ἀγεννῆ, καὶ φθονερὸν οὐ δύναται ποιῆσαι τὸν ἀγαθὸν, καὶ ἀνδρώδη, καὶ μεγαλόψυχον, οὐδὲ παρελέσθαι τὴν διάθεσιν τὴν καλήν.

πλάτ.

Τὰ ἀπὸ τύχης γιγνόμενα οὐκ ἀνθρωπίνη ἡγεμονία γίγνεται, ὧν δ' ἄνθρωπος ἡγεμών ἐστιν ἐπὶ τὸ ὀρθὸν, δύο ταῦτα ἡγεῖται, δόξα ἀληθὴς, καὶ ἐπιστήμη. καὶ δόξαι αἱ ἀληθεῖς ὅσον μὲν ἂν χρόνον παραμένωσι, καλὸν τὸ χρῆμα, καὶ πάντα ἀγαθὰ ἀπεργάζονται· πολὺν δὲ χρόνον οὐκ ἐθέλουσι παραμένειν, ἀλλὰ δραπετεύουσι αἰτίας λογισμῷ, ἐπειδὰν δὲ δεθῶσι, πρῶτον μὲν ἐπιστῆμαι γίγνονται, ἔπειτα μόνιμοι, καὶ διὰ ταῦτα δὴ τιμιωτέρα ἐπιστήμη ὀρθῆς δόξης ἐστὶ, καὶ διαφέρει δεσμῷ.

τοῦ αὐτ.

Τί δὲ οὐκ ᾔσθησαι τὰς ἄνευ ἐπιστήμης δόξας ὡς ἅπασαι αἰσχραί, ὧν αἱ βέλτισται, τυφλαί; ἢ δοκοῦσί τι τυφλῶν διαφέρειν ὁδὸν ὀρθῶς πορευομένων οἱ ἄνευ νοῦ ἀληθές τι δοξάζοντες; ὃς ἂν μὴ ἔχῃ διορίσασθαι τῷ λόγῳ ἀπὸ τῶν ἄλλων ἁπάντων ἀφελὼν τὴν τοῦ ἀγαθοῦ ἰδέαν, καὶ ὥσπερ ἐν μάχῃ διὰ πάντων ἐλέγχων διεξιὼν μὴ κατὰ δόξαν, ἀλλὰ κατ' οὐσίαν προθυμούμενος ἐλέγχειν ἐν πᾶσι τούτοις ἀπτῶτι τῷ λόγῳ διαπορεύηται, οὔτε αὐτὸ τὸ ἀγαθὸν φήσει εἰδέναι, τὸν οὕτως ἔχοντα, οὔτ' ἄλλο ἀγαθὸν οὐδὲν, ἀλλ' εἴπερ αὐτοῦ εἴδωλόν τινος ἐφάπτεται, δόξῃ οὐκ ἐπιστήμῃ ἐφάπτεσθαι.

τοῦ αὐτ.

Καὶ τὸν νῦν βίον ὀνειροπολοῦντα καὶ ὑπνοῦντα, πρὶν ἐνθάδε ἐξεγρέσθαι εἰς ᾅδου πρότερον ἀφικόμενον, τελέως ἐπικαταδαρθεῖν, τὸν καλῶν καὶ δικαίων, περὶ ἀγαθῶν, καὶ τῶν τούτοις ἐναντίων, ὄντων οὐσῶν ἀληθῆ δόξαν μετὰ βεβαιώσεως, ὁπόταν ἐν ψυχαῖς ἐγγίγνηται, φησὶ ἐν δαιμονίῳ γίγνεσθαι, ἐπιλιπούσης γὰρ ἐπιστήμης ὁ ἁμαρτάνων ἁμαρτάνει ἐν ᾧ ἐστὶ δημιουργός.

πορφυρ. περὶ τοῦ ἐφ' ἡμῖν.

Ἐν τῇ προτέρᾳ ἡμῖν γεγονυίαις Χρυσαόριε πρὸς ἀλλήλους διαλέξεσι τὸν περὶ τῆς αἱρέσεως τοῦ βίου ἀνακινήσαντες λόγον, ἐν τῷ ἔξω ψυχαῖς ἀπονείμας ὁ Πλάτων κινδυνεύει τὸ ἐφ' ἡμῖν, καὶ ὅλως τὸ αὐτεξούσιον λεγόμενον ἀναιρεῖν· εἴγε ἐκ τῶν προβεβιωμένων κατὰ τὴν προτέραν περίοδον, καὶ ὧν ἠγάπησαν, ἢ ἐμίσησαν, ἐφ' ὧν ἥσθησαν, ἢ ἐλυπήθησαν, ἠθοποιημένοι ἐπὶ τὴν αἵρεσιν ἔρχονται. ταῦτα μὲν ἐδόκει ἐᾶν, ὡς εἰς ἀπολογίαν δυνάμενα παρέχειν τινὰς πιθανότητας· ἃ δὲ μετὰ τὸ ἑλέσθαι, καὶ μέλλειν τοὺς κατὰ μέρος ἀνθρώπους ἀποφαίνει διὰ τὴν εἴσοδον εἰς τὰ σώματα εἰσκρίσεως παθεῖν αὐτὰς ἔφη, χαλεπὰ ἡμῖν ἐφαίνετο, τοτὲ μὲν λέγοντα ὁ πρῶτος αἱρεῖσθαι βίος ᾧ συνέσται ἐξ ἀνάγκης, τοτὲ δὲ ὅτι ὃν εἰλήχαμεν δαίμονα, ἀναπόδραστός τις ἡμῶν φρουρός. τὴν γὰρ λάχεσιν, ἥτις ἀνάγκης ἐστὶ θυγάτηρ, τῷ λαχόντι καὶ ἑλομένῳ τινὰ βίον, συμπέμπειν φύλακά τε τοῦ βίου, καὶ ἐκ παντὸς ἀποπληρωτὴν τοῦ αἱρεθέντος βίου· ὃ δὴ παραλαβὼν αὐτὸν, καὶ πρὸς κλωθὼ ὑπὸ τὴν ἐκείνης χεῖρα, καὶ τὴν ἐπιστροφὴν τῆς ἀτράκτου ἀγαγὼν, καὶ μετὰ ταῦτα πρὸς τὴν ἄτροπον, τῆς τὰ ἐπικλωσθέντα ποιούσης ἀμετάτροπα, ἐντεῦθεν ἤδη ἀμεταστρεπτὶ ὑπὸ τὸν τῆς ἀνάγκης ἄγει θρόνον, καὶ δι' ἐκείνου διεξελθεῖν ποιήσας ἅμα τοῖς ἄλλοις, ἀπάγει εἰς τὸ τῆς λήθης πεδίον, παρὰ τὸν ἀμέλητα ποταμὸν, ἀφ' οὗ μέτρον μὲν ἀναγκαῖον εἶναι πιεῖν, τοὺς δὲ πίοντας πάντων ἐπιλανθάνεσθαι. οὕτω δὲ τούτων ἐπικεκλωσμένων, καὶ κατηναγκασμένων, καὶ ἐπικεκυρωμένων ὑπὸ μοιρῶν τε καὶ λήθης καὶ ἀνάγκης, ἑπομένου παραφυλάττοντος τοῦ εἱμαρμένου δαίμονος, τίνος ἂν εἴη μὲν κύριοι, ἢ πῶς ἔτι ἡ ἀρετὴ ἀδέσποτος, ἣν τιμῶν καὶ ἀτιμάζων πλέον αὐτῆς καὶ ἔλαττον, ἕκαστος ἕξει;

Ἐπεὶ

Ἐπεὶ τοίνυν τὰ τοῦ Πλάτωνος εἰς τὰς χεῖρας λαβὼν, μακρὰν ἡμᾶς ἀποσφάλθαι καὶ τῆς φιλοσόφου γνώμης κατεῖδον, ἐθαυμάσαμεν τοὺς ἀπορήσαντας. βίους γὰρ αὐτοὺς μόνον λέγειν ἡγησάμενοι, καὶ καθάπερ οἱ τὰ περὶ βίων πραγματευσάμενοι μέμνηνται γεωργικοῦ τινος βίου, καὶ πάλιν πολιτικοῦ, καὶ ἄλλου στρατιωτικοῦ, οὕτω καὶ τὸν Πλάτωνα πολλοὺς καὶ διαφόρους ἐν ἀνθρώποις θεωρουμένους βίους, καὶ τούτων τῆς αἱρέσεως ἐφ' ἡμῖν ἐν πολλῆς οὔσης καὶ πάλιν τῆς ἐξ αὐτοῦ μεταθέσεως· εἰκότως θαυμάζουσι πῶς ὁ τούτων ἑλόμενός τινα, καταναγκάζεσθαι ἐκ παντὸς τοῦτον ἀποπλῆσαι μόνον. οἱ μὲν γὰρ ἀπὸ τῆς στοᾶς βίον λέγεσθαι ὑπολαμβάνουσι, καθ' ἕν τι σημαινόμενον λογικῆς ζωῆς διέξοδον αὐτὸν ἀποδιδόντες, ἐξ ἐνεργειῶν, καὶ χρήσεων, καὶ ποιήσεων, καὶ παθημάτων συνεστῶσαν. ὁ δὲ Πλάτων καὶ τὰς τῶν ἀλόγων ζωὰς λέγει βίους. βίος γὰρ κατὰ ταυτὸ καὶ ἡ τοῦ κύκνου ζωὴ, καὶ πάλιν ἄλλος βίος ὁ λέοντος, καθὸ λέων, καὶ ἄλλος ὁ ἀηδόνος, βίος δὲ καὶ ὁ ἀνθρώπινος, καὶ τούτου ὁ μέν τις γυναικεῖος, ὁ δὲ ἀνδρεῖος· λέγει γὰρ εἶναι παντοδαπὰ τῶν βίων τὰ παραδείγματα. ἓν μὲν τοιοῦτον παρ' αὐτοῦ σημαινόμενον βίου· ἕτερον δὲ, ὁ παρίστησι συμβεβηκός τι τούτων, καὶ δεύτερόν τινα χαρακτῆρα ἐπὶ προηγουμένῳ τῷ ῥηθέντι βίῳ. προηγούμενος μὲν γὰρ βίος κυνὶ ὁ κατὰ τὴν κυνὸς ζωὴν, ἐπισυμβαίνει δὲ τῷ τοιούτῳ βίῳ ἢ τῶν θηρευτικῶν κυνῶν, ἢ τῶν ἰχνευτικῶν, ἢ τῶν περὶ τράπεζαν, ἢ τῶν οἰκοφυλάκων καὶ δεύτερος ἂν εἴη οὗτος βίος. ἀλλὰ τοῖς ἀλόγοις, ἀφῃρημένοις τοῦ αὐτεξουσίου, ἢ διὰ φύσεως ὁ χαρακτὴρ οὗτος ἐπισυνίσταται, ἢ διὰ κατατάξεως τοῦ κτησαμένου· ἐπὶ δὲ τῶν ἀνθρώπων, τὸ μὲν ἐκ προγόνων γενέσθαι ἀγαθῶν, ἢ κάλλους τυχεῖν σωματικοῦ, διὰ φύσεως ἐπορίσθη, ἢ τύχης, πολλῷ ὅτι τούτων οὐδὲν ἦν ἐφ' ἡμῖν δῆλον· τὰς δέ γε τῶν τεχνῶν ἀναλήψεις, καὶ τὰς τῶν ἐπιτηδευμάτων, ἐπιστημῶν τε, καὶ τῶν πολιτικῶν βίων, ἀρχῶν τε διώξεις, καὶ ὅσα τοιαῦτα ἐκ τοῦ ἐφ' ἡμῖν ἠρτῆσθαι συμβέβηκεν, εἰ καί τινα δυσεπίτευκτα, τῷ καὶ τῆς ἔξωθεν προσδεῖσθαι συλλήψεως, δι' οὗ εἰς τὸ τυχεῖν δύσκολον, καὶ ἀποθέσθαι οὐ ῥᾴδια, ὥσπερ ἀρχὰς, καὶ τυραννίδας, καὶ δημαγωγίας. πάντα μὲν οὖν τὰ τοιαῦτα ἠρτῆσθαι συμβέβηκε τῆς προαιρέσεως, ἡ δὲ τεῦξις αὐτῶν οὐ πάντως ἐφ' ἡμῖν, ἀφ' οὗ δ' ἄν τινος τύχωμεν τῇ τάξει αὐτῶν ἕπεσθαι ἀνάγκη δέδοται. μέντοι ἐπὶ πάντων σχεδὸν τῶν ἐχόντων μεσότητα, καὶ μὴ ἤδη εἰς κακίαν ἀνηγμένων τὸ χρήσασθαι τοῖς βίοις οὕτοις μέτεστιν ἢ κακῶς ἢ καλῶς. καὶ γὰρ ἐπὶ τυραννίδας τινὲς προαχθέντες, ἤπιοι καὶ πρᾶοι γεγόνασι, καὶ βασιλείαις πονηρῶς ἐχρήσαντο. τούτων οὕτως ἐχόντων ἡμῖν, αἵρεσις τῶν βίων τῶν ἔξω ψυχαῖς προηγουμένως τῶν πρότερον ἐστὶ, καὶ ἐπὶ τῶν αἱρεθέντων ἥ τε ἀνάγκη τὸ ἀπαραίτητον ἐνέφερεν, ὅ, τε δαίμων ἐπηκολούθησεν, ὡς ἂν δὴ τοῦ βίου προστάτης ὢν καὶ ἐπόπτης, ἕκαστος ἑκάστου συναναγκάσων ἐμμένειν τὰς ψυχὰς τῷ αἱρεθέντι, καὶ μὴ προλείπειν, αἵ τε μοῖραι τῶν τοιούτων ἐπαίνεσαν ἑκάστῳ βίον, τάτε γενόμενα διαπαντὸς μαρτυρεῖ τῷ χρόνῳ. οὔτε γὰρ ἀνὴρ, κἂν σφόδρα δι' ἀσέλγειαν μαλακίζηται, καὶ πάντ' αὐτῷ ἡ προαίρεσις μετασχηματίζῃ τὰ ἔξωθεν τὰ τῆς θηλείας συνήθη, γυνὴ ποτ' ἂν γένοιτο, οὔτε γυνὴ τὰ ἀνδρῶν ἐγχειροῦσα δρᾶν, ἀνήρ ποτ' ἂν γένοιτο. ζῶσι μὲν οὖν τοῦτον τὸν βίον αἱ ψυχαὶ μετ' ἀνάγκης, διὰ λήθης αὐτοῦ διεξάγουσαι, καὶ ὅτι ἐπὶ ταύταις ἡ αἵρεσις αὐτοῦ ποτε γέγονε παντελῶς ἐπιλελησμέναι· ἄρχεται δὲ ἐπ' ἀνθρώπου μάλιστα ἀνειμένον ἐλευθερεῖν τὸ ἐθελούσιον, πρὸς μὲν τὰ τῆς ψυχῆς ὡς καθ' ἑαυτὸ, καὶ μὴ ἐν σώματι δεδεμένον, πεπεδημένην, πρὸς δὲ τὰ τῶν ζώων, καὶ συναμφότερα αὐτεξούσια ἔργα λεγόμενον. σὺν γὰρ τούτῳ διεξάγει τῶν ἀνθρώ-

Postquam verò Platone in manus sumto, longè nos ab eius sententia aberrasse cognoui, admirationem illorum sum admiratus. Solas enim vitas illum dicere credentes, et quemadmodū qui de viuendi generibus tractant, agricola vitam recensent, & aliam politici, ac militis, sic Platonem quoque de variis vitis agere, quarum & aggressio & mutatio in nostra sit potestate; meritò mirantur, cur qui harum sibi aliquam delegerit, eam prorsus cogatur explere. Etenim Stoici quidē vna quadam notione vitam accipiunt animalis ratione præditi curriculum, functionibus, habitibus, & actionibus constans. Plato autem brutis quoq. vitas tribuit, cùm secundum ipsum alia sit cygni vita, alia leonis, alia lusciniæ, alia denique hominis, eaq́ vel viri, vel mulierū. siquidem varia vitarum præfert exempla. Atque hæc quidem vna est apud ipsum vitæ notio: altera autem istarū quoddam euentum denotat, ac secundam quandam post præcipuam vitam notam. Cani enim præcipua quidem est canis vita, huic autem adiungitur vel venatici, vel domestici nota. quæ quidem secunda est vita. Sed brutis quidem, cùm libertate careant, vel à natura hæc nota, vel à possessore imponitur: inter homines autē parentum quidem nobilitatem aut corporis pulcritudinem vel natura largitur, vel fortuna, nec horum quicquam in ipsarum est potestate; artium verò & scientiarum disciplina, vitarumq́ politicarum & magistratuum ambitus, ac similia, in ipsarū sunt potestate, tametsi quædam, quoniam externam quoque opem requirunt, difficulter assequuntur, nec facilè deponunt, vt magistratum, tyrannidem, populi principatum. Quapropter hæc omnia de consilio quidem nostro dependent, vt autem ea assequamur, non prorsus in nobis est, adeptis verò nos accommodare debemus. Veruntamen vitas ferè omnes, quæ medio censentur loco, vel rectè licet vel secus degere, cùm & in tyrannide nōnulli clementes, & in regno alij crudeles extiterint. Quæ cùm ita sint, vitarum [d] quidem electio animis externis tribuitur: electam autem & Necessitas ratam reddit, & genius cuiusque tanquam vitæ custos, & Parca, quēadmodum omni tempore cōtigit. Nam nec vir, etiamsi valde lasciuiat, inq́ formam muliebri proximam se componat, mulier vnquam fiet; nec mulier, etiam si pro viro se gerat, vir. Atq. hanc quidem vitam necessariò degunt animæ, libertatis pristinæ oblitæ; initium autem in homine sumit liberum arbitriū, ad animam quidem, tanquam corpore solutam, ad animal verò, tanquam vtraq. parte liberum. siquidem ita

[d] ἡμῖν pro ἡμῶν.

nostrū vnusquisq. vitam degit, vt ad vtriusq. libertatem appetitu decenti feratur.

Animal enim secundum decētem vitam regitur. Habet autem humana vita conuenientem homini libertatem, sic vt quamuis natura ad aliquod vitæ genus feratur, ne tamen in illud incidat, cauere possit. Quamuis enim imaginationi verisimili assentiamur, ab assensu tamen abstinere possumus, nisi planè nos impellat imaginatio.

συγκατατίθεσθαι pro ἀσυγκατατίθεσθαι.

Hæc enim tota videtur Platonis esse sententia, habere quidem animas, priusquā in corpora vitasq́ varias incidant, eius vitæ eligendæ potestatem, quam in corpore conuenienti degant. (nam & leonis vitam, & hominis licere ipsis eligere) illam autem potestatem simul cum vita adepta tolli, sic vt in corpora ingressa, & ex liberis animabus facta animalium anima, libertatem animali conuenientem nāciscantur, quæ alibi valde multiplex et mobilis sit, vt in homine; alibi simplex & parū mobilis, vt in reliquis ferè omnibus animātibus. sic autem ab animali pēdere hanc libertatem, vt per se quidē moueatur, iuxta illius autem appetitiones feratur.

ἀπολύτων pro ἀπὸ αὐτ.

Exuperantiam autem vbiq. fugere decet, & mediocritatem sectari, nisi iam libertas nostra vitiorum imperio fuerit subdita. Neq. existimant animas citra ordinē sortiri vitas, verùm pro ambitus ductu, sic vt prima in primo sortiatur ambitu, secunda in secundo, quemadmodum ab Vniuerso circumaguntur. ideoq́ Lachesin vati sortes porrigere, quæ sit à sortiendo denominata. Lachesin sanè pleriq. Vniuersi conuersionem esse censuerunt. Existimant quoque animarum quidem libertatem pollui huius vitæ accessione, hominum autem vitæ alicuius cupidine, quam Plato electionem dixit. Existimant etiam fatum legibus esse simile, tanquam & ipsum lex sit,

Deûm sententia prisca,
Æterna, & latè iurando iure sacrata,

teste Empedocle. Nam & leges absque necessitate censent, siue quis furetur, tale supplicium; siue fortiter se gerat, tale præmium habiturū: & fati decreta censent, siue quis viri vitam deligat, ita victurum; siue inter viros militis, ita se gesturum, tamē vt ad neutrum quisquā cogatur. Vt enim proposita sunt primarum ac secūdarum vitarum exempla, sic in animarum est potestate harum aliquam, vt hominis, deligere. veruntamen post electionem consentanea

πτον βίον ἕκαστος ἡμῶν, σὺν τῷ ἔχειν πρὸς τὰ τῶν συναμφοτέρων αὐτεξούσια ἔργα, τὴν ὁρμὴν προεστήκασι.

Διοικεῖται γὰρ τὸ ζῶον κατὰ τὴν ἤδη προεστήκυσαν αὐτοῦ διάζησιν. ἔχει δὲ ὁ βίος ὁ τῶν ἀνθρώπων τὸ κατ' ἄλληλον τοῦ ἀνθρώπου αὐτεξούσιον. διὸ κἂν ἄγηται ὑπὸ προθυμιῶν φυσικῶν πρός τινα τῶν ἐνταῦθα ἐν αἱρέσει πιπτόντων βίων, ἀλλ' ἐπ' αὐτοῦ ἔχει τὸ μὴ ἐμπεσεῖν, κἂν πάντως ἐμπέσῃ. ὡς γὰρ τῇ πιθανῇ φαντασίᾳ συγκατατιθέμεθα διὰ τὸ πιθανόν, ἀλλ' ἐφ' ἡμῖν καὶ τὸ μὴ συγκατατίθεσθαι, ὅτι μὴ ἡ φαντασία σύρει ἡμᾶς ἢ νενευσπασ-σεῖ πρὸς αὐτήν. — ἐν παντί.

Τὸ γὰρ ὅλον βούλημα τοῦτ' ἔοικεν εἶναι τὸ τοῦ Πλάτωνος· ἔχειν μὲν τὸ αὐτεξούσιον τὰς ψυχὰς πρὶν εἰς σώματα καὶ βίους διαφόρους ἐμπεσεῖν, εἰς τὸ ἢ τοῦτον ἑλέσθαι τὸν βίον, ὃν μετὰ ποιᾶς ζωῆς, καὶ σώματος οἰκείου τῇ ζωῇ ἐκτελέσειν μέλλει. (καὶ γὰρ λέοντος βίον ἐπ' αὐτῇ εἶναι ἑλέσθαι, καὶ ἀνδρός) κἀκεῖνο μὲν τὸ αὐτεξούσιον ἅμα τῇ πρός τινα τῶν τοιούτων βίον πτώσει ἐμπεπόδισται· κατελθοῦσαι δὲ εἰς τὰ σώματα, καὶ ἀντὶ ψυχῶν ἀπὸ αὐτῶν γεγονυῖαι, καὶ ψυχαὶ ζώων τὸ αὐτεξούσιον φέρουσιν οἰκεῖον τῇ τοῦ ζώου κατασκευῇ, καὶ ἐφ' ὧν μὲν εἶναι πολύνουν καὶ πολυκίνητον, ὡς ἐπ' ἀνθρώπου, ἐφ' ὧν δὲ ὀλιγοκίνητον καὶ μονότροπον, ὡς καὶ ἐπὶ τῶν ἄλλων σχεδὸν πάντων ζώων. ἠρτῆσθαι δὲ τὸ αὐτεξούσιον τοῦτο τὸ τῆς κατασκευῆς, κινούμενον μὲν ἐξ αὑτοῦ, φερόμενον δὲ κατὰ τὰς ἐκ τῆς κατασκευῆς γιγνομένας προθυμίας. — ἐν παντί.

Πανταχοῦ δὲ τὰς ὑπερβολὰς φεύγειν προσήκει, διώκειν δὲ τὸ μέσον, ἂν μὴ ἤδη τὸ ἐφ' ἡμῖν πάθεσι κακίας ἀνηκέστοις δεδεμένον δουλεύῃ, καὶ κατατεταγμένον ᾖ. τούτοις ἀρέσκει καὶ τὸ μὴ ἀτάκτως κληροῦσθαι τὰς ψυχὰς τοὺς βίους, καὶ λαμβάνειν αὐτούς, ἀλλὰ τάξει καὶ ὡς ἄγει αὐτὴν ἡ περίοδος. ἡ μὲν γὰρ πρώτη παυσαμένη ἐν τῇ πρώτῃ περιόδῳ πρώτη ἥξει, ἡ δευτέρα ἐν τῇ δευτέρᾳ κληρωσαμένη, στρεφομένας γὰρ ὑπὸ τοῦ παντὸς καὶ καταληγούσας τῇ τούτου φορᾷ, περιάγεσθαι, ὡς εἰς τάξιν κλήρων σημαινόντων τὸ α', καὶ τὸ β'. διὸ καὶ τῆς Λαχέσεως κλήρους λαμβάνειν τοῦ προφήτου, ἥτις ἀπὸ τοῦ λαγχάνειν καὶ κληροῦσθαι κέκληται· Λάχεσιν δὲ τὴν τοῦ παντὸς περιστροφὴν πολλοὶ εἶναι εἰρήκασιν. ἀρέσκει καὶ τὸ γενέσθαι τὸ μὲν ἐπὶ τῶν ψυχῶν αὐτεξούσιον, ὑπὸ τῆς ἐξηγουμένης ἐνταῦθα προβίου· τὸ δ' ἐπὶ τοῖς ἀνθρώποις αὐτεξούσιον, ἐκ τῆς πρός τινα τῶν τῆδε βίων τῆς ἔξω ἐπιούσης ῥοπῆς, ἣν αἵρεσιν ὁ Πλάτων λέγει. ἀρέσκει καὶ τὸ τοιαύτην εἶναι τὴν εἱμαρμένην ἐοικυῖαν τῇ τῶν νόμων διαγορεύσει, νόμον οὖσαν καὶ αὐτὴν — ἐν παντί.

καὶ θεῶν ψήφισμα παλαιόν,
Ἀΐδιον, πλατέεσσι κατεσφρηγισμένον ὅρκοις,

φησὶν Ἐμπεδοκλῆς. οἵ τε γὰρ νόμοι οὐκ ἀναγκάζοντες διαγορεύουσιν· ὡς ἐὰν λῃστεύσῃς, τόδε πείσῃ· ἐὰν δὲ ἀριστεύσῃς, τῶνδε τεύξῃ· οἵ τε καθ' εἱμαρμένην θεσμοί, ἐὰν βίον ἕλῃ ἀνδρός, οὕτως ζήσῃ, οὐ μὴν ὅτι καὶ ἑλοῦ ἐκ παντὸς ἀναγκάζουσι· καὶ ἐὰν ἀνδράσι γενόμενον βίον ἕλῃ στρατιώτου, τάδε παθεῖν, καὶ δρᾶσαι ἀνάγκη, οὐ μὴν ὅτι βίον σε ἀνάγκη ἑλέσθαι στρατιώτου, καὶ τάδε παθεῖν ἐξ ἀνάγκης. διὸ κεῖται μὲν τὰ παραδείγματα καὶ τῶν προτέρων καὶ δευτέρων· ἐπὶ δὲ ταῖς ψυχαῖς ἐστι, τούτων προτέρους ἑλέσθαι βίους, καὶ ζῆσαι, φέρε, βίον ἀνθρώπου· τῶν δὲ δευτέρων, ἑλέσθαι βίον τινά· ἑλομένῳ δὲ καὶ ζῶντι κατά τινα ἀναγκαῖα ἀκόλουθα καὶ δρᾶσαι, καὶ παθεῖν, εἰ μή τι ἐνδέχεται καταμαντευσάμενον τῆς Πλάτωνος γνώμης ἐπιτυχεῖν στοχάσασθαι πόθεν ταῦτα λαβὼν Πλάτων περὶ αὐτῶν διηγήσατο.

ὡς

ὡς τοῖς γιγνομένοις ὄντων συμφαίνεται, φαίην ἂν οἶμαι.

Ὅτι τῶν παρ' Αἰγυπτίοις σοφῶν τοὺς βίους ἐκ τῶν ὡροσκόπων σημειουμένων, καὶ τῶν ἐν ταῖς γενέσεσι τῶν ἀστέρων πρὸς τὰ ἐν τῷ ζῳδιακῷ ἄστρα διαθέσεων ἀκολούθως τῇ τοῦ ὡροσκόπου ἀνατολῇ, ἀναγκάζεσθαι μὲν τὴν ποιὰν διάθεσιν τῶν σχηματισμῶν ποιεῖν τοὺς βίους τὸν διὰ τῆς ὡροσκοπούσης μοίρας ἰούσαις ψυχαῖς εἰς τὴν γένεσιν, πῶς ἐχόντων τούτων τὸ σχηματισμὸν μὴ συντίθεσθαι αὐτὸν τοῖς Αἰγυπτίοις, τῶν δὲ ψυχῶν κατὰ τὰς ἐνούσας διαθέσεις ἐπὶ τοὺς ὡροσκόπους φερομένων καὶ βίους σημαίνουσι οἱ σχηματισμοί, βλέπουσαν γεγραμμένους τὰς ἑλομένας ὥσπερ ἐν πίνακι γεγραμμένα ἐν τῇ οὐρανίᾳ γῇ, διὰ μὲν τὸ αὐτεξούσιον δύνασθαι καὶ μὴ βιάζεσθαι οὕτως, ἑλομένας δὲ τὰ ἐν τῇ στροφῇ κατὰ σημεῖον τοῦ χρόνου τῆς ἀναφορᾶς τοῦ ὡροσκόπου ἐναλλαττόμενα, ἀνάγκην ἐκτελεῖν τὰ γεγραμμένα. διὰ τί οὖν ἐν τῇ αὐτῇ ἀναφορᾷ φέρε καὶ κύων γεννᾶται, καὶ ἀνὴρ, καὶ γυνὴ, καὶ πολλοὶ ἄνδρες, καὶ πάντων οὔτε ὁ πρῶτος βίος ὁ αὐτὸς, οὔτε ὁ δεύτερος; πρῶτον μὲν οὖν εἴποιμ' ἄν, οὐχ οὕτω ταχυτέρων τῶν ψυχῶν παρεισιουσῶν πάσαις ὡς μὴ φθάσαι τὴν ἀναφορὰν τοῦ ὡροσκόπου τὴν ἐκείνων εἴσοδον· προλαμβανούσης δὲ ἀεὶ τῆς φορᾶς, καὶ ἑκάστης κατὰ κλῆρον διαφορᾶς ἄλλο παράδειγμα βίου φερούσης, ἀνάγκη μηδέποτε συντρέχειν πάντη τοὺς δοκοῦντας ἐν τῇ ὥρᾳ εἰς τὸν κόσμον ἐμβάλλειν. ἔπειτα ὁ μὲν κλῆρος ἔξω πρὶν εἰς τὸν τῆς σελήνης ὑποκάτω τόπον πεσεῖν, τῆς πρώτου βίου διεξόδου διὰ τῶν ἑπτὰ σφαιρῶν γινομένης, ἄλλως ἄλλης κατ' αὐτὰ κινουμένης, κατὰ τὰς προθυμίας προεστώσας τῶν δευτέρων βίων, οὐχ ὁμοίως προσέχειν πάσας ποιεῖ τοῖς γεγραμμένοις. ἤδη οὖν ἡ μὲν ἑλομένη κυνὸς βίον, ἔρχεται ἐπὶ τόνδε τὸν ὡροσκόπον· ἡ δὲ ἀνθρώπου, κατὰ τὴν παράκλησιν τῆς ὁρμῆς ἐπὶ τόνδε· φέρει δ' αὐτὴν καὶ ἡ δίκη κατὰ τῆς ἠθοποιίας ἰδιότητα ἐπί τινα μοῖραν τῆς περιφορᾶς, ἣ βίον ἔχει γεγραμμένον πρόσφορον τῇ αὐτῆς προθυμίᾳ· ἡ δὲ δίκη τύχη λέγεται αἰτία οὖσα ἄδηλος ἀνθρωπίνῳ λογισμῷ. ζῳδίων δὲ ὄντων δώδεκα, δι' ὧν ἡ ὁδὸς ταῖς ψυχαῖς πεπίστευται τοῖς Αἰγυπτίοις γίγνεσθαι, τῇ δὲ παντὸς ταχὺ σχεδὸν, αἱ μὲν πρῶται τοῦ ζῳδιακοῦ μοῖραι, ὡς ἂν αὐτοῦ ἐπινενεμημέναι τῷ κυρίῳ τοῦ ζῳδίου, παρεδόθησαν εἶναι ἀμφιλαφεῖς· αἱ δὲ τελευταῖαι, ἐπὶ πάντων τοῖς κακοποιοῖς λεγομένοις ἀστέρων ἀπονεμήθησαν. ἐντεῦθεν οὖν ἡ τῶν προτέρων κλήρων εὐμοιρία ἀποδοχῆς ἠξίωται, καὶ ἡ τῶν ὑστέρων ἐστενοχωρεῖσθαι λέγεται. σημαίνεσθαι μὲν οὖν τὰ ποιὰ σχήματα τοὺς βίους τίθεται Πλάτων, ἀναγκάζεσθαι δὲ οὐκ ἔτι, ἀλλὰ τοὺς ἑλομένους ζῆν, καὶ καθὰ σημαίνει ἐξ ἀνάγκης ἔχειν τὸν εἱρμὸν τῶν γεγραμμένων. αἰτία τοίνυν ἑλομένων ἢ γυναικὸς ἢ ἀνδρὸς βίον, ἢ ἄλλου τινὸς ζώου, τῆς εἰς τὸν ὡροσκόπον φορᾶς· αἰτία δὲ καὶ τῆς ἐνεχθείσης εἰς τόνδε τὸν ὡροσκόπον τὸ ἑλέσθαι τὸν δεύτερον βίον, ὃν γεγραμμένον δείκνυσιν ἡ κατὰ τὸν ὡροσκόπον τεταγμένη διακόσμησις τῶν ἀστέρων. εἰ μέν τις τὸν μὲν κατὰ τὴν πρώτην ὡροσκοπίαν τὸν ἀνθρώπου ἢ κυνὸς ἑλέσθαι ἐμφαίνεσθαι τὸν κλῆρον εἴποι, τὴν δὲ τὴν ἐκ γαστρὸς ἐκτροπῆς ὡροσκοπίαν τοῦ δευτέρου βίου καὶ ἐπὶ τῷ προαιρεθέντι ἐνδείκνυται τὴν αἵρεσιν. ἀλλ' ὅτι μὲν ἐκ τῶν παρ' Αἰγυπτίοις παραδιδομένων ἡ τοῦ μύθου πλάσις ἐσκευώρηται, συγχωρήσειεν ἄν τις· εἰ δὲ κατ' αὐτὰ τὰ νοήματα κατὰ μέρος τῷ Πλάτωνι διεσκευάσθη, χαλεπὸν τὸ ἀποφήνασθαι. ἐπεὶ δὲ καὶ Ὁμήρου τυγχάνεις ὢν ἐραστής τε καὶ ἐπαινέτης, δοκεῖ μοι μὴ καὶ αὐτὸς πρὸ τοῦ Πλάτωνος τὸ διττὸν εἰδέναι τοῦ βίου, τὸν μέν τινα ἀκίνητον, ὃν ἑλέσθαι ἡ ψυχὴ, ἢ μὴ ἑλέσθαι δύναται· ὅταν ἕληται, ἀφύκτως ἔχουσα μεταβάλλεσθαι, καὶ δι' ἀρετῆς αὐτὸν διοικεῖ, ἢ κακίας. τούτου γὰρ μεμνημένος φησὶ,

ferre coguntur. Quòd si per coniecturam diuinare liceat, unde hæc à Platone desumta sint, equidem dixerim, cùm AEgyptij de horoscopis & stellarum ad signa Zodiaci situ vitas exponant, non tam illum existimare, certã figurarum constitutionem necessariò vitas sequi, quàm animas ad horoscopos tendẽtes, cùm vitas à figuris designatas in cælesti terra, tanquam in tabula conspexerint, abstinere quidem ab electione posse, post electionem verò necessariò, quæ horoscopi exortui conueniant, ferre. Cur igitur, inquiet aliquis, eodem exortu & canis procreatur, verbi gratia, & vir, & mulier, adeoq; multi viri, quorum tamen nec prima nec secunda vita sit eadẽ? Ad id primùm responderim, non tam celeriter animas sortiri, vt earum introitum horoscopi non praueniat exortus. id autem cùm fiat, ac singulæ differentiæ singula vitarum proferant exempla, nequaquam inter eos conuenire, qui eadem hora videantur in lucem editi. Deinde prinsquam vita prima per septem orbes ad[g] locum sublunarẽ deuenit, non similiter omnes per appetitus secundarum vitarum designata considerant; sic vt alia canis vitam desumens, ad hunc horoscopum, alia hominis, ad illum accedat. Ac defert eum Iustitia ad eam orbis partem, quæ vitam ipsarum appetitui consentaneam continet. Iustitia sanè Fortuna dicitur, humanæ rationi ignota causa. Cùm porrò duodecim signa sint, per quæ commeare putant animas AEgyptij, prima quidem signiferi partes, tanquam signi domino attributa, communes traduntur, postremæ autem stellis malignis, quas vocant, assignantur. Ex quo fit, vt priores sortes gratæ sint, posteriores angustæ ducantur. Itaque certas figuras vitas quidem denotare, non autem necessarias reddere sentit Plato, verùm qui elegerint, necessario designata ferre. Causam igitur sustinent, qui vitam mulieris, aut viri, aut alterius animalis elegerint, nec non quæ secũda vita causa ad horoscopum accessit, quam [h]stellarum constitutio designat: nisi quis sationis quidem horoscopum hominis vel canis electionem dicat denotare, partus autem secũdam vitam. Sed ab AEgyptiorum quidem placitis fabulæ figmentum manasse facilè quis concesserit, an autem eadem singula sint à Platone conseruata, difficile sit affirmare. Et quoniam Homerum amas atque admiraris, ipse quoque ante Platonem vtramq. vitam videtur agnoscere, alteram quidem immutabilem, quam vt vel sumere vel omittere possit anima, ita sumtam nequeat mutare, quin vel cum virtute vel cum vitio degat, cùm ais,

At

g ἑτέρων pro ἑτέρ.

h ἀστέρων pro ἀστ.

At fata haud vllum dico vitasse virorum,
Prauũ siue bonum, cùm primùm est editus orbi.
alteram verò in nostra potestate sitam, de qua sic canit,
Qualia de diuis mortales crimina iactant.
Damna etenim nobis accepta ferunt: sed et ipsi
Sponte sua pariunt fato cessante dolores.
Nam cùm, Sed & ipsi, inquit, à diis quoque concedit partem aliquam, atque etiam potiorẽ proficisci, qui vitarum exempla proponant, nec tamen culpam sustineant, cùm eligendæ vitæ libertatẽ animis reliquerint, qui deinde per ignorantiam
Sponte sua pariunt fato cessante dolores.

i βίου pro βία.

Iâblichi epist. ad Macedonium.

Anima natura sua materia est & corporis expers, ortus & interitus nescia, sibiipsi vitam ac motum tribuens, natura ac motionũ omnium principium. Cùm porrò talis sit, quatenus quidem nascentibus se dat, & Vniuersi motui subiicit; eatenus etiam fato paret, ac naturæ necessitati seruit: quatenus autem libera mentis functione fungitur, eatenus liberè suas res agit, ac diuina cum veritate tractat.

Quocirca mentis ac cælestem vitam degere nos conuenit, quandoquidem hac sola libertatẽ animæ restituit, atq; necessariis nos liberat, nec tam humanam quam diuinam nobis vitam conciliat.

Etenim indicia quidem fati cum functionibus materiæ expertibus comparantur, ordo autem eum puro mentis ordine. At secundæ causæ ad priores referuntur, ortusq; multitudo ad naturam indiuiduam, itaq; fatum totum ad antecedentem prouidentiam. Quocirca prouidentiã fatum comprehendit, à qua dependet.

Quæ cùm ita se habeant, humanarum quoque actionum initio conuenit quidem cum hoc vtroque Vniuersi initio, liberum tamen aliud habent initium, ab Vniuersi motu separatum. Quatenus enim quidẽ à natura proficiscitur, non ab Vniuersi motu; antiquius habetur: quatenus autem à mundi partibus & elementis omnibus quadam desumit, quibus vtatur; fato continetur ac paret. Et quatenus quidem rationem puram, per se mobilem & perfectam in se continet anima; eatenus ab omnibus externis est libera: quatenus verò alia viuendi genera in ortum producit, & cum corpore se coniungit; eatenus mundi ordinem sequitur.

Μοῖραν δ' οὔτινα φημὶ πεφυγμένον ἔμμεναι ἀνδρῶν,
Οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται.
τοῦτο μὲν οὖν περὶ τοῦ πρώτου καὶ ἀπαραβάτου εἴη ἂν λέγων βίου· περὶ δὲ τοῦ δευτέρου, ὅτι ἐστὶν ἐφ' ἡμῖν, τί λέγει Ὅμηρος,
Οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται.
Ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι, οἱ δὲ καὶ αὐτοὶ
Σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσι.
διὰ τὸ οὖν οἱ δὲ καὶ αὐτοί, δηλοῖ γὰρ ὅτι καὶ ἀπὸ θεῶν τι ἔρχεται εἰς αὐτούς, ἢ καὶ τὸ πλεῖον δι' αὐτούς, ἢ ὅτι τὰ παραδείγματα τῶν βίων, παρὰ θεῶν, οὐδ' αὐτοὺς ἔχει τῆς αἰτίας, τοῦ εἰς κακὰ ἐμπίπτειν, ἀλλ' ἀπολύεται αὐτούς, τὸ αὐτεξουσίους ποιῆσαι τὰς ψυχάς, καὶ αὐταῖς ἐπιτρέψαι ἑλέσθαι βία, οἱ δὲ ἐξ ἐπιδρομῆς καὶ ἀμαθίας
Σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσι.

Οὐσία ἐστὶν ἄϋλος ἡ τῆς ψυχῆς καθ' ἑαυτὴν ἀσώματος, ἀγένητος πάντη, καὶ ἀνώλεθρος, παρ' ἑαυτῆς ἔχουσα τὸ εἶναι καὶ τὸ ζῆν, αὐτοκίνητος παντελῶς, καὶ ἀρχὴ τῆς φύσεως, καὶ τῶν ὅλων κινήσεων. αὕτη δὴ οὖν καθόσον ἐστὶ τοιαύτη, καὶ τὸ αὐτεξούσιον καὶ τὸ ἀπόλυτον περιείληφεν ἐν ἑαυτῇ ζωήν, καθόσον μὲν δίδωσιν αὑτὴν εἰς τὰ γιγνόμενα, καὶ ὑπὸ τὴν τοῦ παντὸς φορὰν ἑαυτὴν ὑποτάττει, κατὰ τοσοῦτον καὶ ὑπὸ τὴν εἱμαρμένην ἄγεται, καὶ δουλεύει τοῖς τῆς φύσεως ἀναγκαίοις· καθόσον δὲ αὖ τὴν νοερὰν ἑαυτῆς, καὶ τῷ ὄντι ἄφετον ἀπὸ πάντων, καὶ αὐθαίρετον ἐνέργειαν ἐνεργεῖ, κατὰ τοσοῦτον τὰ ἑαυτῆς ἑκουσίως πράττει, καὶ τοῦ θείου καὶ ἀγαθοῦ, καὶ νοητοῦ μετ' ἀληθείας ἐφάπτεται.

ἐν τῇ ἰαμβλίχου ἐπιστολῇ πρὸς Μακεδόνιον, περὶ εἱμαρμένης.

Τὸν κατὰ νοῦν ἄρα βίον, καὶ τὸν ἐχόμενον τῶν θεῶν διαζῆν μετιτητέον· οὗτος γὰρ ἡμῖν μόνος ἀποδίδωσι τὴν ἀδέσποτον τῆς ψυχῆς ἐξουσίαν, ἀπολύει τε ἡμᾶς τῶν ἀναγκαίων, καὶ ποιεῖ ζῆν. οὐκ ἀνθρώπινόν τινα βίον, ἀλλὰ τὸν θεῖον καὶ τῇ βουλήσει τῶν θείων ἀγαθῶν ἀποπληρούμενον.

ἐν ἄλλῳ.

Καὶ γὰρ ἤδη τὸ ὅλον εἰπεῖν, αἱ μὲν κινήσεις αἱ περὶ τὸν κόσμον τῆς περιφερομένης πρὸς τὰς ἀΰλους καὶ νοερὰς ἐνεργείας καὶ περιφορὰς ἀφομοιοῦνται, ἡ δὲ τάξις αὐτῆς πρὸς τὴν νοητὴν καὶ ἄχραντον εὐταξίαν ἀπείκασται· τὰ δ' αἴτια τὰ δεύτερα τοῖς προηγουμένοις αἰτίοις συνήρτηται, καὶ τὸ ἐν γενέσει πλῆθος περὶ τὴν ἀμέριστον οὐσίαν, καὶ πάντα οὕτω τὰ τῆς εἱμαρμένης συνῆπται πρὸς τὴν προηγουμένην πρόνοιαν· κατ' αὐτὴν τὴν οὐσίαν ἄρα ἐπιπλέκεται ἡ εἱμαρμένη τῇ προνοίᾳ, καὶ τὸ εἶναι τῆς προνοίας ἐστὶν ἡ εἱμαρμένη, καὶ ἀπ' αὐτῆς καὶ περὶ αὐτὴν ὑφέστηκε.

ὑ αἰθ

Τούτων δὲ οὕτως ἐχόντων, καὶ ἡ τῶν ἀνθρώπων ἀρχὴ τοῦ πράττειν ἔχει μὲν συμφωνίαν πρὸς ἀμφοτέρας ταύτας τοῦ παντὸς ἀρχάς, ἔχει δὲ καὶ ἀφειμένην ἀπὸ τῆς φύσεως καὶ ἀπόλυτον ἀπὸ τῆς τοῦ παντὸς κινήσεως, ἐν ἡμῖν τῶν πράξεων ἀρχήν, διὰ τοῦτο οὐκ ἔστιν ἐν τῇ τοῦ παντός. διότι μὲν γὰρ ἀπὸ τῆς φύσεως παράγεται, οὐδὲ ἀπὸ τῆς τοῦ παντὸς κινήσεως πρεσβυτέρα, καὶ οὐκ ἀπὸ τοῦ παντὸς ἐνδιδομένη προτέτακται· διότι γε μὴν ἀφ' ὅλων τῶν τοῦ κόσμου μερίδων, καὶ ἀπὸ πάντων στοιχείων μοίρας τινὰς κατανέμεται, καὶ ταύταις πάσαις χρῆται, περιέχεται ταύτῃ, καὶ ἐν τῇ τῆς εἱμαρμένης διατάξει συντελεῖται εἰς αὐτήν, καὶ συμπληροῖ τὴν ἐν αὐτῇ κατασκευήν, καὶ χρῆται αὐτῇ δεόντως· καὶ καθόσον μὲν λόγον καθαρὸν αὐθυπόστατον, καὶ αὐτοκίνητον, ἀφ' ἑαυτοῦ ἐνεργοῦντα, καὶ τέλειον ἡ ψυχὴ συνείληφεν ἐν ἑαυτῇ, κατὰ τοσοῦτον ἀπόλυτός ἐστι πάντων τῶν ἔξωθεν· καθόσον γεννᾷ καὶ ζωὰς ἄλλας προβάλλει ῥεπούσας εἰς τὴν γένεσιν, καὶ ἐπικοινωνεῖ τῷ σώματι, κατὰ τοσοῦτον ἔχει συμπλοκὴν καὶ πρὸς τὴν τοῦ κόσμου διάταξιν.

Εἰ

ὁ αὐτός.

Εἰ δέ τις ταὐτόματον καὶ τὴν τύχην ἐπεισάγων, ἀναιρεῖν οἴεται τὴν τάξιν, μαθέτω, ὡς οὐδέν ἐστιν ἐν τῷ παντὶ ἄτακτον, οὐδ' ἐπεισοδιῶδες, οὐδ' ἄνευ αἰτίας, οὐδὲ ἀόριστον, οὐδὲ εἰκῆ, οὐδὲ ἀπὸ τοῦ μηδενὸς ἐπεισιόν, οὐδὲ κατὰ συμβεβηκός. οὔκουν ἀναιρεῖται ἡ τάξις καὶ συνέχεια τῶν αἰτιῶν, καὶ ἡ τῶν ἀρχῶν ἕνωσις, καὶ ἡ διὰ[k] ὅλων διατείνουσα τῶν πρώτων ἐπικράτεια. βέλτιον οὖν ἀφορίζεσθαι, ἢ τύχη τῶν πλειόνων τάξεων, ἢ καὶ ἄλλων δὴ ποιῶν ἡ ἔστιν ἔφορος, καὶ συναγωγὸς αἰτία πρεσβυτέρα τῶν συνιόντων, ἣν ποτὲ μὲν θεὸν ἐπικαλοῦμεν, ἣν δὲ εἰλήφαμεν. ἡνίκα γὰρ ἂν τὰ κρείττονα αἴτια τῶν συνιόντων θεός ἐστιν αὐτῶν ἔφορος· ὁπόταν δὲ τὰ ἐν τῇ φύσει, δαιμόνιον. ἀεὶ οὖν μετ' αἰτίας πάντα ἐπιτελεῖται, καὶ οὐδ' ὁπουοῦν ἄτακτον ἐν τοῖς γιγνομένοις ἐπεισέρχεται. διὰ τί οὖν παρ' ἀξίαν αἱ διανομαὶ ἀποδίδονται; ἢ τοῦτο οὐδὲ τὴν ἀρχὴν ἀμφισβητεῖν ὅσιον, οὐ γὰρ ἐπ' ἄλλῳ τινὶ κεῖται, ἐπ' αὐτῷ δὲ τῷ ἀνθρώπῳ καὶ τῇ τοῦ ἀνθρώπου αἱρέσει τἀγαθά, καὶ ταῦτα ἐν τῇ προαιρέσει κυροῦται καὶ ἀφαίρεισαι, τὰ δὲ ἀπορούμενα τοῖς πολλοῖς δι' ἄγνοιαν ἀμφισβητεῖται. οὐκ ἄλλη οὖν ἐπικράτεια τῆς ἀρετῆς ἐστιν, ἢ αὐτὸ ἑαυτοῦ. οὐ μὴν οὐδὲ ἐλαττοῦται ὅστις σπουδαῖος ἀπὸ τῆς τύχης. κρείττονα γὰρ αὐτὸν πάσης συντυχίας καὶ μεγαλοψυχίας ἀπεργάζεται. οὐδὲ γὰρ παρὰ φύσιν γίγνεται. ἐξαρκεῖ γὰρ ἡ τῆς ψυχῆς ἀκρότης καὶ τελειότης τὴν ἀρίστην φύσιν συμπληρῶσαι τοῦ ἀνθρώπου. καὶ μὴν τά γε ἐναντία εἶναι δοκοῦντα, γυμνάζει καὶ συνέχει καὶ συναύξει[l] τὴν ἀρετήν, καὶ οὐχ οἷόν ἐστι χωρὶς αὐτῶν καλοὺς κἀγαθοὺς γίγνεσθαι. καὶ αὕτη τοίνυν ἡ διάθεσις τὸν σπουδαῖον τὸ καλὸν προτιμᾶται διαφερόντως, καὶ τὴν τοῦ λόγου τελειότητα μόνην ἐν μακαρίᾳ ζωῇ τίθεται, τὰ δ' ἄλλα ἐν οὐδενὸς μέρει προσορᾷ, καὶ ἀτιμάζει. ἐπεὶ τοίνυν ἐν ψυχῇ μέν ἐστιν ἄνθρωπος, ἡ δὲ ψυχὴ νοερά τε ἐστὶ καὶ ἀθάνατος, καὶ τὸ καλὸν ἄρα αὐτοῦ καὶ τὸ ἀγαθὸν καὶ τὸ τέλος ἐνυπάρχει τῇ θείᾳ ζωῇ, τῶν τε θνητοειδῶν οὐδὲν κύριον ἢ συμβαλέσθαι τι πρὸς τὴν τελείαν ζωήν ἐστι, ἢ παραιρεῖν αὐτῆς τὴν εὐδαιμονίαν. ὅλως γὰρ ἐν νοερᾷ μὲν ζωῇ τὸ μακάριον ἡμῖν ὑπάρχει· ταύτην δὲ οὐδὲν τῶν μέσων οὔτε ἐπιδιδόναι ποιεῖ, οὔτ' ἐστὶν ἀφαιρεῖσθαι. μάτην ἄρα αἱ τύχαι καὶ τὰ ἄνισα δῶρα τῆς τύχης διατεθρύλληται παρὰ τοῖς ἀνθρώποις.

προσειλήφαμεν.

Quòd si quis casu & fortuna introductis ordinem tolli existimet, sciat nihil in Vniuerso ordine, causa, vel termino carere, aut ex euentu proficisci. Quocirca non tollitur ordo, nec causarũ coniunctio, nec per[k] omnia penetrans principiorum dominium. Quapropter ordinis præses rectè statuetur fortuna, & conducens causa; quam nunc deam, nunc dæmonem nuncupamus. siquidem cùm præstantiores causæ concurrunt, dea præficitur; cùm naturales, dæmon. Itaque cuncta de causis fiunt, nec quicquam ordine destituitur. Cur igitur præter dignitatem singula distribuuntur? At hoc nefas est quærere, cùm in ipsius hominis voluntate posita sit bonorum possessio, neque hæc quæstio aliunde quàm ex ignorantia proficiscatur. Neque verò læditur probus à fortuna, quem animi magnitudo quouis euentu præstantiorem reddit. Nihil enim præter naturã fit, cùm animæ perfectio optimam hominis naturam queat explere. Quæ autem videntur esse contraria, continent virtutem &[l] augent, nec absque illis probus quisquam reddi queat. Itaque proborum consilium honestum omnibus præfert, solamq́ rationis perfectionem in beatitudine ponit, cetera cõtemnit. Quocirca cùm animus quidem hominem cõstituat, hic autem mente sit præditus & immortalis; bonum sanè ipsius ac finis in diuina vita consistit, nec mortale quicquam perfectam vitam vel augere potest, vel diminuere. Etenim vt in mentis vita beatitudo nostra collocatur, ita illam nullum medium vel auget, vel tollit: Frustrà igitur fortuna cum inæqualibus donis suis ab hominibus celebratur.

k ἡ δι' pro ἰδί

l συνέχει pro συνάξει.

Δημοκρίτου.

Ἀφ' ὧν ἡμῖν τἀγαθὰ γίγνεται, ἀπὸ τῶν αὐτῶν τούτων καὶ τὰ κακὰ ἐπαυρισκοίμεθα· τῶν δὲ κακῶν ἐκτὸς εἴημεν. αὐτίκα ὕδωρ βαθὺ εἰς πολλὰ χρήσιμον, καὶ δ' αὖ τι κακόν, κίνδυνος γὰρ ἀποπνιγῆναι. μηχανὴ οὖν εὑρέθη, νήχεσθαι διδάσκειν.

Democr.

A quibus bona nobis proueniunt, ab iisdem quoque mala naneiscimur. ea verò fugienda sunt. Sic aqua profunda multũ quidẽ prodest, verùm nocet etiam, quando periculum est ne submergamur. Quapropter natandi ars est reperta.

Τοῦ α.

Ἀνθρώποισι κακὰ ἐξ ἀγαθῶν φύεται, ἐπήν τις τἀγαθὰ μὴ ἐπίσταται ποδηγετεῖν, μηδὲ ὀχέειν εὐπόρως, οὐ δίκαιον ἐν κακοῖσι τὰ τοιάδε κρίνειν, ἀλλ' ἐν ἀγαθοῖσιν ἔνεστι τοῖς ἀγαθοῖσιν οἷόν τε χρῆσθαι καὶ πρὸς τὰ κακά, εἴ τινα βουλομένῳ ἀλκήν.

Humana mala de bonis nascuntur, cùm quis ea rectè ferre non potest, ideoq́ non tam in malis, quàm in bonis habenda sunt.

Ὁ μὲν εὔθυμος εἰς ἔργα ἐπιφερόμενος δίκαια καὶ νόμιμα, καὶ ὕπαρ καὶ ὄναρ χαίρει τε καὶ ἔρρωται καὶ ἀνακηδής ἐστιν· ὃς δ' ἂν καὶ[m] δίκης ἀλογῇ, καὶ τὰ χρεὼν ἐόντα μὴ ἔρδῃ, τούτῳ πάντα τὰ τοιάδε ἀτερπείη, ὅταν τευ ἀναμνησθῇ, καὶ δέδοικε, καὶ αὐτὸν κακίζει. οἱ δὲ θεοὶ τοῖς ἀνθρώποισι διδοῦσι τἀγαθὰ πάντα καὶ πάλαι καὶ νῦν, πλὴν ὁπόσα κακὰ καὶ βλαβερὰ καὶ ἀνωφελέα, τάδε δ' οὐ πάλαι οὔτε νῦν θεοὶ ἀνθρώποισι δωροῦνται, ἀλλ' αὐτοὶ τοῖσδεσι ἐμπελάζουσι διὰ νοῦ τυφλότητα καὶ ἀγνωμοσύνην.

Qui iustè ac secundum leges agit, & vigilans & somnians gaudet atque exultat: qui autem nec iustitiam curat, nec legibus paret, is memoria factorum cruciatur, ac metuit, [m]& seipsum incusat. Dij autem hominibus bona omnia & olim & nunc præbent; mala verò et noxia nec olim nec nunc, sed ipsi hæc per mentis cæcitatem sibi conciliant.

m καὶ pro ἢ.

Fortuna

Fortuna est magnifica, sed inconstans; natura verò stabilis, ideoq́ minore constantia maiorem spem superat.

Eusebij.

Duo vivendi itinera hominibus Dei indicio sunt ab initio proposita, maceria primum adamantina densissima & altissima inter se distincta. Et alterum quidem, vt honestius, ad dextram est intrantibus, adq́ virtutem ducit: alterum autem sinistrum ad vitiositatem tendit. Ac virtutis quidem iter vt primò videtur angustum, & laborem requirit, quanquam ductibus non caret; ita pòst latiùs extenditur vsque ad ipsam arcem, qua conscensa cùm alia præclara infinita spectantur, tum lux præcedit clarissima, & vndiq. visuntur vrbes, ac terræ incolæ & cultores, de quorum singulis ad consilium animus dandum sermo missus disseret. Atque hoc quidem ita se habet; vitiositatis autem iter primum quidem parvam quandam eamq́ falsam præbet dulcedinem, deinde verò duce destitutos in tortuosam viam deducit, vallis, voraginibus, & præcipitiis refertam, in quibus multi confestim pereant, reliquis casu, non consilio, in proximas vrbes ac regionem totam dispersis, de quibus itidem missus disseret nuntius. Quæ cùm ita se habeant, animas descendere parantes Dei præco, sermo consultor, sic in medio constitutus præmonet: Animæ hominum, tum mortis, tum immortalitatis participes, ac vita quidem terrena mortem lucrantes, morte autem terrena vitam; cùm elapso tempore præfinito solvemini, terrena vita rursum vos excipient. Quocirca vos præmoneo, Mercurij ac reliquorum deorum vates & consultor sermo, ac parentibus quidem diuina bona, contumacibus autem mortalia malæ euentura prænuntio. Quare non decet falsæ & futilis voluptatis gratia magna & perpetua mala comparare, nec vita breuissima vitam sequẽtem longissimam corrumpere, nec etiam exigui laboris formidine magna & perpetua bona, vitaq́ longissima beatitudinem perdere.

Τύχη μεγαλόδωρος, ἀλλ᾽ ἀβέβαιος. φύσις δὲ αὐτάρκης, διόπερ νικᾷ τῷ ἥσσονι καὶ βεβαίῳ τὸ μεῖζον τῆς ἐλπίδος.

Εὐσεβίου.

Θεοῦ ἐξ ἀρχῆς φήναντος τῷ γένει τῶν ἀνθρώπων κατὰ τὰ φωτιζόμενα οἷς ἔσται ἀφανέας, ὁδοὶ διφάσιαι προκέαται βίου ψυχαῖς ἀνθρώπων, ἀδαμαντίνη αἱμασιῇ παχυτάτῃ, καὶ ἐς πολλὸν ὕψος ἀνηκούσῃ, κατὰ τὰ ὑπὸ τοῦ ἐξ ἀρχῆς φήναντος, ἀπ᾽ ἀλληλέων τὰ περὶ τὰ διεργόμεναι, καὶ ἡ μὲν αὐτέων ἐστὶν ὁκοία δὴ τὴν τιμιωτέρην τάξιν λαχοῦσα ἐκ δεξιῆς χειρὸς ἐσιόντων αὐτὴ ἐπὶ τὴν ἀρετὴν αὐτέοις ἡγέεται, ἑτέρη δὲ λαιὰ οὖσα ἐπὶ τὴν κακίην ἐστὶ παρατείνουσα· πατίζονται δὲ τοιαίδε, ἡ μὲν τῆς ἀρετῆς τὰ πρῶτα οὐ σκολιὴ λατάπους παρέχειν δοκέει οἷα τι μέντοι εὐτυχεῖ πόνῳ ἀνυσθῆναι, ἀλλὰ καὶ τοὺς κατηγεομένους ἔχει καὶ παραπέμψαντας ἀκινδύνως· τὸ δὲ μετὰ τοῦτο ἐστὶ ὁδὸς θέειν καὶ εὐρέη, μέχρι τοῦ ἐπὶ τὴν ἀκρόπολιν αὐτὴν τοῦ καλοῦ, ἐπὴν ἀνελθὼν ἐν τοῖς καλλίστοις ἔσται, καὶ θέῃ ἄλλων τε μυρίων ἀγαθῶν, καὶ τῶν εὐδαιμονεστάτων, ἀτὰρ δὴ καὶ φωτὸς παντὸς τοῦ λοιποῦ κάλλει μυρίῳ προέχοντος, καὶ αὐγοειδεστάτου, πέριξ καὶ περὶ πᾶσαν γῆν ἀναπεπταμένην αἱ πόλιες ἔασι, καὶ οἱ τὴν γῆν κατοικέοντες, καὶ ἐργαζόμενοι, περὶ ὧν ὡς ἕκαστα ἔχει ὁ ἐπὶ συμβουλίην τῇ ψυχέων προπεμφθεὶς ἐρέει λόγος. καὶ εἴδη μὲν ὧδε κακῶς ἔχει· ἡ δὲ ἐπὶ τὴν κακίην ἔχουσα ἐστὶ οἵη, τὰ μὲν κατ᾽ ἀρχὰς ὀλίγου παίζει, καὶ τοῦτο οὐ γνησίη, ἀπατηλοῦ δὲ, καὶ ἐπιπαραγωγὴ τῶν προσιόντων γεῦσαι τοῦ ἡδέος· ὥστε δὲ μηδενὸς μετὰ ταῦτα ἡγεμόνος εὐρισκομένου, εὐθὺς ἄγει ἐς ὁδὸν σκολιὴν, σκόλοπας τε ἔχουσαν, οἵτινες δὲ ὀξέες μεγάλοι καὶ πυκνοὶ καταπεπήγασι, καὶ χαράδρας, καὶ κρημνοὺς, κατὰ κεφαλῆς ὠθέοντας τοὺς εὐρισκομένους, καὶ τοὺς τοῦ συμψήσαντος καὶ παρασύροντος, τοὺς κατενεχθέντας ἐπ᾽ αὐτὴν ποταμοὺς βορβόρῳ καὶ λίθοις ῥέοντας, ὥστε πολλοὺς εὐθὺς ὑπὸ διαφθείρεσθαι, οἱ δὲ λοιποὶ τύχῃ οὔτ᾽ ἄρ᾽ οἰκείῃ προμηθείῃ ἐπὶ τὰς αὐτόθι ἐούσας πόλιας διασκεδαννύαται, ἄλλοι ἄλλοσε. καὶ ἐπὶ πᾶσαν, πολλὴν ἐοῦσαν, τὴν χώρην, περὶ ὧν δὴ καὶ αὐτὸν ὁ προκεινόμενος ἄγγελος ἀφηγήσεται. τουτέων ἐουσέων τῶν ὁδῶν τοιουτέων, ἄγει προειρημένος, καὶ ἔστιν ἐν μέσῳ θεοῦ μεγάλου κῆρυξ, σύμβουλος λόγος, ψυχαῖς τε μελλούσαις κατιέναι τοιάδε προφαίνει· ψυχαὶ ἀνθρώπων φύσιν ἔχουσαι, θνηταί τε εἰσὶ, καὶ ἀθάνατοι, καὶ ζωὴν μὲν τῇ ἐπὶ γῆς νομιζομένῃ θανάτῳ ἐγκυρέουσαι, θανάτῳ δὲ τῷ δοκέοντι αὐτόθι ζωὴν ἀπολαμβάνουσαι, ἐπεὰν χρόνου τοῦ τεταγμένου ὑμῖν ἀνυσθέντος αὐτῆς ἀπολυθῆτε, σήματος τοῦ ἐν τῷ αὐτόθι θανάτῳ ὑποδεξαμένου ὑμέας, διαδέξονται αὖθις ὑμέας ὄντως τῆς ἐπὶ γῆς ζωῆς, βίοι οἱ ὀφειλόμενοι, καὶ διὰ τοῦτο παραινέω, θεοῦ μεγάλου ἑρμέω, καὶ θεῶν τῶν λοιπῶν προφήτης τε καὶ σύμβουλος λόγος, καὶ ἀπειθεούσαις μὲν προλέγω θνητὰ κακὰ, πειθομέναις δὲ ἀγαθὰ ἔσεσθαι τοῖς τῶν θεῶν ὁμοιούμενα. οὐ χρὴ οὖν βραχίη γῆς κιβδήλου τε καὶ εὐδιασκιδάστου τῆς ἡδονῆς εἵνεκα, κακὰ μεγάλα, καὶ τὰ παραμένοντα χρόνον, αἱρέεσθαι, καὶ βίῳ τῷ βραχυτάτῳ βίον βλάψαι τὸν μετὰ ταῦτα μακρόταστον, οὐδ᾽ αὖ πόνον ὀλίγον καταδείσαντας ἀγαθὰ μεγάλα, καὶ τὰ παραμένοντα τὸν πάντα χρόνον, καὶ εὐδαιμονίην, βιοτῆς μηκίστης μετὰ ταῦτα προΐεσθαι.

Πολὺ

ἱεροκλέως, ἐκ τοῦ πῶς θεοῖς χρηστέον.

Πολὺ δέ μοι δοκεῖ συμβάλλεσθαι πρὸς τὸ καλῶς χρῆσθαι θεοῖς, καὶ τὸ διειληφέναι, ὡς οὐδενός ποτε κακοῦ γίγνεται θεὸς αἴτιος, ἀλλὰ ταῦτα μὲν ἐκ τῆς κακίας ἅπαντα μόνης, οἱ δὲ θεοὶ τὸ ἐφ' ἑαυτῆς ἀγαθῶν τε εἰσὶν αἴτιοι, καὶ τῶν χρησίμων, ἡμεῖς δὲ ἐσμὲν οἱ τὰς εὐεργεσίας αὐτῶν οὐ προσιέμενοι, περιβάλλοντες δὲ αὑτοὺς κακοῖς αὐθαιρέτοις, ἤδη καιρὸν ἔχειν μοι τὸ ποιητικὸν ἐκεῖνο δοκεῖ, κατὰ τὸν τόπον τοῦτον,

Ὡς δὴ οἱ βροτοὶ τοὺς θεοὺς αἰτιόωνται.
ὡς ἐξ αὐτῶν ἐπιπεμπομένων τῶν κακῶν.
οἱ δὲ καὶ αὐτοὶ
Σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν.

ἐπεί τοι γε ὡς ὁ θεὸς οὐδαμῇ οὐδαμῶς κακῶν αἴτιός ἐστιν, ἐκ πολλῶν νοήσειέ τις. πρὸς δὲ τὸ παρὸν ἀποχρήσειεν ἂν ὁ Πλάτωνος ἐκεῖνος λόγος. οὐ γὰρ θερμοῦ φησι τὸ ψύχειν, ἀλλὰ τοῦ ἐναντίου, οὐδὲ ψυχροῦ τὸ θερμαίνειν, ἀλλὰ τοῦ ἐναντίου. οὕτως οὖν οὐδὲ ἀγαθοποιοῦ τὸ κακοποιεῖν, ἀλλὰ τοὐναντίον. καὶ μὴν ἀγαθὸς ὁ θεὸς, πεπληρωμένος εὐθὺς ἀπ' ἀρχῆς ταῖς ἀπάσαις, ὥστ' οὐκ ἂν κακοποιητικὸς ὁ θεὸς εἴη, οὐδέ τινι κακῶν αἴτιος, πάντα δὲ τοὐναντίον παρέχων ἀγαθὰ τοῖς λαβεῖν βουλομένοις, ἅπασι χαριζόμενος δὲ σὺν τοῖς ἀγαθοῖς καὶ τῶν μέσων ὅσα κατὰ φύσιν ἡμῖν ἐστι τὰ ποιητικά γε τῶν κατὰ φύσιν. ἓν δὲ καὶ μόνον αἴτιον τῶν κακῶν. ταῦτα χρὴ

Hierocles De usu deorum.

Ac multum ad rectum deorum usum videtur mihi conducere, si quis intelligat nullius unquam mali Deum esse auctorẽ; sed hæc quidem de sola vitiositate proficisci, deos autem per se bonorum & utilium auctores esse, nos verò nec ipsorum admittere beneficia, & sponte nobis mala consciscere. Atque hoc loco poëticum illud aptè proferetur,*

Qualia de divis mortales crimina iactant:
quasi ab iis mala demittantur.
sed & ipsi
Sponte sua pariunt fato cessante dolores.

Etenim nullius unquam mali Deum esse auctorem, ut multis probari potest, ita nunc solius Platonis contenti erimus argumento. Quemadmodum, inquit, nec calidum frigefacit, sed contrarium; nec frigidum calefacit, sed contrarium: sic nec beneficum malefacit, sed contrarium. Deus autem cùm bonus sit, omniq́ virtute plenus, non est maleficus, nec mali cuiusquã auctor, sed contrà & bona omnibus idoneis suppeditat, & cum bonis media quoque naturæ cognata impertitur. Una porrò tantùm est malorum causa. Hæc oportet

* [illegible]

Non multa videntur deesse.

ΠΛΗΘΩΝΟΣ ΠΡΟΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΕΜΑΝΟΥΗΛΟΝ ΠΕΡΙ ΤΩΝ ΕΝ ΠΕΛΟΠΟΝΝΗΣΩ ΠΡΑΓΜΑΤΩΝ.

ΤΟΥ ΑΥΤΟΥ ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΣ ΠΡΟΣ ΤΟΝ ΔΕΣΠΟΤΗΝ ΘΕΟΔΩΡΟΝ ΠΕΡΙ ΤΗΣ ΠΕΛΟΠΟΝΝΗΣΟΥ.

Ex bibliotheca C. V. Ioannis Sambuci.

GEORGII GEMISTI PLETHONIS DE REBVS PELOPONNESIACIS ORATIONES DVÆ.

Interprete Gulielmo Cantero.



ANTVERPIÆ,
Ex officina Christophori Plantini,
Architypographi Regij.
M. D. LXXV.

CLARISS. VIRO I. SAMBVCO GVLIELMVS CANTERVS S. D.

SÆPENVMERO mecum dubitare sum coactus, Vir clarissime, essémne consultò facturus, vt post tam doctos & eloquétes bibliothecæ tuæ locupletissimæ interpretes, ipse quoq. in hanc palæstram non valde exercitatus miles prodirem. Cùm enim Adr. Iunij, Laur. Sifani, I. Leuiclauij, vt alios omittam, eruditionem & loquendi elegantiam considerabam, vix ego me cum illis paria sperabam, etiamsi summis anniterer viribus, posse facere. Etenim quæ sunt à nobis olim huius generis quædam edita, tantum absunt à perfectione, vix vt mihi nunc aliquantum satisfaciant. Quapropter equidem certū silentij præmium incerto temeritatis euentui longè putassem præferendum, nisi aliò me amicorū vocassent consilia, quibus ego nonnunquam de me plus, quàm ipsi mihi, solitus sum credere. Itaq. cùm exhibitus mihi esset inter ceteros à te transmissos hic Gemisti Plethonis libellus, orationes ab eo duas de rep. Peloponnesiaca constituenda non paruo artificio scriptas comprehendens, in eo visum est periculum facere, ab eoque vel, si res succedat, ad maiora progredi, vel, si minùs, quamcitissimè receptui canere. Ceterùm hoc opusculum simulatque fui aggressus conuertere, ipsi nonnulla, permagna mihi interuenit calamitas. Nam cùm post crebram niuis pluuiam cæli tepor exeunte iam hieme omnem rigorem resolueret, repente Dilus noster, velut alter Nilus, in tantam creuit altitudinem, vt perfractis & portis vrbis & aggeribus, multisque passim pontibus, ædibus, parietibus prostratis, latissimè sit per maiorem Louanij partem vagatus. id quod vt sine magna multorum clade fieri non potuit, ita nostræ quoque bibliothecę, quoniam inferiorem domus partem occupabat, detrimentum permagnum attulit. Etenim de copiosa supellectile libraria, quam nos permultis annis magno studio de plurimis Europæ typographeis in vnum coëgimus, vix vnus & alter libellus, quem hæc vnda non penitus tinxerit, remansit. In eo porrò numero libellus quoque iste tuus cùm esset, & is in chartis aliquot dissolutis, vt meminisse potes, descriptus haberetur, illæ cùm per aquam turbidissimam huc illuc volutarentur, de vna fortè versus aliquot, qui in postrema posterioris orationis parte desiderantur, nobis perierunt. quæ iactura vix vt reparari potest, ita multo fuit ea, quæ videbatur imminere, tolerabilior. Nisi enim præstantissimi adolescétes duo Frisij, Haio Dominicus, & Andreas Albada, ambo contubernales mei, & optimarum artium studiosissimi, in tanto naufragio tanquam Dioscuri duo mihi affulsissent, de libris meis omnibus atq. studiis actum prorsus fuisset. Hi verò cùm & bibliothecæ nostræ præstantiam cognoscerent, & studiorum nostrorum fructum in posterum non exiguum sperarent; nec laborem vllum suscipere, nec tædium ferre recusarunt, quò thesaurum nobis hunc si non planè in integrum, quòd omnino fieri haud poterat, saltem ex parte aliqua restituerent. Quocirca si quis posthac ex laboribus nostris ad studiosos fructus perueniet, eum illi nō tam nobis, quàm duobus istis Musarum nostrarum patronis deberi cognoscant. Ac nunc quidem hunc, vt dixi, libellum tanquam præ manibus damus: pauló pòst, si Deus volet, maiores alios & potiores subiūgemus. Tibi verò, Vir clarissime, laboris huius primi patrocinium denuntiare visum est; idque vt benignè suscipias, etiam te atque etiam rogatum volo. Vale. Louanij.

ΠΛΗΘΩΝΟΣ ΠΡΟΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΕΜΑΝΟΥΗΛΟΝ ΠΕΡΙ ΤΩΝ ΕΝ ΠΕΛΟΠΟΝΝΗΣΩ ΠΡΑΓΜΑΤΩΝ.

GEORGII GEMISTI PLETHONIS AD REGEM EMANVELEM DE REBVS PELOPONNESIACIS ORATIO PRIOR.

Interprete Gulielmo Cantero.

ΘΕΙΟΤΑΤΕ Αὐτοκράτορ, ὁ μὲν πρὸς Ἰταλοὺς τοὺς ἐν Πελοποννήσῳ δυναστεύοντας τοῖς πάντα κρατίστοις υἱέσι πολεμηθεὶς πόλεμος, καλῶς τε μετὰ πολλοῦ μάλιστα τοῦ περιόντος κατατέθειται· τῶν πλείστων τε καὶ ἐπικαιροτάτων τῆς ἐκείνων ἐπικρατείας, διὰ μακροῦ τοῦ χρόνου τὰ ἡμέτερα ἐπανασεσωσμένων, αὐτῶν τε ἐκείνων καὶ ὑπὲρ τῶν λοιπῶν παντάπασιν ἡμῖν εἰξάντων, καὶ ἐς ἅπαντα ἕψεσθαι ὁμολογησάντων. ἐκ δὴ τούτων ὑμῖν μὲν δόξα καὶ κλέος οὕτω κρατυνοῦσί τε καὶ ἐπαύξουσι τὴν ἀρχήν, τοῖς δὲ κοινῇ ἀσφάλειά τε ὁμοῦ καὶ ὠφέλεια, καὶ ἐς τὸ μέλλον μειζόνων ἀφορμαὶ πραγμάτων, εἰ θεὸς διδοίη. ἐμοὶ δὲ ἐπέρχεται νῦν εἰπεῖν καὶ ὑποθέσθαι, ἃ ἐκ πλείστου σκοποῦντι δόξαι παρέστησεν, ἃ γινόμενα μὲν ἄν, μέγα ἂν τοῖς τῇδε πράγμασι λυσιτελήσειε· οὐ γινόμενα δ' ἄν, οὐ μικρὸν ἂν πρὸς τὸ τοῦ παντὸς ἐλλείποι σωτηρίας. περὶ τοῦ μὲν δὴ ὑπὲρ αὐτῆς τῆς χώρας, ὡς περὶ πλείστου ποιητέα ὑμῖν ἐστι, βραχέ' ἄττα μοι εἰρήσεται. οὐχ ὅτι μὴ καὶ αὐτοὺς ὑμᾶς περὶ τῆς ταύτης ἐπιμέλειαν ἐσπουδακότας ὁρῶ· ἀλλ' αὐτοῦ γέ τοι τοῦ λόγου ἕνεκα, ὡς διὰ τῶν δεόντων δὴ χωροίη. ἐσμὲν γὰρ οὖν, ὧν ἡγεῖσθέ τε καὶ βασιλεύετε, Ἕλληνες τὸ γένος, ὡς ἥ τε φωνὴ καὶ ἡ πάτριος παιδεία μαρτυρεῖ. Ἕλλησι δὲ οὐκ ἔστιν εὑρεῖν ἥτις ἄλλη οἰκειοτέρα χώρα, οὐδὲ μᾶλλον προσήκουσα, ἢ Πελοπόννησός τε, καὶ ὅση δὴ ταύτῃ τῆς Εὐρώπης προσεχής, τῶν τε αὖ νήσων αἱ ἐπικείμεναι. ταύτην γὰρ δὴ φαίνονται τὴν χώραν Ἕλληνες ἀεὶ οἰκοῦντες οἱ αὐτοὶ ἐξ ὅτουπερ ἄνθρωποι διαμνημονεύουσιν, οὐδένων ἄλλων προενῳκηκότων· οὐδ' ἐπήλυδες κατασχόντες, ἄλλους τε ἐκβαλόντες, καὶ αὐτοὶ ὑφ' ἑτέρων τὸ αὐτὸ ἔστιν ὅτε πεπονθότες· ἀλλ' Ἕλληνες τήνδε τὴν χώραν τοὐναντίον αὐτοί γε ἀεὶ φαίνονται κατέχοντες, οὔτε ταύτην ἐκλελοιπότες. συμπάσης δὲ ταύτης τῆς χώρας αὐτὴ Πελοπόννησος ὁμολογεῖται τά πρῶτά τε καὶ γνωριμώτατα ἐνεγκοῦσα τῶν Ἑλλήνων γένη, καὶ ἀπὸ ταύτης ὁρμώμενοι τὰ μέγιστά τε καὶ ἐνδοξότατα Ἕλληνες ἔργα ἀποδεδείχασι. καὶ μὲν δὴ καὶ τῆς μεγάλης ταυτησὶ πόλεως τῆς πρὸς Βοσπόρῳ, ἥπερ νῦν ὑμῖν βασίλειόν ἐστι, τήνδε τὴν χώραν εἴη ἂν λογιζομένοις οἷον μητέρα τε οὖσαν καὶ ἀφορμήν τινα ἰδεῖν. τῶν μὲν ἐπειδὴ Βυζάντιον οἱ προενῳκηκότες, Ἕλληνές τε καὶ Δωριεῖς· Δωριεῖς δὲ Πελοποννήσιοι περιφανῶς· τῶν δ' ἐπειδὴ καὶ οἱ μετὰ ταῦτα τὴν λαμπρὰν ταύτην ἀπὸ τῆς ἐν Ἰταλίᾳ Ῥώμης ἀποικίαν στειλάμενοι, καὶ Βυζάντιον οὕτω καλῇ καὶ μεγάλῃ ἐπηυξηκότες τῇ προσθήκῃ, Πελοποννησίων οὐκ ἀλλό-

BELLVM quidem cum Italis Peloponnesum tenentibus à praestantissimis filiis gestum, magna cum laude & emolumento confectum est, Imperator Auguste: cùm & plurima maximeque opportuna illorum dominia nostram in potestatem longo pòst tempore redierint, & ipsi cum reliqua nobis omnia cesserint, tum in vniuersum se nobis obtemperaturos receperint. Quibus ex rebus vobis quidem, hoc pacto imperium & confirmantibus & augentibus, decus & gloria; nobis autem securitas nascetur, & vtilitas, maiorumque in posterum consequendorum, si Deus permiserit, occasio. Mihi verò nunc ea tibi exponere in mentem venit, quae multis de caussis arbitror, siue obseruentur, multum his rebus esse profutura, siue negligantur, magnam salutis partē detractura. Ac primùm de ipsa regione, quanti sit vobis facienda, pauca quaedam dicam; non tam quòd vestrum erga ipsam studium non videam, quàm vt ipsa recto ordine procedat oratio. Etenim nos, quibus imperatis, Graeci genere sumus, vt partim è sermone, partim ex auita disciplina constare potest. Graecis verò vix vlla magis familiaris reperiri possit regio, quàm Peloponnesus, & quaecunque iuxta hanc ad Europam spectat, quaeque adiacent insulae. Hanc enim terram, quantum humana potest memoria recolere, iidem semper à nullis antè possessam incoluerunt Graeci; nec aduenae eā occuparunt, eiectis aliis, ipsique nonnunquam ab aliis eiecti; sed contra semper hanc regionem tenuerunt Graeci, nec deseruerunt vnquam. Iam inter omnes huius regionis partes Peloponnesum praecipuas ac nobilissimas Graecorum gētes protulisse traditur, ex eaque Graecos profectos maximas ac praeclarissimas quasque res gessisse. Quid quòd magnae quoque istius ad Bosporū sitae vrbis, quae vestra nunc est regia, terram hāc, qui rectè rem consideret, quasi matrem non iniuria [a] dixerit. Nam & qui antè Byzantium incoluerunt, Graeci fuerunt ac Dores, (Dores autem Peloponnesios esse nemini dubium est) & qui posterioribus saeculis illustrē illam ex Italica Roma deduxerūt coloniam, tamque praeclaro Byzantium auxerunt additamento, non sunt à Peloponnesiis

[a] εἰπεῖν lego pro ἰδεῖν.

alieni:

alieni: siquidem vt Æneadæ & Sabini pari iure permisti, Romanam vrbem felicissimam incoluerunt, ita Sabini censentur Peloponnesij, de Lacedæmoniis profecti. Quocirca nec his de caussis parui facienda tam vobis quàm nobis est hæc regio, quandoquidem & maximè propria curanda sunt maximè, & hæc omnium est maximè propria: & si de ipsius virtute, qua nulli terræ cedit, dicendum est; vt ea, quæ de anni temporum temperie, deq́ terra nascentium, & omnium ad vitam pertinentiū prouentu dici possint, nunc omittam, ad securitatem sanè nullam non regionem hæc superat, cùm & insula pariter tanta sit, & continens, nec difficulter possint eius incolæ, si rectè suppetentibus vtantur adiumentis, cum apparatu minimo, si quis inuadat, repellere, tum ad alios, vbi videatur ipsi, accedere, itaq́ regionis terminos nōlenter augere. Præterea nunc montium munimēta, qui per totam porriguntur terram, & vbique arcium instar eminent, sic vt hostes, etiamsi campestri solo fortè potiantur, tota tamen excidant regione. Quò fit, vt non tam familiaritatis, quàm virtutis ipsius causa curanda videatur hæc regio, quandoquidem possessiones potiores potius etiam studium solent requirere. Iam cùm omnibus, qui inter Græcos censentur, hæc impendat cura, tum regibus maximè, quibus Vniuersi tutela præ ceteris est commissa. Neminē porrò superiorum regum propiùs quàm te hæc res attingit. Nam & cùm Itali ditionem hanc tenerēt, in eaq́ longo tempore regnassent, soli eam vestræ familiæ principes recuperarunt: & ipse tu præter alia multa magnaq́ beneficia, præclarū illud atque ingens opus nuper erexisti, ducto per Isthmum muro, maxima & præstantissima perpetuæ salutis occasione. Quocirca vos decet cum priorum beneficiorū collocatione hæc etiam consequentia coniungere, quò simul et ipsi rerum præclararum augmento studere videamini, & ipsa vobis antè collata beneficia, perpetuitate consequentium salua permaneant. Neque parum tum securitatis tum emolumenti magnæ quoque isti vrbi, vt arbitror, hæc regio rectè constituta adferret: id quod hoc quidem loco pluribus explicare superuacaneum nobis videtur. Ac studium quidem summum hanc mereri regionem, satis à me, quantum res postulat, demonstratum existimo: quam autem cupiam diligentiam cum prioribus vestris coniungi beneficiis, quæq́ harum rerum corrigendæ potissimùm videantur, quoq́ illæ pacto compositæ plurimùm sint fructus allaturæ, nunc aperiam, si ea priùs, quæ in his minùs rectè se habent, explicuero. Primùm itaque magna Peloponnesiarum pars agriculturæ vel pastioni vacat, ex iisq́ & vitæ necessaria sibi comparant, & collationes pendunt, & militiam iidem obeunt. collationes porrò paruas quidem, sed multas, & à multis exactas, idq́ pecunia[b] plerumque non mercibus faciunt. Quamobrem si qua denuntiatur

[b] ἐκπρά-ξιν lego pro ἐμπρά-ξιν.

ξιοι, εἴ γε αἰνεάδαι μὲν σαβῖνοι ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις συνοικισάμενοι ῥώμην εὐτυχεστάτην πόλεων κατῴκησαν· σαβῖνοι δὲ ἐκ πελοποννήσου τε, καὶ λακεδαιμόνιοι. τούτων τε οὖν ἕνεκα οὐ περὶ σμικροῦ ποιητέα ἡ χώρα οὔθ᾽ ὑμῖν τοῖς βασιλεῦσιν, οὔτε τοῖς ὑπηκόοις ἡμῖν, εἴγε τῶν οἰκείων τε καὶ μάλιστα προσηκόντων, μάλιστα καὶ ἐπιμελητέον, ἥδε δ᾽ ἡμῖν οἰκειοτάτη ἁπασῶν. ἀλλὰ καὶ ἀρετῇ ὡς οὐδὲ μιᾶς ἂν λείποιτο τῶν ὑπὸ τὸν ἥλιον, ὅσα μὲν εἰς ὡρῶν συμμετρίαν, καὶ καρπῶν φορὰν, καὶ ὅλως τῶν πρὸς τὸν βίον χρησίμων τείνοντα ἐστὶν εἰπεῖν, ἐάσω ἔν γε τῷ παρόντι· ἀλλ᾽ εἰς ἀσφάλειαν, τίνος οὐκ ἂν εἴη κρείττων χώρας; νῆσός τε οὖσα τηλικαύτη ὁμοῦ καὶ ἤπειρος ἡ αὐτὴ, καὶ παρέχουσα τοῖς ἐνοικοῦσι, κατὰ τρόπον χρωμένοις ταῖς ὑπαρχούσαις ἀφορμαῖς, ἀπ᾽ ἐλαχίστης μὲν τῆς παρασκευῆς, εἴ τις ἐπίοι, ἀμύνεσθαι, ὑπάρχειν δὲ καὶ ἐπεξιέναι, ὅταν ἐθέλωσιν, ὥστε καὶ ἄλλης οὐκ ὀλίγης ἂν ῥᾳδίως πρὸς τῇδε κρατεῖν. καὶ παρῆκα ὁρῶν ἐρυμνότητα διὰ πάσης διηκόντων, καὶ δίκην ἀκροπόλεων ἀνεστηκότων πανταχοῦ· ὥστε κἂν τῶν πεδίων κρατῆσαι πολεμίους συμβῇ ποτε, τῆς γε συμπάσης χώρας ἥττους εἶναι. ὥστε μὴ οἰκειότητος μόνον, ἀλλὰ καὶ ἀρετῆς ἕνεκα ἐπιμελητέον εἶναι τῆς χώρας· εἴ γε περὶ τῶν κτημάτων τὰ ἀμείνω μᾶλλόν τι καὶ σπουδαστέον. ἐπιμελητέον μὲν δὴ καὶ παντὶ μὲν ὁτῳοῦν τῶν εἰς ἕλληνας τελούντων, μάλιστα δ᾽ ὑμῖν τοῖς βασιλεῦσιν, ὅσῳπερ καὶ ἡ τῶν ὅλων ἐπιμέλεια ὑμῖν παρὰ ἁπάντων ἐγκεχείρισται· ὑμῖν δὲ καὶ πάντων μάλιστα τῶν πώποτε γεγονότων βασιλέων. κεκρατηκότων γὰρ ἰταλῶν τῆσδε τῆς χώρας, καὶ ἐπὶ πολύν τινα χρόνον συμπάσης δυναστευόντων, οὐδένες ἄλλοι ἢ οἱ ἐκ τῆς ὑμετέρας οἰκίας βασιλεῖς ταύτην φαίνονται ἀνειληφότες· καὶ αὐτὸς δὲ, ὦ βασιλεῦ, πρὸς πολλαῖς τε ἄλλαις καὶ καλαῖς τῶν εὐεργεσιῶν, καὶ τὸ μέγα τοῦτο ἔργον καὶ λαμπρὸν ἔναγχος ταύτης προὐβάλου, τὸν τοῦ ἰσθμοῦ δὴ ταύτην διατειχίσας, ὅπερ ἂν αὐτῇ δόξειε μεγίστη τε καὶ κρατίστη ἔσεσθαί τε καὶ νῦν εἶναι πρὸς σωτηρίας ἀφορμή. ὥστ᾽ ἂν ὑμῖν προσήκοι ταῖς τῶν προτέρων εὐεργεσιῶν ἐμβολαῖς καὶ τὰς μετὰ ταῦτα ἑπομένας ἀποδιδόναι, ἵν᾽ ἅμα μὲν τοῖς καλοῖς ἀεὶ φαίνοισθε προστιθέντες, ἅμα δ᾽ ὑμῖν καὶ τὰ ὑπηργμένα ἀγαθὰ ἐκ τῆς εἰς ὕστερον ἐνδελεχείας ὡς μάλιστα σώζοιτο. οἶμαι δ᾽ οὐδὲ τῇ μεγάλῃ ταύτῃ πόλει φαῦλον ἄν τι φέρειν πρὸς ἀσφάλειάν τε ὁμοῦ καὶ ὠφέλειαν καὶ τήνδε τὴν χώραν πράττουσαν καλῶς· περὶ ὧν λέγειν κατὰ μέρος ἔν γε τῷ παρόντι περιττὸν ἔμοιγε δοκεῖ. ὡς μὲν οὖν πλείστης ἤδη ἡ χώρα ἀξία τῆς σπουδῆς, ἱκανῶς ἔμοιγ᾽ οὖν ὡς διὰ βραχυτάτων δοκεῖ ἀποδεδεῖχθαι· ἣν δέ φημι ταῖς ἤδη ὑμῖν γεγενημέναις εὐεργεσίαις δεῖν προσθεῖναι ἐπιμέλειαν, καὶ ἃ μάλιστα ἐπανορθωτέα τῶν τῆσδε πραγμάτων, καὶ ὡς γενόμενα ἂν μάλιστα λυσιτελήσοιεν, ἤδη ἐρῶ· ἐκεῖνα πρότερον ὑπειπὼν καὶ καταλέξας, ἃ μάλιστα μὴ καλῶς ἔχοντα ἐνδεῖν ἐστι τοῖς τῆσδε πράγμασιν. ἔστι τοίνυν πρῶτον ἰδεῖν τῆσδε πελοποννησίων τὸ πολὺν λεὼν γεωργοῦντάς τε ἢ καὶ νέμοντας ὄϊας, καὶ ἀπὸ τούτων τάς τε πρὸς τὸν βίον ἀφορμὰς σφίσιν αὐτοῖς πορίζομένους· εἰσφέροντάς τε τῷ κοινῷ, καὶ στρατευομένους τοὺς αὐτούς· εἰσφέροντας τε κατὰ σμικρὰ μὲν, συχνὰ δὲ, καὶ ὑπὸ συχνῶν εἰσπραττόμενα· καὶ νομίσματι τὸ πλεῖστον ὑπαρξιῶν, οὐ χρήμασι γιγνομένων. ἐπειδὰν οὖν ἐς στρατείας ἰόντες

ἔχοντες

ἔχοντες παραγγελθῶσιν, ὀλίγοι τε ἐξίασιν ἐκ πολ-
λῶν, τῶν τε ἐξιόντων ἄοπλοι οἱ πλεῖστοι ἔρχονται, κατα-
στάντες ἐπὶ στρατοπέδου, οὐ πάνυ τοι ἐθέλουσι παραμέ-
νειν, τῶν ἔργων σφᾶς οἴκοι καλούντων, ἀφ' ὧν καὶ οἴκοι καὶ
ἐπὶ στρατοπέδου δεήσει δαπανᾶν, καὶ πρός γε ἔτι εἰσ-
φέρειν. μὴ παραμενούσης δὲ στρατιᾶς, ἢ καὶ ἀόπλου, σμι-
κρότατον τὸ ὄφελος. ταῦτα δὲ ὡς μὲν οὕτως ἔχει, καὶ ὡς
σφαλερώτατά ἐστιν οὕτως ἔχοντα, ἐξῆν μὲν καὶ τῷ ἐθέ-
λοντι ἐκ τῶν καθεστηκότων πραγμάτων λογίζεσθαι· ἀλ-
λὰ δὴ καὶ ἐπ' αὐτῆς τῆς χρείας καὶ τοῦ παραπεπλακότος τοῦ δὲ
ἤδη πολέμου, μάλιστα δὴ οὕτως ἔχοντα ἐλήλεγκται. ὅλως
δὲ πῶς ἂν καὶ εἴη στρατεύεσθαί τε τὸν αὐτόν, καὶ αὐτόν τε
ἅμα τρέφειν καὶ ἑτέρους; καὶ γὰρ οὐκ οὐδὲ ἀεὶ λαφυραγω-
γεῖν τὴν στρατιάν, ὥστ' ἂν καὶ εἶναί τινα ἀπὸ τούτου τοῖς
στρατευομένοις ὠφέλειαν, ἀλλ' οἴκοθεν τὰ πολλὰ ἀ-
ναγκαῖον δαπανᾶν, ὧν ἄν τι μέλλοι καὶ ὄφελος τῷ κοι-
νῷ ἔσεσθαι. ὑπὸ δὴ τοιαύτης τῆς παρασκευῆς οὔτ' Ἰσθμὸς
οἷός τε ἱκανῶς φρουρεῖσθαι, οὔτ' ἄν ποτέ τις κίνδυνος ἐπι-
κρεμασθῇ, θαρρεῖν ὑπάρξει ὑπὲρ τοῦ σωθήσεσθαι. πρὶν
οὖν ἐν τοιούτῳ τινὶ καταστῆναι, ἔτι ὄντας ἐν τῷ ἀσφα-
λεῖ, ἐπανορθωτέα τε ἃ φαύλως δοκεῖ ἔχειν καὶ σφα-
λερῶς, καὶ παρασκευαστέον ἐκ τοῦ δυνατοῦ ὥς ἄν ποτέ τι
καὶ συμβῇ, ἔχειν ὡς ῥᾷστα διενεγκεῖν. χαλεπαὶ γὰρ ἐπ'
αὐτοῦ τοῦ δεινοῦ καὶ τοῦ κινδύνου ὄντος ἐστὶν ἐπανορθοῦσθαι
τῶν φαύλως ἐχόντων. ἣν μὲν οὖν ἐφ' ἑκάστης ἑστίας ἔνιοι
εἰσηγοῦνται εἰσφοράν, ὥστ' ἂν ξενοτροφεῖν ὑπὲρ τῆς τοῦ
Ἰσθμοῦ φρουρᾶς, καὶ μέγα τι καὶ σεμνὸν οἴονται ἐπινενοηκέ-
ναι, ὡς μόνον ἂν ἐπαρκέσον τοῖς πράγμασι. λογιζό-
μενοι ὅσον ἀργυρολογήσουσι κυρωθείσης ἂν τῆς εἰσφο-
ρᾶς, γέλως ἐμοί γε δοκεῖ, εἰ διαφθείραντες τοὺς ἡμε-
τέρους πολίτας, μισθούμενοι ὑπὸ ξένων καὶ ἀλλοτρίων
ἀνθρώπων οἰόμεθα σωθήσεσθαι. πῶς δ' οὐ τούτους δια-
φθείρειν ἐστίν, ὅταν τοῦ μὲν φρουρεῖν ἀφιῶμεν, τοσαῦτα
δὲ ἀργυρολογῶμεν; εἰ γὰρ αἱ νῦν εἰσφοραὶ διαφθεί-
ρουσι, καὶ ἐφθόρασί γε ἤδη οἱ πολλοί, τί ποτε καὶ γένοιτ'
ἄν, ἄν τι καὶ προστεθῇ. ἔπειτα ἄν τις κίνδυνος ἐπίῃ, οἱ
μὲν μισθωτοὶ ἐκεῖνοι δηλονότι οὐκ ἔτι που ἔσονται ἱκανοὶ
ἀμύνειν· καταφευξόμεθα δὲ ἐπὶ τοὺς ἡμετέρους τούτους
στρατιώτας, τοῖς δὲ διεφθαρμένοις καὶ ἀόπλοις καὶ ἀδυ-
νάτοις ᾗ ἂν τάττωνται παραμένειν, οὐχ ἕξομεν ὅτῳ
χρησόμεθα. ἥ τε τοῦ θείου ἡγεμόνος πρὸς τῷ Ἰσθμῷ
διηνεκὴς σὺν τοῖς λογάσιν οἴκησις σμικρὸν ἂν συνα-
μύνοι, μή τινος παρούσης πλήθει ἀξιομάχου στρατιᾶς.
τὰ γὰρ τοιαῦτά μοι δοκεῖ ὅμοιόν τι ἔχειν τοῖς ὑπὸ ἀ-
κρατείας μὲν νοσοῦσιν, ἔπειτα διαίτης μὲν οὐκ ἐθέλουσι
πονηρᾶς ἐκβῆναι· ὑπὸ δέ τινων φαρμάκων ἢ καὶ πε-
ριάπτων ἐάν τις συμβουλεύσῃ αἰεὶ ἂν οἰομένοις σωθή-
σεσθαι. καὶ δὴ καὶ ἐπὶ τῶν τῇδε πραγμάτων μὴ οἰώμεθα
ὑπό τινων τοιούτων ἔσεσθαί τι ὄφελος, μὴ μεγάλης τινὸς
καὶ ἀξιολόγου μεταβολῆς τοῖς ὅλοις γενομένης, καὶ πάν-
των ἐκείνων ὧν περ εἶπον ἐπανορθώσεως τυχόντων.
πρῶτον μὲν οὖν ἐκεῖνο φημὶ δεῖν ἐπανορθωτέον εἶναι, τὸ
μὴ τοὺς αὐτοὺς εἶναι τοὺς στρατευομένους τε καὶ ἅμα εἰσ-
φέροντας, ἀλλὰ διχῇ πρῶτον διελεῖν πάντας Πελο-
ποννησίους· χωρὶς μὲν τοὺς στρατευομένους, χωρὶς δὲ
τοὺς εἰσοίσοντας· πρὸς ὁπότερον ἂν ἕκαστοι μᾶλλον
δοκῶσι πεφυκέναι· καὶ τοῖς μὲν στρατευομένοις πρὸς τὸ •
πάσης εἰσφορᾶς ἀφεῖσθαι, μηκέτι μέντοι οὕτω κατὰ
σμικρὰ μέν, συχνὰ δέ, μηδ' ὑπὸ πολλῶν εἰσπραττ-

expeditio, tum & pauci de multis prodeunt, & hi ferè inermes apparent, & in exercitu collocati difficulter locum seruant, dum à domesticis auocantur operibus, ex quibus & domi & militia sumtus facere, atque insuper collationes pendere coguntur. Atqui locum deserens vel etiam inermis exercitus non valde magni est pretij. Atque hæc ita se habere, & hoc modo minimum securitatis adferre, cùm res ipsas quiuis considerans potest animaduertere, tum re ipsa in hoc postremo bello apertissimè compertum est. Neq. sanè facilè quisquam & ipse militet, & sese simul atq. alios alat. Non enim semper in expeditione prædas agere militibus licet, eaq. via suis rebus consulere; verùm à se pleraq. eos, qui reip. sint vsui futuri, oportet sumere. Hoc igitur apparatu nec Isthmus commodè seruari poterit, nec, si quod olim impendeat periculum, certa salutis spes esse. Quocirca priusquam tale quid eueniat, decet nos, dum in tuto sumus, & quæ minùs rectè videntur se habere, corrigere, & quantum liceat, necessaria præparare, ne, si quis forte casus accidat, eum difficulter feramus. Nam in ipso quidem discrimine non satis commodè correctionē, si qua requirunt, recipiunt. Quam porrò collationem singulis laribus imponunt nonnulli, qua milites ad Isthmi custodiam conducantur, licet hoc inuentum illi magnum & præclarum ducant, tanquam quod solū rebus possit succurrere, dum quantam ex ea collatione sint collecturi pecuniam considerant; mihi sanè ridiculum videtur, si nostris perditis ciuibus, à peregrinis et alienis mercede seruatum nos iri credimus. Quo verò pacto non perdentur, si custodia quidem eos liberemus, tanta verò mulctemus pecunia? Etenim si solita illos collationes perdunt, ac multi iam perierunt; quid tandem, si quid addatur, futurum est? Deinde quod existat periculum, conductitij quidem illi non poterunt soli resistere, nostros autem tunc milites aduocabimus, at hi cùm perditi & inermes erunt, nec locum in exercitu seruare poterūt, nulli sunt nobis vsui futuri. Neque multū nos perpetua principis cum delectis militibus ad Isthmum statio, nisi quis numerosus adsit exercitus, iuuare poterit. Siquidē hoc in statu similes iis videmur, qui cùm ex incontinentia morbum cōtraxerint, prauam quidem viuendi rationem nolunt omittere, pharmacis autem quibusdam aut amuletis sanitatem se recuperaturos arbitrantur. Non aliter sanè his in rebus arbitremur tale nobis hominum genus aliquid profuturum, nisi magna quædam rerum fiat mutatio, eaq. quæ dixi, cuncta corrigantur. In hoc igitur primùm adhibendam correctionem aio, ne iidem simul et militent & collationes pendant: sed bifariam diuisis Peloponnesiis, in militātes & pendentes, prout singulorum feret ratio; milites quidem, præter quod erunt ab omni collatione liberi • non tamen ita paruas quidem sed multas, & à multis exactas,

Desunt nonnulla.

neque pecunia vtentes. (hoc enim pacto lōgè difficillimæ collationes tum exigentibus tum pendētibus existunt) sed vnius quidem generis collationem, eamq́; mercibus pendant, idq́; vni cuidam à singulis exigenti; talem autem ac tantam, qualis pariter & iusta sit, & rebus succurrat, & ipsis pendentibus non sit grauissima. Iam quæ collatio simul ferè comprehendat hæc omnia, meum est ostendere. Operum omnium fructus tribus aio potissimùm deberi; primùm ipsis operis, deinde illi qui sumtus facit, tum qui securitatem vniuersis præstat. Atque opera quidem censentur aratores, fossores, pastores: sumtus autem in bubus, vineis, armentis, ac similibus cōsistunt: securitatem denique vniuersis præstant milites & præfecti, quiq́; alij alias reip. partes curant, singulaq́; tum parua tum magna conseruant, & præcipuus rex, omnibus imperans, omniaq́; gubernans et conseruās. Si quod enim horū desit, reliqua nullius momēti sunt futura: cùm & operas primū oporteat suppetere, et sumtus operibus præberi, et simul custodes, vt res alicuius sit pretij, adesse. Quapropter etiam operū omnium fructus trifariam aio diuidi debere, siue frumēto constent, siue vino, siue oleo, siue bombycinis, siue armentorum fetu, lacte, lana, siue qua re alia; constitutis aratori quidem fructibus post seminis collectionem, pastori verò post restitutionem priorum: itaq́; partem quidem vnam tribui operis, alteram verò sumtibus, tertiam denique reipublicæ. & eum quidem, qui suis laboret sumtibus, duabus fruentem partibus, tertiam reip. præstare: cui autem à respubl. præfectis sumtus suppeditentur, tertia parte contentum esse, aut si quo inter eos alio pacto, quod ab hac æquitate non multùm recedat, cōuenerit: qui verò communibus operetur impensis, alteram partē auferre. aliud porrò nihil horum quenquam conferre, quod sit alicuius [c] alicuius ponderis. Qui porrò sunt hæc collaturi, eos non iniuria quidem Hilotas quis [d] nuncuparit, quoniam vacantes militia, collationi destinentur: pro publicis tamen eos conuenies habere nutriciis, neque vel præter collationem hanc ab illis quicquam exigere, vel amplius quàm semel, nec vllam cuiquam vim inferre, verùm citra omnem illos iniuriam diligentissimè fouere. Quibus ita cōstitutis, peditibus quidem in exercitu singulis Hilotas singulos attribuendos censeo, equitibus autem binos: sic vt possint milites tum suis fruentes, quorum acquisitio militiam non impediat, tum Hilotarum collationibus, siue illi propriis, siue publicis, siue quouis alio pacto suppetentibus operētur impensis, simul & in armis militare, & locum in exercitu seruare. Atque vbi quidem possunt omnes in milites & Hilotas tribui, quòd non omnes æquè militia conueniant, sanè tribuantur: vbi autem plerique omnes ad militiam sunt apti, iis per coniu-

c δὴ pro μὴ.

d καλίσειε pro καλέσειε.

τέμνα, μηδὲ νομίσματι εἰσφέρειν. χαλεπώταται γὰρ οὕτως αἱ εἰσπράξεις ἅμα ἀμφοῖν καὶ τοῖς εἰσφέρουσι καὶ τοῖς εἰσπράττουσι καθίστανται· ἀλλὰ μίαν μὲν τοῦ εἴδει τὴν εἰσφορὰν, καὶ ταύτην χρήμασιν εἰσφέρειν, ἑνός τε τινος εἰσπράττοντος παρ᾽ ἑκάστου· τοιαύτην δὲ καὶ τηλικαύτην, οἵαν τὸ αὐτὸ τό, τε δίκαιον ἅμα ἕξειν, καὶ τοῖς πράγμασιν ἐπαρκέσειν, αὐτοῖς τε τοῖς εἰσοίσουσιν ὡς κουφοτάτην ἀνέχεσθαι φέρειν. τίς ἂν οὖν εἰσφορὰ τοῦ ἅπαντα ταῦθ᾽ ἅμα δύνασθαι ὡς ἐγγυτάτω εἴη, ἐγὼ δή που δηλώσω. τοὺς γιγνομένους τῶν ἔργων ἑκάστων καρποὺς τρισὶ φημὶ προσήκειν κατὰ τὸ δίκαιον· ἑνὶ μὲν, αὐτῷ τῷ τῶν ἔργων ἐργάτῃ, δευτέρῳ δε, τῷ τὰ τέλη συνεπορίζοντι τοῖς ἔργοις, καὶ τρίτῳ, τῷ τὴν ἀσφάλειαν τοῖς ὅλοις παρασκευάζοντι. ἐργάται μὲν δὴ, ἀροτῆρες, σκαπτῆρες, νομεῖς· τέλη δὲ τούτων τοῖς ἔργοις, βόες, ἀμπελῶνες, βοσκήματα, εἴ τέ τι ἄλλο τῶν τοιουτοτρόπων· οἱ δὲ δὴ τὴν ἀσφάλειαν παρασκευάζοντες τοῖς ὅλοις, οἱ στρατευόμενοι, καὶ προκινδυνεύοντες τῶν ὅλων, οἵ τε ἄρχοντές τε καὶ ἐπιστατοῦντες ἄλλοι ἄλλοις τῶν κοινῶν, καὶ σώζοντες ἕκαστα καὶ μείζω καὶ ἐλάττω, βασιλεύς τε κορυφαῖος ἅπασιν ἐπιστατῶν καὶ πάντα κατευθύνων τε καὶ σώζων. ὅτι γὰρ ἂν τούτων ἀπῇ, οὐδὲν τῶν λοιπῶν ὄφελος· ἀλλὰ τούς τε ἐργασομένους δεῖ πρῶτον ὑπάρχειν, τέλη τε ἄττα σφῶν τοῖς ἔργοις παρεῖναι, καὶ ἅμα τοὺς φυλάξοντας, εἰ μέλλοι τι ὄφελος ἔσεσθαι. διὰ ταῦτα τοίνυν καὶ τριχῆ φημὶ δεῖν νενεμῆσθαι τοὺς γιγνομένους ἑκάστοις τῶν ἔργων καρποὺς, εἴτε σῖτος εἶεν, εἴτε οἶνος, εἴτε ἔλαιον, εἴτε βαμβύκινα, ἔτι τε βοσκημάτων τόκοι, γάλα, ἔριον, εἴτε τι ἄλλο παραπλήσιον· λογιζομένων τῶν καρπῶν ἀροτῆρσι μὲν μετὰ τὴν τῶν σπερμάτων ἐξαίρεσιν, νομεῦσι δὲ μετὰ τὴν τῶν ἀρχαίων ἀποκατάστασιν· καὶ μίαν μὲν αὐτῷ τῷ ἐργάτῃ γεγενῆσθαι μοῖραν, δευτέραν τε τοῖς τέλεσι, τὴν τρίτην δὲ αὖ τῷ δημοσίῳ. τὸν μὲν οὖν οἰκείοις ἐργαζόμενον τέλεσιν, ἔχοντα τὰς δύο μοίρας, τὴν τρίτην τῷ δημοσίῳ ἀποφέρειν· τὸν δ᾽ αὖ παρὰ τοῦ ἐπὶ τῇ δημοσίᾳ τεταγμένου ἐκλαμβάνοντα τὰ τέλη, αὐτοῦ ἐπὶ τῇ τρίτῃ ἐργάζεσθαι, ἢ εἴ πως ἂν ἄλλως κοινῇ συμβαίνοντες τούτου τοῦ δικαίου μὴ πολύ τοι ἀπολείποιντο· τὸν δὲ κοινοῖς ἐργαζόμενον τοῖς τέλεσιν, ἐπὶ τῇ ἡμισείᾳ ἐργάζεσθαι. ἄλλο δὲ μηδ᾽ ὁτιοῦν τελεῖν τούτων μηδένα, ὅ, τι μὴ ἄξιον λόγου. τοὺς δὲ ταύτην εἰσοίσοντας τὴν εἰσφορὰν, καλέσειε μὲν ἄν τις οὑτωσὶ εἵλωτας, διὰ τὸ ἀφειμένους τῆς στρατείας ἐπὶ τὸ εἰσφέρειν τετάχθαι· νομίζειν δὲ χρῆναι κοινοὺς τούτους τροφέας, καὶ μηδὲν πλέον μήτε εἰσπράττειν παρὰ ταύτην τὴν εἰσφορὰν, μηδ᾽ ὑπὲρ ἑνὸς, μήτε ἀγγαρείαις ἐξεῖναι χρῆσθαι μηδενὶ, ἀλλ᾽ ὡς μάλιστα περιέπειν οὐδ᾽ ὁτιοῦν ἀδικησομένους. τούτων δ᾽ οὕτω διατεταγμένων, τῶν στρατιωτῶν ἑκάστῳ πεζῷ μὲν ἕνα φημὶ δεῖν γ᾽ ἐπινενεμῆσθαι τῶν εἱλώτων, ἱππεῖ δὲ δύο· ὥσθ᾽ ἕκαστον τῶν στρατιωτῶν καρπούμενον μὲν τὰ αὐτοῦ ὅσα ἐργαζομένῳ μὴ ἐμποδὼν ἔσοιτο τῷ στρατεύεσθαι, καρπούμενον δὲ τὴν τοῦ εἵλωτος μοῖραν, εἴτε ἰδίοις, εἴτε κοινοῖς, εἴθ᾽ ὅπως ἂν κοινῇ συμβαίνωσι τοῖς τέλεσιν ἐργαζομένου, ἔχειν μετά τε ὅπλων στρατεύεσθαι, καὶ παραμένειν ὅπῃ τάττοιτο. οὗ μὲν οὖν ἐξῆν εἰς στρατιώτας τε καὶ εἵλωτας τοὺς σύμπαντας διαιρεῖν, διὰ τὸ μὴ πάντας ἐπιτηδείως δοκεῖν ἔχειν στρατεύεσθαι, ταύτῃ νεῖμαι· οὗ δ᾽ ἂν οἱ πλεῖστοι ἐπιτήδειοι δοκοῖεν στρατεύεσθαι, τούτους μὲν αὖ κατὰ συζυγίας διαιρεῖν,

διάγειν, ἔπειτα ἀναγκάζειν τοὺς ὁμόζυγας κοινοῖς τὰ πολλὰ τοῖς τέλεσιν ἐργάζεσθαι· καὶ παρὰ μέρος ἑκάτερον, τὸν μὲν ἐργάζεσθαι τῷ κοινῷ ἀμφοῖν, τὸν δὲ ἕτερον στρατεύεσθαι. τοῖς δ' ἄρχουσί τε καὶ τῶν στρατιωτῶν λογάσιν, ὑμέτερον μὲν ἂν εἴη ὁπόσους ἂν ἐθέλοιτε νέμειν ἑκάστῳ τῶν εἱλώτων, ἐμὸν δ' ἂν εἴη γνώμην εἰσενεγκεῖν. καὶ τρεῖς τῶν ἑκάστων νενεμημένων εἱλώτων, ἵνα ἀναγκάζοιεν παρέχεσθαι ἱππέα, θεράποντα μὲν αὐτοῖς, στρατιώτην δ' ἅμα ἐσόμενον τῷ κοινῷ, τρεφόμενον δ' οὕτως, ὅπως ἂν κοινῇ οὗτοι ἕκαστοι συμβαίνωσιν. ἐξῃρεῖσθαι δὲ τῷ θείῳ ἡγεμόνι εἰς τὸν οἶκον ὅσους ἂν δόξειε τούτων τῶν εἱλώτων ἀποχρήσειν. καὶ μὲν δὴ καὶ τῶν ἱερέων τοῖς ἐπὶ τῆς μείζονος ἱερωσύνης, ἅτε δὴ τῷ κοινῷ ἱερωμένοις, ἀποχρῆναι νεῖμαι καὶ τούτοις τῶν εἱλώτων κατὰ μέσου ἀνδρὸς λογάδος κλῆρον, οἷς μὴ ἀνάγκη εἴη τις μήτε ἐς γυναῖκας μήτε ἐς παῖδας διὰ τὴν μοναυλίαν δαπανᾶν. τοῖς δὲ φιλοσοφεῖν μὲν φάσκουσι τούτοις, ἐπὶ δὲ τούτῳ τῷ προσχήματι τὰ πολλὰ τῶν δημοσίων καρποῦσθαι ἀξιοῦσι, τούτοις δ' αὖ νέμειν μὲν τῶν κοινῶν μηδὲν, ἀλλὰ τὰ μὲν αὑτῶν ἐᾶν ἀτελῆ καρποῦσθαι, καὶ μήτ' αὐτοὺς εἰσφέρειν, μήτ' ἀποφέρεσθαι μηδὲν τῶν κοινῶν, ὅσιόν τι εἶναι φημὶ, καὶ τῷ σχήματι τούτῳ προσῆκον· τὸ δὲ καὶ τὰ κοινὰ τούτοις ἀξιοῦν καρποῦσθαι, οὐδαμῇ οὔτε προσῆκον οὔθ' ὅσιον εἶναι, οὔτ' αὐτοῖς τοῖς λαμβάνουσιν, οὔτε τοῖς νέμουσι. φέρειν μὲν γὰρ καὶ νῦν τοὺς φέροντας τούτους ἃ φέρουσι μισθὸν τοῖς κοινοῖς φύλαξι τῶν πόνων, ὧν ὑπὲρ ἀσφαλείας ποιοῦσι κοινῆς· τοὺς δὲ φιλοσοφεῖν ποιουμένους τούτους, λειτουργεῖν μὲν τῷ κοινῷ μηδὲν, ἀλλ' ἑτέρους εἶναι τοὺς τῷ κοινῷ ἱερωμένους, τούτους δ' ἀποστάντας, ὥς φασι, πάντων, ἰδίᾳ θεοκλυτεῖν τε καὶ τῆς σφετέρας αὐτῶν φάσκειν ἐπιμελεῖσθαι ψυχῆς. ὅταν οὖν τοὺς ὑπὲρ ἀσφαλείας τῆς κοινῆς μισθοὺς οἱ μὲν ἀποδιδόμενοι τὸ πρόσχημα τῆς ἀρετῆς σφίσιν αὐτοῖς λαμβάνειν ἀξιοῦσιν, οἱ δ' οἷς προσήκουσιν ἀποστεροῦντες τούτοις νέμειν, πῶς τοῦτ' ὅσιον, οὐδένα ἂν οἴομαι φάναι, ὅτῳ μὴ πάμπολύ τι δεισιδαιμονίας, τρίτου ὄντος εἴδους ἀσεβείας, μετείη, ὡς οἴεσθαί γε καὶ ὑπὸ τῶν ἔξω προσηκόντων τούτων ἀναθημάτων τὸν θεὸν προσίεσθαι. δοκεῖ δ' ἐμοί γε μηδὲ τοῖς τὸν ἐξ ἀρχῆς τρόπον τοῦ βίου ταύτην παραδεδωκόσιν οὐδὲν δεδογμένοις τοιαῦτα ὁμολογεῖν, ἀλλ' ἐργαζομένους ἐδέδοκτο ὡς ἑκάστῳ δύναμις, οὕτως ὅπως ἂν δύναιντο ἀποζῆν, μήτοι γε δὴ αἰτήσεσι χρωμένους. καὶ διὰ ταύτας τε γὰρ τὰς ἐπὶ τὰ μὴ προσήκοντα δαπάνας, χεῖρον τὰ κοινὰ, καὶ διὰ τοὺς ἀξιοῦντας τούτους δωρεὰς ἀτελεῖς λειτουργιῶν ἔχειν ἐκ τῶν κοινῶν, καὶ τά δὲ κοινὰ βλάπτοντας, καὶ ἀργὸν καὶ κηφηνώδη ἕξιν σφίσιν αὐτοῖς κατασκευάζοντας, καὶ οὐδ' αἰσχυνομένους ἐπὶ τῷ τοῦ πράγματος αἴσχει. ἐπειδὰν δ' ἄν τις συνίδοι καὶ οἵῳ ἀδικήματι οὗτοί τε κἀκεῖνοι δόξαιεν ἂν εἶναι ἔνοχοι, ὅτι ἃ μάλιστα οἱ πολέμιοι εὔξαιντ' ἄν, τὰς ὑπὲρ τῆς ἡμετέρας ἀσφαλείας δαπάνας εἰκῇ διόλλυσθαι, ταῦθ' οὗτοι ἐν σφίσιν αὐτοῖς γίγνεσθαι ἀξιοῦντες οὐκ αἰσχύνονται. οἵ τε γὰρ ἐωνῆσθαι τὰ τοιαῦτα φάσκοντες, καὶ οἱ πολλῶν καὶ μεγάλων, ὥς φασι, τῶν σφίσιν ἢ προγόνοις λελειτουργημένων μισθὸν τοῦτον προσήκοντα ἀξιοῦντες ἔχειν, τὸν ἐν ὑπογύῳ τὸν κοινὸν ὄλεθρον, οὔτε δίκαιά μοι δοκοῦσιν ἀξιοῦν, πάνυ τι ἀναισθήτως ἔχειν, οἱ μηδὲ τοσοῦτον γοῦν συνορῶσιν, ὡς εἰ δή τι τὰ κοινὰ πταίσειεν, ὃ μήποτε γένοιτο, οὐδὲ σφέ-

gationes diuisis, alteruter semper communibus laboret sumtibus; sic vt vicissim alter laboret, alter militet. Ceterùm præfectis & militibus primariis quot sint Hilotæ cōcedendi, vestrum quidem sit iudicium, meum autem consilium. Ergo tribus vnicuique asscriptis Hilotis, vnum hi præbeant equidem, qui simul & ipsi seruiat, & pro rep. militet; sumtus autem, prout inter eos conuenerit, subministrentur. Quinetiam principis ædibus quot Hilotæ videantur sufficere, separentur. Sacerdotibus quoq. maioribus, tanquam pro rep. consecratis, Hilotæ totidem, quot ferè primariis militibus, concedantur; qui quidem nec mulierum nec liberorum grauentur cura. Qui verò philosophiæ quidem studium sibi tribuunt, hoc autem prætextu publicorum bonorum volunt participes fieri, iis publicum quidem nihil tribuatur, sed vt suis quidem absque onere fruantur, et nec ipsi quid conferant, nec de publico quicquam capiant, æquum esse dixerim, taliq; vitæ generi congruum; vt autem publicis quoque isti fruantur, nec ipsos, nec remp. vllo pacto decere. Cùm enim qui collationes istas pendunt, custodibus publicis mercedem hanc laborum, quos pro communi salute perferunt, attribuant; isti sanè publico quidē nullo munere funguntur, cùm alij sint pro rep. consecrati, sed relictis rebus, vt aiunt, & priuatim Deum colunt, & suam ipsorum procurant salutem. Itaq. cùm salutis publicæ mercedem isti quidem sibi virtutis prætextu deberi arbitrantur, illi verò fraudatis aliis in istos conferunt, cui hoc æquum videatur, obsecro, nisi qui magna superstitione, tertia impietatis specie, teneatur, vt etiam extraordinaria ista donaria Deum demereri credat. Quid quòd nec cum eorum præceptis, qui primi hanc vitæ rationem instituerunt, ista videntur consentire, quandoquidem laboribus illi iubebant vnumquemque prout vires suppeterent, non exactionibus victitare. Siquidem & propter superuacuas has impensas malè se habet resp. & propter istos, qui collationes publicas oneris expertes deposcunt, ac tum reip. nocent, tum inertem & fucorum similem vitam absque vllo turpitudinis pudore sibi conciliant. Quin et hinc liceat cuiuis, quàm grauiter vtrique peccent, animaduertere, quòd ea quæ maximè hostes in votis habent, vt salutis communis impensæ temerè dissipentur, hi cum omni impudentia procurant. Nam & qui hæc redemta clamant, & qui multarum magnarumq. rerum præclarè vel à se, vel à maioribus suis, vt aiunt, gestarum mercedem hanc deposcunt, præsentem videlicet communem perniciem, nec iusta mihi petere videntur, & sensu planè carere, dum ne hoc quidem perpendunt, si quid fortè, quod absit, offendat resp. id ne sibi

quidem profuturum esse. Ego verò quemadmodũ nonnullos horum pro magnis vel beneficiis vel in remp. factis impensis ea quibus fruuntur, merito obtinere dixerim; ita pro his quoque functiones congruas debere suscipere contenderim, sola honoris amplitudine contentos: sic vt maiore tum fructu fruentes, tum onere grauati, maiorem etiam reipublicæ præstent vsum, nec vel instar vaccæ illius, expressum lac iterum calcibus effundant, vel etiam vt ij, de quibus loquitur Hesiodus, videantur

lib. 1. sub initium.

incommoda propria amare.

Etenim cùm resp. vix possit vel integra pro salute publica faciendas omnes impensas tolerare, quid futurum tãdem arbitramur, si præter sumtus necessarios tantum insuper fucorum examen alendum veniat, quorum illi philosophiæ studium sibi tribuant, alij tantùm otiari se asserant, atque etiam plura multo, quàm qui publicis funguntur muneribus, postulent. Sed vos quidem & cùm hac tum illa corrigetis; & vt singulis meliorem statum conciliabitis, ita reipublicæ iuuandæ maximè studebitis: ego autem vnde fueram digressus, redeo. Erit autem eorũ, quæ antè dicta sunt, fortasse consequens hanc quoque sententiam dicere, vt regio tota, quemadmodum à natura videtur esse composita, communis omnium sit incolarum, nec quisquam proprium sibi quid tribuat, liceat autem cuiuis quocunque loco tum serere, tũ ædificare, tum arare, quantum poterit: sic vt hoc ipsum tamdiu possideat, quamdiu id occupando excolat, nec cuiquam quid pendat, nec infestetur à quoquam, nisi qui culturam præoccuparit, prout fert verum omnium communium ratio. Deinde siue quis inter Hilotas censeatur, is tertiam reip. partem, vt diximus, cùm præstiterit, à nemine amplius, tanquam qui debitum semel omne persoluerit, appelletur: siue militiam, aliudve munus obeat publicum, ne is quidem quicquam præter sui muneris functionem pendat. Quòd si cui absurda videor & inusitata consilia dare, is cùm ea nec optima, nec publicè simul et priuatim esse vtilissima ostenderit, sententiam sequatur suam. Nam qui quidem agro videbuntur aliqua priuari, eos id satis consolabitur, quòd non tam agrum illis aliquem videbimur auferre, quàm totius regionis copiam publicè, nisi sint ignauiæ dediti, facere. Omnia porrò sic & culta reddentur & frugifera, nec quicquam intactum aut neglectum remanebit, si cuiuis liceat quemcunque locũ æquo iure colere: sic vt publicè pariter & priuatim hæc sint maximè profutura. Iam his ita, vt dixi, constitutis, optimam arbitror emendationem res Peloponnesiacas esse consecuturas. Nam & qui Isthmum per vices custodiãt, quiq́; singulas regionis arces, satis erunt multi futuri; nec deerunt, qui vel, si quis inuadat, repellãt, vel, si quò videatur, expeditionem ipsi suscipiant; & principis familiæ, quæcunque requirẽtur, suppetent. adeò vt,

σιν ἂν δή πῃ τι λυσιτελήσειε. ἐγὼ δ' ἔχειν μὲν τούτων ἐνίους ἀντὶ μεγάλων τῶν λειτουργιῶν ἢ καὶ ἐπιδόσεων τῶν εἰς τὸ κοινὸν ἃ ἔχουσιν, ἢ τὰ τούτων ἄξια, καὶ πάνυ φημὶ δίκαιον εἶναι· λειτουργεῖν μέντοι καὶ ἐπὶ τούτοις τὰ προσήκοντα, αὐτῷ μόνῳ τῷ πλέον τῶν πολλῶν τετιμῆσθαι ἀγαπῶντας, τῷ πλείω μὲν καρπουμένους, πλείω δὲ καὶ λειτουργοῦντας, μᾶλλόν τι καὶ χρησίμους εἶναι τοῖς κοινοῖς, ἀλλὰ μὴ ἅμα μὲν τὸ τῆς βοὸς ποιεῖν, ἣν δὴ ὁ ἠμελγμένη γάλα, λακτίζουσαν φασὶν αὖθις ἐκχεῖν, ἅμα δὲ κἀκεῖνο τὸ τοῦ Ἡσιόδου πάσχοντας φαίνεσθαι

ἑὸν κακὸν ἀμφαγαπῶντας.

εἰ γάρτοι κοινῶν τούτων πολλῶν δεόντων κἂν ἐξ ὁλοκλήρου τῶν ὑπὲρ τῆς κοινῆς ἀσφαλείας ἁπάσαις δαπάναις ἐξαρκεῖν, τί ποτε λείπεται ὅταν πρὸς ταῖς τῶν κοινῶν ἀνάγκαις καὶ τοσοῦτόν τι βόσκειν ᾖ σμῆνος κηφήνων, τῶν μὲν φασκόντων φιλοσοφεῖν, τῶν δ' ἄλλως ἀργεῖν, ἢ καὶ τῶν ταῖς λειτουργίαις προσηκόντων πολλῷ που πλείω καρποῦσθαι ἀξιούντων. ἀλλ' ὑμεῖς καὶ ταῦτά τε κἀκεῖνα ἐπανορθώσαιτε, καὶ τήν τε ἀμείνω ἕξιν ἅπασιν ἐνθεῖτε, καὶ τὰ κοινὰ βέλτιστα μάλιστα ποιήσαιτε. ἀλλ' ἐκεῖσε ἐπάνειμι πάλιν ὅθεν περ ἐξέβην. ἴσως δ' ἀκόλουθον ἂν δόξειε τοῖς ἤδη εἰρημένοις καὶ τήνδε τὴν γνώμην εἰσενεγκεῖν, τὴν γῆν ἅπασαν, ὥσπερ ἴσως ἔχει κατὰ φύσιν, κοινὴν ἅπασι τοῖς ἐνοικοῦσιν εἶναι, ἀντιποιεῖσθαι δὲ μηδένα ἰδίᾳ χωρίου μηδενός· ἐξεῖναι δὲ παντὶ τῷ ἐθέλοντι φυτεύειν τε ὅπῃ βούλεται, καὶ ἐποικοδομεῖν, καὶ ἀροῦν γῆς τι τοσοῦτον ὁπόσον βούλεταί τε καὶ δύναται. ὡς τούτου τε δὴ καὶ τοσούτου καὶ κύριον ἕκαστον ἐσόμενον ἐπὶ τοσοῦτόν τε ἐφ' ὅσον περ ἂν καὶ κατέχων μὴ ἀμελοίη τοῦ ἐργάζεσθαι, μηδενὶ μηδὲν τελοῦντα, μηδ' ἐνοχλούμενον, μηδὲ κωλυόμενον μηδ' ὑφ' ἑνὸς ἄλλου ἢ τοῦ τῷ ἐργάζεσθαι αὖ προειληφότος, κατὰ τὸν ἐπὶ τοῖς κοινοῖς τε καὶ μηδ' ἑτέρῳ μᾶλλον προσήκουσι νόμον. ἔπειτα ἂν μὲν εἰς εἵλωτάς τις τελῇ, τὸ τρίτον, ὡς ἔφαμεν, ἀποφέροντα τῷ δημοσίῳ μοίρας, μηδὲν πλέον ἐνοχλεῖσθαι μηδὲ παρ' ἑνός, ὡς ἅπαν δή πουθεν καὶ καθάπαξ τὸ ὀφειλόμενον ἐκτετικότα· ἂν δ' εἰς στρατιώτας, ἤ τινας ἄλλους τῶν τοῖς κοινοῖς πράγμασι λειτουργούντων, μηδὲν ἄλλο μηδὲ τούτῳ μηδενὶ τελεῖν, πλὴν αὐτοῦ τοῦ λειτουργεῖν, ἐφ' οἷς ἂν τεταγμένος ᾖ. εἰ δέ τῳ δοκοίη ἀήθεις τε καὶ ἔξω τῶν καθεστηκότων γνώμας εἰσάγειν, ἄν ποτέ τις ἐπιδείξῃ ὡς οὐ πολὺ ἀμείνω ταῦτα οὐδὲ λυσιτελέστατα τῷ κοινῷ ἅμα καὶ τῷ ἰδίῳ, ἐκεῖνος κρατείτω. τοῖς μὲν γὰρ χωρίου τι δόξουσιν ἂν στερέσθαι, ἱκανὸν παραμύθιον τὸ μὴ μᾶλλον ἂν χωρίον τι δοκεῖν τούτους ἀφαιρεῖσθαι, ἢ συμπάσης γῆς παρέχειν ἐξουσίαν ἐν τῷ κοινῷ, εἴ γε μὴ ἀργεῖν βούλοιντο. καὶ πάντα δ' ἂν οὕτως ἐνεργά τε καὶ ἔγκαρπα, καὶ οὐδὲν ἀργὸν οὐδ' ἀτημέλητον, εἰ παντὶ ἐξείη τῷ ἐθέλοντι ἐπὶ τῆς ἴσης πανταχῇ ὅποι βούλοιτο ἐργάζεσθαι· ὡς ἂν καὶ τῷ κοινῷ καὶ τῷ ἰδίῳ ἅμα μᾶλλόν τι ταῦτα λυσιτελεῖν. τούτων δὲ οὕτως ὥσπερ ἔφην συντεταγμένων, ἀρίστην ἂν ὡς ἔγωμαι ἐπανόρθωσιν σχοίη Πελοποννήσου τὰ πράγματα. ἔσεσθαι μὲν γὰρ τοὺς τὸν ἰσθμὸν φρουρήσοντας ἱκανοὺς ἐκ διαδοχῆς· ἔσεσθαι δὲ τοὺς τὰς ἑκασταχοῦ τῆς χώρας ἀκροπόλεις φρουρήσοντας· ἔσεσθαι δὲ τοὺς ἀμυνουμένους, ἐάν τινες ἐσίωσιν· ἔσεσθαι δὲ τοὺς ἐκστρατευσομένους, εἴ ποι δέοι· ἔσεσθαι δὲ τῷ τοῦ θείου ἡγεμόνος οἴκῳ τὰ ἐπιτήδεια ἱκανά. ὥστ'

ἂν

ἂν χαλεπὸν εἴη εὑρεῖν τί ἂν τῶν μάλιστα δεόντων ἀπείη, εἰ ταῦθ' οὕτως δὴ γένοιτο, καὶ τὸ πολίτευμα τοῦτο εἰς ἔργον ἐκβαίη. οὐ χεῖρον δ' ἂν δήπουθεν εἴη τοῖς ἤδη εἰρημένοις κἀκεῖνα προσθεῖναι. εἰσὶν ἀεί, ὦ βασιλεῦ, ἑκασταχοῦ τε καὶ τῇδε ἔνιοι τὰ μέγιστα ἐξαμαρτάνοντες κακά, ὧν ὑπὸ τῶν νόμων τὰ πολλὰ θάνατος κατέγνωσται, νυνὶ δὲ τουτὶ μὲν ἐκλέλοιπε καὶ τῶν τοιούτων τὸ τίμημα, λωβῶνται δ' ἐνίων τὰ ἀκρωτήρια οἱ δικάζοντες σφίσιν ἐπιτυχόντες, τοὺς δὲ πολλοὺς καὶ ἀζημίους χιδόντι ἀφιᾶσιν. ὧν οὐδέτερον ἔμοιγε δοκεῖ γίγνεσθαι καλῶς. ἥ τε γὰρ τῶν ἀκρωτηρίων λώβη βαρβαρικόν τι, καὶ οὐχ ἑλληνικόν, οὐδὲ τῷ ἡμετέρῳ γένει πρέπον, αἴσχιστόν τε διὰ τῆς χώρας ὁρώμενον τὸ πάθος· τό, τε ἀζημίους ἀπαλλάττειν, ἀλυσιτελέστατον ταῖς πολιτείαις καὶ σφαλερώτατον. ἐκείνη δ' ἡ ζημία καλλίων τε ἅμα μοι δοκεῖ, καὶ ταῖς πολιτείαις σύμφορος, καὶ τῷ κοινῷ λυσιτελεστέρα, δεδεμένους ἐργάζεσθαι τοὺς τοιούτους, καὶ ἐποικοδομεῖν ἃ ἂν δέοι, τοῦ τε τοῦ ἰσθμοῦ διατειχίσματος τὰ πονοῦντα, καὶ εἴ του ἄλλοθι μάλιστα δόξειεν ἂν τούτου δεῖν· ὡς μήτε τοὺς στρατευομένους τοῖς τοιούτοις τῶν ἔργων ἀναγκάζειν προσταλαιπωρεῖν, ὅτι μὴ πᾶσα ἀνάγκη, μήτ' αὖ τοὺς εἰσφέροντας παρ' ἐκείνην ἣν ἔφαμεν εἰσφοράν, τὸ ἴσον δὴ ἔχουσαν τῷ παντὶ ὑπὲρ ἂν τῷ κοινῷ ὀφλοῖεν, καὶ ἐς ἄλλο τι ἐνοχλεῖν. ἴσως δ' οὐδ' ἐκεῖνο παρετέον, τό γε τοῦ νομίσματος ἄτοπον ὡς διορθωτέον. σφόδρα γάρ τι εὔηθες, τοῖς ξενικοῖς τούτοις καὶ ἅμα πονηροῖς χαλκείοις χρωμένους, ἄλλοις μὲν κέρδος τι φέρειν, ἡμῖν δ' αὐτοῖς πλείω τὸν καταγέλων. ἀλλὰ πρὸς μὲν τὴν τούτου ἐπανόρθωσιν κἂν ἡ ὑφ' ἡμῶν προεισηγημένη ἐκείνη γνώμη οὐ σμικρόν τι συμβάλοιτο. τὸ γὰρ τούς τε εἰσοίσοντας χρήματα, ἀλλὰ μὴ νόμισμα εἰσφέρειν, τούς τε ἐκ τῶν κοινῶν ληψομένους ὡσαύτως λαμβάνειν, μέγα τι πρὸς τοῦτ' ἂν δόξειε συμβάλλεσθαι. σχεδὸν γὰρ ἧττόν τι ἂν νομίσματος δέοι, πρὸς δὲ τὰς καθ' ἡμέραν ἀλλαγὰς ἐξαρκοῖ ἂν καὶ τὸ τυχὸν νομισθέν. ἄλλως δὲ καὶ πελοπόννησος οὐδενὸς πάνυ τοι τοιούτου δεῖν δοκεῖ νομίσματος, ὅ ποι ἄλλοις ἀνθρώποις ἔσται ἔντιμον. σχεδὸν γὰρ οὐδ' ὁτουοῦν τῶν ἔξωθεν εἰσαγωγίμων δοκεῖ δεῖσθαι ἡ χώρα, ὥστε που καὶ τοιούτου νομίσματος δεῖν, πλὴν σιδήρου καὶ ὅπλων· ταῦτα δὲ τῶν βαμβυκίνων τούτων ῥᾳδίως ἀλλάττεσθαι. ὥστ' οὐδὲν ἂν εἴη βλάβος ἀτιμάσασι τὸ ξενικὸν τουτὶ νόμισμα καὶ πονηρόν. τῶν γὰρ ξενικῶν τούτων ἐσθήτων πολλὴ ἀλογία καὶ δεῖσθαι. οὐ γὰρ σμικρά τις κακία πολιτείας, παρόντων μὲν ἐρίων τοσούτων ὧν ἡ χώρα φέρει, παρόντος δὲ λίνου, ὄντος δὲ βύσσου, ὄντων δὲ βαμβυκίνων, μὴ τούτοις τὰ περὶ τὴν ἀμπεχόνην ὅπως ὅπως ἂν δυναίμεθα φιλοτεχνεῖν· ἀλλὰ τῶν ἔξωθεν μὲν ἐκ τοῦ ἀτλαντικοῦ πελάγους κομιζομένων ἐκείνων ἐρίων, ὑπὲρ δὲ τὸν ἰόνιον εἰς ἐσθῆτα σκευαζομένων, δεομένους φαίνεσθαι. ὡς πλέον ἂν καλλίους τῷ ὄντι ἦμεν τοῖς ἐπιχωρίοις τούτοις χρώμενοι, καὶ αὐτάρκως τὰ περὶ τὴν ἀμπεχόνην ἔχοντες, ἢ ὅσῳ καλλίων ἂν δόξειεν ἴσως ἡ ξενικὴ αὕτη ἐσθής, τῆς ἐπιχωρίως ἂν σκευασθησομένης. ἐπεὶ δ' εἰσαγωγίμων ἐμνήσθην χρημάτων, καλῶς ἂν ἴσως καὶ ὅλως περὶ εἰσαγωγῆς τε καὶ ἐξαγωγῆς χρημάτων βραχύ τι διαλαβεῖν. τῶν τοίνυν εἰσαγομένων χρημάτων τὰ μέν που

si hac ita constituantur, & consilium hoc sortiatur effectum, nihil magnopere necessarium sit defuturum. Nihil autem vetabit, iis, quæ iam dicta sunt, hæc subiungere. Posteaquam ferè semper cùm vbiq. tum hîc, Imperator, existunt nonnulli grauissima committentes facinora, quæ solebant capite leges punire, nunc ista quidem exoleuit multa, iudices autē vel extremas amputant corporis partes, vel impunitos plerumque dimittunt sontes. quorum quidem neutrum rectè mihi fieri videtur. Nam et corporis talis diminutio barbarorum potius est quàm Græcorum, nec vel nostræ genti conuenit, vel iucundum præbet incolis spectaculum; & impunitorum dimissio multum nocet reip. Quare hanc arbitror multam simul & honestiorem & reip. vtiliorem fore, si vincti cogātur tales operas præstare, & operum extructionem, siue Isthmi vallus minetur ruinam, siue quid aliud reparandum sit, iuuare: vt hoc pacto nec milites necesse sit, præterquam in summo periculo, his operibus fatigare, nec qui, quas diximus, collationes pendant, iis quæ reip. debeant facilè pares, alia insuper re vlla premere. Iam nec illud est omittendum, monetæ difficultas quomodo sit corrigenda. Est enim perabsurdum, peregrino simul et adulterino isto nos ære vtentes, aliis quidem lucri nonnihil, nobis autē ipsis ludibrij multum conciliare. Sed ad hoc quidem emendandum non parū quod à nobis antè datum est consilium conferet. siquidem cùm & qui collationes pendent, mercibus ad id, non pecunia vtentur; & qui de publico sument, similiter facient; id huc permultum videbitur conferre: siquidem non magnus hoc pacto monetæ vsus futurus est. Ad quotidianos autem contractus vel quæuis moneta suffecerit, cùm præsertim non admodum videatur eam requirere Peloponnesus, quæ sit apud alios in pretio. Etenim cùm iis ferè, quæ peregrè huc aduehūtur, non valde indigeat, (nec propterea monetam requirat aliam) præterquam ferro & armis; ea sanè bombycinis istis facilè possunt mutari: sic vt absq. vllo incōmodo peregrinū hoc & adulterinū pecuniæ genus possimus reiicere. Nam quòd peregrinas etiam vestes requirimus, id omni caret ratione. Siquidem non exiguum est reip. vitium, cùm & lanam habeamus hîc suppetentē, & linū, & byssum, & bombycina, nō ex his nos vestimenta nobis, prout possimus, cōcinnare; sed illam ex Atlantico quidē aduectam lanam, vltra Ionium autem textam, videri requirere. Multo siquidē honestiores videbimur, nostris vtentes inuentis, ex iisq́; vestimenta concinnantes, quàm quāto peregrina vestis nostra videri posset honestior. Et quoniam rerū aduectarum memini, non erit absurdum aliquid in vniuersum de rebus tum aduehendis, tum auehendis disserere. Et eorū igitur quæ inuehuntur,

huntur, alia praestat inuehi, alia non praestat; & eorum quae euehuntur, alia praestat euehi, alia non item: nonnulla verò in vtroq. genere discrimen paruum habent. Quare ne haec quidem temerè fieri debent, quandoquidem non parum in rep. momenti, siue rectè siue secus fiant, habent. Etenim quae praestat inuehi, eorum, quò faciliùs inuehantur, neminem nec ciuem nec hospitem vectigal vllum conuenit pendere. Quae autem remanere sit vtilius, ea non nisi grauissimo vectigali euehantur; vt vel, cùm citra damnum euehi non possint, relicta copiam sui vberiorem ciuibus praebeant, vel euecta multùm remp. iuuent, cui hic accedat reditus, quo tum in legationes, tum si quis alius praeter consuetudinem sumtus sit faciẽdus, vti liceat. Sed haec quidem paulo post fortasse rectiùs corrigentur, illa autem, quae de sincero exercitu, deq. iusto simul & facili atque honesto reditu ex iis, qui separatim collationes pendent, colligẽdo, paulo antè disserui, primo loco salutis communis causa curari debẽt. Quod si quid sanè aliud melius pariter & faciliùs ab alio subijciatur, illud sequendum erit. contemnenda certè res ista non est, nec in hoc statu prauo simul & periculoso relinquenda. Atqui nec melius nec vtilius quicquam quid [e] aliud eo, quod à me prolatum est, reperturum aio, neq. difficulter ad effectum id perduci posse; aut potius difficulter hoc in statu res istas diutius absq. magnò periculo & incommodo durare posse. Tuum porrò dumtaxat, Imperator, praecipuum oportet accedere calculum. Neque difficulter facies, vt, cùm ipse rebus [f] praesis omnibus, quae optima simul ac iustissima videantur, ac tum publicè tum priuatim omnibus vtilissima, constituas. Quòd si illud insuper statueris, vt haec ego sim qui componam; equidem hoc suscepto munere, tametsi nemo audeat alius, eum in statũ, quem hoc sermone descripsi, res Peloponnesiacas me redacturum receperim. Illud modò cauendum sit, Imperator, ne hoc negotium iis, qui non iustissimis de causis semper vobis supplicant, concedatur. Etenim si vos absq. vlla mutatione vel in peius inclinatione semper imperium gubernaueritis, non difficulter haec omnia, quae iam verbis expressa sunt, reperficientur. Atque ego quidem quae fore vtilia censeo, quibusq. de causis, dixi; & vt eadem etiam praestantissimis filiis tuis hac orationis forma exposui, ita tuum praecipuè requirunt calculum, quem tanquam ab aliquo sortita numine, simul & honesta videantur, & ad exitum perducantur; faxit autem Deus, vt eum, qui & prosit & vndecunque rectè se habeat, calculum feras.

e ἄλλα pro ἀλλὰ.

f ἴσως pro ὅμως.

εἰσάγειν ἄμεινον, τὰ δὲ μή· τῶν τε ἐξαγομένων, τὰ μὲν ἐξάγειν ἄμεινον, τὰ δ᾽ οὔ· ἐν ἑκατέροις οὐ πολύ τι διαφέρει ὁπότερα ἴσως γίγνοιτ᾽ ἄν. ἥκιστα οὖν οὐδὲ ταῦτα παρετέα εἰκῆ καὶ ὡς ἔτυχέ που γιγνόμενα. οὐ γὰρ φαῦλον ἂν εἰς πολιτείαν καὶ τοῦτο ξυμβάλλεσθαι τὸ μέρος καλῶς ἢ μὴ γιγνόμενον. ἃ μὲν γὰρ ἄμεινον εἰσάγειν, τούτων μὲν ἂν δέοι τέλος μηδένα μηδὲν τελεῖν τῆς εἰσαγωγῆς, μήτε πολίτην, μήτε ξένον, ἵνα δὴ καὶ ῥᾷον εἰσάγοιτο· τῶν δ᾽ ἄλλων ἃ ἄμεινον μένειν, ταῦτα δ᾽ ἐπὶ μεγάλοις τοῖς τέλεσι τοὺς ἐξάγοντας ἐξάγειν, ἵνα ἢ μὴ λυσιτελοῦν σφίσιν ἐξάγειν, μένοντα ἀφθονώτερα ὑπάρχῃ τοῖς πολίταις χρῆσθαι, ἢ ἐξαγόμενα πάντως ὠφελῇ τι τὸ κοινόν, καὶ ὅδε ὁ πόρος τῷ δημοσίῳ προστίθοιτο, ᾧ δὴ ἐπί τε πρεσβείας, καὶ εἴ γέ τι ἂν ἄηθες ἀνάλωμα καταλαμβάνοι, ἔχοι ἂν ὁπόθεν χρῆσθαι. ἀλλὰ τὰ μὲν τοιαῦτα καὶ ἐς ὕστερον ἴσως ἂν δέοι ἐπανορθοῦν. τῆς δ᾽ ἐν τῷ παρόντι ἀσφαλείας ἕνεκα, ἐκείνου μάλιστα φροντιστέον δεῖ, ὧν περὶ τῆς τε ἀκραιφνοῦς ἐκείνης στρατιᾶς, καὶ τοῦ ἀπὸ τῶν χειρῶν ἤδη συνεισιόντων, δικαίου τε ἅμα καὶ κούφου καὶ οὐ φαύλου πόρου, μικρῷ πρόσθεν διεξῆλθον· ἢ εἴ τι τούτων ἄλλο δόξειεν ἂν εἰπόντος του βέλτιόν τε ἅμα καὶ ῥᾳδιέστερον, ἐκεῖνο γενέσθαι. πάντως δ᾽ οὐ περιοπτέα τῶν παρόντων οὐδαμῶς οὐδὲ ἀμελητέα, οὐδὲ ἐατέα οὑτωσὶ ἔχειν ὡς ἔχει, πονηρῶς γὰρ ἔχει καὶ σφαλερῶς. ἀλλ᾽ ἐγώ φημι οὔτε βελτίω ἄλλα οὐδὲ λυσιτελέστερα εὑρεῖν ἄν τινα τούτων ὧν διεξελήλυθ᾽ ἐγώ, δυσχερῆ θ᾽ ἥκιστα ταῦτ᾽ εἶναι καὶ χαλεπὰ εἰς ἔργον προαγαγεῖν· τοὐναντίον μὲν οὖν χαλεπὸν ἂν εἴη μεῖναι ἐπὶ τοῦ παρόντος σχήματος ἐπὶ πλεῖον ἤδη τὰ πράγματα ἄνευ μεγάλων κινδύνων τε καὶ βλάβης. τὴν γὰρ σὴν δεῖ μόνον, ὦ βασιλεῦ, κυρίαν μάλιστα ψῆφον ἐλθεῖν. τοῦτο δ᾽ οὐδὲν ἔργον, κύριον αὐτὸν ἡμῖν ὄντα τῶν ὅλων πραγμάτων, τὰ κράτιστά τε ἅμα καὶ δικαιότατα δοκοῦντα, καὶ πᾶσι καὶ κοινῇ καὶ ἰδίᾳ λυσιτελέστατα ψηφίσασθαι. ἔπειτα ἢν καὶ τοῦ τόπου προστάτης, τὸ καὶ ἐμὲ δὴ τὸν ταῦτα συντάξοντα εἶναι, ὑποστὰς ἂν αὐτὸς τὴν λειτουργίαν ταύτην, κἂν εἰ μηδεὶς ἄλλος θαρρῶν, ὑπισχνοίμην ἂν συντάξειν καὶ καταστήσειν ἔργῳ Πελοποννήσῳ τὰ πράγματα ἐς τόδε τὸ σχῆμα ὃ νῦν δὴ λόγῳ διεξελήλυθα. ἐκεῖνο μόνον, ὦ βασιλεῦ, ὅπως τὸ χαρίζεσθαί πη τοῦτο τοῖς μὴ πρὸς τὸ βέλτιστον ὑμῶν ἀεὶ δεομένοις πάμπαν ἀπείη. ὑμῶν γὰρ ἀτρέπτως τε καὶ ἀκλινέστατα πρὸς τὸ χεῖρον ἐπιστατούντων διὰ τέλους τοῖς πράγμασι, ῥᾷστ᾽ ἂν καὶ οὐ χαλεπῶς αὐτὸν ἅπαντα ταῦθ᾽ ἃ νῦν δή μοι τῷ λόγῳ διατετύπωται, συντάξειν. ἐμοὶ μὲν δὴ ἅ τε συμφέρειν ἡγοῦμαι, καὶ δι᾽ ἅ, εἴρηται· ἐπιδέδεικταί τε ταῦτα ἤδη μὲν καὶ τοῖς θειοτάτοις σοῖς υἱέσιν ἐν τῷδε τοῦ λόγου τῷ σχήματι, ἀλλὰ νῦν τῆς σῆς μάλιστα ψήφου τούτοις δεῖ, ἧς ἂν τυχόντα ὡς ἂν ὑπό του τῶν κρειττόνων ἐψηφισμένα καλά τε ἂν ἅμα φανεῖσθαι καὶ εἰς ἔργον ἀφίξεσθαι. θεὸς δὲ δοίη τὴν συνοίσουσαν καὶ τοῖς πᾶσι καλῶς ἕξουσαν ψῆφον ἐξενεγκεῖν.

ΤΟΥ ΑΥΤΟΥ ΠΛΗΘΩΝΟΣ ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΣ ΠΡΟΣ ΤΟΝ ΔΕΣΠΟΤΗΝ ΘΕΟΔΩΡΟΝ, ΠΕΡΙ ΤΗΣ ΠΕΛΟΠΟΝΝΗΣΟΥ.

GEORGII GEMISTI PLETHONIS AD PRINCIPEM THEODORVM DE REBVS PELOPONNES. ORATIO POSTERIOR.

Gulielmo Cantero interprete.

Καὶ ἐν πλοίῳ κυβερνήτην νενόμισται μὲν ἅπαντα ἄγειν τὰ πρὸς τὴν τῶν ἐμπλεόντων σωτηρίαν ᾗ ἂν δοκῇ αὐτῷ, καὶ ἐν στρατοπέδῳ δὲ στρατηγὸν ὡσαύτως τὰ πρὸς τὴν τῶν ἑπομένων νίκην, (ἢ οὐκ ἂν οὔτε τοῖς πλέουσιν, οὔτε τοῖς πολεμοῦσί τε καὶ μαχομένοις συνοισθήσεσθαι οὐδ' ὁσονοῦν χρόνον τὰ πράγματα, μὴ οὐχ ὑφ' ἑνὶ ἀνδρὶ ταττομένοις ἑκατέροις· σαφέστατα γὰρ δὴ ἔν γε τοῖς τοιούτοις μάλιστα ὁρῶμεν, ἐν οἷς περ μέγιστοί τε καὶ ὀξύτατοι οἱ κίνδυνοι, τὴν μοναρχίαν ἀσφαλεστάτην τε οὖσαν καὶ λυσιτελεστάτην) οὐδὲν μέντοι ἧττον ὁρῶμεν ἐξὸν καὶ ἐν νηὶ τῶν πλωτήρων τῷ ἐθέλοντί τε καὶ οἰομένῳ τι τῶν πρὸς τὴν κοινὴν ἂν σωτηρίαν διαφερόντων ἔχειν, συμβουλεῦσαι, καὶ ἐν στρατοπέδῳ τῶν στρατιωτῶν τῷ ὡσαύτως ἔχοντι προσιόντας, ἔνθα μὲν τῷ κυβερνήτῃ, ἔνθα δὲ τῷ στρατηγῷ ἀνακοινοῦσθαί τε καὶ ὑποτίθεσθαι τὰ ἐπεληλυθότα· τοῖς δέ που ἀκούσασιν ἔξεστι μὲν ἑλέσθαι, ἔξεστι δὲ καὶ διώσασθαι πρᾴως, ἀλλὰ μὴ πικρῶς, τὴν συμβουλήν. τῷ γὰρ ὄντι πολλή τις συγγνώμη τῷ ἐν τῷ κοινῷ κινδυνεύοντι, εἰ τῆς ὑπὲρ τῆς κοινῆς σωτηρίας φροντίδος καὶ αὐτῷ τι οἴοιτο προσήκειν. καὶ δὴ καὶ ἐπὶ τῆς ἡμετέρας τῆσδε πόλεως καὶ ἔθνους ἐπιτέτραπται μέν σοι, ὦ θειοτάτη κεφαλή, ἡ τῶν ὅλων ἐπιμέλεια, καὶ καταλήλυθεν ἐκ συχνῶν βασιλέων καὶ προγόνων δι' ἀπὸ παιδός, καὶ τούτου βασιλέως, ἐς σὲ κλήρος ἡ ὑμετέρα ἥδε ἡγεμονεία, καί σοι ἔξεστι τὰ ἡμέτερα ταύτῃ ἄγειν ὅπῃ ἄν σοι δοκῇ σαυτῷ τε ἅμα καὶ ἡμῖν ἔσεσθαι λυσιτελές, ἁπάντων συγχωρούντων τε, καὶ οὐδενὸς ἂν ἐναντία τίθεσθαι τολμῶντος. ἐχόντων δέ σοι μὲν οὕτω, τῶν δὲ πραγμάτων ἡμῖν ἐν μεγάλῳ κινδύνῳ φερομένων, ὡς ἂν πολλαχόθεν νῦν ἡμῶν ἐπιβουλευομένων καὶ ἐκ γῆς καὶ ἐκ θαλάττης, προσθείην δ' ἂν ὅτι καὶ οἴκοθεν ἐκ τῆς χώρας ὑπό τε βαρβάρων ἅμα καὶ ὁμοφύλων, μάλιστα δ' ὑπὸ τῶν πλησιοχώρων τουτωνὶ τούτων βαρβάρων, ὑφ' ὧν καὶ τῆς ἄλλης ἐπικρατείας τὸ πλεῖστον καὶ οἰκειότατον ἀφῃρήμεθα, οἳ Παραπαμισάδαι μὲν τὸ πάλαι ὄντες, ὑπὸ δὲ Ἀλεξάνδρου τοῦ Φιλίππου καὶ τῶν μετ' ἐκείνου Ἑλλήνων ἐπιβουλευθέντες τε καὶ κρατηθέντες πάρεργον τῆς ἐς Ἰνδοὺς τότε παρόδου, δίκας νῦν ἡμᾶς ταύτας διὰ μακροῦ μέν, πολλαπλασίας δέ, τῶν ὑπηργμένων εἰσπράττουσιν, Ἕλληνας ὄντας, καὶ νῦν πολλαπλασίαν τὴν δύναμιν κεκτημένοι ἢ ἡμεῖς, τὰ ἔσχατα περὶ ἡμῶν βουλευόμενοι ἑκάστοτε διατελοῦσιν. οὕτω γοῦν τούτων ἐχόντων, οὐκ ἄτοπόν μοι δοκῶ ποιεῖν, εἰ περὶ τῆς κοινῆς σωτηρίας οἰόμενός τι διανοεῖσθαι πλέον ἴσως τῶν πολλῶν, προσιών τί σοι τῷ τῶν ἡμετέρων κυρίῳ, καὶ ὑποτιθείμην ταῦτα ἐξ ὧν ἂν οἰοίμην σοί τε ὑπάρξειν, καὶ ἡμῖν ἅπασι συνοισθήσεσθαι. ἐκεῖνο δέ σου δεήσομαι πρῶτον, εἰ μὴ πάντα δι' ἡδονῆς φαινοίμην ποιούμενος τοὺς λόγους, ἀλλά τι καὶ

Et in naui gubernator omnia pro suo solet arbitrio dirigere, quæ ad vectorum salutem pertinent, & in exercitu dux, quæ ad militū victoriam. (alioqui nec vectoribus nec militibus vel tantillo tempore res rectè procederent, nisi ab vno vtraque viro regerentur; & apertissimè maximis in periculis monarchiam simul tutissimā & vtilissimam deprehendimus) veruntamen & in naui licere videmus vectorum alicui, qui consilio suo communem videatur salutem iuuare posse, & in exercitu militi similiter, illi quidē apud gubernatorem, huic autem ante ducem, quæ in mentem venerint exponere. illis porrò, cùm audierint, vel arripere licet consilium, vel benignè & sine acerbitate reiicere. siquidem non iniquè ferendum est, si quis in periculo communi salutis publicæ curam ad se quoq. nonnihil arbitretur pertinere. Enimuero hæc quoq. in gente nostra atq. vrbe tibi quidem, vir clarissime, totius est rei cura commissa, perq́ue multorum maiorum regū, patrisq́ue etiam regis manus hæc ad te deuenit nostræ regionis hereditas, in qua tibi omnia, prout tibi pariter ac nobis videantur profutura, licet omnium pleno consensu disponere. Cùm autem tua quidem sic se res habeant, nostra autem in magno versentur discrimine: (siquidem vndique nobis terra mariq́ue tenduntur insidiæ, adeoq́ue domi etiam à barbaris simul & gentilibus, maximè autem à vicinis istis barbaris, qui etiam reliqui dominij maximam ac potissimam partem nobis ademerunt, & Parapamisadæ origine cùm sint, & obiter ab Alexandro Philippi F. deuicti, cùm is ad Indos tenderet, à nobis nunc, tanquam Græcis, longo quidem pòst tempore, multiplices antē horum pœnas expetunt, cumq́ue longè præstent viribus, extrema nobis quæq. semper minātur) cùm igitur hæc ita se habeant, nō absurdè mihi facturus videor, si, cùm de salute cōmuni paulo melius fortasse, quàm ceteri, sentire videar, ad te, principem nostrū, accedam, quæq́ue tibi simul & nobis omnibus existimem salutaria fore, subiiciam. Illud autem primùm à te petam, si fortè non totus sermo voluptate sit cōditus, verùm

rùm aliquid etiã subsultet asperius, vt me præstantiora & vtiliora paliaris iucundis præferre. Nam ne medicos quidem video, cùm salus ægrotantium agitur, vel acerbissimis cibis, potibus, & pharmacis aliis abstinere: contraq́; coquos plerunq. obsoniorum voluptate corpus etiã corrumpere. adeò non semper quæ iucũda, sunt vtilia, verum iuuant etiam acerbissima. Atque hoc primum est existimandum, nec priuatis hominibus nec rebusp. vel in maximis difficultatibus de meliori fortuna esse desperandum. siquidem permulti sunt in integrum restituti. Nam & Troiani, qui cum ÆEnea, capta à Græcis patria, in Italiam sunt ex Phrygia delati, ita prosperam deinde sunt experti fortunam, vt, cùm Romam paulo pòst vnà cum Sabinis, de Lacedæmoniis profectis, pari iure permistis incoluissent, ab hoc principio maximum pariter & præclarissimum obtinuerint imperium. & Persæ post Alexandri Græcorumq́; dominium, eùm à Romanis esset euersa Macedonum potentia, non leuiter & ipsi Parthorum ope suas recuperarunt vires,ᵃ sed vt etiam contra Romanos, qui tum erant potentissimi, bellũ gesserint, & vt nõnunquam superati fuerint, ita postremò splendidam reportarint victoriam, ex eaq́; multis annis tributum quoq. Romanis imperarint. Quocirca nec nos decet nosmetipsos abiicere, vel de salute desperare; sed cùm & ipsi post has ærumnas meliora speremus, illud etiã omni diligentia considerare, quibus modis ad securitatem aliquam res nostræ reducantur, et meliorẽ pro facultate nostra statum nobis comparemus. Vt autem meliorem sibi statum vel ciuitas vel gens aliqua firmiter, quantum quidem res humanæ ferunt, compareet, non alia res efficit, quàm reipublicæ emendatio. Nulla siquidem alia ciuitatibus est vel felicitatis vel infelicitatis causa, quàm respublica rectè vel secus constituta. Quòd si qua casu rectè se ciuitas habeat, id firmũ non est, ac leui de causa potest immutari. plerumque autem vel bona rep. conseruantur & crescunt ciuitates, vel cõtrà corrupta & ipsa collabuntur ac pereunt. Nam & communiter Græci nõ antè latissimè patentem obtinuerunt gloriam, quàm Hercules Amphitryonis F. iniustitia sublata, bonam reip. constitutionem virtutisq́; studiũm ipsis conciliauit. (siquidem ante Herculem quidem non valde fuit celebre Græcorum genus, cui Danai, & Cadmi, ex barbaria aduenæ, imperarent; post Herculem autem multas Græci magnasq́; tum à Græcis, tum à barbaris retulerunt victorias) & Lacedæmonij non antè vel Græcorum facti sunt principes, quàm à Lycurgo præclaram illam reip. constitutionem acciperent; vel principatu pulsi exciderunt, quàm eandem negligerent, ac tum sibi maris imperium vindicarẽt, qui terram eatenus tenuerãt; tum equitatu mi-

a ἀν' ὅτι pro ἄνευ

ταχὺ ὑποφαίνοιτο καὶ προσάντης, συγγνώμην ἔχειν μοι, τὰ ὠφελιμώτερά τι καὶ βελτίω πρὸ τῶν ἡδέων αἱρουμένῳ. καὶ γὰρ καὶ τοὺς ἰατροὺς ὁρῶ ὑπὲρ τῆς σωτηρίας τε καὶ ὑγιείας τῶν καμνόντων οὐδὲ τῶν ἀηδεστάτων σιτίων καὶ ποτῶν καὶ τῶν ἄλλων φαρμάκων φειδομένους· τούς γε μὴν ὀψοποιοὺς τοὐναντίον τῇ διὰ τῶν ὄψων ἡδονῇ τὰ πολλὰ καὶ προσδιαφθείροντας τὰ σώματα. οὕτως οὐ πέφυκε πανταχῇ ἡδονὴ λυσιτελεῖν, ἀλλ' ἔστι τῷ ὄντι καὶ διὰ τῶν ἀηδεστάτων ὠφελεῖσθαι. πρῶτον μὲν οὖν ἐκεῖνο διανοηθῆναι χρή, ὅτι καὶ ἐκ τῶν χαλεπωτάτων οὐκ ἀνέλπιστα τὰ χρηστότερα, οὔτε ἰδιώταις, οὔτε πόλεσί τε, καὶ ἔθνεσι. πολλοὶ γὰρ αὖθις σφᾶς αὐτούς. Τρῶές τε γὰρ οἱ μετ' Αἰνείου, ἐπειδὴ ἡ πατρὶς σφίσιν ἥλω ὑπὸ Ἀχαιῶν, ἐς Ἰταλίαν ἐκ Φρυγίας κατὰ συμφορὰν ἀπενεχθέντες, οὕτως εὐτυχῶς ἐχρήσαντο τοῖς μετὰ ταῦτα πράγμασιν, ὥστε ἐπειδὴ χρόνῳ ὕστερον Ῥώμην ἅμα Σαβίνοις, Λακεδαιμονίοις οὖσιν, ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις κατῴκισαν, ἀπὸ ταύτης ὁρμώμενοι, μεγίστην τε ἅμα καὶ ἀρίστην τῶν ἐν μνήμῃ πασῶν ἔσχον τὴν ἡγεμονίαν. καὶ Πέρσαι δὲ μετὰ τὴν Ἀλεξάνδρου καὶ Ἑλλήνων καὶ Μακεδόνων δουλείαν, ἐπειδὴ ὑπὸ Ῥωμαίων αἱ Μακεδονικαὶ βασιλεῖαι κατελέλυντο, οὐ φαύλως οὐδ' οὗτοι διὰ Παρθυαίων γένους ἀνεκλήρωσαν σφᾶς αὐτούς, ἄλλως τε καὶ πρὸς τὴν Ῥωμαίων ἀρχήν, μεγίστην τότε οὖσαν, διατελέσαι πολεμοῦντάς τε καὶ ἡττωμένους ἐν τῷ μέρει, τὰ τελευταῖα δὲ καὶ λαμπρῶς ἤδη νικῶντας, ὥστε καὶ φόρους Ῥωμαίους πράττεσθαι ἐπὶ πολλὰς δὴ γενεάς. ὥστ' οὐ δίκαιον καταπεπλῆχθαι ἡμᾶς αὐτούς, οὐδ' ἀπογιγνώσκειν τὴν σωτηρίαν· ἀλλ' ἐν δέοντι καὶ αὐτοὺς τὰ χρηστότερα ἐλπίζοντας, ἐκεῖνο καὶ σκοπεῖν ἁπάσῃ τῇ σπουδῇ καὶ βουλεύεσθαι, ὅθεν τε καὶ ὅπως ἐς ἀσφάλειάν τινα ἡμῖν καταστοίη τὰ πράγματα, καὶ ἐκ τῶν δυνατῶν εὐτυχέστερόν τι πράξαιμεν καὶ ἄμεινον. ἔστι δ' οὐκ ἄλλος τις τρόπος τοῦ ἐκ χειρόνων ἄμεινον πρᾶξαι πόλιν ἢ ἔθνος βεβαίως γοῦν καὶ ἀσφαλῶς, ὅσα γε τὰ ἀνθρώπινα, ἢ τὴν πολιτείαν ἐπανορθωσαμένους. οὐ γὰρ ἄλλη αἰτία ταῖς πόλεσι τοῦ ἢ καλῶς πράττειν, ἢ πολιτεία σπουδαία ἢ φαύλη ἐγκαθεστηκυῖα. τύχῃ δ' ἣν τις καὶ κατὰ γνώμην πράξει πόλις, ἀλλ' ἀβέβαιον, καὶ ταχὺ φιλεῖ σου τά γε τοιαῦτα περιτρέπεσθαι· τὰ δὲ πολλὰ δι' ἀρετὴν πολιτείας καὶ σώζονταί τε καὶ αἴρονται αἱ πόλεις· καὶ τοὐναντίον φθίνουσί τε καὶ διόλλυνται τῆς πολιτείας σφίσι πρότερον διαφθαρείσης. κοινῇ τε γὰρ οἱ Ἕλληνες οὐ πρότερον τὴν κατὰ τὴν οἰκουμένην δόξαν ἔσχον, πρὶν σφᾶς Ἡρακλῆς ὁ Ἀμφιτρύωνος, ἀδικίας καθάρας, εὐνομίαν τε καὶ ζῆλον ἀρετῆς ἀντεισήγαγε. τὰ δὲ πρὸ Ἡρακλέους οὐ πάνυ τι ἔνδοξον τὸ τῶν Ἑλλήνων γένος, οὗ Δαναοί τε καὶ Κάδμοι, ἐκ βαρβάρων ἥκοντες, ἐπήλυδες ἄνδρες ἐκράτουν· μετὰ δὲ Ἡρακλέα αἱ πολλαὶ καὶ μεγάλαι Ἑλλήνων νῖκαι ἔν τε τῇ Ἑλλάδι καὶ βαρβάρῳ. Λακεδαιμόνιοί τε οὐ πρότερον τῶν Ἑλλήνων ἡγεμόνες ἀπεδείχθησαν, πρὶν σφίσι Λυκοῦργος τὴν ἐπαινουμένην ἐκείνην πολιτείαν νενομοθετήκει· οὐδὲ πρότερον ἐπελήγησάν τε καὶ τῆς ἡγεμονείας ἐκπεπτώκεσαν, πρὶν τῆς καθεστώσης πολιτείας παρημεληκέναι· καὶ τῆς μὲν κατὰ θάλατταν δυνάμεως ἀντεποιοῦντο, τὰς πεζὰς αὐτοὶ τέως θεραπεύοντες· τὸ δ' ἱππικὸν κάκιστα τότε εἶχον

οἴχεσθαι αὐτοῖς, ξυμφερόντων μὲν τοὺς ἵππους τῶν πλουσιωτάτων, ἐπὶ δὲ τῆς χρείας τῶν συντεταγμένων παραλαμβανόντων, μεθ' ὅπλων ὁποῖα ἄρα δοίη αὐτοῖς, καὶ τῶν συμμάχων δὲ οὐκ ἔτι μετρίως ἐξηγουμένων. τοιγάρτοι ὑπὸ Θηβαίων ἡττήθη Ἐπαμινώνδου ἡγουμένου αὐτοῖς, ἀνδρὸς τῆς Πυθαγορείου παιδείας οὐκ ἐν παρέργῳ διακηκοότος. καὶ Φίλιππος δὲ ὑπὸ Ἐπαμινώνδᾳ τούτῳ τραφείς τε καὶ παιδευθείς, ὁπότε παρὰ Θηβαίοις ὡμήρευεν, ἡγεμὼν τῶν Ἑλλήνων ἀπεδείχθη. καὶ Ἀλέξανδρος, τούτου υἱός, ὑπό τε τοῦ αὐτοῦ τε πατρὶ Φιλίππῳ παιδευθείς, καὶ ἔτι Ἀριστοτέλει, Ἑλλήνων τε ἡγεμών, καὶ τῆς Ἀσίας βασιλεὺς κατέστη, Πέρσας παρελόμενος τὴν ἀρχήν. Ῥωμαῖοί τε ξὺν ἀρετῇ πολιτείας ἐς τὴν μεγάλην ἡγεμονείαν παρῄεσαν, οὐ πρότερόν τε σφίσιν ἐκλινέ τε τὰ πράγματα καὶ χεῖρον εἶχε, πρὶν τὰ καθεστῶτα ἐκινήκεσαν. Σαρρακηνοὶ δ' οὗτοι τὸ μὲν πάλαι οὐ μεγάλη τις ἦσαν μοῖρα Ἀράβων, Ῥωμαίων τε τέως ὑπήκοοι τὰ πολλά· ἀλλ' ὅμως ἐπειδὴ σφίσιν αὐτοῖς νόμους τινὰς ἔθεντο, καὶ πολιτείαν νεωτέραν, εἰ καὶ πρὸς ἄλλο τι μὴ καλῶς ἔχοντας, ἀλλ' ἔν γε πρός γε πόλεων ἐπαύξησιν, καὶ κράτος πολέμων ἐπιτηδείως ἔχειν δοκοῦντας· πρῶτα μὲν τῶν ὁμοφύλων Ἀράβων αὐτοὶ ἡγήσαντο, ἔπειτα δὲ τῆς Ῥωμαίων ἐπικρατείας τὴν πλείστην καὶ ἀρίστην ἀπετέμοντο, καὶ Λιβύης διεπῆρξαν, καὶ Πέρσας παραστησάμενοι τῇ σφετέρᾳ αὐτῶν ὑπηγάγοντο πολιτείᾳ. ἄλλα τε συχνὰ ἔθνη τῶν κατὰ τὴν οἰκουμένην, τοὺς τούτων ἐζηλωκότας νόμους, καὶ τούτοις χρώμενοι, εὐτυχεῖν πη δοκοῦσιν· οἵ τε καθ' ἡμᾶς οὗτοι μέγιστον δυνηθέντες βάρβαροι, τούτοις τοῖς νόμοις κεχρημένοι, τὰ μέγιστα ηὐδοκίμησαν). οὕτω δὲ καὶ τἄλλα εἴ τις καθ' ἕκαστα ἐπίοι, καὶ ἔθνη καὶ πόλεις εὑρήσει διὰ τὰς ἀμείνους ἢ χείρους πολιτείας ἄμεινόν πη ἢ χεῖρον πεπραγότα. ὥστ' εἰ βουλοίμεθα ἐξ οὗ τε καὶ ὅπως σωθείη μέν τ' ἄν, καὶ ἐκ τῶν παρόντων ἄμεινον ἂν ἡμῖν σχοίη τὰ πράγματα· οὐδὲν ἄλλ' ἢ τὴν πολιτείαν ἐπανορθωτέον, καὶ ἐκ φαυλοτέρων τῶν καθεστώτων ἐς ἔτι σπουδαιότερα μετασκευαστέον. πολλῶν δ' ὄντων ἐξ ὧν πόλις τε καὶ πολιτεία συνέστηκε, καὶ καθ' ἕκαστον αὖ καὶ ἀμεινόνων ἐγγιγνομένων πολιτευμάτων καὶ χειρόνων· ἡ μὲν ἂν δι' ἀμεινόνων τῶν πλείστων καὶ κυριωτάτων ἡ συνεστηκυῖα, αὕτη μὲν καὶ καθάπαξ ἡ πολιτεία· ἣ δ' ἂν διὰ χειρόνων τῶν αὐτῶν, φαύλη. πρῶτον μὲν οὖν ἐπειδὴ τρία τὰ πρῶτα πολιτείας εἴδη, μοναρχία τε, καὶ ὀλιγαρχία, καὶ δημοκρατία, καὶ τούτων ἑκάστου πλείους αὖ τρόποι, καθ' οὓς ἔστιν ἢ ἄμεινον ἢ χεῖρον πολιτεύεσθαι· παρὰ μὲν τοῖς τὰ βέλτιστα φρονοῦσι κράτιστον κέκριται πάντων μοναρχία συμβούλοις τοῖς ἀρίστοις χρωμένη, νόμοις τε σπουδαίοις, καὶ τούτοις κυρίοις. συμβούλων δὲ πρῶτα μὲν μέτριον ἀνδρῶν πεπαιδευμένων πλῆθος, ἄριστον. ὅ, τι γὰρ δῆμος, οὐ κατανοοῦντες ἀλλήλων, οὐδὲ συνιέντες ῥᾳδίως, διά τε πλῆθος, καὶ ἀπαιδευσίαν τῶν ἐν αὐτοῖς ὑπερβολήν, ἀλογίστως τὰ πολλὰ φέρουσι τὰς ψήφους· οἵ τ' εἰς ἐλάχιστον ἀριθμὸν ἀνηγμένοι, τὰ ἴδια κέρδη λογιζόμενοι, οὐκ ἀγαθοί τα πολλὰ σύμβουλοι· οἱ δ' ἅμα μὲν μετρίως ἔχοντες πλήθους, ἅμα δ' οὐκ ἀπαίδευτοι, ἄλλος μὲν ἄλλο κατὰ τὸ εἰκὸς συνορῶντές τε καὶ εἰς μέσον ἄγοντες, ὑπὸ δὲ τοῦ κοινῇ συμφέροντος καὶ κοινῇ ἀγόμενοι, τῶν πάντων ἀμείνους τε καὶ ἀσφαλέστατοι συμβουλεύειν. ἔτι δ' οἱ μετρίως ἔχοντες βίου, καὶ οὔθ' οἱ παμπλού-

nimium valerent, quem ut alebant ditissimi quique, ita belli tempore aliis cum armis qualibuscunque tradebant, tum sociis non clementer amplius imperarent. Quocirca sunt à Thebanis deuicti ductu Epaminondæ, qui doctrinam Pythagoricam non segniter perceperat. Philippus quoque ab hoc Epaminonda, cùm Thebis obses degeret, institutus, Græcorum princeps euasit: nec non eius F. Alexander cùm Philippi patris, tum Aristotelis insuper institutione & Græcorum imperium, & Asiæ regnum superatis Persis sibi comparauit. Quinetiam Romani ad maximum principatum reipubl. bonitate peruenerunt, nec priùs res illorum labi cœperunt, quàm remp. immutassent. Saraceni denique isti olim quidem parua quædam erant Arabũ pars, & Romanis ferè parebant: postquam vero mutata republ. leges quasdam ferri sibi passi sunt, quæ ut non ad aliud quicquam, saltem ad ciuitatum augmentum & bellicas victorias viderentur conducere; primùm gentilium Arabum nacti sunt imperium, deinde Romanorum dominio maximam & potissimam ademerunt partem, tum Africam sibi adiecerunt, postremò Persas in suam redegerunt potestatem. Sed et aliæ gentes aliquot horum vtentes moribus & ritibus felicitate frui videntur. atque adeò isti, qui nobis plurimùm præstiterunt, barbari his vtentes legibus maxima potentia polluerunt. Eodem ferè pacto si quis reliqua consideret, & gentes & urbes reperiet ex bonis vel malis rebuspublicis rectè se vel secus habuisse. Quare si hoc videbitur considerandum, quibus modis tũ ad salutem perueniamus, tum potiorem statum nobis comparemus; emendanda dumtaxat est respublica, prauis institutis in rectiora commutatis. Iam cùm sint multa quæ rempubl. constituant, eamque singula vel meliorem vel peiorẽ efficiant; nimirum quæ plurimis & potissimis cõstabit melioribus, [b]proba futura est resp. quæ iisdem peioribus, improba. Ac primùm, quia rerump. tria sunt genera, monarchicum, oligarchicum, & democraticum, pluresque item singulorum species, quibus vel corrigitur vel corrumpitur resp. prudentissimi sanè quique monarchiam consultoribus optimis et legibus probis iisque ratis vtentem cunctis prætulerũt. Ac de consultoribus quidem, primùm eruditorum hominum laudatur moderata copia. Nam & vulgus, quoniam difficulter inter se intelligũt, multosque habet indoctos, temerarios plerumque fert calculos: et qui paucissimo constant numero, cùm priuatum sectetur lucrum, praua dant ferè consilia. At qui simul & moderato numero fuerint, & non indocti, cùm ut alius aliud consideret atque in medium proferat, ita communi vtilitate communiter ducantur, optimi erunt ac certissimi consultores. Deinde hoc requiritur, ut mediocri sint fortuna, nec vel di-

[b] καλὴ pro ἀγα.

tissimi vel pauperrimi. siquidem illi præ diuitiarum studio nihil ferè suadent aliud, quàm vnde lucrũ ipsis aliquod proueniat; hi præ inopia nihil spectant aliud, quàm vt necessitati subueniant suæ. At qui se mediocriter habent, communem potissimùm salutem curant. Ac de consultoribus quidem hactenus. leges verò probæ sunt, vt vno verbo dicam, quæ sua singulis tum in vrbe, tum in gente quanus officia definientes, alienis negotiis vetent se immiscere. Atque in omni ferè ciuitate primùm & maximè necessarium est & numerosissimum rusticorum genus, agricolarum videlicet, pastorũ, quiq; alij terræ fructus propriis manibus colligunt. Alterum est opificum genus, mercatorum, institorum, & similium, quod primis illis ac reliquæ ciuitati inseruit: dũ opifices quidem supellectilem humanæ vitæ necessariam in medium producunt; mercatores autem quæ singulis regionibus vel desint vel supersint, de vna in aliam transferendo exæquant, & quoniam alij suis coguntur rebus vacare, ipsi hanc prouinciam suscipiunt; institores denique de rusticis quidem vel mercatoribus emunt vniuersa, requirentibus autem singulis quandocunque & quocunque velint numero diuendunt. nonnulli etiam corporis vires elocantes, nunc his nunc illis ministerium exhibendo victitant. Postremum est principum genus, qui vel vrbem vel gentem totam conseruant atque custodiunt. quorũ vt supremus est rex, ita post illum alij alias vrbis vel gentis sortiti partes ritè conseruant. Cùm enim hoc omnibus persuaderi nequeat, æquitatem absque iniuria sectandam esse, nec tendendas cuiusquam bonis insidias; nonnulli autem vel primi vel secundi generis omissis operibus suis, aliorum inhiant laboribus: contra hos instituti sunt ex amicis quidem iudices & reliqui præfecti, ex inimicis verò milites & horum duces. quibus cùm tanquam publicæ intentis custodiæ aliunde suppeditanda essent necessaria, tributa rusticis in dimensum publicorum custodum imperata sunt, merces pariter & præmium custodiæ futura. atq; hæc tributorum est origo. Cùm porrò tria hæc prima sint hominum in vrbe genera, propria quædam singulorum esse debẽt officia, quæ quidem proba lex obire quemq; iubet, nec inter se confundere. Principes igitur nullum subeant ministerium, quandoquidem imperio maximè contrarium est ministrare. Sunt autem inter ministeria cum alia, quæ recensuimus, tum institoria & mercatura. At principem iubet lex nec mercaturã nec institoriam facere, nec aliud quicquã non liberale tractare. Similiter à vulgo secernantur milites, ac seruatores à seruandis: et illi quidem ab omni collatione liberi militent, ac populum tueantur; hi verò suas res agentes idonea simul nec grauia principum &

σιοι, οὔθ' οἱ ἀπορώτατοι. οἱ μὲν γὰρ, διὰ τὴν τοῦ πλούτου φιλίαν, οὐδὲν ἄλλο τὰ πολλὰ βουλεύεσθαι φιλοῦσιν, ἢ ὅθεν ἄν τι αὐτοῖς κέρδος προσίῃ· οἱ δὲ, διὰ τὴν ἀπορίαν, οὐδὲν ἄλλο σκοποῦσιν, ἢ ὅθεν ἂν τὰς ἰδίας ἀνάγκας παραμυθήσαιντο· οἱ δὲ μετρίως ἔχοντες, μᾶλλόν τι καὶ ἐθέλουσιν ὑπὲρ τοῦ κοινῇ συμφέροντος ἑκάστοτε φροντίζειν. καὶ περὶ μὲν συμβούλων ταῦτα. νόμοι δὲ σπουδαῖοι, ὡς ἐπίπαν εἰπεῖν, οἱ ἂν ἑκάστοις τῶν τῆς πόλεως μερῶν καὶ ἐθνῶν τὰ αὑτῶν πράττειν ὁρίζοντες, κωλύωσι τῶν μὴ προσηκόντων πράξεών τε καὶ ἐπιτηδευμάτων. ἔστι δ' ἐν πόλει σχεδὸν ἁπάσῃ πρῶτον μὲν καὶ ἀναγκαιότατον μέρος καὶ γένος καὶ πλεῖστον τὸ αὐτουργικὸν, ὅσον γεωργικόν τε καὶ νομικὸν, καὶ ξυμπάντων τῶν τοὺς ἐκ γῆς αὐτοὺς δι' αὑτῶν πορίζομένων καρπούς· ἕτερον δὲ, τὸ τούτοις αὖ καὶ τῷ ἄλλῳ τῆς πόλεως πλήθει διακονικὸν, ὅσον δημιουργικόν τε, καὶ ἐμπορικὸν, καὶ καπηλικὸν φῦλον, καὶ εἰ δή τι ἄλλο τούτοις προσῆκον. δημιουργῶν μὲν, τὰ μὴ ὄντα τῶν σκευῶν ὧνπερ ἄνθρωποι ἐς τὸν βίον δέονται, ἐς οὐσίαν ἀγόντων· ἐμπόρων δὲ, τὰ πλεονάζοντά τε καὶ ἐλλείποντα ταῖς χώραις ἑκάσταις ἀνισούντων τῇ ἐκ τῆς ἑτέρας ἐς τὴν ἑτέραν μετακομιδῇ, αὐτῶν ἐς τὴν διακονίαν ταύτην καθισταττόντων αὑτοὺς, ἅτε οὐ σχολαζόντων τῶν αὐτουργῶν, ὑπὸ τοῦ τοῖς αὑτῶν πράγμασι προσέχειν· καπήλων δὲ, παρὰ μὲν τῶν αὐτουργῶν ἢ τῶν ἐμπόρων ἀθρόα ὠνουμένων, τῶν δὲ δεομένων ἑκάστοις ἐπὶ τῆς χρείας, ὁπότε, καὶ ὁπόσων δέοιντο, ἀποδιδομένων. εἰσὶ δ' οἳ καὶ τὴν τοῦ σώματος ῥώμην μισθούμενοι, διακονοῦντες ἄλλοτε ἄλλοις, διαζῶσιν. ἐπὶ δὲ τούτοις τὸ ἀρχικὸν φῦλον, σωτήριον τὸ πᾶν τῆς ὅλης πόλεως ἢ γένους ἡγεμὼν ἂν οὕτω τύχῃ καὶ φυλακικόν· ὧν κορυφαῖος μὲν βασιλεὺς, ἤ τις ἡγεμὼν, μεθ' ὃν ἄλλοι ἄλλα διειληφότες γένους ἢ πόλεως μέρη, διασώζουσιν ἕκαστα ἄν τι γίγνηται τῶν κατὰ τρόπον. ἐπεὶ γὰρ οὐχ οἷόν τε πάντας ἀνθρώπους πεισθῆναι ὡς τὸ ἴσον χρὴ ἔχειν, καὶ μὴ πλεονεκτεῖν, μηδὲ τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν· ἀλλ' εἰσὶν οἳ τοῦ αὐτουργεῖν ἀμελήσαντες, ἤ τινα ἄλλην τῶν ἐς τὸν βίον χρείαν συντελεῖν, τοῖς ἑτέρων πόνοις ἐπιφύονται. καὶ δὴ τούτων ἐτάχθησαν, φιλίων μὲν νομιζομένων, δικασταί τε, καὶ ἄλλοι ἄρχοντες· πολεμίων δὲ, στρατιῶταί τε, καὶ ὅσοι ἄρχοντες τούτων. οἷς ἀσχολουμένοις περὶ τὴν τοῦ ὅλου φυλακὴν, ἐπειδὴ ἑτέρωθεν ἔδει τῶν ἐπιτηδείων, φόροι παρὰ τῶν αὐτουργῶν μάλιστα ἑκάστων ἐτάχθησαν φέρεσθαι, σίτησις τοῖς κοινοῖς φύλαξι καὶ μισθός τις καὶ ἅμα γέρας τῆς φυλακῆς. καὶ αὕτη δὴ γένεσις φόρων. τριῶν δὴ τούτων ὄντων ἐν πόλει τῶν πρώτων γενῶν, κατά γε φύσιν, ἴδι' ἄττα καὶ τὰ ἐπιτηδεύματα καὶ αἱ πράξεις ἑκάστων, καὶ ὁ σπουδαῖος νόμος αὐτὸ τοῦθ' ὁρίζει, τὰ αὑτῶν πράττειν ἕκαστον, καὶ μὴ ἀπαλλάττειν ἄλλῳ ἄλλων γενῶν ἐπιτηδεύματα καὶ πράξεις. αὐτίκα τοὺς ἄρχοντας μηδὲν τῶν διακονικῶν ἐπιτηδεύειν· ἐναντιώτατον γάρ που διακονία ἀρχῇ. διακονικὰ δ' ἐπιτηδεύματα, ἄλλα τε, ὡς ἔφαμεν, καὶ ἐμπορεία τε καὶ καπηλεία. ἄρχοντι δὲ ὅ γε σπουδαῖος νόμος ὁρίζει μὴ ἐξεῖναι ἐμπορεύεσθαι, μηδὲ καπηλεύειν, μηδ' ἄλλο μηδενὸς ἅπτεσθαι τῶν ἀνελευθέρων. τούς τε στρατιώτας ἀποκεκρίσθαι τῶν πολλῶν, καὶ ὅλως τοὺς σώζοντας τῶν σωζομένων· καὶ τοὺς μὲν ἀφειμένους παντὸς φόρου στρατεύεσθαί τε καὶ προκινδυνεύειν τῶν πολλῶν, τοὺς δὲ τοῖς αὑτῶν προσέχοντας, ἱκανούς τε ἐς δύναμιν, καὶ ἅμα οὐ βαρεῖς τινας φέρειν τοὺς φόρους, σίτησιν τοῖς τε ἄρχουσι καὶ

στρατιωτῶν τοῖς λοιποῖς. τὸ πολὺ δὲ τῆς στρατιᾶς, καὶ τὸ ἀναγκαιότατον, ὁμόφυλόν τε εἶναι καὶ οἰκεῖον, ἀλλὰ μὴ ξενικόν. ἄπιστα γὰρ τὰ πολλὰ τῶν ξενικῶν, καὶ στρεφόμενα πολλάκις, αὐτὰ πολέμια ἀντὶ σωτήρων τε καὶ φυλάκων φιλεῖ γίγνεσθαι· τὰ δ' οἰκεῖα καλῶς θεραπευόμενα τῷ παντὶ βεβαιότερά τε καὶ πιστότερα. τῶν αὐτουργῶν δὲ τὸ πολὺ καὶ οἰκόσιτον τῆς στρατιᾶς, κατὰ συζυγίας συντετάχθαι, κοινοῖς τε τοῖς τέλεσι τῶν ὁμοζύγων ἑκάστων ἐργαζομένων τὰ πολλὰ παρὰ μέρος ἑκάτερον, τὸν μὲν ἐργάζεσθαι τοῖν κοινοῖν ἀμφοῖν, τὸν δ' ἕτερον στρατεύεσθαι· ὅπως ἂν ὡς μάλιστα οἷόν τε ἀμφοῖν, τῶν τε ἰδίων οἴκων ἐφικνοῖντο οἱ αὐτοί, τῆς τε φυλακῆς τῆς ὑπὲρ τοῦ κοινοῦ. διακεκρίσθαι δὲ ἰδίᾳ μὲν πεζούς, ἰδίᾳ δ' ἱππέας τῶν στρατιωτῶν· καὶ τοὺς μὲν πεζοὺς ἐς λόχους τε καὶ τάξεις συντετάχθαι, ὑπὸ λοχαγοῖς τε καὶ ταξιάρχοις ἀρχομένους· ἱππέας δὲ ἐς ἴλας τε καὶ συντάγματα, ὑπὸ ἰλάρχαις τε καὶ συνταγματάρχαις· ὥστε ὀξέως τε ἐν κόσμῳ ἑκασταχῇ παρεῖναι ᾗ ἂν δέοι, μηδ' ἅμα ἀμφοῖν τὼ δυνάμεε θεραπεύειν, τήν τε πεζὴν καὶ τὴν κατὰ θάλατταν, ἀλλὰ τὴν ἑτέραν αἰεί, καὶ ταύτην, εἰ ἡ τῆς πόλεώς τε καὶ ἡμῶν, ἔτι δ' ἡ τῆς χώρας ἐνδέχοιτο φύσις, μᾶλλον τὴν πεζήν, ἢ δεινὸν καθ' ἑκάτερα ἐλαττουμένους, καὶ καθ' ἑκατέραν ἡττᾶσθαι τὰ πολλά. τό, τε τὰς πεζὰς δυνάμεις ἐπ' ἀνδρῶν ἀγαθῶν στρατηγῶν τε καὶ στρατιωτῶν ἀρετῇ ποιεῖσθαι τὸ θαρρεῖν, ἀλλὰ μὴ ναυκλήρων τέχναις, ἄλλων τε φαύλων ἀνθρώπων· τό, τε τῆς γῆς κρατοῦντας αὐτόθεν ἂν τῶν ἐπιτηδείων εὐπορεῖν, ἀλλὰ μὴ ἐκ τῆς ὑπερορίας δεῖσθαι· τό, τε τῶν ἐπιθαλαττίων χωρίων τῶν πολλῶν ἀφισταμένους, ὅτι μὴ πᾶσα ἀνάγκη, τοῖς πρὸς τοὺς πλησιοχώρους μόνοις πολέμοις τὸ πολὺ προσέχειν, ἀλλὰ μὴ πολλοῖς, ὁμοίως μὲν πρὸς πλησιοχώρους, ὁμοίως δὲ πρὸς τοὺς ἐξ ὑπερορίας, καὶ τούτων ἔστιν οὓς ἀπροσδοκήτους. ταῦτα πάντα τῆς ἑτέρας πολλῷ που καὶ καλλίω καὶ ἀμείνω. φόρων δὲ ἐπειδὴ τριττὰ ἤδη, ὡς εἰς ἐλάχιστα διῃρεῖν, τὸ μὲν ἀγγαρεία, τὸ δὲ τακτὸς ὅρος χρημάτων, εἴτε κέρματος, εἴτ' ἄλλων ὠνίων, τὸ δὲ ῥητή τις τῶν γιγνομένων μοῖρα. ἀγγαρεία μὲν βαρύτατος φόρων, τοῖς φέρουσι πολὺ τὸ δοῦλον ἔχων, ἅτε τῶν σωμάτων, οὐ τῶν χρημάτων ἐπιλαμβανόμενος, τοῖς τε πραττομένοις οὐ μικρᾶς παραίτιος ἀσχολίας. δι' ἔτους αἰεὶ τοῦ παρεσομένου τε καὶ ἄξοντος ἐπὶ τὰ ἔργα δεομένη. ὁ δὲ τακτὸς χρημάτων ὅρος, πρὸς τῷ δουλείᾳ καὶ αὐτὸς πλεῖστον αὖ ἔχει καὶ τὸ ἀνώμαλον, ἀναγκαίως τε φερόντων, καὶ οὐ πρὸς λόγον τῶν δυνάμεων τὰ πολλά, χαλεποῦ ὄντος τοῦ καὶ τὴν ἀρχὴν τῆς δυνάμεως ἑκάστων ἐξισοῦν τοὺς φόρους, καὶ ἅμα οὐδὲ μενουσῶν τῶν δυνάμεων ἑκάστοις ἐπὶ τῶν αὐτῶν, κατὰ σμικρὰ δὲ καὶ πολλάκις τοῦ ἔτους, καὶ ὑπὸ πολλῶν εἰσπραττόμενος, καὶ πολλῷ αὖ χαλεπώτερος. ἡ δὲ ῥητὴ τῶν γιγνομένων μοῖρα, τό, τε δοῦλον ἥκιστα ἔχει, παντός τε ἄλλου φόρου τὸ ἴσον ἂν δυναμένη, πολλῷ ἐστι κουφότερος κατ' αὐτὸ τὸ εὐπορώτατον τῆς ὥρας, ἡνίκ' ἂν ἡ συγκομιδὴ ἑκάστοις τῶν ἐκ γῆς εἴη καρπῶν, καὶ ἀπ' αὐτῶν αἰεὶ τῶν ὑπαρχόντων εἰσπραττόμενος, πρὸς δέ γε ἔτι καὶ ὁμαλώτατος φόρων, πρὸς λόγον αἰεὶ τῶν δυνάμεων φερόντων ἑκάστων· ὥστ' ἂν καὶ κράτιστος εἴη φόρων οὗτος, κουφότατός τε ὤν, ὡς ἔφαμεν, καὶ ὁμαλώτατος, λυσιτελέστατός τε τοῖς κοινοῖς τῇ δικαιοτάτῃ μοίρᾳ εἰσπραττόμενος. ἥτις δ' ἂν δικαιοτάτη γίγνοιτο κατὰ λόγον μοῖρα, ἐνθένδε ἔξεστι λογίσασθαι. τοῖς ἐκ γῆς καρποῖς τριῶν δεῖ τούτων πρὸς τὴν φοράν, ἐργασίας, τῶν τελῶν, δι' ὧν πρ

militum delectorum dimenso tributa pendant. Maior verò pars exercitus & potior ciuium sit ac domesticorum, non peregrinorum. siquidem rarò fidi sunt peregrini, multisq́; mutationibus interdum pro seruatoribus atque custodibus hostes existunt. domestici verò si rectè curentur, magis firmi sunt atq. fidi. De rusticis autem plerique militiæ assueti, per coniugationes diuidantur, eorumq́; alterutro communibus ferè laborante sumtibus, vicissim alter laboret, alter militet; sicut pariter & familiæ suæ curam & salutis communis idem, quantū fieri possit, gerant. Separentur autem in exercitu pedites ab equitibus, peditibus quidem in turmas sub ducibus, equitibus autē in alas sub magistris relatis, quò confestim possint, vbicunque fuerit opus, ordine adesse. Neque simul vtraque copia, terrestres ac nauales, cogantur, verùm alteræ semper, eaq́; si id vrbis & gentis atq. etiam regionis patiatur natura, potius terrestres, ne cùm vtrisque simus inferiores, neutros vincamus. Ac præstat longè terrestribus copiis in militum ac ducum virtute, quam nautarum ac similium hominum vilium arte fiduciam ponere; ac terra potitos indidem necessaria nancisci, quàm peregrè petere; relictisq́; mari proximis locis, nisi cogat extrema necessitas, soli cum vicinis bello vacare, quàm pluribus, tū cum vicinis, tum cum exteris. Iam cùm tributorum tria sint minimum genera, primùm seruitus, deinde certa siue pecunia siue aliarum rerum summa, tum quædam rerū nascentium pars: grauissimum quidem tributi genus est seruitus, quippe quod non opes arripiat, sed corpora, nec paruam ipsis præbet exactoribus molestiam, quorum præsentiam quotannis requirit; certa verò summa præter seruitutē, magnā etiam habet inæqualitatem, dum & necessariò penditur, & sæpe non pro opibus, quando nec facile sit opibus cuiusq. tributum exæquare, nec singulorum opes eandem semper obtineant magnitudinem. (eadem quidem per partes quotānis sæpius à pluribus exacta longè maiorē difficultatem parit) rerum autē nascentium quædam pars cùm seruitutis minus habet, tū quouis alio tributo, tantundē quod efficeret, multo leuior est ipsa temporis ratione, (quādoquidem quo tempore fructus à singulis colliguntur, de ipsis petitur fructibus) nec non æqualitatem habet maximam, dum quisq. pro opibus persoluit. quo fit, vt optimum sit hoc tributū, cùm & leuissimum sit, vt diximus, et æquissimum, &, si cum æquitate exigatur, reipub. vtilissimum. Quæ porrò æquitas hic locum habeat, hinc licet animaduertere. Terræ fructus tria potissimùm requirunt, operas, sumtus operis præbendos, vt

boues,

boues, vineas, armenta, similia, & horum custodiam. quapropter etiam tribus iure debentur, operis, sumtuum dominis, ac denique custodibus vniuersorum & seruatoribus, quos reges, principes, aliásque præfectos diximus. Rustici erga, qui suis laborant sumtibus, cùm liceat ipsis quacunque loco terram quouis pacto colere, duabus fruentes partibus, altera operis, altera sumptibus debita, tertiam reipublicæ & custodibus vniuersorum præstent, omni alia collatione quacunque omniq́ ministeria vacantes. atque hoc sit iustissimum tributum, præmium simul ac dimensum publicis ministris futurum. Ac de tributis quidē hactenus. viuendi porrò ratio cùm reliquorum ciuium tum præfectorum maximè non sumtuosa, sed moderata sit; sic vt peregrinas quidem vestes & nugas alias negligant, ad bellum autem sint omnes cōpositi, quiq́; huc pertinent apparatus, diligenter procurent, quos quidem, cùm aliò sumptus transferuntur, diminui oportet ac deteri. Terræ fructus nemini liceat, quocunque velit, nisi alteram partem pro vectigali pendat, euehere. ad socios quidem euehere liceat. sin quis ferra, vel armis, vel alia re necessaria velit mutare, nihil pendat. Moneta nec improba nec peregrina vtamur, ne videamur etiam praua & aliena vti republica. siquidem non paruum in republica momētum habet monetæ ratio. Sontes ne barbarico more multentur, vt post multam minimùm deinceps peccent. nam qui videntur insanabiles esse, eos de medio præstat auferentes, animam corpore liberare, quo non rectè nouit vti, quàm illos mutilantes, hanc tū corpori mutilo atque inutili, tum reliquæ ciuitati alligare. Atq. hæ quidem probæ sunt reipublicæ leges, aliaq́; similes: caput autem horum est omnium de Deo rectè & publicè & priuatim sentire, maximè autem hæc tria: primùm, esse Deum quendam, præstātissimam omnium naturam; deinde, hunc & homines curare, & res omnes humanas tum magnas tum paruas regere; tum arbitrio suo cuncta illum rectè iusteq́; semper administrare, nusquam ab officio deflectentem vel alia de causa, vel hominum donis delinitū, quibus non indigeat. Quæ cùm ita se habent, consequitur illud, vt in cultu sacra donariaq́; modo & pietate adhibitis offerant, velut inde bonum omne proficisci fatentes; nec vel minùs præstantes, aut duarum, aut alterius saltem duarum impietatis formarum opinionem sibi comparent, vel nimio sumtu & priuatas domas & rempublicam perdentes, quasi donariarum quicquam proficeret magnificentia, nec amplius quid offerre, sed redimere visi, tertio se impietatis generi obstringunt.

ἐργάσονται οἱ ἐργαζόμενοι, βοῶν, ἀμπέλων, βοσκημάτων, καὶ τῶν ἄλλων τῶν τοιουτοτρόπων, καὶ τῆς τούτων φυλακῆς. ὥστε καὶ τρίτην ἂν προσήκοι κατὰ τὸ δίκαιον, τοῖς ἐργαζομένοις, τοῖς τὰ τέλη παρεχομένοις τοῖς ἔργοις, καὶ τρίτοις τοῖς φύλαξί τε τῶν ὅλων καὶ σωτῆρσιν, οὓς βασιλέας τε καὶ ἡγεμόνας, ἄλλους τε ἄρχοντας ἔφαμεν. τοὺς μὲν αὐτουργοὺς τοὺς οἰκείοις τοῖς τέλεσιν ἐργαζομένους, ἐξουσίας οὔσης σφίσιν ὅπη τε γῆς καὶ ὅπως βούλοιντο ἐργάζεσθαι, ἔχοντας τὰς δύο μοίρας, τὴν μὲν τῇ ἐργασίᾳ προσήκουσαν, τὴν δὲ τοῖς τέλεσι, τὴν τρίτην τῷ δημοσίῳ τε καὶ τοῖς τὴν φυλακὴν τῶν ὅλων ἐπιτετραμμένοις ἀποφέρειν, ἁπάσης ἄλλης εἰσφορᾶς ὅτι οὐκ ἀξίας λόγου καὶ λειτουργίας ἀφειμένους. καὶ τοῦτον δικαιότατον γίγνεσθαι φόρον, γέρας τε ἄξιον καὶ σίτησιν ἅμα τοῖς ἐπὶ τῶν κοινῶν τεταγμένοις λειτουργιῶν. καὶ περὶ μὲν φόρων τοσαῦτα. τὴν δὲ τοῦ βίου δίαιταν τοῖς τε ἄλλοις πολίταις, καὶ μάλιστα ἄρχουσι, οὐ πολυτελῆ, ἀλλὰ μετρίαν εἶναι· ξενικῶν μὲν ἐσθήτων ἄλλων ματαίων καὶ ἀνωφελῶν ὀλιγωροῦσι, πρὸς δὲ τὸν πόλεμον πᾶσι τεταγμένοις, καὶ τὰς ἐνταῦθα φερούσας θεραπεύουσι παρασκευάς, ἃς ἀνάγκη μειοῦσθαί τι καὶ ἀσθενεστέρας ἴσχειν, ἄλλοσέ ποι ἐξαναλουμένων τῶν δαπανῶν. τοὺς ἐκ τῆς χώρας καρποὺς μὴ ἐξεῖναι ἐξάγειν, ὅπη τε καὶ ὅπως τις βούλοιτο, ἀλλ' ἢ ἐπὶ τῇ ἡμισείᾳ. πρός γε ἐνσπόνδους τὸν ξένον τὸν βουλόμενον ἐξάγειν. ὡς οὐκ ἂν ἄλλως ἐξαχθησομένους, ἢ εἰ ἐν μὴ μείονι ἢ διπλασίᾳ χρείᾳ, εἰ ξένοι εἶεν τῶν πολιτῶν. σιδήρου δὲ μόνου, καὶ ὅπλων, καὶ εἰ δή τι ἄλλο τῶν ἀναγκαιοτάτων, ἀλλαττομένων, ἐξεῖναι ἐξάγειν μὴ τελοῦντα μηδ' ὁτιοῦν. νομίσματι οὐ διεφθορότι χρῆσθαι, μηδὲ ξενικῷ, ἢ δοκεῖν ἂν πονηρᾷ καὶ ἀλλοτρίᾳ χρῆσθαι καὶ τῇ πολιτείᾳ. οὐδὲ γὰρ φαῦλον εἴς γε πολιτείας λόγον μέρος ἂν εἴη τὸ νόμισμα ξυμβάλλεσθαι. τὰς ζημίας μὴ ἀλλοκότους μηδὲ βαρβαρικὰς ποιεῖσθαι τῶν ἐξαμαρτανόντων ἐπὶ τοῖς ἁμαρτήμασιν, ὥστε καὶ κολασμένους ἥκιστα ἂν ἐξαμαρτάνειν τοῦ λοιποῦ. ἐπεὶ τούς γε ἀνιάτους ἔχειν δοκοῦντας, πολὺ κάλλιον ἀπαλλάττοντας τοῦ βίου ἐλευθέραν ἀφιέναι τὴν ψυχὴν σώματος, οὗ μὴ καλῶς ᾔδει κεχρῆσθαι, ἢ λωβωμένους, ἀνάπηρόν τε ἔχειν τῷ σώματι αὐτῷ τε καὶ τῇ ἄλλῃ πόλει ἀναγκάζειν ἐνδεδέσθαι. καὶ πολιτείας μὲν σπουδαίας νόμοι οὗτοί τε καὶ τοιοῦτοι ἕτεροι, καὶ μείζους καὶ ἐλάττους· ὧν περ κεφάλαιον ἁπάντων τὰ περὶ τοῦ θείου δόξαι ἠκριβῶσθαι καὶ κοινῇ καὶ ἰδίᾳ, μάλιστα δ' ἐκεῖνα τρία τε καὶ κυριώτατα· ἓν μέν, εἶναί τι θεῖον ἐν τοῖς οὖσι προέχουσάν τινα τῶν ὅλων οὐσίαν· δεύτερον, τὸ θεῖον τοῦτο καὶ ἐπιμελὲς εἶναι ἀνθρώπων, ἅπαντά τε τὰ ἀνθρώπεια ὑπὸ τούτου, καὶ μείζω καὶ ἐλάττω, διοικεῖσθαι· τρίτον, κατὰ γνώμην τὴν αὐτοῦ διοικεῖν ἕκαστα ὀρθῶς αἰεὶ καὶ δικαίως, οὐκ ἐξιστάμενον μηδαμῇ τοῦ περὶ ἕκαστον καθήκοντος, μήτ' οὖν ἄλλως μήθ' ὑπ' ἀνθρώπων δώροις ἤ τισιν ἄλλοις θωπευόμενόν τε καὶ παρατρεπόμενον, οὐ γὰρ οὖν ἐνδεὲς εἶναι ἀνθρώπων. οὕτως ἐχόντων οὕτως, ἕπεται καὶ τὸ τὰς πρὸς τὸ θεῖον ἁγιστείας θυσίας τε καὶ ἀναθήματα, μέτριά τε καὶ ἀπὸ εὐσεβοῦς τῆς γνώμης τελεῖν, ὁμολογίας ὄντα ξύμβολα τοῦ ἐκεῖθεν ἡμῖν εἶναι τἀγαθά· καὶ μήτ' ἐκλείποντας, ἢ τῶν δυοῖν, ἢ θατέρου γοῦν τοῖν προτέρων εἰδοῖν τῆς ἀσεβείας ἐνεχομένων, δόξαν παρέχεσθαι· μήθ' ὑπερβολαῖς δαπανῶν τούς τε ἰδίους οἴκους καὶ τὰ κοινὰ φθείροντας, ὥς τι πλέον ποιήσοντας τῇ πολυτελείᾳ τῶν ἀπαρχῶν τε καὶ ἀναθημάτων, μηδ' ἀπαρχομένοις ἔτι, ἀλλ' ὡς ὠνουμένοις δόξαν παρεχομένους, τῷ τρίτῳ εἴδει

τῆς

τῆς ἀσεβείας ἐπέχεσθαι. ταῖς δὲ τοιαύταις δόξαις ἰδίᾳ τε καὶ δημοσίᾳ νομιζομέναις καὶ κεκρατηκυίαις, ἀμήχανον μὴ οὐ καὶ ἀρετὴν ἕπεσθαι, πᾶσι παρ' οἷς ἂν τύχωσι κεκρατηκυῖαι, καὶ πᾶσαν τὴν περὶ τὸ καλὸν σπουδήν. κακία δὲ πᾶσα καὶ τὰ μέγιστα ἀνθρώποις ἁμαρτήματα ἀπὸ τῶν ἐναντίων γίγνεται αὖ δοξῶν. γίγνονται γὰρ αἰεὶ τῶν ἀνθρώπων ἔνιοι οὐχ ὑγιῶς περὶ ταῦτα ἔχοντες· οἱ μὲν οὐδ' εἶναί τι τὸ παράπαν θεῖον ἐν τοῖς οὖσι νομίζοντες· οἱ δ' εἶναι μὲν, μὴ φροντίζειν δὲ μηδὲ τῶν ἀνθρωπίνων· οἱ δὲ καὶ εἶναι καὶ ἐπιμελεῖσθαι, παραιτητὸν δ' εἶναι, καί πως θυσίαις καὶ ἀναθήμασι καὶ εὐχαῖς κηλούμενον, μὴ ἀκριβοῦν ἑκάστοτε τὰ δίκαια. ἀπὸ γὰρ τούτων δυοῖν ὄντοιν ἀλλήλοιν ἐναντίοιν εἰδοῖν τῶν περὶ τὸ θεῖον δοξῶν, οἷον περ ἀπὸ πηγαῖν, δύο βίω προαιρέσεις προΐτον ἐναντιωτάτω ἀλλήλοιν· ἡ μὲν τὸ ἓν μόνον, ἢ μάλιστα τὸ καλὸν τιθεμένη ἀγαθόν· ἡ δὲ τὴν ἡδονὴν τέλος τοῦ βίου ποιουμένη. ἐπεὶ γάρ ἐστιν ὁ ἄνθρωπος ξύνθετός τις φύσις ἔκ τε θείας οὐσίας καὶ θνητῆς, ὡς δοκεῖ δὴ πᾶσι καὶ ἑλλήνων καὶ βαρβάρων τοῖς γε καὶ ὁπωσοῦν νοῦ μετέχουσι· καὶ τὸ μὲν θεῖον αὐτοῦ ἡ ψυχή ἐστι, τὸ δὲ θνητὸν, τὸ σῶμα· οἱ μὲν ἂν τῷ ἐν αὑτοῖς θείῳ κεκρατηκότι ἑπόμενοι, τάς τε περὶ τὴν ξυγγενῆ οὐσίαν ἠκριβωκότες εἶεν δόξας, καὶ ἀρετὴν, καὶ τὸ κάλλος παντὸς τοῦ βίου προστήσαιντο, πάντα τὰ ἀγαθὰ ἐν ἀνθρώποις ἀπεργάζονται· οἱ δ' ἂν ὑπὸ τοῦ ἐν αὑτοῖς θνητοῦ καὶ θηριώδους κρατηθέντες τάς τε περὶ τοῦ θείου δόξας ἁμαρτάνοιεν, καὶ ἡδονῇ τὸ πᾶν δοῖεν τοῦ βίου, τὰ μέγιστα αὖ πανταχῆ ἀπεργάζονται κακά. οἱ μεταξὺ αὖ καὶ οἵ τε περὶ δόξαν ἐσπουδακότες, καὶ οἱ περὶ χρήματα· δόξης μὲν ἀρετῆς καὶ τοῦ καλοῦ οὔσης εἰδώλου· χρημάτων δὲ παρασκευαζόντων ἐφ' ἡδονάς. τῶν μὲν οὖν περὶ τὸ καλὸν ἐσπουδακότων ἄλλοι τε ἐγένοντο ἐν τῷ παντὶ αἰῶνι, καὶ ἡρακλῆς ποτε ὁ ἀμφιτρύωνος, ὃν εὐνομίαν τε καὶ ζῆλον τῶν καλῶν ἔφαμεν τῷ τῶν ἑλλήνων ἐμπεποιηκότα γένει, ἐνδοξοτάτους ἐν τῇ οἰκουμένῃ ἀποφῆναι, αὐτῷ πρότερον τὴν ἀρετὴν συχνοῖς τοῖς πόνοις καὶ ἄθλοις περιποιησάμενον· καὶ λυκοῦργος ὁ λακεδαιμόνιος, ὃς ἀδελφοῦ βασιλέως ἄπαιδος τέως τελευτήσαντος, ἐπειδὴ ἡ νύμφη κύειν αἰσθομένη, ἐπηγγέλλετο ἐπὶ τῷ αὐτῆς γάμῳ, διαφθείρασα τὸ ἔμβριον, τὴν βασιλείαν αὐτῷ περιποιήσειν, μὴ προσιέμενος τὴν πρᾶξιν, ἐπειδή οἱ μὴ μετὰ τοῦ δικαίου ἐγίγνετο, ἀλλὰ τῷ ἀδελφοῦ παιδίῳ πάσῃ μηχανῇ τό, τε ζῆν περιποιήσας, καὶ τὸ γέρας τὸ πατρῷον ἀποδοὺς, ἔπειτα χρόνῳ ὕστερον νομοθέτης ὑπὸ τῆς πόλεως αἱρεθεὶς, καὶ τὴν ὑπὸ πάντων ἐπαινουμένην ἐγκαταστήσας πολιτείαν αὐτῇ, εὐδοκιμωτάτην πόλεων ἔν τε ἕλλησι καὶ βαρβάροις ἀπέφηνε· καὶ ἀλέξανδρος ὁ μακεδόνων βασιλεὺς, ὃς δι' ἀρετήν τε καὶ φρόνημα ἡγεμονεύσας ἑλλήνων, ἕλλησί τε ὁμοῦ καὶ μακεδόσι τὴν τῆς ἀσίας ἡγεμονείαν περιεποίησε· καὶ βαρβάρων δὲ κῦρος ὁ πέρσης, ὃς πέρσας τοὺς αὑτοῦ πολίτας δι' ἀρετὴν αὑτοῦ ἅμα μὲν τῆς μήδων ἀπήλλαξε δουλείας, ἅμα δὲ καὶ τούτων τε καὶ τῆς ἄλλης ἀσίας ἡγεμόνας ἀπέφηνε. τῶν δ' ἑτέρων ἄλλοι τε καὶ ἀλέξανδρος ὁ πριάμου ὁ ἰλιεὺς, ὃς ἐν τῇ κρίσει τῶν θεῶν τῇ αἱρέσει τῇ τῶν βίων, ὑπεριδὼν μὲν ἥρας, τῆς ἀρετῆς ἐφόρου θεοῦ, ὑπεριδὼν δὲ ἀθηνᾶς, τῆς δόξης αὖ προεστηκυίας, ἀφροδίτην, ὡς δὴ ἡδονῆς οὖσαν θεὸν, προὔκρινέ τε καὶ προείλετο. τοιγάρτοι βασιλείας μὲν ὑπὸ ἥρας διδομένης, ὀλιγωρήσας τοῦ μακαριωτάτου βίου τοῦ κατ'

Has demum sententias publicè priuatimq́ confirmatas necessariò virtus & honesti amne studium sequitur. At vitium quaduis & maxima mortalium peccata de contrariis nascuntur sententiis. Semper enim exstitēt nonnulli prauis opinionibus imbuti, & vel nullū esse prorsus Deum arbitrantes, vel vt sit, res tamen humanas negligere, vel denique vt sit atque curet, corrumpi nihilominus posse, sacrisq́ ac donariis delinitum nonnunquam ab officio deflectere. Ab his enim duabus inter se contrariis de Deo sententiis, tanquam fontibus, duo procedūt vita genera plurimùm inter se dissidentia; quarū alterum virtutem vel solum, vel summum ponit bonum, alterum voluptatem. Etenim cùm hominis natura partim diuina sit, partim humana, (quod omnibus & Græcis & barbaris vel aliqua præditis mente visum fuit) diuinitatem quidem animo, humanitatem autem exprimente corpore; qui quidem diuinitatem ducem secuti, cùm rectè de cognata natura senserint, tum ad virtutis normam vitam omnem direxerint, boni sunt omnis inter homines auctores: qui verò mortali ac ferina parte ducti, cùm de Deo secus senserint, tum ad voluptatē retulerint omnia, magnorum contrà sunt auctores malorum. Inter hos medij sunt, & qui gloriæ student, & qui diuitiis; cùm simulacrū illa sit virtutis, hæ voluptates concinnent. Et in eorum quidem numero, qui virtutem sunt amplexi, cùm alij sæculis omnibus extitere, tum Amphitryonis F. Hercules, quem diximus bona reipubl. constitutione virtutisq́ studio Græcis conciliato, celeberrimos illos reddidisse, cùm sibi primùm ipsi virtutem crebris laboribus & certaminibus comparasset: Lycurgus item Lacedæmonius, qui fratre rege sine liberis mortuo, cùm coniunx, quæ grauidam se norat, ad ipsum se, fetu abolito, regnum vnà cum matrimonio delaturum recepisset, re non concessa, quoniam iustitiæ repugnabat, fratrisq́ filio tum vita conciliata, tum paterno dominio restituto, aliquanto pòst tempore legislator à suis constitutus, præclara illa reip. constitutione introducta, celeberrimam ipsam vrbem cùm inter Græcos tum inter barbaros reddidit: Alexander quoque rex Macedonum, qui per virtutem simul & animi magnitudinem Græcorum princeps effectus, ipsis pariter & Macedonibus Asiæ comparauit imperium: nec non inter barbaros Persa Cyrus, qui Persas suos virtute propria cùm tyrannide Medorum liberauit, tum & horum & Asiæ reliquæ dominos constituit. In altero verò numero cùm alij recensentur, tum Alexander Troianus, Priami F. qui in dearum iudicio, vitaq́ generum electione, tum Iunone contempta, virtutis præside, tum auctore gloriæ Minerua, Venerem voluptatis deam prætulit. Quapropter neglectis tum regna à Iunone con-

cesso, vita cum virtute & felicitate coniuncta, tum à Minerua oblata victoria bellica, vita gloriosa, Helena verò Lacæna Tyndarei F. Menelai Atridæ coniuge, præmio tam iniqui iudicij accepta, tanquam voluptatis colophone, vt corpore omnium pulcerrima, sic animo turpissima & adultera, cum hac sese simul & patriam pessumdedit: Sardanapalus item Assyrius, qui per mollitiem & luxum Asiæ imperium Assyriis quidem suis ademit, Medis autem concessit: nec non de Romanis Nero, qui cùm alia grauibus ac nefandis perpetratis, tum occisa matre, seipsum quoq. tandem malum malè perdidit. nam patriam cupiebat quidem, sed præ Romanorum virtute nõdum poterat euertere. Ac sæpe plures existunt huius generis tum inter principes tum inter priuatos, alij grauius alijs peccantes; in his etiam illi, qui iustitiam quidem & veritatem & bonũ commune pro vmbris ducunt, auro autẽ ac similibus inhiant, felicitatem quidem in vestibus, auro, argento, luxuq. quotidiano ponentes, propriam verò simul & liberorum & patriæ totius libertatem ac securitatem negligentes. Quidam etiam, donec auro & similibus res caret, ac per se consideratur, vehementissimè iustitiam & veritatem defendunt: sed simulatque vel aurum vel auri quid simile micuerit, mox & lingua ligatur, & os obturatur, ac de iustitia quidem silent, ad contraria verò omnis illa conuertitur vehementia. Siquidem ab his & huius generis hominibus cùm reguntur resp. semper sunt infelices, quando ne probissimæ quidem latæ leges habentur ratæ, sed omnia temerè permiscentur. Non enim tantùm probas leges requirunt resp. sed etiam ratas: quales quidem per virtutem principum existunt, quam tria præcipua pietatis genera diximus consequi. Postquam autem alia re nulla, quàm salute, nũc indigemus, (non enim nos latet, quò res ex amplissimo Romanorum imperio deuenerint, quibus duæ tantùm in Thracia relictæ sunt vrbes, & Peloponnesi pars aliqua, ac si qua restat etiam insula) salutem autem ciuitatum dumtaxat è proba rep. diximus proficisci; resp. nobis & legibus præstantissimis & moderatoribus quam fieri poterit optimis erit emendanda. Etenim quanto res nostræ peiori sunt loco, & infirmiores cum potentioribus hostibus committimur, tanto magis remp. potiorem decet nos opponere, quæ reliquorum exæquet imbecillitatem. Quibus autem rationibus optima constituatur resp. iam diximus, potissimis quibusque & ad rem præsentem maximè pertinẽtibus expositis, iisq. non valde difficilibus. Quæ enim res ex vnius voluntate effectum suum vel sortiuntur, vel amittunt, non debent pro valde difficilibus haberi. Vnius porrò voluntatem tuam potissimùm iudico. Etenim si tibi, qui princeps noster es, &

ἀρετήν, καὶ κράτους αὖ πολέμων ὑπὸ Ἀθηνᾶς, τοῦ φιλοτίμου βίου, καὶ περὶ τὴν δόξαν ἔχοντος, Ἑλένην δὲ τὴν Τυνδάρεω θυγατέρα, Μενέλεω δὲ γυναῖκα τοῦ Ἀτρέως, τὴν Λάκαιναν, δῶρον ἐπὶ ταύτῃ τῇ ἀδίκῳ κρίσει εἰληφώς, ὡς δὴ κεφάλαιον οὖσαν ἡδονῆς, καλλίστην μὲν τῶν τότε δοκοῦσαν τὴν ἰδέαν, τὴν δὲ ψυχὴν ἄλλως αἰσχίστην καὶ μοιχεύτριαν, πρὸς ταύτῃ αὑτόν τε ὁμοῦ καὶ τὴν πατρίδα προσαπώλεσε. καὶ Σαρδανάπαλος δὲ ὁ Ἀσσύριος, ὃς διὰ μαλακίαν καὶ τρυφὴν Ἀσσυρίοις μὲν τοῖς αὑτοῦ πολίταις τὴν τῆς Ἀσίας ἀπώλεσεν ἡγεμονίαν, Μήδοις δὲ παρακεχώρηκε. καὶ Ῥωμαίων δὲ Νέρων, ὃς ἄλλα τε δεινὰ καὶ ἀνόσια ἐργασάμενος, καὶ τὴν μητέρα ἀποκτείνας, τελευτῶν καὶ αὐτὸν κακὸν κακῶς προσαπολώλεκε. τὴν γὰρ πατρίδα ἠμέλησε μέν, διὰ δὲ τὴν τότε ἔτι Ῥωμαίων ἀρετὴν οὐχ οἷός τε διαφθεῖραι ἐγένετο. καὶ δ' ἄλλοι δ' αἰεὶ γίγνονται συχνοὶ καὶ δυνάσται καὶ ἰδιῶται τούτου τοῦ κόμματος, καὶ μείζω ἴσως καὶ ἐλάττω ἐξαμαρτάνοντες· ὧν κἀκεῖνοι, οἳ τὸ μὲν δίκαιον καὶ τὴν ἀλήθειαν καὶ τὸ κοινὸν ἀγαθόν, σκιὰν καὶ ὀνόματ' ἄλλως ἡγοῦνται, πρὸς δὲ τὸ χρυσίον καὶ τ' ἄλλα τὰ τοιαῦτα κεχήνασι, τὴν εὐδαιμονίαν ἐσθῆσι καὶ ἀργύρῳ καὶ χρυσῷ μετροῦντες, καὶ τῇ παρ' ἡμέραν ῥᾳστώνῃ καὶ τρυφῇ, τὴν δ' ἀσφάλειαν σφῶν τε αὐτῶν ἅμα καὶ παίδων καὶ ὅλης τῆς πατρίδος, καὶ ἐλευθερίαν, παρ' οὐδὲν ἡγούμενοι. εἰσὶ δ' οἳ καὶ ἕως μὲν ἂν χρυσοῦ καὶ τῶν τοιούτων τὸ πρᾶγμα καθαρεύῃ, καὶ καθ' αὑτὸ σκοπῶσι, δεινότατοί τινες ὑπὲρ τοῦ δικαίου καὶ τῆς ἀληθείας ῥήτορές εἰσιν· ἐπειδὰν δέ που χρυσίον σφίσιν ὑποφανῇ, ἤ τι ἄλλο ἄξιον χρυσίου, πεπέδηται εὐθὺς ἡ γλῶττα, ἐμπέφρακται τὸ στόμα, καὶ πρὸς μὲν τὰ δίκαια σεσιγήκασιν, ἐπὶ δὲ τἀναντία πᾶσα ἐκείνη μεθέστηκεν ἡ δεινότης. ὑπὸ γὰρ τούτων καὶ τῶν τοιούτων διοικούμεναι αἱ πόλεις, κακῶς πράττουσιν ἑκάστοτε, οὐδὲ τῶν σπουδαιοτάτων ἂν [illegible] ὄντων νόμων κυρίων ὄντων, ἀλλὰ πάντων εἰκῇ καὶ ἀδιακρίτων φυρομένων. ἐπιτήδειον οὐ σπουδαίων ἄρα δεῖ νόμων μόνον πόλεσιν ἑκάστοτε, ἀλλὰ καὶ κυρίων· κύριοι δ' αὖ γίγνονται οἱ νόμοι διὰ τὴν τῶν ἀρχόντων ἀρετήν, ἣν δὴ τρισὶ τοῖς θεοσεβείας μάλιστα καὶ κυριωτάτοις εἴδεσιν ἔφαμεν ἕπεσθαι. ἐπεὶ δ' οὐδενὸς ἄλλου ἡμῖν ἔν γε τῷ παρόντι δεῖ, ὡς σωτηρίας καὶ τοῦ σώζεσθαι, (ὁρῶμεν γὰρ οἱ ἡμῖν ἐκ τῆς μεγίστης Ῥωμαίων ἡγεμονίας κεχώρηκε τὰ πράγματα, οἷς, ἁπάντων οἰχομένων, δύο πόλεε μόνω ἐπὶ Θρᾴκης περιλέλειπται, καὶ Πελοπόννησος, οὐδὲ ξύμπασα αὕτη γε, καὶ εἰ δή τι ἐπὶ νησίδιον σῶν ἐστί) τὸ δὲ πόλεις σώζεσθαι ἐξ οὐδενὸς ἄλλου ἢ σπουδαίας πολιτείας ἂν περιγίγνεσθαι ἔφαμεν, τὴν πολιτείαν ἐπανορθωτέον ἡμῖν νόμοις τε τοῖς σπουδαιοτάτοις καὶ ἄρχουσιν ἐκ τῶν δυνατῶν τοῖς ἀρίστοις. ὅσῳ γὰρ ἡμῖν χεῖρον ἔσχηκε τὰ πράγματα, καὶ ἀσθενεῖς ἅτε πρὸς δυνατωτάτους τῶν πολεμίων συμβαίνει ἀντιτάττεσθαι, τοσούτῳ μάλιστα καὶ τὴν πολιτείαν ὡς σπουδαιοτάτην ἀντιτίθεσθαι δεῖ, τὴν ἀσθένειαν τὴν τῶν πραγμάτων ἀνισώσουσαν. δι' ὅσων δὲ καὶ οἵων σπουδαιοτάτη γίγνοιτ' ἂν πολιτεία, ἔφαμεν ἤδη αὐτὰ τὰ κυριώτατα, καὶ πρὸς τὴν παροῦσαν ἂν τῶν πραγμάτων χρείαν λυσιτελήσαντα ἐκθέμενοι, ἃ οὔτε πάνυ χαλεπά· ὅσα γὰρ ἐπὶ μιᾷ ψυχῇ ἐστὶ τὸ γίγνεσθαί τε καὶ μή, οὐ δήπου οὔτε ἀδύνατα ταῦτά γε οὔτε πάνυ χαλεπά. ψυχὴν δὲ δὴ μίαν τὴν σὴν φημι μάλιστα. εἰ γάρ σοι νῦν ἡμῖν ὄντι ἡγεμόνι, καὶ τὴν

μεγίστην

μεγίστην ἐν ἡμῖν δύναμιν κεκτημένῳ, ἔρωτα θεὸς ἐπιστάξειε τοῦ μέγα τέ τι καὶ καλὸν ἐν τῷ βίῳ διαπράξασθαι, ἐκείνης τῆς αἰτίας γνησίως καὶ εἰλικρινῶς γενομένῳ τῆς περὶ τὴν ἀρετὴν καὶ τὸ καλόν, οὐ χαλεπὰ ταῦτα ξυστῆναι, οὐδ' ἡ ἡμετέρα ἔτι σωτηρία ἀνέλπιστος. ἀλλ' ἐν τούτῳ τὸ ἅπαν ἐστὶ, καὶ τὸ σώζεσθαι ἢ ἀπολέσθαι τὰ ἡμέτερα ἐκ τούτου ἤρτηται. εἰ γὰρ ζητήσαις ὅ,τι ποτ' ἂν μέγα καὶ καλὸν ἐν τῷ βίῳ διαπράξαιο, οὐ ῥᾳδίως ἂν εὕροις οὔτε μεῖζον οὔτε κάλλιον τοῦτο γένος τε ἂν σῶσαι, καὶ τὴν βασιλείαν ἐκ τῶν ἐνόντων ἀσφαλίσασθαι· ἀσφαλίσασθαι δὲ ἄλλως οὐκ ἔστιν, ἢ πολιτείαν σπουδαίαν ἐγκαταστήσαντα· οὐδ' ἄλλως ἥ γε σπουδαιοτάτη γένοιτ' ἂν πολιτεία, ἢ ταύτῃ ᾗπερ ἄρτι διεληλύθαμεν, ᾗ καὶ αἱ ἐν τῷ παντὶ ἤδη αἰῶνι εὐδοκιμηθεῖσαι πόλεις μάλιστα ἐχρήσαντο. εἰ δ' αὐτὸς μόνον ἐθελήσαις, καὶ τῇ γνώμῃ ταύτῃ ἐμβαίνοιο, οὐ χαλεπῶς ἂν οὐδὲ τῶν συγκαταπραξόντων εὐπορήσαις, τοῖς μὲν οὖσι τῶν χρηστοτέρων, προτέροις ἐπὶ τὰς λειτουργίας χρώμενος, τοὺς δ' ἄλλους πειθοῖ καὶ εὐεργεσίαις καὶ ζημίαις διορθούμενος· δυοῖν τε τούτοιν κατὰ λόγον χρώμενος, ἐπιθυμίᾳ τε τῶν καλῶν, καὶ θυμῷ κατὰ τῶν ἐξαμαρτανόντων. ὡς οὐκ ἔστιν ἄλλως οὔτ' ἀπόντα ἀγαθὰ κτήσασθαι ἢ ἐπιθυμήσαντά τι, καὶ περὶ αὐτὰ πραγματευσάμενον· οὔτε παρόντα ἀγαθὰ φυλάξαι, ἢ θυμῷ κατηκόῳ λόγου χρώμενον. καὶ προσέτι γε τῶν πολιτευμάτων, εἰ δοκεῖ, ἀπὸ τοῦ περὶ τῶν συμβούλων ἄρξαι, καὶ τούτους σαυτῷ, τοῖς τε ἄλλοις, καὶ τῷ πλήθει ὡς ἱκανωτάτους, ᾗ ἔφαμεν, κατάστησον· (ἔνθεν γὰρ ἄρχεσθαι καλὸν καὶ πλείοσι δοκεῖν, οὕτω δὴ τὰ καθεστῶτα κινεῖν καὶ ἐπανορθοῦσθαι. διδασκέτω καὶ κἀκείνους ὅπως ἐν μεγάλῳ κινδύνῳ τὰ ἡμέτερα, καὶ οὐδενὸς ἡμῖν ἄλλου ὡς τοῦ σώζεσθαι δεῖ· τοῦτο δὲ οὐχ οἷόν τε, μὴ τὴν πολιτείαν ἐπανορθωσαμένοις. καὶ γὰρ νοσοῦσιν ἐὰν ἡ εἰωθυῖα δίαιτα μὴ λυσιτελῇ, οὐκ ἔστιν ἄλλη ἀπαλλαγὴ τοῦ δεινοῦ, ἢ ταύτης ἐκβᾶσι ζητῆσαι τὴν λυσιτελήσουσαν. ἔπειτα τὸ πολὺ τῆς στρατιᾶς διακάθαιρε, διελὼν Πελοποννησίους χωρὶς μὲν ἐς τοὺς στρατευσομένους, χωρὶς δ' ἐς τοὺς εἰσοίσοντας, ᾗ ἂν ἕκαστοι δοκῶσιν ἐπιτηδειοτέρως ἔχειν· ὡς οὐκ ἔτι τῶν αὐτῶν στρατευσομένων τε ὁμοῦ καὶ φορολογησομένων. οὐ γὰρ οἷός τ' ἔσῃ σαυτόν τι ἄλλα[d] καὶ τὸ γένος σώζειν, μὴ περιὼν τῶν πολεμίων· οὐδὲ περιεῖναι τῶν πολεμίων, μὴ στρατιὰν εὔνουν τε καὶ φρόνημα ἔχουσαν κτησάμενος μᾶλλον ἢ πλείω. φορολογουμένην δὲ στρατιὰν τό, τε φρόνημα σώζειν ἅμα καὶ τὴν εὔνοιαν, πάνυ χαλεπόν. ἀλλ' ἐρρήξειν ἀνάγκη τὰ πολλὰ, τά τε φρονήματα τήν τ' εὔνοιαν στρατιωτῶν φορολογουμένων. καὶ τοὺς ἄρχοντας δὲ διακαθαίρειν δεῖ τῶν καπηλευόντων, καὶ προειπεῖν μὲν ἅπασι, μὴ καπηλεύειν μηδ' ἐμπορεύεσθαι τοῦ λοιποῦ, ἀλλ' αὐτὸ τοῦτο ἄρχοντας τῷ ὄντι εἶναι, ἐπὶ φυλακῇ καὶ σωτηρίᾳ προεστηκότας τῶν πολλῶν, οὐ διακονικὰ ἐπιτηδεύματα ἐπιτηδεύοντας, καὶ διακόνων πονηρῶν, ἀδίκοις σταθμοῖς, καὶ παντὶ ὅτῳ ἂν δύνωνται τρόπῳ, τοῖς τῶν ταλαιπώρων αὐτουργῶν πράγμασι λυμαινομένων· εἴ τέ τινες καὶ ἐκ καπήλων ἐς τὰς ἀρχὰς παρεωσμένοι εἶεν, καὶ τούτους δέ, ἂν τινες χρήσιμοι δοκῶσιν, ἢ πεπαυμένους ἤδη τοῦ καπηλεύειν, ἄρχειν, ἢ ἀπεληλάσθαι τῶν ἀρχῶν. μὴ γὰρ διακεκρίσθαι τὰ τοιαῦτα, ἀλλὰ καπήλους μὲν ἄρχουσιν ἀναμεμίχθαι, στρατιώτας δ' εἱλωτεύειν, ἐπὶ εἵλωσι δὲ τὰ τῆς σωτηρίας εἶναι· φαυλοτάτης ταῦτα πολιτείας, καὶ

maxima polles potentia, praeclara alicuius rei gerendae Deus amorem inspirauerit, cùm virtutem atq. honestatem exactè secteris, non difficulter hae res constitui poterunt, nec amplius erit de salute nostra desperandum. siquidem in hoc posita omnia sunt, ex eoq. vel salus nostra vel pernicies dependet. Etenim si quã rem praeclaram & magnã cupias gerere, nihil vel praeclarius vel maius[c] tum salute gentis, tum regni securitate facilè repereris. haec autem non nisi probae reipublicae cõstitutione parantur. ea porrò non alia ratione, quàm quae modò fuit à nobis exposita, componitur, quámque omnes vbique laudatae sunt ciuitates secutae. Ac si dumtaxat ipse volueris, & hoc fueris animo, nullo negotio socios operis inuenies, probiores quidem primos muneribus destinans, reliquos autem benefactis & mulctis corrigens; ac duobus his, tum cupiditate bonorum, tum contra peccantes ira ritè vsus. siquidem nec absentia bona cuiquam licet adipisci, nisi cùm labore desideret, nec praesentia seruare, nisi rationi ira obtemperet. Ac reip. constitutionem, si videtur, à consultoribus ordire, eosq. tibi cùm aliis tum numero instructissimos, quemadmodum praecepimus, cõstitue. siquidem hinc aequum est incipere, cumq. maiori parti visum quid fuerit, ita demum rerum mutationem et emendationem aggredi. Neq illos lateat, quanto res nostrae versentur in discrimine, quantumq. salutis indigi simus, nec eam nisi emendata republ. possimus consequi. Nam & qui aegrotant, si consueta viuendi ratione laeduntur, non aliter sanantur, quàm cùm hac omissa commodiorem deligunt. Deinde maiorem exercitus partem expurga, diuisis bifariam Peloponnesiis in militantes & collationem pendentes, prout singulorum feret ratio: sic vt non amplius iidem simul & militent & pendant. Etenim nec teipsum[d] pariter & gentem seruare poteris, nisi hostes deiceris; nec hostes deuincere, nisi exercitum potius beneuolum & animosum, quàm copiosum habueris. Difficulter autem pendens exercitus beneuolentiam simul & animos conseruat, sed vtrumq. ferè perdit. Praefecti quoque secernãtur à mercatoribus, & cunctis quidem imperetur ne mercaturã vel institoriam deinceps exerceant, sed se pro praefectis gerant, reipublicae custodiam & salutem procurantes, non seruilia obeuntes officia, & quidem nequã seruorum, qui ponderibus iniustis & quacunque re alia miseros rusticos damno afficiunt: sin etiam de mercatoribus aliqui fuerint ad magistratus euecti, ij vel relicta mercatura, si fuerint idonei, munere fungantur, vel loco moueantur. Oportet enim haec secerni, non praefectos cum mercatoribus permisceri, nec milites agros colere, nec rusticis communem salutem committi, quae sunt omnia reipubl. prauissima,

[c] ἢ τὸ pro τοῦτο.

[d] ἅμα pro ἄλλα.

quaéq; nihil unquam magnum vel præclarum gesserit. Enimuero nec asinis ad equorũ vtimur opera, nec equis ad asinorum; adeoq; nec equis iisdem ad omnia, verùm aliis bello, aliis ad sarcinas. at hoc discrimen in hominibus multo magis obseruandum erat. Tributis quoque multis istis, crebris, & inæqualibus sublatis, illud omnium loco repone, quod rerum nascentium tertiam diximus æquissimè complecti partem, leuissimum simul pendentibus & reip. vtilissimum idem futurum. Nam propter hoc tributum nec temerè quis aufugiet, nec ab exactoribus iniuriã accipiet, dũ illi pendentibus quamplurima volunt attribuere, quo videlicet simul tributum crescat. De his autem Hilotis primùm tuæ familiæ, quot videbitur opus, selige; reliquos deinde præfectis & militibus primariis quanto voles numero concede. Tum verò cogantur singuli pro Hilotarum ascriptorum numero clientes alere, seruos videlicet militares, ne pecuniam publicam temerè profundant, quæq; hostes in votis habent, vt salutis communis impensæ turpiter dissipentur, ipsi videantur procurare.

• • •

Hæc quoque naturæ consideres licet exempla. Aquila rex quidẽ est auium, & Ioui fuit olim consecratus, minimè tamen varias aut fulgentes habet alas. Pauo contrà varius quidem est & fulgens, sed minimè regia natura. pluresq; aues aliæ pauone longè viliores colorum sunt varietate distinctæ. Quare videtur, qui vestibus prætextis ac similibus superbit, tanquam pauonis pulcritudine gloriari. Iam illud specta, sitne honestius ac iucundius, huc præcipuè tendentẽ, & bello quantum licet consulentem, moderato tum vestitu, tum reliquo viuendi modo, hostes quidem contemnere, de imperio autem ac regno securum esse; an veste prætexta inuolutum tremere & hostes metuere. Quòd si porrò pastores essetis, vtro modo lac impenderetis? vtrùm partem quidem alteram ipsi consumeretis, alterà verò canes robustos aleretis, qui à ferarum insidiis ouile defenderẽt, vt eo conseruato tum pastores esse, tum fructibus diu frui possetis: an hoc neglecto, partem quidem alteram ingurgitaretis, & vestimenta proluderetis, altera verò canum robustorum loco Melitæos catellos & vulpes aleretis, aut vrsas, vt voracissimas bestias, ita parum intentas custodiæ.

• • •

οὐδέποτε οὐδὲν μέγα ἢ καλὸν διαπεπραξομένης. ὄνοις γὰρ οὐ χρώμεθα ἐπὶ τὰ τῶν γενναίων ἵππων ἔργα, οὐδὲ γενναίοις ἵπποις ἐπὶ τὰ τῶν ὄνων· οἶμαι δ' οὐδ' ἵπποις τοῖς αὐτοῖς ἐπὶ τὰ αὐτά, ἀλλ' ἰδίᾳ μὲν πολεμιστηρίοις, ἰδίᾳ δ' ἀχθοφόροις χρώμεθα. πολλῷ δὴ πρότερον καὶ ἐπ' ἀνθρώπων τὰ τοιαῦτα ἔδει διακρίνειν, καὶ μὴ συγχεῖν. καὶ τοὺς φόρους δὲ τοὺς πολλοὺς καὶ ἐπὶ σμικροῖς καὶ ἀνωμάλους τούτους ἀνελών, ἐκεῖνον ἀντὶ πάντων κατάστησον, ὃν τῷ δικαιοτάτῳ λόγῳ ἔφαμεν τρίτην γίγνεσθαι τῶν γιγνομένων μοῖραν, κουφότατόν τι ὁμοῦ τοῖς εἰσοίσουσι, καὶ τοῖς κοινοῖς λυσιτελέστατον τὸν αὐτὸν ἐσόμενον. ἧττόν τι γάρ τις διὰ τοῦτο τὸν φόρον ἀποδράσεται. ἧττόν τι ὑπὸ τῶν πραττομένων ἀδικήσεται, ὡς τὸ εἰκὸς βουλομένων ἂν ὡς πλεῖστα γίγνεσθαι τοῖς εἰσπραχθησομένοις, ἵνα δὴ καὶ σφίσιν ὡς μείζων γίγνοιτο ὁ φόρος. τῶν δὲ τελούντων εἱλώτων προσόντα μὲν ἐς τὸν σὸν οἶκον ἐξελεῖν ὁπόσους ἂν δόξῃ δεῖν· τοὺς δὲ λοιποὺς τοῖς ἄρχουσί τε καὶ τῶν στρατιωτῶν λογάσιν, ὅπῃ τι ἂν ἑκάστῳ καὶ ὁπόσους βούλοιο. κατανείμας δὲ ἀναγκάζειν ἐπὶ λόγον τῆς νενεμημένης εἱλωτείας τρέφειν ἕκαστον καὶ τοὺς πελάτας, στρατιωτικούς τινας θεράποντας· καὶ μὴ εἰκῇ ἐκλυφᾶν τοῖς κοινοῖς, μηδ' ἃ οἱ πολέμιοι εὔξαιντ' ἄν, τὰς ὑπὲρ τῆς ἡμετέρας ἀσφαλείας δαπάνας εἰκῇ διόλλυσθαι, ταῦτ' αὐτοὺς φαίνεσθαι διαπραττομένους. ἐ- •

• καὶ σαυτοῦ καὶ τῶν ἄλλων [illegible] καὶ πο-
• πρὸς τὸν πόλεμον παρασκευὰς τὸ ἅπαν
• βασιλεῖ καὶ ἡγεμόνι καὶ παντὶ
• γὰρ τῆς πρὸς τὸν πόλεμον
• τοσοῦτον τῆς
• ταύτης μὲν

τοῖς πολεμίοις, ἄχρηστοι ὥσπερ δὲ τοῖς φιλίοις γεγενημένοι. σκέψαι δὲ καὶ ἐκ τοιῶνδε τῆς φύσεως παραδειγμάτων. αἰετὸς μὲν βασιλεὺς δοκεῖ τῶν ὀρνίθων καὶ ἡγεμονικός, Διός τε ἱερὸς πάλαι νενόμισται· ἥκιστα μέντοι ποικίλος, οὐδὲ χρυσαυγὴς ἔφυ τὴν πτέρωσιν. ταὼς δὲ ποικίλος μὲν καὶ χρυσαυγής, ἥκιστα δ' ἡγεμονικὸς τὴν φύσιν. συχνά τε ἄλλα ὄρνεα ταὼ πολλῷ φαυλότερα, πεποίκιλταί τι καὶ διήνθισται· ὥστε κινδυνεύει εἴ τις ἐπὶ ποικίλῳ τε καὶ χρυσοπάστῳ σεμνύνοιτο ἐσθῆτι καὶ τοῖς τοιούτοις, ἐπ' οὐδὲν σεμνοτέρῳ ἢ ταὼς κάλλει μέγα φρονεῖν. σκόπει δὲ κἀκεῖνο, πότερα σεμνότερον ἢ ἥδιον ταύτῃ μάλιστα τραπόμενον, καὶ πρὸς τὸν πόλεμον ἐκ τῶν ἐνόντων ἀσφαλισάμενον ἐν μετρίᾳ μὲν ἐσθῆτι, μετρίᾳ δὲ τῇ ἄλλῃ διαίτῃ, καταφρονεῖν μὲν τῶν πολεμίων, θαρρεῖν δ' ὑπὲρ τῆς ἀρχῆς καὶ βασιλείας, ἢ χρυσοπάστῳ ἐσθῆτι ἐνειλημένον, τρέμειν καὶ δεδιέναι τοὺς ἐχθρούς. εἰ δὲ καὶ ποιμένες ἦτε, ποτέρως ἂν τῷ γάλακτι ἐχρῆσθε; πότερα τοῦ μὲν αὐτοὶ μετρίως ἀπολαύοντες, τοῦ δέ, κύνας ἂν τρέφοντες ἀλκίμους τε καὶ προβατευτικούς, τῷ ποιμνίῳ ἐπὶ τὰ ἐπιβουλεύοντα τῶν θηρίων ἀμυνοῦντας, ἵνα δὴ ὑμῖν τὸ ποίμνιον σωζόμενον παρέχοιτο, ποιμέσι τε εἶναι, καὶ ἐπὶ πολὺ ἀπολαύειν τῶν καρπῶν· ἢ ἀμελήσαντες, τοῦ μὲν ἀμέτρως ἐνεφορεῖσθ' ἄν, καὶ ἐπὶ τῶν ἱματίων κατεχεῖσθε· τοῦ δ', ἀντὶ κυνῶν ἀλκίμων, μελιταῖά τε κυνίδια καὶ ἀλώπεκας ἐκτρέφετε, ἢ ἄρκτους, βορώτατα μὲν θηρίων, ἥκιστα δὲ φυλακτικά· ὑφ' ὧν ὑμῖν καὶ τῶν ἄλλων ἂν τῶν ἐξ ἐπιβουλευόντων τάχυ ἂν ἔμελλε τὸ ποίμνιον • οἰχήσεσθαι. παραπλησίους γάρ μοι • ἐοίκεις, τῶν πρὸς κολακείαν •

ἢ συλ-

ἢ συλλήβδην ἅπαντα
τι τῆς ἐπιθυμίας
δικαιότατα
ἄλλῳ γένοιτ' ἂν ἡδονῇ νικῶντα τῇ
καὶ ἀνδρὶ προσηκούσῃ καλοῦ τε κἀγαθοῦ· ταύτῃ πρέπει σπουδῇ στάσῃ, οὐδὲν ὑφιέμενος, οὐδ' ὑπολογιζόμενος, οὔτ' εἴ τινι τῶν πρότερον βασιλέων, ἢ ἡγεμόνων, οὔτ' εἴ σοι αὐτῷ ἑτέρως πῃ δέδοκται ἤδη περὶ τῶν αὐτῶν, οὔτ' εἴ τισιν οὐ καθ' ἡδονήν τι μέλλεις ποιεῖν. ἀλλὰ πάντα κινῶν, καὶ πάντων πειρώμενος τῶν πρὸς σωτηρίαν φέρειν δοκούντων τὴν κοινήν· εἰδὼς καὶ τοὺς ἰατροὺς διδομένοις ὑπὸ τῆς σφίσιν ἤδη αὐτοῖς ἐμμένειν ἑκάστοτε ἀναγκαζομένους· ἀλλὰ πάντα μὲν κινοῦντας, φειδομένους δὲ οὐδενὸς, ὅ τι ἂν πρὸς τὸ παρὸν ὠφελεῖν δοκῇ· καὶ τέμνοντας δὲ καὶ καίοντας, καὶ χεῖρα ἔστιν ὅτε καὶ πόδα ἀποκόπτοντας ὑπὲρ τῆς τοῦ ὅλου σώματος σωτηρίας. τούτων γὰρ τὰ μὲν, αὐτὸς ἐξόν σοι ποιήσεις εἴγε βούλοιο· τὰ δὲ, καὶ τοῦ θειοτάτου βασιλέως τε καὶ πατρὸς δεήσει ξυγχωρεῖν ὑπὲρ σωτηρίας τῆς κοινῆς. καί σοι δή πῃ ῥᾳδίως ξυγχωρήσει ἐὰν ταύτῃ τετραμμένον ἴδοι, ἀγασθεὶς τῆς ἀγχινοίας τε ταύτης καὶ θείας ὁρμῆς. ταῦτα δ' ἤδη διαπεπραγμένος ἃ μάλιστ' ἂν καὶ κυριώτατα πρὸς τὴν σωτηρίαν δοκεῖ τείνειν, οὐ χαλεπῶς ἤδη καὶ τἆλλα ὧν ἂν πρὸς τὴν τῆς πολιτείας ἀρετήν τε καὶ κόσμον δέοι προσεξευρήσεις. ὥστ' ἂν ἤδη διὰ πάντων σπουδαιοτάτην ἡμῖν τὴν πολιτείαν ἀποφῆναι. λογίσαι δὲ καὶ ὡς ὅσῳ σοι μεῖζον παρ' ἡμῶν τὸ γέρας, τοσούτῳ καὶ ἡ ζημία μείζων ἔσται ἤν τι γένηται τῶν ἀπευκτῶν· καί σοι μάλιστα τῆς κοινῆς σωτηρίας φροντίζειν προσήκει καὶ ἐπιμελεῖσθαι μηκέτι μέλλοντι μηδὲ ἀναβαλλομένῳ. οὔτε γὰρ ἐγχωρεῖ μέλλειν ἔτι ἐγγύς πῃ ὄντος τοῦ δεινοῦ, οὔτ' ἄλλως ἀναβάλλεσθαι τά γε τοιαῦτα καλόν. οὐδ' ὅ γε Ἡσίοδος φαύλως λέγοντι ἔοικεν,

Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.

Huc igitur omne studium converte, nihil omittens neq. praetexens, siue quid aut priorum regum alicui, aut ipsi tibi aliter olim fuit visum, siue quibusdam non est res placitura; sed cùm omnia mouens, tum nihil non ad communem salutem pertinere visum tentans, quando ne medici quidem sua semper possunt seruare decreta, sed cùm omnia mouent, tum nihil ad sanitatem pertinens omittunt, ac secant etiam, vel vrunt, manumq. interdum vel pedem insuper ob salutem totius corporis abscindunt. Horum siquidem ipse quaedam, si videbitur, cùm liceat, perages; nonnulla ab Augusto imperatore & patre salutis publicae causa postulabis. neque tibi ille difficulter ea concedet, cùm huc spectare cognouerit, ingenium simul & impetum diuinum admiratus. Ceterum his, quae maximè & proximè videntur ad salutem tendere peractis, reliqua sine vlla difficultate deinceps, quaecunque ad resp. virtutem & ornatũ pertinent, assequeris, ac tandem optimã omnino remp. nobis constitues. Quanto quidẽ maior tibi à nobis habetur honor, tanto etiam iacturã fore credes maiorem, si quid secus euenerit. Enimuero te potissimùm salutis communis decet curam gerere, nihil cunctantem nec differentem. siquidem nec licet cunctari, cùm sit prae foribus periculum, nec alioqui tale negotium conuenit differre. nec imperitè videtur Hesiodus dicere, lib. 2. sub initium.

Semper at ignauus cum noxis praelia miscet.

TYPOGRAPHVS LECTORI S.

SVBIVNGEBATVR his in autographo locorum Peloponnesi omnium per longitudines & latitudines Astronomicas descriptio, quam nos, cùm ex Ptolemaeo totam esse desumtam cognouissemus, nec praeterea quicquam ad rem praesentem facere iudicassemus, omittendam nobis, ne fucum lectori facere velle videremur, censuimus. Vale.

ΔΙΑΓΡΑΦΗ ΑΠΑΣΗΣ ΠΕΛΟΠΟΝΝΗΣΟΥ,

ΠΑΡΑΛΙΟΥ ΤΕ ΚΑΙ ΜΕΣΟΓΕΙΟΥ, ΚΑΙ ΠΡΩΤΟΝ ΤΑ ΠΑΡΑΛΙΑ.

ΜΕΤΑ τὰς ἐν μεγαρίδι πηγὰς, αἵτινες εἰσὶν ἐν τῷ κορινθιακῷ κόλπῳ τῆς ἀχαΐας, να. ∟. ιϐ. λζ. γ. ιϐ.

ὃς καὶ ἀλκυονὶς θάλασσα λέγεται.

Ἱερὸν ἥρας κορινθίας, να. δ. λζ. δ.
Λεχαῖον ἐπίνειον, να. γ. λζ.
Ἀσωποῦ ποταμοῦ ἐκϐολὴ, να. ιϐ. λζ. ιϐ.

Σικυωνίας, τῆς ἰδίως ἀχαΐας.

Συθὸς ποταμοῦ ἐκϐολαὶ, ν. γο. λζ.
Αἴγειρα, ἡ νῦν βοστίτζα, νδ.
Αἴγιον, μ.
Πειραιὸς λιμὴν.
Ῥίον ἄκρον, τὸ καὶ δρέπανον.
Ποσειδῶνος ἱερόν.
Πάτραι.
Ὤλενος πόλις.
Δύμη πόλις.
Ἄραξος ἄκρα.
Κυλλήνη ἠλίας ἐπίνειον, ἡ νῦν γλαρέντζα.
Πηνειοῦ ποταμοῦ ἐκϐολή.
Χελωνίτης ἄκρα, ἠλιακός.
Χελωνίτης κόλπος, μη. γ. λς. δ.
Ἰχθὺς ἄκρα, μη. ιϐ. λς.
Ἀλφειοῦ ποταμοῦ ἐκϐολὴ, ἡ νῦν ῥοφίας, μη. γ. λε. γ. ιϐ.
Τοῦ αὐτοῦ ἀρχὴ, μθ. γ. λς.

Μεσσηνίας.

Κυπαρίσσαι, μη. ιϐ. λε. δ.
Κυπαρίσσιον ἄκρον, μη. γ. ιϐ. λε. γο.
Σέλα ποταμοῦ ἐκϐολὴ, ἀϐαρίνος. μη. λε. ιϐ.
Πύλος πόλις, μη. ιϐ. λε.
Κορυφάσιον ἄκρον, μη. ιϐ. λε. γ. ιϐ.
Μεθώνη πόλις· πήδασον ὅμηρος λέγει. μη. ιϐ. λε. ∟.
Κολώνη πόλις, μη. δ. λε. δ.
Ἀκρίτας ἄκρα, μη. λε.

Τοῦ μεσσηνιακοῦ κόλπου.

Μεθώνη πόλις, μη. γ. λε.
Κορώνη πόλις, μθ. λε. ιϐ.
Μεσσήνη πόλις, μθ. δ. λε. δ.
Παμισοῦ ποταμοῦ ἐκϐολαὶ, μθ. ∟. λε. δ.
Τοῦ αὐτοῦ ἡ πρὸς τὸν ἀλφειὸν ἐπιστροφή.
Φεραὶ πόλις. μθ. λε. δ.
Ἄβεια πόλις. μθ. γ. λε. ς.

Τῆς λακωνικῆς.

Λεῦκτρον πόλις, μαΐνη. μθ. γ. ιϐ. λδ. ∟.
Ταιναρία ἄκρα, ν. λδ. γο.

Τοῦ λακωνικοῦ κόλπου.

Ταινάριον πόλις, ν. λδ.
Καίνη πόλις, ὅπου ὁ ψαμαθίας λιμὴν, ν. ιϐ. λδ.
Τεύθρωνη πόλις, ν. ς. λδ.
Λᾶς πόλις, ν. δ. λε.
Γύθιον πόλις, ἡ νῦν παλαιόπολις, καὶ πασαϐὰς, ν. γ. λε.
Τρίνασος ἐπίνειον, ν. γ. ιϐ. λε.
Εὐρώτα ποταμοῦ ἐμϐολὴ, τῆς ἤπειρος, ν. λε.
Τοῦ αὐτοῦ ἡ ἀρχὴ, ν. λε.
Ἄκρεια πόλις, ν. ιϐ. λε.
Βιάδινα πόλις, ν. δ. λε.
Ἀσωπὸς πόλις, ν. γ. λε.
Ὄνου γνάθος ἄκρα, να. γ. λε.
Βοαὶ πόλις, τὰ νῦν βάτικα, να. γ. λε.
Μαλέα ἄκρα, να. γ. λε.

Τοῦ ἀργολικοῦ κόλπου.

Μινώα λιμὴν, να. ς. λε.
Διὸς σωτῆρος λιμὴν, να. ς. λε.
Ἐπίδαυρος πόλις, ἡ μονεμϐασία, να. ιϐ. λε.
Ζάραξ πόλις, ὁ νῦν ἱεράξ λιμὴν, να. ∟. λε.
Κύφαντα λιμὴν, να. γ. λε.
Πρασία πόλις, να. ς. λε.
Ἀργείας. ἄστρον. να ..
Ἰνάχου ποταμοῦ ἐκϐολὴ, να. λε.
Τοῦ αὐτοῦ ἡ ἀρχὴ, να. λέ.
Ναυπλία ἐπίνειον, να. ιϐ. λ.
Φλιοῦς πόλις, τὰ θέρμια, να. δ. λε.
Ἑρμιόνη πόλις, νϐ λς.
Σκύλαιον ἄκρον, νϐ. λς.

Τοῦ σαρωνικοῦ κόλπου ἀργείας, ἤγουν τὰ πρὸς ἀνατολὴν κορίνθου.

Τροιζὴν πόλις, φανάριον. νϐ. γ. λς.
Μεθώνη χερσόνησος, νϐ. ς. λς. γ.
Ἐπίδαυρος πόλις, να. γ. λς. γ. ιϐ.
Πίραιον ἄκρον, να. λς. γ. ιϐ.
Ἀθηναίων λιμὴν, να. λς. ιϐ.
Βουκέφαλος λιμὴν, να. γ. λς. δ.

Τῆς κορινθίας.

Κέγχρεαι ἐπίνειον, να. γ. ιϐ. λς. ∟. ιϐ.
Σχοινοῦς λιμὴν, να. γ. λζ.

Τὰ ἐν τῇ πελοποννήσῳ ὄρη.

Φολόη, τὸ νῦν ἄστρος, νθ. δ. λς.

Στέμ-

Στύμφυλος, ἡ ζείρεια. τὸ αὐτὸ καὶ κυλλιών, νθ. ς. λς.
Μινώη, τὸ τῆ νῦν σκορτζῆ, νθ. λς. δ.
Ταΰγετον, τὸ νῦν πενταδάκτυλον, νθ. γ. λε. δ.
Κρόνιον, τὸ τῆ νῦν τζακωνίας, ν. λε. δ.
Ζάρηξ, τὸ τῆ νῦν ζάρακα, να. λε. γ.

Αἱ μεσόγειοι πόλεις τῆ ἰδίας ἀχαΐας.

Φαραί, ἡ καὶ ἐφύρα, μθ. ς. λς. δ.
Ἑλίκη, τὰ νῦν ξύπνα, μθ. ς. λς. δ.
Βοῦρα, ἡ νῦν περνίτζα, ν. λς. γ.
Πελλήνη, ἡ νῦν κέρκοβα, νγ. λς. δ.

Αἱ τῆ σικυωνίας μεσόγειοι.

Φλιοῦς πόλις, νδ. γ. λς. γ.
Σικυών, τὰ νῦν βασιλικά, να. λς.

Αἱ τῆ κορινθίας μεσόγειοι.

Κόρινθος, ἡ πάλαι ἔφυρα, να. λς.

Ἠλείας μεσόγειοι.

Ἦλις, μθ. λς.
Ὀλύμπια πίσα, μη.
Κορώνη, μη. λς.
Ὑπάνεια, μθ. λς.
Λέπρεον, μθ. λς.
Τυπάνεια, μθ. λς.

Αἱ ἀρκαδίας.

Ἡραία, μθ. γ. λς.
Φιάλια, μθ. γ. λε.
Τεγέα, μθ. γ. λς.
Ψωφίς, μθ. γο. λς.
Λυσοαί, μθ. γ. λς.
Ἀντιγόνια, ἡ καὶ μαντίνεια, ἡ περὶ τὰ τζιπανὰ παλαιόπολις, μθ. γο. λς.

Στύμφαλος, ἡ ζάρακα νῦν, μγ.
Κλείτωρ, μγ. ιβ. λς.
Ἄλαια, ν. λς.
Μεγάλη πόλις, ἡ φιλητώ, ν. γο. λς.

Αἱ ἀργείας.

Νεμέα, να. ιβ. λς.
Κλεωναὶ πόλις, να. λς. γο.
Ἄργος πόλις, να. λς. ς.
Μυκῆναι πόλις, τὸ πολύφεγγον, να. δ. λς. ς.
Μεσίνη πόλις, να. ιβ. λς. δ.

Αἱ μεσσηνίας.

Ἁλίαρτος, μη. γ. λε. δ.
Ἰθώμη, μη. γ. λε. γ. ιβ.
Τειζίω, μθ. ς. λε. γ.

Αἱ τῆ λακωνικῆς.

Καρδαμύλη, ν. λε. γ. ιβ.
Λακεδαίμων, ν. δ. λε.
Κυφάντα, ν. α. λε. δ.
Λέρνη πόλις, να. δ. λε. γ ιβ.
Θύρεον, νδ. λε. γ.
Βλέμιννα, ν γο λε. δ.
Θαλάμη, ἡ νῦν καλαμάτα, να. λς.
Γερήνια, να. γ. λε.
Οἰνόη, ἡ καὶ πύλος, ν. γο. λε.
Βείτυλα, ν. λε.

Πᾶσαν τὴν πελοπόννησον ὅμηρος ἄργος καλεῖ, ὡσαύτως δὲ καὶ τὴν λακωνικὴν ἰδίως ἄργος ἀχαϊκόν.

Π Λ Η Θ Ω Ν Ο Σ

ΠΕΡΙ ΑΡΕΤΩΝ.

Ex bibliotheca C. V. Ioannis Sambuci.

ΑΡΕΤΗ ἐστὶν ἕξις καθ' ἣν ἀγαθοὶ ἐσμέν. ἀγαθὸς μὲν δὴ τῷ ὄντι ὁ θεός. ἄνθρωποι δὲ ἀγαθοὶ γιγνόμεθα, ἑπόμενοι θεῷ, κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. ἐπεὶ δὲ ἐστὶν ἄνθρωπος, τὸ μὲν αὐτός τις καθ' αὑτὸν, τὸ δὲ πρὸς ἃ ἕτερον· τοῦτο δ' εἴ τι πρὸς ἄλλ' ὁποιοῦν τῶν ὄντων, ἢ πρός τι τῶν αὑτοῦ, λέγω δὲ τὸ χεῖρον τῶν παρ' ἡμῖν, καὶ τοῦτ' αὖ ἤτοι περὶ βίαια τὰ παθήματα ἔχων, ἢ περὶ ἑκούσια, ᾗ μὲν καθ' αὑτόν τι ὡς ἐστὶν ὁ ἄνθρωπος, ἔστι δὲ ὢν λογικόν τι ζῷον, φρόνησις αὐτῷ παραγίνεται ἀρετὴ, τὸ τῇ τοιᾷδε δυνάμει οἰκειότατον ἀποδιδοῦσα ἔργον· ᾗ δὲ πρὸς ἕτερόν τις ἐστὶν, πρὸς μὲν ἄλλ' ὁποιοῦν τῶν ὄντων, δικαιοσύνη, τὸ προσῆκον αὐτῷ ἑκάστῳ ἡμῶν, ὅπερ ἐσμὲν, πρὸς ἕκαστον ἀποδιδοῦσα. πρὸς δέ τι τῶν αὑτοῦ, περὶ μὲν τὰ βίαια τῶν παθημάτων ἔχων ἀνδρία, περὶ δὲ τὰ ἑκούσια, σωφροσύνη, σώζοντε ἑκατέρω τούτοιν, τὴν τῆς ἀμείνονος τῶν παρ' ἡμῖν αὐτοῖς πρὸς τὸ χεῖρον ἑκάστοτε ἀξίαν. ῥητέον δὲ αὖθις δι' ἀκριβείας μᾶλλον περὶ αὐτῶν, ἀρξαμένοις ἀπὸ τῆς ἀτελεστάτης, ἐπὶ δὲ τὴν τελεωτάτην κατὰ φύσιν ἰοῦσι τῷ λόγῳ. ὁ μὲν οὖν θεὸς τῷ ὄντι ἀνενδεὴς, τελειότατός τε ὢν, καὶ ὡς οἷόν τε μάλιστα αὐτάρκης. ἄνθρωποι δὲ ἀνενδεεῖς μὲν γενέσθαι παντάπασιν, ἀμήχανον· ἐλαττόνων μέντοι καὶ πλειόνων δεόμενον, δι' ἀρετήν τε ἢ κακίαν, ἐστὶν εὑρεῖν. ἐλαχίστων μὲν οὖν δεόμενος, θεῷ τε ὁμοιότατα ἔχει, καὶ κράτιστα αὐτὸς αὑτοῦ· πλειόνων δὲ γιγνόμενος ἐπιδεὴς, θεῷ τε ἀνομοιότατα, καὶ χείριστα ἔχει. καὶ ἔστι σωφροσύνη, τοῦτο δὴ τὸ μόριον ἀρετῆς, ἕξις ψυχῆς αὐτάρκης ἐπ' ἐλαχίστοις τοῖς πρὸς τὸν βίον ἀναγκαίοις, ἐλάχιστα δὲ τῶν πρὸς τὸν βίον ἀναγκαίων, τὰ μέν πῃ πλήθει, τὰ δὲ καὶ δυνάμει. ταῦτα δ' εἴη ἄν, ἃ δήπουθεν οὐ πολλὰ ἄττα πραγματευόμενόν ἐστι τυγχάνειν· οἷα τὰ εὐποριστότερα καὶ εὐτελέστερα. καὶ ῥᾷω μάλιστα, ἃ δὴ πρὸ τῶν δυσποριστοτέρων καὶ πολυτελεστέρων, καὶ χαλεπωτέρων, ἐν τοῖς τοιούτοις αἱρεῖσθαι πρὸς τοῦ σώφρονός τε καὶ αὐτάρκους ἂν εἴη ἀνδρός. ἀλλὰ δὴ καὶ ἀκίνητος ὁ θεός. ἀνθρώπῳ δὲ πρὸς μὲν πάντα ἀκινήτως ἔχειν, οὐδ' οἷόν τε οὔτε ἀγαθόν. οὐδὲ γάρ πῃ καὶ πρὸς τὰ καλὰ ὄντων δεῖ ἔχειν ἀκινήτως, ὑπὸ μέντοι τῶν καλῶν ἀκίνητόν τι εἶναι, καὶ ὑπὸ τῶν κατὰ τὸν βίον βιαίων τῷ καθεστηκότως μὴ ἐξίστασθαι· μηδὲ τῷ χείρονι τῶν ἑαυτοῦ, καὶ πεφυκότι κάμπτεσθαι, ὑπὸ τῶν προσπιπτόντων ἑκάστοτε, καὶ αὐτὴν χεῖρόν τι συνδιατίθεσθαι· κράτιστον ἂν εἴη, καὶ θεῷ παραπλήσιον. καὶ ἔστι τοῦτο ἀνδρεία τὸ μόριον ἀρετῆς, ἕξις ψυχῆς ἀκίνητος, ὑπὸ τῶν κατὰ τὸν βίον βιαίων παθημάτων. ἐπεὶ δ' ἡμῶν ἕκαστος γέγονε πρῶτον μὲν θεοῦ τι ἔργον οὐ πάνυ τοι ἀλλότριον, ἀλλά πῃ οἰκεῖόν τι καὶ ξυγγενὲς, ἔπειτα μόριον ἄλλων τε ἡμῶν μειζόνων μερῶν τοῦδε τοῦ παντὸς, ὅλου τε καὶ ἑνὸς ἐκ πολλῶν ὄντος, χώραν ἡντινοῦν ἀποπληρώσοντ' ἑκασταχοῦ, ὡς ἂν ὅτι μάλιστα αὐτῷ τε καὶ τῷ ὅλῳ ἔμελλεν συνοίσειν· δεῖ δή πῃ μηδὲ ταύτην ἑκάστην ἀπολείπειν τὴν χώραν, ἐν ᾗ ὁ θεὸς ἔταξεν, ἀλλ' ἐμμένειν κατὰ δύναμιν, τὸ τῇ χώρᾳ προσῆκον ἀποδιδόντα, μόριον δὲ ἅπαν ὁμολογοῦν τι ἐκείνῳ οὗ περ ἂν μόριον εἴη, καὶ μὴ διαφωνοῦν, κατὰ φύσιν τε καὶ εὖ μάλιστα πράττει. καὶ ἐπεὶ ἐστὶν ἡμῶν ἕκαστος μέρος τι τοῦτο μὲν οἰκίας, τοῦτο δὲ ἑταιρείας τινὸς πόλεως, ἔθνους, ὅλως τοῦδε τοῦ παντὸς ἀποδιδοὺς τὰ προσήκοντα ἑκάστοις· γονεῦσι μὲν, ὁποῖα παῖδα πρὸς γονέας προσήκει· παισὶ δὲ, ὁποῖα πρὸς παῖδας γονεῖ· ἑτέροις, ὁποῖα πρὸς ἑτέρους· ἑταίρῳ, συσσίτῳ, πρὸς ἑταίρους, συσσίτους· πρὸς γείτονας, γείτονι· συνόδῳ, πρὸς συνόδους· πολίτῃ, πρὸς πολίτας· ἔτι τε πρὸς θεὸν, ὁποῖα θεράποντι, καὶ ἔργῳ πρὸς δεσπότην τε καὶ δημιουργόν· οὕτω ταῦτα ἀποδιδοὺς, ἑαυτῷ τε σώσει τοῦτο αὐτὸ ὅπερ ἐστὶ πρὸς ἕκαστον, θεῷ τε ἕψεται, ᾗ τέτακται χώρᾳ μάλιστα ἐμμένων, ἄριστά τε ἕξει, ὡς ἂν τῷ ἀρίστῳ ἑπόμενος. εἴη τε ἂν δικαιοσύνη, τοῦτο μόριον ἀρετῆς, ἕξις ψυχῆς, σώζουσα τὸ προσῆκον αὐτῷ ἑκάστῳ ἡμῶν, ὅπερ ἐσμὲν, πρὸς ἕκαστον. ἐπεὶ δὲ καθ' αὑτὸν ἄνθρωπος γέγονεν οὐκ ἄλλό τι μάλιστα, ἢ λογικόν τι ζῷον, δῆλον δὴ ὡς θεωρός τις, οἷον περ ἐν πανηγύρει, τοῦδε τῷ παντὶ εἰσῆκται, ἐπισκεψόμενος εἰς δύναμιν καὶ θεωρήσων τί τέ ἐστι τῶν ὄντων ἕκαστον, καὶ πῇ ποτε πρὸς ἄλληλα ἔχει, καὶ διὰ τί ἕκαστα γίγνεται τῶν γιγνομένων. εἴη τε ἂν καὶ τοῦτο φρόνησις, τὸ λοιπὸν καὶ τελεώτατον μόριον ἀρετῆς, ἕξις ψυχῆς θεωρητικὴ τῶν ὄντων,

των, ἧπέρ ἐστιν ἕκαστα. Εἶναί τι τέτταρα μὲν τὰ μέγιστα μόρια ἀρετῆς, σωφροσύνην, ἀνδρίαν, δικαιοσύνην, φρόνησιν. τούτων δ' αὖ ἑκάστου τρία μόρια δεῖν εἶναι. πρῶτον μὲν σωφροσύνης, ἐπεὶ ἐστι σωφροσύνη αὐτάρκεια τῶν πρὸς τὸν βίον ἀναγκαίων. τριῶν δὲ τούτων πρὸς τὸν βίον δεόμεθα, ἡδονῶν, χρημάτων, δόξης. ἐφ' ἑκάστῳ τούτων εἴη ἄν τι μόριον σωφροσύνης, φυλάττον τὸ αὔταρκες καὶ χρήσιμον ἑκάστου· ἐπὶ μὲν ἡδοναῖς, κοσμιότης· ἐπὶ δὲ χρήμασιν, ἐλευθεριότης· ἐπὶ δὲ δόξῃ, μετριότης. ἀνδρία δὲ, ἐπεὶ ἐστιν ἀπάθεια, ὑπὸ τῶν κατὰ τὸν βίον βιαίων παθημάτων. τούτων δὲ τὰ μὲν αὐτοί που ἐθελονταὶ ὑφιστάμεθα, μειζόνων ἕνεκα ἀγαθῶν, ὡς ὅταν πόνους ἢ κινδύνους ἤ τι ἄλλο προαιρώμεθα, ὧν ἄνευ μὴ οἷόν τε εἴη τῶν δεόντων τυχεῖν· τὰ δ' ἀκούσια καὶ οὐ προσδεχομένοις ἔπεισι. τούτων τε αὖ τὰ μὲν, ὡς ἁπλῶς εἰπεῖν, παρὰ τοῦ θείου τε, καὶ τὸ ὅλον τοῦτο διατάττοντος, οἷαί περ αἱ καλούμεναι ξυμφοραί· τὰ δ' αὖ παρ' ἀνθρώπων, οἷαί περ αἱ παρ' ἐνίων πρὸς ἡμᾶς δυσκολίαι τε καὶ δυσχέρειαι, εἰ κἂν καὶ ἐφ' ἑκάστῳ τούτων ἴδιόν τι μόριον ἀνδρίας, σῶζον τὸ ἀκίνητον καὶ ἀπαθὲς ὑπὸ τῶν χειρόνων ἑκάστων, γενναιότης μὲν ἐπὶ τοῖς αἱρετοῖς· ἐπὶ δὲ τοῖς ἀκουσίοις ἀψυχία μὲν ἐπὶ τοῖς παρὰ τοῦ θείου, πρᾳότης δὲ ἐπὶ τοῖς παρ' ἀνθρώπων. δικαιοσύνη δὲ ἐπεὶ ἐστι σωτηρία ὁμοίων τύπου αὐτῆς, ἥπερ ἐσμὲν πρὸς ἃ ἕκαστον, ἐσμὲν δὲ δὴ θεοῦ μὲν ἔργα τε καὶ κτήματα, ἀνθρώποις δὲ ξυγγενεῖς πως πᾶσι, κἂν πρὸς ἄλλους ἄλλως πως ἔχωμεν. εἴη ἂν καὶ αὐτῆς, ὁσιότης μὲν ἐπὶ τοῖς πρὸς τὸ θεῖον, ἐπὶ δὲ τοῖς πρὸς ἀνθρώπους, πολιτεία μὲν πρὸς τὰ κοινά, χρηστότης δ' αὖ πρὸς τὰ ἰδιωτικά. Φρόνησις δὲ, ἡ μὲν περὶ τὰ θεῖά τε καὶ ἀεὶ ὄντα, ἡ δὲ περὶ φύσιν τε καὶ τὰ γινόμενα, ἡ δὲ περὶ τὰ ἡμέτερά τε καὶ ἀνθρώπεια. ὥστ' εἴη γ' ἂν καὶ αὐτῆς, ἡ μὲν περὶ ταῦτα δὴ τὰ ἀνθρώπεια, εὐβουλία· ἡ δὲ περὶ φύσιν, φυσική· ἡ δ' αὖ περὶ τὰ θεῖα, θεοσέβεια. αἱ μὲν δὴ τῆς ἀρετῆς ἰδέαι αὗται, καὶ τοσαῦται· ἐνὸν μὲν καὶ εἰς πλείω τε καὶ τὰ μικρότερα διελεῖν. ἀποχρῶν δ' ἴσως καὶ ἄχρι τοσούτων. τούτων δὲ ἀρχὴ μὲν μάλιστα ταῖς ἄλλαις, ὅθεν περ ἀρξάμενος, καὶ τῶν λοιπῶν ἑκάστην ῥᾷον κτήσαιτ' ἄν τις, ἥ γε κοσμιότης εἴη ἄν. τῶν γάρ πῃ ἡδονῶν, αἳ πρῶτον ἡμῶν καὶ ἐν νέοις τυραννοῦσι μάλιστα, ἐπιχειρεῖ κρατεῖν αὕτη ἡ ἀρετή, δεχομένη τὰς μὲν ἀναγκαίας αὐτῶν, τὰς δὲ μὴ καὶ τῶν μὴ ἀναγκαίων αὖ ἐνίας, παρανόμους τε, καὶ μοχθηρότητας, καὶ οὐκ ἀνθρώπῳ πρεπούσας, καὶ ταύτας μὲν παντάπασιν ἀπωσαμένη τε καὶ ἐκκόψασα τῆς ψυχῆς, αὐτάς τε καὶ ἐπιθυμίας αὐτῶν· τὰς δ' ἀναγκαίας πρὸς τὸν βίον τόν τε ἴδιον ἑκάστου καὶ τὸν κοινὸν προσαιρουμένη· τῶν δέ γε μὴ ἀναγκαίων μὲν, οὐ μοχθηρῶν δὲ, αὐτῶν μὲν ὀλιγωροῦσα, τὰς δ' ἐπιθυμίας παντάπασιν ἐκκόπτουσα· ἵνα δὴ εἰς δύναμιν ἀνεπιδεής τις ᾖ, τῇ αὐταρκείᾳ χαίρων μᾶλλον, ἢ αὐταῖς ταῖς διὰ τοῦ σώματος ἡδοναῖς. εὐθὺς οὖν αὕτη ἀρετή, τῶν μὲν θηρείων καὶ χειρόνων ἄρχεται διιστᾶν ἡμᾶς ἅ τῳ ἥδεται, καὶ μή. τό τε αἱρετὸν, καὶ μὴ τοιοῦτον ὁρίζει· ἐπὶ δὲ τὴν πρὸς τὰ κρείττω γένη ξυγγένειαν ἀνέχει, ταῖς τε ἡδοναῖς αὐταῖς τάξιν τε καὶ κόσμον ἐπιτιθεῖσα, καὶ ἅμα εὐσταλεῖς τε καὶ κούφους δι' αὐτάρκειαν ἀποφαίνουσα. αὕτη μὲν οὖν, οἷον περ ἀρχὴ ταῖς ἄλλαις, ἐπεὶ καὶ τἄλλα τὰ τῆς σωφροσύνης μόρια, ἔτι τε τὰ τῆς ἀνδρίας, καὶ δικαιοσύνης, καὶ φρονήσεως σύμπαντα ῥᾷον ἄν τις σὺν ταύτῃ μετίοι. κεφάλαιον δὲ πάσαις, οἷ τε ξυμπάσας δεῖ τείνειν, καὶ ἧς χωρὶς οὐδ' ἂν τῶν ἄλλων τι ὄφελος εἴη, ἥ γε θεοσέβεια εἴη ἂν μάλιστα. ᾧ γάρ πῃ ἡμεῖς, τοῖς μὲν κρείττοσι κοινωνοῦμεν γένεσι, τῶν δὲ χειρόνων μάλιστα διενηνόχαμεν, κράτιστόν τέ ἐστι τῶν ἡμετέρων οὐδὲν, ἄλλο εἴη τοῦτό γε, ἢ νόησις. τῶν δὲ δὴ νοητῶν, καὶ περὶ ἃ νόησις πραγματεύεται, τῶν τε ὄντων ξυμπάντων, ὁ θεὸς τὸ ἄριστον. τῷ δὴ κρατίστῳ τῶν ἡμετέρων τοῦ κρατίστου τῶν ὄντων ἀπολαύοντες, μακαριώτατ' ἂν οὕτω βιοῖμεν, ὥστ' εἴη ἂν ἡ τοῦ θεοῦ νόησις, τὸ μακαριώτατον τῆς ἀνθρωπίνης ζωῆς, ἧ καὶ θεοσεβείας ἐστὶ τὸ κεφάλαιον. μετὰ δὲ κοσμιότητα ἡ γενναιότης πῃ ἂν εἴη μετιτέα. πόνοις τε γὰρ ἐγκαρτερεῖν, καὶ κινδύνους ἑαυτοῖς αἱρεῖσθαι, πρὸς πολλὰ τῶν δεόντων παρασκευάζουσα αὕτη ἡ ἀρετή, δυνατωτάτους τε πράττειν παρέχεται, καὶ πρὸς τὰς ἄλλας ἀρετὰς ἱκανωτάτους ἀποφαίνει. δεῖ μέντοι μηδ' ἐκεῖνο ἀγνοεῖν, βίου πάρεργον ξυμβαῖνον τοῖς τε κοσμίοις καὶ γενναίοις τῶν ἀνδρῶν. οἵ τε γὰρ κόσμιοι τῶν μὴ τοιούτων, οὐδὲ κατὰ τὰς ἡδονὰς, ἔλαττον ἂν δόξαι ἔχειν, ἀκριβῶς σκοποῦσιν· οἵ τε γενναῖοι τοὺς ἀγεννεῖς, οὐδὲ κατὰ τοὺς πόνους ὑπερβάλλειν. αἵ τε γὰρ ἡδοναὶ πεφυκέναι πως δοκοῦσι τοὺς μὲν τῶν πόνων φυγάδας, σφῶν δ' ἐραστὰς, καὶ περὶ αὐτὰς ἐπτοημένους, μᾶλλον ἀπολείπειν, ὑπό τε τοῦ κόρου καὶ ἔθους αὐτῶν, ἀναισθητοτέρους ἴσχοντας, καὶ ταχὺ ἀδυνάτους ὡς τὰ πολλὰ ἀποφαίνουσαι πρὸς αὐτάς, τά τε σώματα ἅμα χείρω τὸ πολὺ ἀπεργαζόμεναι· τοῖς δὲ δὴ κοσμίοις καὶ γενναίοις ἐν χρείᾳ ταῖς τῶν πρὸς τὸν βίον ἀναγκαίων αἱρέσεσιν ἐκμαιότεραί τε ἀπαντῶσι, καὶ ἀβλαβεῖς. οἵ τε πόνοι τοὺς μὲν σφᾶς φεύγουσι, τῶν δὲ ἡδονῶν ἐρασταῖς, καὶ μάλα ἐπικείμενοι, τοὺς δ' ὀλιγωροῦντάς τε καὶ ἐγκαρτεροῦντας σφίσι μᾶλλόν τι φείδοντες, ὑπό τε τοῦ ἔθους οὐ πάνυ τι αὐτῶν αἰσθανομένοις, καὶ ἅμα ἐρρωμενέστερα τῇ πρὸς αὐτοὺς μελέτῃ τὰ σώματα κτωμένοις. μετὰ δὲ γενναιότητα ἑξῆς ἡ ἀψυχία παραλαβοῦσα ἡμᾶς, ἠσκηκότας ἤδη τὴν ἐν τοῖς αἱρετοῖς καρτερίαν τῶν δυσχερῶν, ἐν οἷς ἴσως αὐτῶν ἔξεστι καὶ ἐφ' ὅσον βουλόμεθα μεταχειρεῖν, παιδεύσειεν ἂν καὶ τὸ ἀκούσιον τῶν ἀπὸ τοῦ θείου δυσχερῶν ἀνέχεσθαι· πρῶτον μὲν ἐκεῖνο διδάσκουσα, ὡς αὐτοὶ μὲν οὐ κρεάδιον θυλάκιον, οὐδὲ ξύστης αἵματος, οὐδ' ἄλλο τοιοῦτον οὐδέν, ἀλλὰ ψυχαί ἐσμεν λογικαί, ἀθάνατοι, οὐδενὶ κακῷ ἔξωθεν ἀλλοτρίῳ ἐνεχόμενοι, εἰ μὴ ὅ, τι ἂν ἡμῶν, κατὰ τὰς ἡμετέρας αὐτῶν δόξας, διὰ κακίαν προστρίβει, τὰ δὲ σώματα τάδε περικείμεθα, ἐφ' ὅσον ἂν θεὸς διδῷ χρησόμενοι, οὐ πάνυ τοι ἡμέτερα, οὔτε αὐτοῖς, πολύ τι ἔτι ἧττον τοῖς ἄλλοις τοῖς δι' αὐτὰ κτήμασί τε καὶ χρήμασιν· οὔκουν οὐδὲ τὰ περὶ αὐτὰ δυσχερῆ ἐπὶ τὴν ψυ-

χὴν

χρὴ δεῖ ἕλκειν, οὐδ' ἡμῖν αὐτοῖς λογίζεσθαι, ἀλλ' εἰδότας ὡς τούτων οὐδὲν πρὸς ἡμᾶς, εἰκότως ὀλιγωρεῖν· ἔπειτα ὡς οὐδεὶς τὸν ἑξῆς χρόνον οὐδὲν ἂν προσχωρεῖν ἀχθομένοις, εἰ μὴ καὶ ἐπιταράττοιτ' ἂν τοῦτο ἡμῶν, ᾧ μόνῳ δεήσεται ἂν ἐπανορθοῦσθαι πταῖσάν τι καὶ πεπλανηκός, λέγω δὲ τὸ λογιζόμενόν τι, καὶ τὴν ὑπὲρ τῶν ἡμετέρων πάντων πρόνοιαν, πεφυκὸς ποιεῖσθαι, εἰδέναι τε ἅμα ὅτι ταῦτα μὲν ᾗ ἕκαστα πρὸς τοῦ θείου διατέτακται, ταύτῃ καὶ γίνεται, διατέτακται δὲ πρὸς τοῦ ἀγαθοῦ, εὖ καὶ καλῶς, καὶ οὐκ ἐνεῖναι ἄλλως εἰπεῖν, ἡμῖν τε αὐτοῖς συμφερόντως, ἴσως μὲν καὶ κατ' ἄλλον δή τινα ἡμῖν λόγον ἀπόρρητον. οὐχ ἧττον δὲ καὶ τῇδε. εἶεν γὰρ ἄν που τὰ τοιαῦτα, τοῖς μὲν ἡμῶν παιδεῖαι τε καὶ κολάσεις ἐπὶ τῇ τῆς κακίας θεραπείᾳ τε καὶ τοῦ βίου ἐπανορθώσει, ταῖς ἡμετέραις ψυχαῖς, οἷόν περ φαρμακεῖαι νοσοῦσι σώμασιν, ἐν ἀλλοτρίοις δεινοῖς ἐπιπεμπόμεναι· τοῖς δὲ ἆθλοι τε καὶ πεῖραι, λαμπροτέρους ἀποφαίνουσαι καὶ ἀνδρικωτέρους τοὺς ἀγαθούς, οἷόν περ σωμασκοῦσι γυμνάσια. οἴκοιεν δ' ἂν κατ' οὐδέτερον τῶν τρόπων ἐπὶ τοῖς τοιούτοις ἀγανακτεῖν· ἀλλ' ἢ ἐκείνῳ τῷ ἀληθεῖ λόγῳ ἐθελοίμεθ' ἕπεσθαι, καὶ χαίρειν ὠφελημένους, ὡς τὸ εἰκός, τοῦ τε θεοῦ, μὴ ὅτι τῶν γε ἄλλων ἕνεκα ἀγαθῶν, ἀλλὰ καὶ αὐτῶν τούτων χάριν προσειδέναι. μετὰ δὲ ἡδονὰς καὶ πόνους ὀψιαίτερον μέν, βιαιότερον δ' ἴσως τυραννοῦσι ἡμῶν δόξαι τε καὶ ἀδοξίαι, ἀνθρωπινώτερα ἤδη, καὶ οὐ θηριώδη παθήματα. οὐδὲν μέντοι ἧττον καὶ περὶ αὐτὰ ἐπιμελείας δεῖται ἡμῶν τινος ἡ ψυχή, ὡς δεόντως τε, καὶ οὐκ εἰκῇ πρὸς αὐτὰ προσφέροιτο. ἥ τε μετριότης ἐν αὐταῖς, τὸ ἴσον τε καὶ ἁρμόττον σώζουσα ἑκάστοις, παιδεύει, πρέπειν μὲν τῆς ἀξίας ὡς μάλιστα ἑαυτῆς ποιεῖν, τῶν μὲν ταπεινῶν τε καὶ ἡμῶν αὐτῶν ἀναξίων ὑπερφρονοῦντας, τὰ δὲ μείζω ἢ κατὰ τὴν ἀξίαν, εὐλαβουμένους· ἔπειτα καὶ τοῖς μὲν παρὰ τῶν καλῶν κἀγαθῶν, καὶ ἐπὶ τοῖς καλοῖς δόξης, μὴ πάνυ τοι ἀμελεῖν. τῆς δὲ τῶν φαύλων τε καὶ ἀφρόνων, καὶ ἐπὶ κενοῖς που, οὐδὲ προσέχειν τὸν νοῦν. ἕξις δ' ἐλευθεριότης ῥᾷον ἤδη ἐγγίγνοιτ' ἄν, τῷ ταύταις ἠσκῆσθαι ταῖς ἀρεταῖς. χρήματα γάρ, τὰ μὲν ἐπὶ ἡδονῶν πορισμῷ, τὰ δ' ἐπὶ λυπῶν ἀποτροπῇ, τὰ δὲ διὰ δόξαν τινὰ σπουδάζεται. ὁ δὲ τούτων πολλὰ μεμελετηκὼς ὀλιγωρεῖν, ἧττον ἂν καὶ χρημάτων δέοιτο, ἀπὸ μὲν τῶν εὐπορωτέρων τὰ ἀναγκαῖα τοῦ βίου ἀποδιδούς, ξυνευπλείᾳ δὲ ἐκ τῶν ἐόντων φιλοκαλῶν. καὶ ταύτῃ τοι τὸ ἐν ταῖς ὕλαις κάλλος ξυνηθέστερον ἂν προσαιρούμενος, καὶ οὐκ ἀταξίαν, δαπάνας γενναίας μὴ μείζω τῆς ἀξίας σπουδὴν περὶ αὐτὸ ποιούμενος, λάθῃ τὸ οἰκεῖον τὸ ἐν τῇ ψυχῇ, ἀτιμότερόν τε καὶ φαυλότερον ἀποφήνας. καὶ μὲν δὴ καὶ ἡ πραότης ἐπὶ τούτοις ἁρμόττει ἂν μετιέναι προσμεμαθηκόσιν, ὡς ἡμῶν μὲν αὐτῶν αὐτοὶ κύριοι, κατὰ τὰς ἐνστάσεις τε καὶ ἐγχειρήσεις δόξας, διατεθῆναι τὰ ἡμέτερ' αὐτῶν, ψυχῶν δὲ ἀλλοτρίων οὐ πάνυ τοι κύριοι. ἀλλ' ἀνάγκη καὶ ἐκείνας αὖ τοῖς αὐταῖς δοκοῦσιν ἕπεσθαι, καὶ ἀμήχανον ἄλλο τι δρᾶν παρὰ τὸ φαινόμενον ἀγαθόν· ἢ αὖ ἡμῖν ἐνδεκτέον κἀκείνοις, ὡς καὶ αὐτοῖς οὐδέν τι ἧττον τὰ ἡμῖν δοκοῦντα ἑλομένοις συνοίσει, ἢ ἴσως ἂν τοῦτο ἀδύνατον ὥσπερ ἡμεῖς αὐτοὺς μᾶλλον τοῦ μὴ οἵους τε εἶναι σφᾶς πείθειν, ἢ ἐκείνους, τῶν τοιούτων μεταπείθειν· ὥστε καὶ ταύτῃ καλῶς ἂν ἡμῖν ἔχειν μεμελετηκόσι μὴ χαλεπαίνειν ἀνθρώποις. ὁ δ' ὀλιγωρεῖν μὲν ἡδονῶν, ὀλιγωρεῖν δὲ πόνων, κενῆς δόξης, χρημάτων, μεμαθηκὼς δὲ φέρειν εὐχερῶς μὲν τὰ θεῖα, εὐχερῶς δὲ τὰ ἀνθρώπεια, εἰκότως ἂν καὶ περὶ τὰ πρὸς ἀνθρώπους συμβόλαια εὐκοινωνικώτερος εἴη, χρηστότητα μετιών, μεμαθηκὼς ὡς τὸ μὲν καλῶς ποιεῖν, τοῦ εὖ πάσχειν ἄμεινον πολλῷ αὐτοῦ δή που θεοῦ τοῦ καλῶς ποιοῦντι, ἅτε δὴ καὶ θειότερον ὄν· τοῦ δὲ κακῶς πάσχειν, τὸ κακῶς ποιεῖν, χεῖρον αὖ πολλῷ. τοῦ γὰρ ἀμείνονος, τοῦτό γε ἐναντίον· καὶ δέοι τὸ μέν, ὡς ἄριστον ὄν, διώκειν εἰς δύναμιν, τὸ δὲ φεύγειν παντὶ τρόπῳ, διαλανθανόμενον μὴ κτησάμενος λάθῃ τὸ χείριστον τῶν κακῶν, ἅμα δὲ καὶ ξύμφωνον αὐτόν, τῇ τοῦ ὅλου τοῦδε συντηρείᾳ, πρὸς παρέχοιτ' ἄν, ἅτε δή τι καὶ μόριον τοῦ ὅλου οὐκ ὀλέθριόν τινος τάξιν, ἀλλὰ σωτῆρός τε αἱρούμενος, καὶ εὐεργέτου τὸ μέρος, οὕτω τε εὖ πράττων ἑαυτούς, οἷόν περ καὶ μορίῳ σώματος πολὺ ἂν μᾶλλον λυσιτελοῖ, εἴκειν τῷ ὅλῳ καὶ ὁμολογεῖν, ὑπηρετεῖν τε τῷ λοιπῷ, καλῶς τὸ αὑτοῦ ἔργον ἀποδιδόν, ἢ ἀντιτείνειν τε καὶ ἀξύμφωνον εἶναι, καὶ διασπᾶσθαι τοῦ ἄλλου σώματος. ἐκ δὲ δὴ τῶν πρὸς ἀνθρώπους συμβολαίων καὶ τῶν ἀνθρωπίνων πραγμάτων ἐμπειρότερος γενόμενος, ῥᾷόν που ἤδη καὶ εὐβουλίαν ἄνευ κτήσαιτο, εἰδὼς μέγα διαφέρειν ἐπιστάμενον μὴ ἐπισταμένου, καὶ ξὺν λόγῳ μεταχειρίζοντα ὁποιουοῦν δοξάζοντος ἄνευ λόγου, ὥστε πρός γε τὸ ἕκαστα πράττειν τῶν κατὰ τὸν βίον μέγα ξυμβάλλεσθαι τὸ περὶ τῶν ἀνθρωπίνων ἐξακριβοῦν πραγμάτων, καὶ ἅμα χαριεστάτην οὖσαν τὴν περὶ τῶν ἀνθρωπίνων θεωρίαν. ἅτε δὲ περὶ γνησίων ἡμῖν αὐτοῖς, μεθ' ἣν καὶ τὴν φυσικήν τις μετιὼν οὐ μικρὰν αὐτῷ προσθήκην εἰς εὐδαιμονίας ἐπίκτησιν φέροιτ' ἄν, πρῶτον μὲν τοῦ τῶν αὐτοῦ κρατίστου ζῴου, τοῦ λογιστικοῦ, ἔπειτα περὶ τὸ ἅπαν τόδε τούτῳ χρώμενος, καὶ θεωρῶν τί τε ἔστιν ἕκαστα, καὶ διὰ τί γίνεται, τίνα τε κατὰ φύσιν δυνατά, καὶ τίνα ἀδύνατα, οὐ σμικροῖς τισιν ἀγαθῶν ἀνθρωπίνης φύσεως ἐντυγχάνοι, διαίτῃ τε καὶ ἀπολαύσει, ἣν οὐδὲ παραβαλεῖν οἷόν τ' ἂν εἴη τηλικῷδε πράγματι, ἀλλ' ὅλῳ τῷδε τῷ παντὶ ἐνδιαιτώμενος τῇ ψυχῇ, καὶ ἀπολαβὼν γνησίως, καὶ κατοπτευόμενος βίον κοινότατόν τε καὶ ὁμοιότατον αὐτοῖς τοῖς κρείττοσι δύνασθαι γενέσθαι· εἶθ' ἡ πολιτεία τὸ πρὸς τὸ ξυνῆθες κοινὸν περιποιουμένη ἡμῖν, πλεῖστ' ἂν ὠφελοῖ, ἐπεὶ καὶ κατὰ φύσιν τυγχάνει τὰ σπουδαιότερά τε καὶ τελειότερα τῶν γενῶν, μᾶλλόν τοι κοινωνοῦντα ἀλλήλοις, τῶν καταδεεστέρων τε καὶ φαυλοτέρων. φυτὰ μὲν γάρ, ἡ καὶ ξύμπασα ἦγεν ἀναίσθητος φύσις, ἥκιστ' ἂν ἐπικοινωνοίη ἀλλήλοις· ζῷα δὲ καὶ ξύμπαντα, ὥσπερ ἂν αἰσθήσεως ἤδη μετέχοι, μάλιστ' ἂν τό γε διαφέρον τοῦτο, ἐπεὶ καὶ αὐτὸ τὸ αἰσθανό-

μένων τε καὶ ζῷον μᾶλλόν τι κοινωνοῖ ἄν, ἢ τῶν ἀναισθήτων τε καὶ ἀψύχων ὁποιωνοῦν, εἴπερ τοῖς μορίοις τὸ ὅλον πεπονθέναι τι μάλιστα συμπάσχει τε καὶ συνίσταται, ὡς τοῦτό πῃ ὂν καὶ ζωήν, κοινωνίαν τινὰ καὶ συμπάθειαν αὐτοῦ, αὐτῷ τε καὶ τοῖς προσπελάζουσιν ἑκάστοις. τῶν δὲ θηρίων τὰ μᾶλλον ξυναγελαζόμενα, ἢ ἧττον τῶν τοιούτων, τελεώτερά τε ἐστί, καὶ ἡμερώτερά πως ἐλευθέρια· ἄνθρωπον δὲ θηρίων ξυμπάντων κοινότητι βίου πάμπολυ διαφέρειν, τά τε αὖ κρείττω πῃ γένη, κοινότερον ἔτι ἀνθρώπου βιοῖ ἄν, κατὰ τὸ εἰκός, ὥσθ' ὅ γε πολίτης ἀγαθὸς τούτου μάλιστα ἐπιμελούμενος, καὶ ἐς τὸ κοινὸν ζῆν, οὐ τὰ ἐλάχιστ' ἂν αὐτῷ διαπεπραγμένος εἴη, μὴ ὅτι κατὰ φύσιν τε ἀνθρωπινώτερος οὕτω βιούς, ἀλλὰ καὶ τοῖς αὐτοῦ τελεωτέροις γένεσιν, εἰς δύναμιν ἀφομοιούμενος, πρὸς δὲ καὶ τὸ ἴδιον σώζων μᾶλλον, τὸ κοινὸν πρὸ αὐτοῦ αἱρούμενος, ἀλλὰ μὴ τοῦτο πρὸ τοῦ κοινοῦ· ἐπειδὴ τοῦ μὲν κοινοῦ καλῶς τιθεμένου, αὐτό τε καὶ τὸ ἴδιον μάλιστα σώζεσθαι πέφυκε· τοῦ δὲ ἰδιαζομένου τοῦ κοινοῦ, ἀμφότερ' ἀπόλλυσθαι. μετὰ δὲ πολιτείαν ἥ γε ὁσιότης μετιτέα, πρὸς τὴν τοῦ θείου θεραπείαν τε καὶ κοινωνίαν ἡμᾶς εὖ παρασκευάζουσα καὶ κοινῇ καὶ ἰδίᾳ, ἀνοσιότητά τε καὶ δυσδαιμονίαν μὴ παρεῖσα ἐν τῇ ψυχῇ. περὶ γὰρ εὐχάς, καὶ προσκυνήσεις, καὶ ὕμνους, καὶ τελετάς, καὶ ἀπαρχάς, καὶ πάντα τὰ τοιάδε, οὔτε καταφρονητικῶς ὁ ὅσιος ἕξει, ἀνωφελῆ τινα τὰ τοιαῦτα ἑαυτῷ ἄγων, οὔθ' οὕτω προσοίσεται, ὡς δεομένου τινὸς τούτων τοῦ θεοῦ, ἢ κηλουμένου δι' αὐτῶν, ἀκίνητον γὰρ καὶ ἀπαραίτητον μάλιστα ἐκεῖνον· ἀλλ' ὡς αὐτὸν τὰ μέγιστα ὠφελήσων, κακίας τε ἀφέξει καὶ ἀρετῆς μελέτῃ, καὶ ὁμολογίᾳ τοῦ αἰτίου ἡμῖν τῶν ἀγαθῶν, καὶ τούτων δὴ ἕνεκα ἐκεῖνα προσάγων τε, καὶ ἀφοσιούμενος, θεοσέβειαν αὐτῆς τε ὁσιότητος, καὶ πάσης κεφάλαιον ἀρετῆς ποιούμενος, ὥσπερ καὶ πρότερον εἴρηται, πάντα τε εἰς τὴν τοῦ θεοῦ νόησιν ξυντείνων, τὴν μακαριωτάτην ζωήν· ὡς ξυμβαίνειν τὸν μὲν καλὸν κἀγαθόν, τὸν αὐτὸν εὐδαίμονά τε εἶναι καὶ μακάριον, ταύτῃ τε καὶ κατὰ τοσοῦτον καθ' ὅσον ἂν ἀρετῆς μετάσχοι· τὸν δὲ φαῦλον ἄθλιον κατὰ τοσοῦτον καθ' ὅσον ἂν κακίας μεταλάβοι. εὐγενείας δὲ καὶ δυσγενείας, καὶ ἀρχὰς καὶ ἰδιωτείας, καὶ δόξας καὶ ἀδοξίας, καὶ πλούτους καὶ πενίας, καὶ ἡδονὰς καὶ πόνους, καὶ ὑγιείας καὶ νόσους, καὶ μακροβιότητας καὶ θανάτους, καὶ πάντα τὰ τοιάδε, αὐτὰ μὲν καθ' αὑτὰ οὐδέτερα οὔτε ἀγαθὰ οὔτε κακὰ εἶναι καθάπαξ. τούτων γὰρ οὐδὲν πρὸς ἡμᾶς αὐτούς· τὴν δὲ τούτων ὁποτέρων χρῆσιν, σὺν μὲν τῷ δέοντι καὶ ἀρετὴν γιγνομένην, ἀγαθήν τε καὶ εὐδαίμονα ἡμῖν καθίστασθαι· σὺν δὲ κακίᾳ βλαβερὰν, καὶ κακοδαίμονα. τοσαῦτα περὶ ἀρετῆς καὶ τῶν ταύτης μορίων, ἐν πολλοῖς ὀλίγα ἐστὶν εἰπεῖν, αὐτὰ σχεδὸν τὰ κεφάλαια προειλομένοις τῶν περὶ ἕκαστον λόγον. ἐπεὶ δὲ εἰς τὴν τῆς ἀρετῆς κτῆσιν, πρῶτον μὲν φύσεως δεῖ, καὶ θείας μοίρας, ἧς χωρὶς οὐδὲ ἀγαθοῦ τινός ἐστι τυχεῖν· ἔπειτα λόγου τε καὶ ἐπιστήμης εἶτα μελέτης τε καὶ ἀσκήσεως. ὅτου δ' ἂν αὐτῶν τις ἀπολειφθῇ, ταύτῃ τε καὶ κατὰ τοσοῦτον καθ' ὅσον ἂν ἀπολειφθῇ, ἀτελὴς μάλιστα ἔσται. οὐδὲ γὰρ ἄν τις τελέως καλὸς κἀγαθὸς γένοιτο, λόγον μὴ δυνάμενος ἔχειν περὶ ἑκάστης ἀρετῆς, οἷόν ἐστι τῷ ἀνθρώπῳ, καὶ ὅπῃ καὶ ὅπως ἀγαθόν. λόγου δὲ καὶ ἐπιστήμης μετασχών, τελεώτερος αὖ πάντως ἔσται, μελέτην τε καὶ ἄσκησιν προσλαβών, καὶ τὸ ἀπὸ τοῦ ἔθους ἡδύ τε, καὶ ἄριστον, καὶ μακάριον ἀποφήνας. ὅμως μέν γε παντὶ τρόπῳ φευκτέον μὲν κακίαν, ἐπιτηδευτέον δὲ ἀρετήν, ἵνα δὴ ἀντὶ ἀθλιωτέρων εὐδαίμονές τε καὶ μακάριοι ἔν τε τῷ παρόντι βίῳ κατὰ δύναμιν γιγνοίμεθα, καὶ ἐπειδὰν τελευτήσωμεν, τὴν τοῖς νῦν βεβιωμένοις πρέπουσάν τε καὶ ἁρμόττουσαν ἀπολαβόντες χώραν, πολὺ ἔτι δὴ μᾶλλον εὖ πράξαιμεν.

Hęc & libelli extremum, arguũt Christiani esse scriptum.

ΤΕΛΟΣ.

SVMMA VIRTVTIS ΚΑΤΑ ΣΧΗΜΑΤΙΣΜΟΝ.

Τῶν ἀρετῶν γενικαὶ μέν, φρόνησις, δικαιοσύνη, ἀνδρεία, σωφροσύνη· εἰδικαὶ δέ, τῇ μὲν φρονήσει, ὑποδιαιρούμεναι, θεοσέβεια, φυσική, εὐβουλία· τῇ δὲ δικαιοσύνῃ, ὁσιότης, πολιτεία, χρηστότης· τῇ δὲ ἀνδρείᾳ, εὐψυχία, γενναιότης, πρᾳότης· τῇ δὲ σωφροσύνῃ, μετριότης, ἐλευθεριότης, κοσμιότης. καὶ θεοσέβεια μὲν περὶ τὰ θεῖα, φυσικὴ δὲ περὶ τὰ φυσικά, εὐβουλία δὲ περὶ τὰ ἀνθρώπινα. καὶ ὁσιότης μὲν ἐν τοῖς πρὸς τὸ θεῖον, πολιτεία δὲ ἐν τοῖς ἀκουσίοις, γενναιότης δὲ ἐν αἱρετοῖς, πρᾳότης δὲ πρὸς τὰ κοινά, χρηστότης δὲ ἐν τοῖς πρὸς τὰ ἰδιωτικά, καὶ εὐψυχία μὲν ἐν τοῖς πρὸς ἀνθρώπους, καὶ μετριότης μὲν περὶ δόξαν, ἐλευθεριότης δὲ περὶ χρήματα, κοσμιότης δὲ περὶ ἡδονάς.

Ἀρετή, φρόνησις, δικαιοσύνη, ἀνδρεία, σωφροσύνη· θεοσέβεια, φυσική, εὐβουλία· ὁσιότης, πολιτεία, χρηστότης· εὐψυχία, γενναιότης, πρᾳότης· μετριότης, ἐλευθεριότης, κοσμιότης.

ά κ ρ ῶν α λῶ εἶ ς ι ἔρ ι αι αύ ας.

κοσμιότης, γενναιότης, εὐψυχία, μετριότης, ἐλευθεριότης, πρᾳότης, χρηστότης, εὐβουλία, φυσική, πολιτεία, ὁσιότης, θεοσέβεια.

Joannis Stobæi Eclogas, & Georgij Gemisti duas De rebus Peloponnesiacis orationes, & eiusdem libellum De virtutibus, approbo, vt Græcè & Latinè edantur. Kalend. Febr. An. Lxxiiij.

I. Molanus, Pontificius & Regius censor.

EXCVDEBAT ANTVERPIÆ CHRISTOPH. PLANTINVS, ARCHITYPOGRAPHVS REGIVS, SEXTO KALEND. IVNII, ANN. M. D. LXXV.

PRIVILEG. CÆSAREÆ MAIESTATIS.

MAXIMILIANVS II. Diuina fauente clementia electus Romanorum Imperator semper Augustus, Germaniæ, Hungariæ, Bohemiæ, Dalmatiæ, Croatiæ, & Sclauoniæ, &c. Rex, & Archidux Austriæ, Dux Burgundiæ, Styriæ, Carinthiæ, Carniolæ, & VVirtembergæ, Comes Tyrolis, &c. Recognoscimus & notum facimus tenore præsentium vniuersis. Inter alia maiorum nostrorum consilia illud haud postremum fuisse comperimus, vt ad Imperij Romani decus & dignitaté plurimùm facere arbitraretur, non minus rem literariam, quàm militarem disciplinam propagare: quòd litterarum monumentis, quidquid fortiter & præclarè gestum esset, illustrari cognoscerent, & æternæ memoriæ consecratum ad posteros ita transmitti, vt tam exterisquàm domesticis populis exemplo ad virtutem esse posset: quodq; optimarum artium studia, & quidquid ad humanæ vitæ cultum atque vtilitatem in quaq. arte fuisset excogitatum, literis & cótineri & conseruari optimè didicissent. Illorum nos laudatis vestigiis insistere summo studio cupientes, dignum imprimis duximus, prudenter & accuratè cauere, vt si quis ad eam rem quidquam vel industria vel laboribus & impensis suis contulerit, ne huic fraudi beneficium publicum sit.

CVM itaq. syncerè nobis dilectus Christophorus Plantinus, ciuis & Typographus Antuerpiensis, nobis humiliter exponi curarit, se veteres nonnullos auctores, vel nunquam antea visos, & raros, vel emendatiores, aliaq; opera magni momenti, imprimis verò Biblia Hebraica, Nouum Testamentum, Eunapium De vitis Philosophorum, Illustrium De poëtis, Nonium Marcellum, Petronium Arbitrum, omnes veteres Poëtas correctos vel commentariis illustratos, Emblemata Sambuci, Dictionarium Hebraicum, Dictionarium Græcum, & si quæ huius generis alia vel antea non edita vel emédatiora, locupletiora, auctiora, & illustriora facta sunt, quacunque in lingua imprimere constituisse: vereri autem, ne, quod sæpenumerò vsu venire consueuerit, alij nonnulli, qui alieno labore & industria partis, fucorú more inhiare, & frui soleant, ea quæ ille magnis sumptibus & impensis collegerit, & typis procuderit, mox ad suum compendium, minore sumptu & labore imitentur, atq. effingant, illiq; labor omnis, sumptus & impensæ, omne quoque lucrum & laboris præmium, atque adeò (quod dici solet) oleum & opera pereat: ideoq; suppliciter à nobis petierit, vt contra huiusmodi improbos quorundam lucri cupidorum conatus, fraudem & iniurias, Priuilegij nostri prærogatiua munire illum dignaremur.

NOS huiusmodi illius precibus æquis & iustis benignè annuentes, & prædicti Christophori Plantini honestos conatus promouere, atque indemnitati illius quàm maximè cóstultum cupientes, hoc publico edicto cautum volumus, & sancimus, ne quis, cuiuscunque status, gradus, ordinis, aut conditionis fuerit, quacumque facri Romani imperij & ditionis nostræ fines patent, deinceps prædicta, aut alia quæcunque probatorum auctorum opera, quotquot vel hactenus nondum impressa, vel ab aliis quidem impressa, nouis autem deinceps scholiis, annotationibus, aut commentariis aucta & illustrata præfatus Plantinus primus typis procuderit, intra proximum sexennium à prima cuiusque operis aut voluminis editione, vllo pacto eiusdem vel diuersi characteris forma excudat, aut excusa ab aliis intra nostros & Imperij fines vendenda importet, seu quouis modo distrahat, manifestè vel occultè, sub pœna decem Marcharum auri puri, quarum dimidia fisco nostro Imperiali, fraudis vindici, residua verò pars prænominato Plantino cedat, prætet librorum, sicut præmittitur, ad imitationem impressorum, amissionem, quos idem Plantinus vbicumque locorum nactus fuerit, per se, vel suos, adiumento Magistratus loci, vel citra, propria auctoritate sibi vendicare, inq; suam potestatem redigere potest. In cuius rei fidem præsenti edicto manu nostra subscripsimus, & sigillum nostrum apponi iussimus. Datum in ciuitate nostra Vienna Austriæ, die vigesima prima mensis Februarij, Anno Domini Millesimo quingentesimo sexagesimo quinto: Regnorum nostrorum, Romani, tertio: Hungarici, secundo: Bohemici verò decimo septimò.

Maximilianus.

Ad mandatum sacræ Cæs. M. proprium.

Haller.